ΒΙΒΛΙΟΘΗΚΗ
ΕΛΛΗΝΩΝ
ΠΑΤΕΡΩΝ

ΕΥΣΕΒΙΟΣ
ΚΑΙΣΑΡΕΙΑΣ
(ΜΕΡΟΣ [illegible]')

21

Printed in Greece
Athens 1959

ΒΙΒΛΙΟΘΗΚΗ ΕΛΛΗΝΩΝ ΠΑΤΕΡΩΝ
ΚΑΙ ΕΚΚΛΗΣΙΑΣΤΙΚΩΝ ΣΥΓΓΡΑΦΕΩΝ

ΒΙΒΛΙΟΘΗΚΗ ΕΛΛΗΝΩΝ ΠΑΤΕΡΩΝ
ΚΑΙ ΕΚΚΛΗΣΙΑΣΤΙΚΩΝ ΣΥΓΓΡΑΦΕΩΝ

ΤΟΜΟΣ ΕΙΚΟΣΤΟΣ ΠΡΩΤΟΣ

ΕΥΣΕΒΙΟΣ ΚΑΙΣΑΡΕΙΑΣ

(ΜΕΡΟΣ Γ')

ΕΚΔΟΣΙΣ ΤΗΣ ΑΠΟΣΤΟΛΙΚΗΣ ΔΙΑΚΟΝΙΑΣ
ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ

ΑΘΗΝΑΙ 1959

ΠΕΡΙΕΧΟΜΕΝΑ

ΕΥΣΕΒΙΟΣ ΚΑΙΣΑΡΕΙΑΣ

Σελ.

ΚΕΙΜΕΝΑ
- ΕΙΣ ΤΑΣ ΕΠΙΓΡΑΦΑΣ ΤΩΝ ΨΑΛΜΩΝ 11
- ΕΙΣ ΤΟΥΣ ΨΑΛΜΟΥΣ 18
- ΕΡΜΗΝΕΙΑ ΕΙΣ ΤΟΥΣ ΨΑΛΜΟΥΣ Α' - ΞΗ' 18

ΠΙΝΑΞ ΤΩΝ ΧΩΡΙΩΝ ΤΗΣ ΑΓΙΑΣ ΓΡΑΦΗΣ 397

ΠΙΝΑΞ ΘΕΜΑΤΩΝ ΟΝΟΜΑΤΩΝ ΠΡΑΓΜΑΤΩΝ 407

ΕΥΣΕΒΙΟΣ ΚΑΙΣΑΡΕΙΑΣ

ΕΥΣΕΒΙΟΥ ΚΑΙΣΑΡΕΙΑΣ

ΕΡΜΗΝΕΙΑ ΕΙΣ ΤΟΥΣ ΨΑΛΜΟΥΣ*

ΕΥΣΕΒΙΟΥ ΕΙΣ ΤΑΣ ΕΠΙΓΡΑΦΑΣ ΤΩΝ ΨΑΛΜΩΝ. ΕΡΜΗΝΕΙΑ ΤΙΝΩΝ ΚΑΤ' ΕΠΙΤΟΜΗΝ.

Ἑκατὸν πεντήκοντα τυγχάνουσιν οἱ ψαλμοί, ἱεροῦ τοῦ ν' τυγχάνοντος ἀριθμοῦ· ἐν μὲν ἡμέραις ποιῶν τὴν Πεντηκοστήν, ἐν δὲ ἐνιαυτοῖς τὸν παρ' Ἑβραίοις καλούμενον Ἰωήλ. Νάβλα δὲ παρ' Ἑβραίοις λέγεται τὸ ψαλτήριον, ὃ δὴ μόνον τῶν μουσικῶν ὀργάνων ὀρθότατον, καὶ μὴ συνεργούμενον εἰς ἦχον ἐκ τῶν κατωτάτω μερῶν, ἀλλ' ἄνωθεν ἔχειν τὸν ὑπηχοῦντα χαλκόν. Ψαλμοὶ μὲν οὖν οἱ διὰ μόνου τοῦ ὀργάνου χωρὶς φωνῆς ἀνακρουόμενοι· ᾠδὴ δὲ οἱ διὰ φωνῆς ἐμμελοῦς· ᾠδὴ δὲ ψαλμοῦ τὸ τῷ ὀργάνῳ σύμφωνον ἐπάγειν φωνήν· ψαλμὸς δὲ ᾠδῆς ἀνάπαλιν, προηγουμένης τῆς τῶν κρουσμάτων φωνῆς. Ἀλληγορίας δὲ νόμῳ, ψαλμὸς μὲν σώματος κίνησις ἐναρμόνιος εἰς ἐργασίαν ἀγαθήν, κἂν μὴ πάνυ τις ἐπακολουθῇ θεωρία· ᾠδὴ δὲ χωρὶς πράξεως ἀληθείας κατάληψις, φωτιζομένης ψυχῆς περὶ Θεοῦ καὶ τῶν λογίων αὐτοῦ. Ὠδὴ δὲ ψαλμοῦ, προαγούσης πράξεως γνώσεως· κατὰ τό· «Ἐπιθυμήσας σοφίας διατήρησον ἐντολάς, καὶ Κύριος χορηγήσει σοι αὐτήν.» Ψαλμὸς δὲ ᾠδῆς πρᾶξις ὑπὸ γνώσεως ὁδηγουμένη, περὶ τοῦ πῶς καὶ πότε πρακτέον· διὸ καὶ πρῶται τῶν ψαλμῶν αἱ ἐπιγραφαί· οὐ γὰρ ἀπὸ θεωρίας ὁ ἅγιος ἄρχεται, ἀλλ' ἅπαν πίστει ταῖς πράξεσιν ἐπιτρέχει. Ἐπὶ δὲ τῷ τέλει πολλαὶ αἱ ᾠδαί· καὶ ὅπου ἀναβαθμοί, οὐδαμοῦ ψαλμός, οὔτε καθ' ἑαυτόν, οὔτε μετ' ἐπιπλοκῆς. Ὠδαὶ δὲ πάντα καθ' ἑαυτάς· ἡ γὰρ ἀνάβασις πρὸς μόνην ὁρᾷ θεωρίαν. Διάψαλμα δὲ παρὰ μὲν Ἀκύλᾳ καὶ τῷ Ἑβραϊκῷ οὐ κεῖται· ἀντὶ δὲ αὐτοῦ τὸ «ἀεί.»

ΥΠΟΘΕΣΙΣ ΕΥΣΕΒΙΟΥ ΤΟΥ ΠΑΜΦΙΛΟΥ.

Τῆς βίβλου τῶν Ψαλμῶν ἥδε ἂν εἴη ἡ διαίρεσις, ὡς τὰ ἀκριβῆ τῶν ἀντιγράφων αὐτό τε τὸ Ἑβραϊκὸν περιέχει. Οὐχ ὡς ἄν τις ὑπολάβοι πάντες εἰσὶ τοῦ Δαυῒδ οἱ ψαλμοί, ἀλλὰ καὶ ἑτέρων προφητῶν ἐν τῷ ψάλλειν προφητευόντων. Διόπερ ἡ πᾶσα γραφὴ παρ' Ἑβραίοις τῶν ψαλμῶν οὐ τοῦ Δαυῒδ ἐπιγάφει· ἀλλ' ἀδιορίστως βίβλος ψαλμῶν ὀνομάζεται. Εἰς πέντε δὲ μέρη τὴν πᾶσαν τῶν Ψαλμῶν βίβλον παῖδες Ἑβραίων διαιροῦσι· πρῶτον εἰς τοὺς ἀπὸ α' μέχρι μ'· δεύτερον

* Ἐκ τῆς Ἑ. Π. τοῦ Migne, τ. 23 καὶ 24, 9-76.

εἰς τοὺς ἀπὸ μα' μέχρις οβ'· τρίτον εἰς τοὺς ἀπὸ ογ' μέχρις πη'· τέταρτον εἰς τοὺς ἀπὸ πθ' μέχρις ρε'· πέμπτον εἰς τοὺς ἀπὸ ρς' μέχρι τέλους. Ἀνεπίγραφοι δέ εἰσι ψαλμοὶ ιθ', ἐπιγεγραμμένοι ρλα'. Τῶν ἐπιγεγραμμένων δέ εἰσιν οὕτως αἱ διαιρέσεις· τοῦ μὲν Δαυῒδ οβ', τῶν υἱῶν Κορὲ ια', τοῦ Ἀσὰφ ιβ', Αἰθὰμ τοῦ Ἰσραηλίτου εἷς, Σολομῶντος β', Μωϋσέως εἷς, ἀνώνυμοι ιζ', τῶν εἰς τὸ «Ἀλληλούϊα» ιε'. Εἰσὶ δὲ ἀνώνυμοι ὅσοι ἐπιγραφὰς μὲν ἔχουσιν, οὐ μὴν δηλοῦσι τίνος εἰσίν.

ΥΠΟΘΕΣΕΙΣ ΤΟΥ ΑΥΤΟΥ ΕΥΣΕΒΙΟΥ ΕΙΣ ΤΟΥΣ ΨΑΛΜΟΥΣ.

α'. Προτροπὴ θεοσεβείας καὶ ἀποτροπὴ τοῦ ἐναντιου.
β'. Προφητεία περὶ Χριστοῦ καὶ κλήσεως ἐθνῶν.
γ'. Προφητεία γενησομένων ἀγαθῶν τῷ Δαυῒδ.
δ'. Προφητεία τῷ Δαυῒδ περὶ ὧν πέπονθεν.
ε'. Ἐκ προσώπου τῆς Ἐκκλησίας προσευχή.
ς'. Διδασκαλία ἐξομολογήσεως.
ζ'. Τῷ Δαυῒδ ἐξομολόγησις καὶ διδασκαλία κλήσεως ἐθνῶν.
η'. Προφητεία κλήσεως ἐθνῶν.
θ' Θάνατος Χριστοῦ καὶ ἀνάστασις, καὶ βασιλείας παράληψις, ἐχθρῶν τε πάντων καθαίρεσις.
ι'. Ἐπινίκιος ὕμνος τοῦ κατὰ Θεὸν ἀγωνιζομένου.
ια'. Κατηγορία πονηρῶν, καὶ προφητεία Χριστοῦ παρουσίας.
ιβ'. Ἐχθρῶν ἐπανάστασις, καὶ προσδοκία Χριστοῦ παρουσίας.
ιγ'. Κατηγορία πονηρῶν, καὶ προφητεία Χριστοῦ παρουσίας.
ιδ'. Τοῦ κατὰ Θεὸν τελείου ἀποκατάστασις.
ιε'. Ἐκλογὴ Ἐκκλησίας, καὶ Χριστοῦ ἀνάστασις.
ις. Τελείου ἀνδρός, ἢ καὶ αὐτοῦ τοῦ Χριστοῦ προσευχὴ ὑπὲρ τῶν δι' αὐτοῦ σωθησομένων.
ιζ'. Εὐχαριστία τοῦ Δαυῒδ καὶ προφητεία Χριστοῦ παρουσίας καὶ ἀναλήψεως.
ιη'. Θεολογία σὺν διδασκαλίᾳ ἠθικῇ.
ιθ'. Εὐχὴ τῶν συμπραττόντων τῷ Δαυῒδ δικαίων.
κ'. Ἔντευξις τῶν συμπραττόντων τῷ Δαυῒδ.
κα'. Προφητεία τῶν Χριστοῦ παθῶν, καὶ ἐθνῶν κλῆσις.
κβ'. Διδασκαλία καὶ νέου λαοῦ εἰσαγωγή.
κγ'. Προφητεία κλήσεως ἐθνῶν, καὶ τελείωσις τῶν σωζομένων.
κδ'. Διδασκαλία ἐξομολογήσεως.
κε'. Ἔντευξις τοῦ κατὰ Θεὸν προκόπτοντος.
κς'. Εὐχαριστία καὶ αἴτησις ἀγαθῶν.
κζ'. Δέησις μετὰ προφητείας.
κη'. Προφητεία αἰνιγματώδης σὺν θεολογίᾳ.

κθ΄. Εὐχαριστία σὺν ἐξομολογήσει.
λ΄. Ἐξομολόγησις σὺν ἱκετηρίᾳ.
λα΄. Προφητεία τῶν διὰ Χριστοῦ σωθησομένων.
λβ΄. Παρακέλευσις ὑμνολογίας σὺν θεολογίᾳ.
λγ΄. Διδασκαλία εὐχαριστίας.
λδ΄. Ἱκετηρία δικαίου, καὶ προφητεία περὶ Χριστοῦ.
λε΄. Ἔλεγχος ἀσεβῶν σὺν θεολογίᾳ.
λς΄. Διδασκαλία θεοσεβοῦς βίου.
λζ΄. Διδασκαλία ἐξομολογήσεως.
λη΄. Ἔντευξις σὺν ἐξομολογήσει.
λθ΄. Εὐχαριστία τοῦ κατὰ Θεὸν σωθέντος καὶ μνήμη Ἐκκλησίας.
μ΄. Προφητεία περὶ Χριστοῦ καὶ περὶ τοῦ προδότου.
μα΄. Ἱκετηρία προφητῶν ἐπὶ τῇ ἀποβολῇ τοῦ Ἰουδαίων ἔθνους.
μβ΄. μγ΄. Ἔτι περὶ τοῦ αὐτοῦ.
μδ΄. Ἐπιφάνεια Χριστοῦ βασιλείας.
με΄. Ἀποστόλων κήρυγμα.
μς. Κλῆσις ἐθνῶν.
μζ΄. Ὕμνος εἰς Θεὸν περὶ τῆς Ἐκκλησίας, καὶ καθαίρεσις διωγμῶν.
μη΄. Θείας κρίσεως διδασκαλία.
μθ΄. Ἀνατροπὴ τοῦ περὶ θυσιῶν Μωϋσέως νόμου, καὶ εἰσαγωγὴ τοῦ τῆς Καινῆς Διαθήκης.
ν΄. Διδασκαλία ἐξομολογήσεως.
να΄. Ἔλεγχος τοῦ πονηροῦ τρόπου, καὶ τέλος τοῦ αὐτοῦ.
νβ΄. Σωτήριος ἐπιφάνεια καὶ ἀθεότητος ἀπαλλαγή.
νγ΄. Προσευχὴ τοῦ κατὰ Θεὸν ἀγωνιζομένου.
νδ΄. Δήλωσις τῶν κατὰ Χριστοῦ τετολμημένων.
νε΄. Δικαίου εὐχαριστία ῥυσθέντος ἐξ ἐχθρῶν.
ν΄ς. Εὐχαριστία τοῦ Δαυῒδ καὶ προφητεία κλήσεως ἐθνῶν.
νζ΄. Διδασκαλία τῆς τοῦ Θεοῦ δικαιοκρισίας.
νη΄. Κλῆσις ἐθνῶν καὶ Ἰουδαίων ἀποβολή.
νθ΄. Ἀποβολὴ τοῦ Ἰουδαϊσμοῦ, καὶ κλῆσις ἐθνῶν.
ξ΄. Δέησις σὺν εὐχαριστίᾳ.
ξα΄. Διδασκαλία θεραπευτική.
ξβ΄. Εὐχαριστία τοῦ κατὰ Θεὸν τελείου.
ξγ΄. Διδασκαλία τοῦ θεοσεβοῦς ἀθλητοῦ.
ξδ΄. Κλῆσις ἐθνῶν.
ξε΄. Κλῆσις ἐθνῶν, καὶ ἀποστόλων μαρτυρία.
ξς΄. Κλῆσις ἐθνῶν, καὶ ἀποστόλων κήρυγμα.
ξζ΄. Χριστοῦ ἐνανθρώπησις, καὶ ἐθνῶν κλῆσις.
ξη΄. Πάθη Χριστοῦ, καὶ Ἰουδαίων ἀποβολή.
ξθ΄. Ἱκετηρία δικαίου καὶ αὐτοῦ τοῦ Χριστοῦ.
ο΄. Χριστοῦ πάθη καὶ ἀνάστασις.

οα΄. Προφητεία Χριστοῦ βασιλείας καὶ κλήσεως ἐθνῶν.

οβ΄. Ἐξομολόγησις τῆς ἀνθρωπίνης ἀσθενείας ἐπὶ τῇ τῶν ἀσεβῶν εὐπραγίᾳ καὶ τῇ τοῦ Θεοῦ μακροθυμίᾳ.

ογ΄. Προαναφώνησις τῆς ἐσχάτης Ἰουδαίων πολιορκίας, τῆς ἐπὶ τοῦ Οὐεσπασιανοῦ καὶ Τίτου γενομένης.

οδ΄. Χριστοῦ, θεολογία, καὶ ὑπόμνησις τοῦ θείου δικαστηρίου.

οε΄. Ἐκδίκησις κατὰ ἀσεβῶν τῆς τοῦ Θεοῦ κρίσεως.

ος΄. Περὶ τῆς τοῦ Θεοῦ μακροθυμίας καὶ τῶν θαυμαστῶν ἔργων αὐτοῦ.

οζ΄. Χριστοῦ διαστολὴ πρὸς τὴν Ἐκκλησίαν, περὶ τῆς τοῦ προτέρου λαοῦ παρανομίας.

οη΄. Προφητεία τῶν ὑπὸ τοῦ Ἀντιόχου τῇ Ἰουδαίᾳ συμβάντων αὐτοῖς ἡ ἱστορία παρὰ τοῖς Μακκαβαίοις.

οθ΄. Προφητεία τῆς ὑπὸ τῶν Ἀσσυρίων πολιορκίας, καὶ δέησις περὶ τῆς Χριστοῦ ἐπιφανείας.

π΄. Κλῆσις ἐθνῶν, καὶ διδασκαλία τῶν συμβεβηκότων τῷ προτέρῳ λαῷ.

πα΄. Ἔλεγχος τῶν ἀρχόντων τοῦ Ἰουδαίων ἔθνους.

πβ΄. Δέησις περὶ τοῦ πεπονθότος σκυθρωπὰ λαοῦ, καὶ προφητεία περὶ τοῦ τέλους τῶν ἐχθρῶν τοῦ Χριστοῦ.

πγ΄. Χριστοῦ ἐνανθρώπησις καὶ περὶ τῶν Ἐκκλησιῶν.

πδ΄. Προφητεία εἰς τὸν Χριστὸν καὶ τοὺς δι' αὐτοῦ λελυτρωμένους.

πε΄. Προσευχὴ Δαυῒδ καὶ προφητεία κλήσεως ἐθνῶν.

πς΄. Χριστοῦ ἐνανθρώπησις.

πζ΄. Χριστοῦ θάνατον προφητεύει.

πη΄. Χριστοῦ βασιλεία ἐκ σπέρματος Δαυῒδ.

πθ΄. Ἰουδαίων ἀποβολή.

ϟ΄ Χριστοῦ νίκη καὶ παντὸς τοῦ κατ' αὐτὸν τελειουμένου.

ϟα΄ Περὶ τῆς κατὰ Θεὸν ἀναπαύσεως.

ϟβ΄. Ὕμνος βασιλείας Χριστοῦ ἐπὶ τῆς πρώτης αὐτοῦ παρουσίας.

ϟγ΄. Περὶ τῶν κατὰ τῆς Ἐκκλησίας δογμάτων.

ϟδ΄. Κλῆσις Ἰουδαίων καὶ ἀπόγνωσις αὐτῶν.

ϟε΄. Κλῆσις ἐθνῶν καὶ Χριστοῦ παρουσία.

ϟς΄. Ὕμνος βασιλείας Χριστοῦ ἐπὶ τῆς πρώτης αὐτοῦ παρουσίας.

ϟζ΄. Κλῆσις ἐθνῶν καὶ Χριστοῦ παρουσία.

ϟη΄. Ὕμνος βασιλείας Χριστοῦ.

ϟθ΄. Κλῆσις ἐθνῶν.

ρ΄. Ὕμνος τοῦ κατὰ Θεὸν τελείου.

ρα΄. Ὀδυρμὸς ἐπι τῷ προτέρῳ, καὶ προφητεία τοῦ λαοῦ, καὶ κλῆσις ἐθνῶν.

ρβ΄. Διδασκαλία εὐχαριστίας.

ργ΄. Διδασκαλία ἐξομολογήσεως.

ρδ'. Διδασκαλία τοῖς ἔθνεσι τῶν εἰς τὸν πρότερον λαὸν τοῦ Θεοῦ εὐεργεσιῶν.
ρε'. Διδασκαλία δυσσεβείας τοῦ Ἰουδαίων ἔθνους.
ρς'. Προφητεία κλήσεως ἐθνῶν, καὶ τῆς εἰς ἀνθρώπους τοῦ Θεοῦ Λόγου ἐπιλάμψεως.
ρζ'. Κλῆσις ἐθνῶν.
ρη'. Πάθη Χριστοῦ.
ρθ'. Νίκη Χριστοῦ.
ρι'. Εὐχαριστία Χριστοῦ.
ρια'. Διδασκαλία Χριστοῦ.
ριβ'. Νέου λαοῦ κλῆσις.
ριγ'. Νέου λαοῦ διδασκαλία.
ριδ'. Νέου λαοῦ προκοπή.
ριε'. Νέου λαοῦ τελείωσις.
ρις'. Κλῆσις ἐθνῶν.
ριζ'. Νίκη τῶν ἐν Χριστῷ ἀγωνιζομένων καὶ προφητεία περὶ Χριστοῦ.
ριη'. Στοιχείωσις τῆς κατὰ Θεὸν ἀναγωγῆς.
ριθ'. Παροικίας.
ρκ'. Ἐπανόδου Βαβυλῶνος καὶ τῆς διασπορᾶς.
ρκα'. Ἀγαθῶν εὐαγγέλια.
ρκβ'. Εὐχῆς.
ρκγ'. Εὐχαριστίας.
ρκδ'. Ἀποκαταστάσεως.
ρκε'. Προσδοκία μελλόντων.
ρκς'. Οἰκοδομὴ Ἐκκλησίας.
ρκζ'. Κλῆσις ἐθνῶν.
ρκη'. Νίκη Χριστοῦ στρατιᾶς.
ρκθ'. Εὐχὴ μαρτύρων.
ρλ'. Περὶ ταπεινοφροσύνης.
ρλα'. Προσευχὴ τοῦ Δαυῒδ καὶ ἐπιφάνεια.
ρλβ'. Λαοῦ τελείου.
ρλγ'. Λαοῦ ἐρχομένου.
ρλδ'. Διδασκαλία εἰσακτική.
ρλε'. Εὐχαριστία λελυτρωμένου.
ρλς'. Ἁγίων φωναὶ τῶν ἐν αἰχμαλωσίᾳ.
ρλζ'. Εὐχαριστία μετὰ προφητείας.
ρλη'. Ἔντευξις δικαίου σὺν θεολογίᾳ.
ρλθ'. Φωναὶ τοῦ κατὰ Θεὸν ἀγωνιζομένου.
ρμ'. Προσευχὴ τοῦ κατὰ Θεὸν τελείου.
ρμα'. Φωναὶ τοῦ κατὰ Θεὸν πολεμουμένου.
ρμβ'. Προσευχὴ ἐξομολογουμένου.
ρμγ'. Εὐχαριστία νενικηκότος.

ρμδ'. Ὕμνος σὺν θεολογίᾳ.
ρμε'. Ὕμνος σὺν θεολογίᾳ.
ρμϛ'. Ὕμνος σὺν θεολογίᾳ.
ρμζ'. Ὕμνος σὺν θεολογίᾳ.
ρμη'. Ὕμνος σὺν θεολογίᾳ.
ρμθ'. Ὕμνος σὺν θεολογίᾳ.
ρν'. Παρακέλευσις ὕμνου καθολική.

ΕΥΣΕΒΙΟΥ ΕΙΣ ΤΟΥΣ ΨΑΛΜΟΥΣ

Ὁ μὲν ψαλμὸς ἔοικεν ἀπὸ τοῦ ψαλτηρίου παρωνύμως ἐπικεκλῆσθαι· λέγεται δὲ ψαλτήριον ὄργανόν τι μουσικὸν παρὰ τὴν κιθάραν διαλλάττον τῷ σχήματι, ἐν ᾧ τὴν ἀνακρουομένην ᾠδὴν ψαλμὸν προσαγορεύεσθαι. Ὠδὴν δὲ εἶναι τὴν διὰ μέλους ἀναφωνουμένην ἄνευ ὀργάνου ῥῆσιν μουσικήν. Ψαλμὸν δὲ ᾠδῆς λέγεσθαι, ἐπειδὰν προηγησαμένης τὸ αὐτὸ τῆς ᾠδῆς μέλος διὰ τοῦ ψαλτηρίου κρουσθῇ· ᾠδὴν δὲ ψαλμοῦ τὸ ἀνάπαλιν. Ὡς ἐν ταῖς ἱστορίαις τῶν Βασιλειῶν καὶ τῶν Παραλειπομένων Δαυῒδ ὁ βασιλεὺς μετὰ τὴν τοῦ Σαοὺλ τελευτήν, ἀναγαγὼν τὴν κιβωτὸν τῆς Διαθήκης Κυρίου, οὖσαν ἐν οἴκῳ Ἀβδοδὼ μ ἔτεσιν εἴκοσιν ἐξότου ἐκ τῶν Ἀζωτίων μετενήνεκτο, καὶ καταστήσας αὐτὴν εἰς Ἱερουσαλήμ, ἐπιλέγεται ἐκ τῆς φυλῆς Λευῒ κλήρῳ ψαλμῳδοὺς ἄρχοντας ᾠδῶν τέσσαρας, τοῦ ψάλλειν καὶ ᾄδειν ἐνώπιον τῆς κιβωτοῦ τῷ Κυρίῳ, καὶ ἀναφέρειν φωνὴν εὐφροσύνης εἰς ἐξομολόγησιν καὶ ἄνεσιν ἐν ὀργάνοις ἡρμοσμένοις, καὶ ᾠδαῖς, καὶ κινύραις, καὶ νάβλαις, καὶ τυμπάνοις, καὶ κυμβάλοις, καὶ ψαλτηρίῳ, καὶ κερατίνῃ, τὸν Ἀσάφ, Αἰμάν, Αἰθάν, Ἰδιθούμ· οἷς ἀριθμὸς ᾠδῶν ἐπετέτακτο, ᾀδόντων διακοσίων ὀγδοήκοντα ὀκτώ, ἑκάστῳ ἑβδομήκοντα δύο, ἐκ τοῦ Χὰμ λβ', Σὴμ κε', τοῦ Ἰάφεθ ιε'. Οἵτινες, ἑστῶτες ἔμπροσθεν τῆς κιβωτοῦ Διαθήκης Κυρίου, ἔψαλλον καὶ ᾖδον τῷ Κυρίῳ· ὃς μὲν ἐν κινύρᾳ, ὃς δὲ κυμβάλοις, ὃς δὲ ἐν κιθάρᾳ, ὃς δὲ ἐν ψαλτηρίῳ· ὧν μέσος ἵστατο ὁ μακάριος Δαυΐδ, αὐτὸς ἄρχων ἀρχόντων ᾠδῶν, κρατῶν ἐπὶ χεῖρας τὸ ψαλτήριον. Ἕκαστος δὲ ᾖδεν καὶ ἔψαλλεν ὑμνῶν τὸν Θεὸν ἁγίῳ Πνεύματι τεταγμένως. Ἡνίκα τοίνυν ἐσκίρτα τὸ Πνεῦμα ἐπί τινα τῶν ἀρχόντων τῶν ψαλτῳδῶν, οἱ λοιποὶ ἡσυχίαν ἦγον παρεστῶτες καὶ ὑπακούοντες συμφώνως τῷ ψάλλοντι, «Ἀλληλούϊα».

Ἐν τῇ Ἑβραϊκῇ βίβλῳ τῶν ψαλμῶν ἄνευ τῆς τοῦ ἀριθμοῦ προσθήκης ἀνεγράφησαν οἱ πάντες καὶ διαφόρως. Οἱ μὲν εἰσι συνημμένοι, οἱ δὲ διῃρημένοι. Ἀμέλει ὁ μὲν πρῶτος καὶ δεύτερος συνημμένοι εἰσὶ κατὰ τὸ Ἑβραϊκόν· καὶ πάλιν ὁ ἔνατος, συνημμένος παρ' ἡμῖν, ἐν τῷ Ἑβραϊκῷ διῄρηται εἰς δύο. Παρατηρητέον δέ, ὅτι μὴ κατὰ ἀκολουθίαν τῶν τῆς ἱστορίας χρόνων ἡ τῶν ψαλμῶν σύγκειται τάξις·

ἐνήλλακται δὲ παρὰ πολύ, καθὼς ἡ βίβλος τῶν Βασιλειῶν, καὶ αὕτη ἡ τάξις δηλοῖ. Πολλῆς τοίνυν κατακρατησάσης εἰδωλολατρείας τοῦ Ἰουδαίων ἔθνους, λήθην αὐτούς φασι πεποιῆσθαι τῶν πατρίων γραφῶν, ὡς μηδὲ τοῦ Μωϋσέως νόμου βίβλον ἐπιφέρεσθαι, μηδὲ μνήμην τῆς τῶν πατέρων εὐσεβείας ἀποσῴζειν. Οὕτω γοῦν τοὺς προφήτας ἀνῄρουν διελέγχοντας αὐτῶν τὰς δυσσεβείας. Οὐδὲ νῦν θαυμαστὸν ἐν τοιαύτῃ καταστάσει καιρῶν καὶ τῶν ἐμφερομένων τινὰς τῇ βίβλῳ τῶν ψαλμῶν διαπεπτωκέναι, λήθῃ τε μακροῖς παραδεδόσθαι χρόνοις. Ὕστερον δὲ μετὰ ταῦτα, εἴτε Ἔσδραν, εἴτε τινὰς ἑτέρους προφήτας, περὶ τὴν συναγωγὴν αὐτῶν ἐσπουδακέναι, μεθ' ὧν καὶ τὴν βίβλον τῶν ψαλμῶν ἡγιοχέναι (sic), οὐκ ἀθρόως εὑρόντα τοὺς πάντας, ἀλλὰ κατὰ διαφόρους χρόνους. Καὶ τάττειν δὲ ἐν πρώτοις τοὺς πρώτους εὑρισκομένους· μηδὲ τοὺς τοῦ Δαυῒδ ἐφεξῆς κεῖσθαι πάντας· ἔν τε τῷ μεταξὺ καὶ τῶν υἱῶν Κορέ, καὶ τοῦ Ἀσάφ, καὶ Σολομῶντος, καὶ Μωϋσέως, Αἱμάν τε, καὶ Αἰθάν, καὶ Ἰδιθούμ, καὶ πάλιν τοῦ Δαυῒδ εὑρίσκεσθαι ἀναμὶξ ἐν τῇ βίβλῳ κατατεταγμένους, οὐ καθ' οὓς ἐλέχθησαν χρόνους, ἀλλὰ καθ' οὓς εὕρηνται. Ἔνθεν τε συμβῆναι τοὺς τοῖς χρόνοις ὑστέρους πρώτους εὑρεθέντας, ἀναληφθῆναι προτέρους· τοὺς δὲ προτέρους μετὰ ταῦτα εὑρεθέντας ἐν δευτέρᾳ ταγῆναι χώρᾳ· τὸ δ' αὐτὸ εὕροις γεγενημένον ἐν τοῖς προφήταις.

Πάντα ὥσπερ ἐν μεγάλῳ τινὶ καὶ κοινῷ ταμείῳ τῇ βίβλῳ τῶν ψαλμῶν τεθησαύρισται. Κἀκεῖνο δὲ τηρήσεις, ὡς ἡ βίβλος τῶν ψαλμῶν καινὴν διδασκαλίαν περιέχει μετὰ τὴν Μωϋσέως νομοθεσίαν, καὶ ὅτι δευτέρα μετὰ τὴν Μωϋσέως νομοθεσίαν γραφὴν διδασκαλικὴ βίβλος αὕτη τυγχάνει. Μετὰ γοῦν τὴν Μωϋσέως καὶ Ἰησοῦ τελευτὴν καὶ μετὰ τοὺς κριτὰς Δαυῒδ γενόμενος, ὡσανεὶ τοῦ Σωτῆρος αὐτὸς χρηματίσαι πατὴρ καταξιωθείς, καινὸν τρόπον τὸν τῆς ψαλμῳδίας πρῶτος Ἑβραίοις παρέδωκε· δι' ἧς ἀναιρεῖ μὲν τὰ παρὰ Μωϋσῇ περὶ θυσιῶν νενομοθετημένα, καινὸν δὲ τὸν δι' ὕμνων καὶ ἀλαλαγμῶν τρόπον τῆς τοῦ Θεοῦ λατρείας εἰσάγει· καὶ ἄλλα δὲ πλεῖστα τὸν Μωϋσέως νόμον ἐπαναβεβηκότα δι' ὅλης αὐτοῦ τῆς πραγματείας διδάσκει.

Εὐσεβίου Καισαρείας περὶ τοῦ διαψάλματος.

Ἔγραψαν τὸ διάψαλμα οἱ ἑρμηνεύοντες πέντε ἄρχοντες, οἳ ἐξελέγοντο ὑπὸ Δαυῒδ τοῦ βασιλέως ἐκ τῆς φυλῆς Λευΐ· ὧν τὰ ὀνόματά εἰσι ταῦτα, Ἀσάφ, οἱ υἱοὶ Κορέ, Αἱμάν, Αἰθάμ, Ἰδιθούμ· τούτοις ἀριθμὸς ᾠδῶν παρηκολούθει, ἑκάστῳ ἑβδομήκοντα δύο. Οὗτοι ἵσταντο ἐνώπιον τοῦ ἁγιάσματος Κυρίου, αἰνοῦντες τὸν πάντων δεσπότην, ὃς μὲν κύμβαλα, ὃς δὲ ψαλτήριον, ὃς δὲ κινύραν, ὃς δὲ κερατίνην, ὃς δὲ κιθάραν ἔχων, ὧν μέσος ἵστατο ὁ Δαυΐδ. Καὶ οὕτως ἤρχοντο τῶν ᾠδῶν κρατοῦντες ἐπὶ χεῖρα τὰ τοιαῦτα ὄργανα· καὶ ἕκαστος Πνεύματι ἁγίῳ κινούμενος ὕμνει τὸν Θεόν, καὶ πάντες ἐπεφώνουν τῷ ψάλλοντι

τὸ «Ἀλληλούϊα». Ὁπηνίκα δὲ ἡ τοῦ Πνεύματος τοῦ ἁγίου ἀπέστη χάρις πρὸς βραχύ, τῶν ὀργάνων λοιπὸν μὴ κινουμένων, τὸ τηνικαῦτα εἰκὸς καὶ τὸ διάψαλμα ἔγγραφον.

ΨΑΛΜΟΣ Α΄.

Στίχ. α΄. «Μακάριος ὁ ἀνὴρ ὃς οὐκ ἐπορεύθη ἐν βουλῇ ἀσεβῶν.»

Ἐπεὶ φυσικῶς ὀρεγόμεθα πάντες τοῦ μακάριοι εἶναι, τέλος ἀγαθοῦ τὸ μακάριον ὁριζόμενοι, πεπλανημένως γε μὴν πολλοὶ τοῦτο μεταδιώκειν ἐν σωμάτων ἡδοναῖς ἡγοῦνται, πλούτους θαυμάζοντες καὶ ἀξιώματα, καὶ τὰς ἐν τῷ παρόντι βίῳ τρυφάς· εἰκότως ὁ λόγος ἐν τούτοις ὅθεν ἐχρῆν τὴν καταρχὴν ἐποιήσατο τῆς κατὰ Θεὸν ὑμνῳδίας, τὸν ἀληθῶς μακάριον καὶ τέλους ἀγαθοῦ τοῦ παρὰ Θεῷ ἠξιωμένον ὑπογράφων. Καὶ ἐνθάδε μὲν διὰ τὸ σπάνιον τῶν πάλαι πρότερον κατορθούντων ἕνα τινὰ μακαρίζει· ὁ δὲ Σωτὴρ ἡμῶν πλείονας ποιῶν μακαρίους, πληθυντικῶς τοὺς μακαρισμοὺς προσφέρεται. Πάντων δὲ πρῶτος αὐτὸς ἂν εἴη ὁ μακαριζόμενος· διὸ καὶ ἐπ' αὐτὸν ἀνοίσει τις τὸν παρόντα ψαλμόν, ἅτε γενόμενον ἄνδρα τῆς νύμφης αὐτοῦ Ἐκκλησίας· τοῦτο δὲ ἔοικεν ἡ Ἑβραϊκὴ φωνὴ παριστᾶν, καθ' ἣν «μακάριος ὁ ἀνὴρ» μετὰ τῆς τοῦ ἄρθρου προσθήκης εἴρηται.

Στίχ. α΄. «Καὶ ἐν ὁδῷ ἁμαρτωλῶν οὐκ ἔστη, καὶ ἐπὶ καθέδραν λοιμῶν οὐκ ἐκάθισεν.»

Πρῶτοί εἰσιν οἱ τὴν ψευδώνυμον ἔχοντες γνῶσιν, μηδὲν ἔχοντες ἑστηκός, ἀλλ' ἀνεξετάστοις κινούμενοι λογισμοῖς ἐν οἷς ἂν βουληθῶσιν, οἱ ἀσεβεῖς. Δεύτεροι πάντες οἱ μετὰ γνῶσιν ἀληθείας ἐξαμαρτάνοντες. Οἱ δὲ λοιμοὶ τρίτοι, μὴ μόνον νοσοῦντες, ἀλλὰ καὶ φθοροποιοῦ διδασκαλίας μεταδιδόντες τοῖς ἄλλοις, ἢ κατὰ γνῶσιν ἢ κατὰ πρᾶξιν, ἢ κατ' ἀμφότερα· οἳ καὶ ἐνίδρυνται τῷ κακῷ, τῶν δευτέρων ἑστηκότων ἐν ἁμαρτίαις, τῶν δὲ πρώτων ὁδευόντων ἐν πλάνῃ. Ὁ δὲ πάντων τούτων ἀπηλλαγμένος μακάριος.

Στίχ. β΄. «Ἀλλ' ἢ ἐν τῷ νόμῳ Κυρίου τὸ θέλημα αὐτοῦ, καὶ ἐν τῷ νόμῳ αὐτοῦ μελετήσει ἡμέρας καὶ νυκτός.»

Ἐπειδὴ πολλή τίς ἐστι διαφορὰ τῶν φόβῳ τιμωριῶν εὖ πράττειν κατηναγκασμένων καὶ τῶν προαιρέσει αὐτὸ τὸ καλὸν αἱρουμένων, διὰ τοῦτό φησι· «Ἐν τῷ νόμῳ Κυρίου θέλημα αὐτοῦ.» Νόμον δέ φησιν οὐ πάντως τὸν σκιώδη καὶ τυπικὸν νόμον, πολὺ δὲ πρότερον τὸν ἐν αὐτῷ λεληθότα πνευματικὸν λόγον. Εἴη δ' ἂν νόμος Κυρίου καὶ ὁ κατὰ φύσιν πᾶσιν ἀνθρώποις ἐνεσπαρμένος, δι' οὗ κατορθῶσαι λέγονται οἱ πρὸ τοῦ διὰ Μωϋσέως νόμου ἅγιοι· περὶ ὧν φησιν ὁ Ἀπόστολος· «Ὅταν γὰρ ἔθνη τὰ μὴ νόμον ἔχοντα», τὸν γραπτὸν δηλονότι, «φύσει τὰ τοῦ νόμου ποιῇ, οὗτοι, νόμον μὴ ἔχοντες, ἑαυτοῖς εἰσι νόμος.[1]» Ἢ νόμος Κυρίου εἴη ἂν ὁ πρὸς αὐτοῦ τοῦ Κυρίου καὶ

1. Ῥωμ. 2, 14.

Σωτῆρος ἡμῶν πᾶσι τοῖς ἔθνεσι κατηγγελμένος εὐαγγελικὸς λόγος.

Στίχ. γ΄. «Καὶ ἔσται ὡς τὸ ξύλον τὸ πεφυτευμένον παρὰ τὰς διεξόδους τῶν ὑδάτων, ὃ τὸν καρπὸν αὐτοῦ δώσει ἐν καιρῷ αὐτοῦ.»

Ὁ διὰ πάσης τῆς ἑαυτοῦ ζωῆς καὶ ἐν παντὶ καιρῷ νυκτός τε καὶ ἡμέρας τῷ θείῳ σχολάζων νόμῳ, καὶ τοῖς ἐξ αὐτοῦ λογικοῖς νάμασιν ἀρδόμενος, σφόδρα οἰκείως φυτῷ παρ' ὕδασιν ἐρριζωμένῳ παραβέβληται· διὸ καὶ μακάριος ὡς ἀληθῶς οὗτος, ἅτε μάλιστα ποτιζόμενος τοῖς θείοις μαθήμασιν, ὥριμον ἑαυτοῦ τὸν καρπὸν ἀποδίδωσιν. Εἶτ' ἐπειδὴ ξύλον ἐστὶ ζωῆς ὁ τοῦ Θεοῦ Υἱὸς κατὰ τὸν Σολομῶντα φήσαντα περὶ τῆς Σοφίας· «Ξύλον ἐστὶ ζωῆς πᾶσι τοῖς ἀντεχομένοις αὐτῆς καὶ τοῖς ἐπερειδομένοις ἐπ' αὐτὴν ὡς ἐπὶ Κύριον ἀσφαλής·[1]» εἰκότως ὁ μακαριζόμενος τῷ τοῦ Θεοῦ Υἱῷ ἀφωμοίωται τῷ παρὰ τὰς διεξόδους ὄντι τῶν ὑδάτων μαρτυρούμενος καὶ κηρυττόμενος ὑπὸ τῶν τῆς θείας Γραφῆς διδασκάλων καὶ προφητῶν· οἵτινες καὶ ἀφέσεις ὑδάτων παρὰ τῇ θεοπνεύστῳ λέγονται Γραφῇ. Τούτῳ οὖν ἀφωμοίωται ὁ μακαριζόμενος, ἀρδόμενος διεξόδοις τῶν ἀπὸ τῆς θείας Γραφῆς πνευματικῶν ναμάτων, καρπόν τε ἀγαθὸν προφέρων.

Στίχ. γ΄ «Καὶ τὸ φύλλον αὐτοῦ οὐκ ἀπορρυήσεται, καὶ πάντα ὅσα ἂν ποιῇ κατευοδωθήσεται.»

Καὶ τὰ φύλλα δὲ αὐτοῦ, ὥς ἄλλος φησίν, ἕτερα ὄντα παρὰ τὸν τέλειον καρπόν, τὰ κατὰ τὸν θνητὸν δηλαδὴ βίον πράγματα, τά τε κατὰ τὴν ἀνθρωπίνην ζωήν, καθ' ἣν καὶ ὁ τέλειος καρπὸς σκέπτεταί τε καὶ φυλάττεται καὶ οὐκ ἀπορρεῖ, μέχρι καὶ τούτων ἀκριβῶς βιοῦν παραφυλαττομένου· διὸ καὶ ἐν πᾶσιν οἷς ἂν ποιῇ ὑπὸ τοῦ Θεοῦ κατευοδωθήσεται. Καὶ ἄλλως ὁ μακάριος διὰ παντὸς ἀρδόμενος ὕδασι λογικοῖς τῆς ἐνθέου διδασκαλίας, καὶ τῆς προσηκούσης γεωργίας κατὰ τὸν παρόντα βίον τυγχάνων ἐν καιρῷ τῷ ἑαυτοῦ δώσει τὸν ἑαυτοῦ καρπόν. Καιρὸς δὲ αὐτοῦ ὁ μέλλων ἐστὶν αἰών· ἐπειδὴ τοῦ παρόντος οὐκ ἔστιν οἰκεῖος, ἀλλ' ἀλλότριος· διὸ ἐν ἐκείνῳ τῷ ἑαυτοῦ καιρῷ τῆς ἐνταῦθα γεωργίας ἀποδώσει τῷ Θεῷ τοὺς καρπούς. Καὶ καθ' ἕτερον δὲ τρόπον, ὁ μακαριζόμενος, μεταφυτευθεὶς ἐκ τοῦ θνητοῦ βίου, ἐπαγγελίαν ἕξει ἐν τῷ παραδείσῳ τοῦ Θεοῦ ἔσεσθαι, ὡς τὸ ξύλον τὸ πεφυτευμένον παρὰ τὰς διεξόδους τῶν ὑδάτων.

Στίχ. δ΄. «Οὐχ οὕτως οἱ ἀσεβεῖς, οὐχ οὕτως, ἀλλ' ἢ ὡσεὶ χοῦς, ὃν ἐκρίπτει ὁ ἄνεμος ἀπὸ προσώπου τῆς γῆς.»

Ὁ μὲν μακάριος τοιοῦτος οἷον ὁ λόγος διέγραψεν· σπάνιος δὲ οὗτος καὶ ἐν ὀλίγοις εὑρισκόμενος. Πολλοὶ δὲ οἱ ἀσεβεῖς, οἵτινες ὡς μηδὲν ἔχοντες τῷ μακαρίῳ διαβέβληνται. Καρπὸν γὰρ πρόσκαιρον καὶ σκεδαστόν, καὶ ἀπολλύμενον κτησάμενοι, γεγόνασιν ὡς «ὁ χοῦς ὃν ἐκρίπτει ὁ ἄνεμος ἀπὸ προσώπου τῆς γῆς.»

---

1. Παρμ. 3, 18.

Στίχ. ε΄. «Διὰ τοῦτο οὐκ ἀναστήσονται ἀσεβεῖς ἐν κρίσει, οὐδὲ ἁμαρτωλοὶ ἐν βουλῇ δικαίων.»

Κατὰ κοινοῦ τό, «ἐν βουλῇ δικαίων» ἀκούσεις· ὡς εἶναι τὴν διάνοιαν τοιαύτην· Ἐπεὶ μηδὲν γόνιμον μηδὲ ζωτικόν, ἀλλ' οὐδὲ καρπὸν Θεοῦ ἄξιον τοῖς δικαίοις παραπλησίως οἱ ἀσεβεῖς προηνέγκαντο, διὰ τοῦτο ἐν τῷ τῆς κρίσεως καιρῷ, «οὔτε οἱ ἁμαρτωλοὶ ἐν βουλῇ δικαίων» ἀναστήσονται. Ἀντὶ δὲ βουλῆς ὁ μὲν Ἀκύλας καὶ ὁ Θεοδοτίων «συναγωγὴν» ἡρμηνεύκασι «συνέλευσιν» δὲ ὁ Σύμμαχος. Βουλὴν τοίνυν ἡγητέον ἐνταῦθα εἰρῆσθαι τὴν σύνοδον τῶν ἁγίων, ὡς καὶ ἐν ἀρχῇ εἴρηται. Κατὰ δευτέραν διάνοιαν τὴν σύνοδον τῶν ἀσεβῶν δηλοῦσθαι ἐκ τοῦ «ἐν βουλῇ ἀσεβῶν». Πλὴν ἀναστήσονται ἐπὶ κολάσει καὶ τιμωρίᾳ· «Πᾶν γὰρ τὸ ποίημα ἄξει ὁ Θεὸς εἰς κρίσιν ἐν παντὶ παρεωραμένῳ, ἐάν τε ἀγαθὸν ᾖ, ἐάν τε πονηρόν.[1]» Σημείωσαι δέ, ὅτι πρῶτος Δαυῒδ καὶ ἀνάστασιν καὶ κρίσιν μετὰ τὴν ἀνάστασιν ἐσομένην, καὶ ἐπαγγελίαν ζωῆς μελλούσης σαφῶς ἐδίδαξε, Μωϋσέως μηδὲν τοιοῦτον παραδεδωκότος.

Στίχ. ς΄. «Ὅτι γινώσκει Κύριος ὁδὸν δικαίων, καὶ ὁδὸς ἀσεβῶν ἀπολεῖται.»

Σημείωσαι καθολικῶς, ὅτι καλὸν μὲν γινώσκεται ὑπὸ Κυρίου, φαῦλον δὲ οὐδὲν οὐδέποτε. Καλὸν γὰρ ὁδὸς δικαίων, καὶ οὐκ εἶπε· Γινώσκει Κύριος ὁδὸν ἀσεβῶν, ἤτοι τῶν ἀπολλυμένων· ἀλλά· «Καὶ ἔγνω Κύριος τοὺς ὄντας αὐτοῦ.[2]» Ὁδὸς δὲ δικαίων, ὁ εἰπὼν «Ἐγώ εἰμι ἡ ὁδός·[3]» καὶ τό· «Ἴδετε ποία ἐστὶν ἡ ὁδὸς ἡ ἀγαθή.[4]» Ἐπὶ τούτων ἀναφέρεται.

ΨΑΛΜΟΣ ΤΩ ΔΑΥΙΔ Β΄.

Ἐξήγησις ψαλμοῦ β΄.

Στίχ. α΄. «Ἵνα τί ἐφρύαξαν ἔθνη, καὶ λαοὶ ἐμελέτησαν κενά;»

Προφητείαν ἐντίθησι Χριστοῦ παρουσίας προσαγορευτικήν· καὶ ὡς ὑπὸ Ἰουδαίων μὲν ἐπιβουλευθήσεται, κρατήσει δὲ τῶν ἐθνῶν ἁπάντων, καὶ ὡς δι' αὐτοῦ πάντες μακάριοι ἔσονται οἱ πεποιθότες ἐπ' αὐτῷ. Ὁ μὲν οὖν πρῶτος ψαλμὸς ἕνα τινὰ σπανίως σῳζόμενον ἐμακάριζεν· ὁ δὲ παρὼν ὁμοῦ πλήθη καλεῖ ἐπὶ τὸν μακαρισμόν· ἐπεὶ καὶ κλῆσιν τῶν ἐθνῶν ἁπάντων περιέχει, καὶ τὰς βασιλείας τῆς γῆς ἐπὶ τὴν σωτηρίαν καλεῖ. Ταῦτα δὲ πάντα διὰ τοῦ Χριστοῦ προξενηθήσεσθαι ἀνθρώποις θεσπίζει σφόδρα ἀκολούθως. Ἔδει γὰρ ἡμᾶς προμεμαθηκότας περὶ τῶν δύο ὁδῶν, ἑξῆς καὶ τὰ περὶ τοῦ Σωτῆρος παιδευθῆναι· δι' οὗ πάντες ἄνθρωποι τὴν μὲν τῶν ἀσεβῶν ὁδὸν ἐξέφυγον, ἔτυχον δὲ τῆς ὁδοῦ τῆς σωτηρίου διὰ τῆς εἰς αὐτὸν πίστεως· ὃ δὴ παρίστησιν φάσκων ὁ λόγος· «Μακάριοι πάντες οἱ πεποιθότες εἰς αὐτόν.»

---

1. Ἐκκλησ. 12, 14. 2. Β' Τιμ. 2, 13. 3. Ἰω. 14, 6. 4. Ἱερ. 6, 16.

Στίχ. β΄. «Παρέστησαν οἱ βασιλεῖς τῆς γῆς, καὶ οἱ ἄρχοντες συνήχθησαν ἐπὶ τὸ αὐτὸ κατὰ τοῦ Κυρίου καὶ κατὰ τοῦ Χριστοῦ αὐτοῦ.»

Σωτὴρ ἀνθρώποις ἐπιδεδήμηκεν ὁ Χριστὸς τοῦ Θεοῦ· Σωτὴρ καὶ φωστὴρ τῶν ἐθνῶν ἁπάντων, διδάσκαλος εὐσεβείας, σωφροσύνης καθηγεμών, δικαιοσύνης ἀρχηγός, ἀρετῆς ἁπάσης καὶ θεογνωσίας ἀληθοῦς αἴτιος. Τί δὲ οὖν, φησί, ταράττεται τὰ ἔθνη ἐπὶ τῇ τῶν τοσούτων ἀγαθῶν παρουσίᾳ; Εἰ δὲ καὶ πληρωτὴς ἐλήλυθε τοῦ Μωϋσέως νόμου, ὥσπερ οὖν αὐτὸς διδάσκει λέγων·«Οὐκ ἦλθον καταλῦσαι τὸν νόμον, ἀλλὰ πληρῶσαι[1]», καὶ τὰ τῶν προφητῶν λόγια δι' αὐτοῦ τέλους ἐτύγχανε· τί δὲ οἱ ταῦτα μελετῶντες, καὶ διὰ στόματος αὐτὰ φέρειν σπουδάζοντες, οἱ τοῦ Ἰουδαίων ἔθνους λαοὶ ματαίαν ἐποιήσαντο περὶ αὐτοῦ μελέτην; Ἀλλὰ καὶ οἱ καθ' ὅλης τῆς οἰκουμένης τῶν ἐθνῶν ἄρχοντες, οἵ τε κατὰ χρόνους βασιλεῖς τῆς γῆς, τί δὴ παθόντες δεινόν, ἢ τί λέγειν ἔχοντες διαβολῆς ἄξιον, ὁμοῦ καὶ κατὰ τὸ αὐτὸ κακὴν ταύτην συνετάξαντο συμφωνίαν, ὡς μίαν ἐπιβουλὴν ἀρτῦσαι καὶ μίαν ἀσεβῆ γνώμην βουλεύσασθαι κατὰ τοῦ τῶν ὅλων δεσπότου τε καὶ βασιλέως Θεοῦ, καὶ κατὰ τοῦ Χριστοῦ αὐτοῦ; Οἱ γοῦν τὸν ὑπὸ τοῦ πάντων Κυρίου τε καὶ Θεοῦ ἀπεσταλμένον ἀνθρώποις Σωτῆρα πολεμοῦντες, ἐλαύνοντές τε αὐτοῦ τὴν διδασκαλίαν καὶ τὴν Ἐκκλησίαν αὐτοῦ κατὰ χρόνους διώκοντες βασιλεῖς καὶ ἄρχοντες τῆς γῆς λελήθασιν οὐ μόνον εἰς τὸν Χριστόν, ἀλλὰ καὶ εἰς τὸν ἀπεσταλκότα αὐτὸν ἐκτείνοντες τὰ τῆς ἀσεβείας. Χριστὸν μὲν οὖν ὀνομαστὶ ὑπὸ ἀνθρώπων ἐπιβουλευόμενον σαφῶς ἐν τούτοις ὁ λόγος θεσπίζει. Προϊὼν δὲ καὶ Υἱὸν τοῦ Θεοῦ ὀνομάζει· ἀλλὰ καὶ κλῆρον αὐτῷ παρὰ τοῦ Πατρὸς δοθήσεσθαι πάντα τὰ ἔθνη καὶ τὰ πέρατα τῆς γῆς διδάσκει· ἃ δὴ ἐπὶ μόνῳ τῷ ἡμετέρῳ Σωτῆρι πεπληρωμένα δείκνυται. Ἐπεὶ δὲ γεγόνασι παρὰ Ἰουδαίοις καὶ ἕτεροι Χριστοί, ἱερεῖς δηλαδὴ καὶ βασιλεῖς τοῦ ἔθνους, σκοπήσεις ἐπὶ τίνος τούτων τὰ θεσπιζόμενα συμβέβηκεν· εἴ τις καὶ ἄλλος ἐπιβουλεύεται, εἴ τις Υἱὸς Θεοῦ κέκληται, εἴ τις τῶν ἐθνῶν ἁπάντων κεκράτηκεν· εἴ τις καθ' ὅλης Χριστὸς ἐγνώσθη τῆς οἰκουμένης. Ἀλλ' οὐκ ἂν ἔχοι τις εἰπεῖν· μόνος γὰρ ὁ Σωτὴρ ἡμῶν Ἰησοῦς Χριστὸς τῆς οἰκείας προσηγορίας τὸν σύμπαντα κατέπλησσε κόσμον, Χριστιανῶν ἐξ αὐτοῦ πᾶσαν τὴν οἰκουμένην πληρώσας, καὶ ἐπὶ μόνῳ αὐτῷ ἕκαστος τῶν εἰρημένων τέλους ἔτυχεν.

Διάψαλμα.

Τὸ διάψαλμα παρὰ τοῖς Ἑβδομήκοντα κεῖται, οὐκέτι δὲ παρὰ Θεοδοτίωνι καὶ Συμμάχῳ. Καίτοι γε εἰώθασι πολλάκις χρῆσθαι τῇ λέξει ταύτῃ ὁμοίως τοῖς Ἑβδομήκοντα. Διὸ εἰκός, εἰ καὶ τὸ πρόσωπον μεταβέβληκε, τὸν μουσικὸν ῥυθμὸν τετηρεῖσθαι, καὶ διὰ τοῦτο μὴ

1. Ματθ. 5, 17.

προστεθεικέναι τὸ διάψαλμα τὸν Θεοδοτίωνα καὶ τὸν Σύμμαχον. «Διαρρήξωμεν τοὺς δεσμοὺς αὐτῶν, καὶ ἀπορρίψωμεν ἀφ' ἡμῶν τὸν ζυγὸν αὐτῶν. Ὁ κατοικῶν ἐν οὐρανοῖς ἐκγελάσεται αὐτούς, καὶ ὁ Κύριος ἐκμυκτηριεῖ αὐτούς.» Πρὸς τοὺς πρώτους στίχους τοὺς πρὸ τοῦ διαψάλματος ἡγούμεθα τούτους ἀποδίδοσθαι.

Στίχ. γ'. «Διαρρήξωμεν τοὺς δεσμοὺς αὐτῶν, καὶ ἀπορρίψωμεν ἀφ' ἡμῶν τὸν ζυγὸν αὐτῶν.»

Τὰ ἔθνη, σειραῖς τῶν ἰδίων ἁμαρτιῶν σφιγγόμενα καὶ οὐκ ὄντα ἐλεύθερα, δέδεται τοῖς ἰδίοις αὐτῶν κακοῖς· καὶ ὁ Χριστός φησιν, ἤτοι πρὸς τοὺς διακονοῦντας αὐτῷ ἀγγέλους, ἢ πρὸς τὸν Πατέρα καὶ τὸ Πνεῦμα τὸ ἅγιον, ἢ τρίτον τοὺς ἀποστόλους καὶ ὑπηρέτας τοῦ Εὐαγγελίου, παρακαλῶν αὐτοὺς ἐπὶ τὸν διασπασμὸν καὶ τὴν διάρρηξιν αὐτῶν, τό· «Διαρρήξωμεν τοὺς δεσμοὺς αὐτῶν.» Οἱ δὲ λαοί, ὑπὸ τὸν ζυγὸν σωματικῶς τοῦ νόμου τυγχάνοντες, οὗ διδάσκει καταφρονεῖν, ὡς περιέχοντος δικαιώματα οὐ καλά, καὶ προστάγματα οὐ καλά, προσαγόμενοι διὰ τοῦ Χριστοῦ τῷ πνευματικῷ νόμῳ ἔχοντι τὰ καλὰ δικαιώματα καὶ προστάγματα καλά, ἀποτίθενται τὸν βαρὺν τοῦ ἀποκτείνοντος γράμματος ζυγόν, τοῦ Σωτῆρος φάσκοντος πρὸς τοὺς προειρημένους συνεργοὺς τό, «Ἀπορρίψωμεν ἀφ' ἡμῶν τὸν ζυγὸν αὐτῶν.» Τὸ δέ, «ἀφ' ἡμῶν,» δύναται τοιοῦτον εἶναι· Ἀφ' ἑαυτῶν ποιήσωμεν μὴ περιμείναντες τὴν δέησιν τῶν βαρουμένων. Δύναται δὲ τό, «ἀφ' ἡμῶν», καὶ οὕτω νοεῖσθαι· Κἀγὼ παρὰ τοῖς λαοῖς τοῖς μελετῶσι τὰ κενὰ γεγενημένος καὶ ἀνατρεφόμενος ὑπὸ τὸν ζυγόν εἰμι αὐτῶν περιτμηθείς, «Καὶ ἀπορρίψωμεν αὐτῶν τὸν ζυγόν,» τουτέστιν ἀπ' ἐμοῦ καὶ ἀπὸ τῶν συγκατατιθεμένων μοι τὸν μὴ σῴζοντα νόμον ὡς σῴζοντα ἀσκούντων. Ἤ· Νομίζοντες εἶναι βάρος ἐπικείμενον καὶ ἡμῖν, τὸν ζυγὸν αὐτῶν ἀπορρίψωμεν. Τολμητέον γὰρ λέγειν ταῦτα εἶναι ἐν τῷ Χριστῷ διὰ τὴν πρὸς τοὺς βαρουμένους ὑπὸ τοῦ ζυγοῦ ἀγάπην, ἅπερ ἐστὶ καὶ ἐν πᾶσι «τοῖς εὐσπλάγχνοις», τὰ τῶν ἄλλων ἁμαρτήματα ἴδια κρίνουσιν.

Στίχ. δ'. «Ὁ κατοικῶν ἐν οὐρανοῖς ἐκγελάσεται αὐτούς, καὶ ὁ Κύριος ἐκμυκτηριεῖ αὐτούς.»

Ταῦτα μὲν οὖν περὶ ἀνθρώπων τῶν τε ἀπὸ τῶν ἐθνῶν καὶ ἀπὸ τοῦ λαοῦ. Τὸ δέ, «Ὁ κατοικῶν ἐν οὐρανοῖς ἐκγελάσεται», προσαρμοστέον πρὸς τό, «Παρέστησαν οἱ βασιλεῖς τῆς γῆς, οὓς ἐκγελάσεται ὁ Θεὸς ἐν οὐρανοῖς κατοικῶν φρόνημα ἔχοντας γήϊνον. Οὐ γὰρ νενοήκασι τὴν οἰκονομίαν καὶ τὴν σοφίαν τοῦ Θεοῦ τὴν περὶ τὴν ἐνανθρώπησιν τοῦ Χριστοῦ. Τὸ δέ, «Καὶ ὁ Κύριος ἐκμυκτηριεῖ αὐτούς», πρὸς τό, «Οἱ ἄρχοντες συνήχθησαν ἐπὶ τὸ αὐτό·» ἵνα μυκτηρίζωνται οἱ ἄρχοντες ὑπὸ τοῦ Χριστοῦ, οἱ συναχθέντες κατὰ τοῦ Κυρίου καὶ κατὰ τοῦ Χριστοῦ αὐτοῦ. Πρέπουσαι δὲ ἀγαθοῦ Θεοῦ Υἱῷ φωναί· ὅτι, εἰ καὶ τὰ ἔθνη ἐφρύαξαν, καὶ οἱ λαοὶ ἐμελέτησαν κενά, ἡμεῖς γε τοὺς δεσμοὺς αὐτῶν τῶν φρυα-

ξάντων ἐθνῶν διασπάσωμεν, καὶ τὸν ζυγὸν τῶν μελετησάντων κενὰ λαῶν ἀπορρίψωμεν.

Ἐπεὶ δὲ οὐκέτι εὐχερῶς δέχονται τὴν θεραπείαν οἵ τε τηλικοῦτοι προειρημένοι τῆς γῆς βασιλεῖς καὶ οἱ ἄρχοντες, τῶν κατὰ τοῦ Κυρίου καὶ τοῦ Χριστοῦ αὐτοῦ συναχθέντων ἐθνῶν τε καὶ λαῶν, βασιλέων τε καὶ ἀρχόντων, ὁρωμένων τε καὶ ἀφανῶν, προστάττει τὸ Πνεῦμα τὸ ἅγιον τοὺς τῆς εἰδωλολατρείας δεσμοὺς διαρρηγνύναι, καὶ τὸν βαρὺν τῆς ἁμαρτίας ζυγὸν ἀπορρίπτειν τῆς ἑαυτῶν ψυχῆς· οἷς καταδεδουλωμένοι πρότερον ἑτέροις ἄρχουσιν ὑπεκείμεθα· ἵνα ἐκείνων ἐλευθερωθέντες τὸν ἐλαφρὸν τοῦ Σωτῆρος ζυγὸν ἀναδεξώμεθα, ἐφ' ὃν προκαλεῖται λέγων· «Δεῦτε πρὸς μὲ πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι, κἀγὼ ἀναπαύσω ὑμᾶς. Ἄρατε τὸν ζυγόν μου, καὶ ἴδετε, ὅτι χρηστός ἐστι.[1]» Λέλεκται δὲ ταῦτα πρὸς τὰ ἔθνη τὰ τῷ Χριστῷ ὑπὸ τοῦ Πατρὸς δεδομένα, προλαμβάνοντος τοῦ λόγου τοὺς μέλλοντας προσιέναι τῇ Χριστοῦ διδασκαλίᾳ, καὶ παραινοῦντος μηκέτι τὸν παλαιὸν ζυγὸν ἐπὶ τῶν ὤμων φέρειν, μηδὲ ταῖς σειραῖς τῶν προτέρων ἁμαρτημάτων ἑαυτῶν παραμένειν· ἀλλ' εἰ καί τινες ἦσαν αὐτῶν πρότερον κύριοι ἄρχοντές τε πικροί, οἱ πάλαι τῶν ἐθνῶν κατατυραννοῦντες δαίμονες πονηροί, οὓς δὴ θεοὺς ὠνόμαζον, ζυγὸν αὐτοῖς ἐπαιωροῦντες βαρὺν καὶ συγκύπτειν τὴν ψυχὴν ἐπὶ τὸ κάτω ποιοῦντες, δεσμοῖς τε αὐτοὺς ἀσεβείας καταδεσμοῦντες· τούτων ἁπάντων τὴν δυναστείαν φεύγειν παρακελεύεται· προσφεύγειν δὲ τῷ Λυτρωτῇ καὶ Σωτῆρι, καὶ δὴ κλῆρον αὐτοὺς παρὰ τοῦ ἰδίου Πατρὸς εἰληφότι. Ταῦτα δέ, φησί, πράξωμεν οἱ τῆς τοῦ Χριστοῦ κληρονομίας ἄξιοι γενόμενοι, εἰδότες, ὅτι «Ὁ κατοικῶν ἐν οὐρανοῖς ἐκγελάσεται αὐτούς», τὰ ἔθνη δηλαδὴ καὶ τοὺς λαοὺς τοὺς ἐπαναστάντας τῷ Χριστῷ αὐτοῦ, «καὶ ὁ Κύριος ἐκμυκτηριεῖ αὐτούς.» Ταῦτα πάλαι μὲν προφητικῶς ἀνεφωνεῖτο· πέπονθε δὲ αὐτὰ τὸ Ἰουδαίων ἔθνος πολιορκηθὲν παραχρῆμα μετὰ τὴν κατὰ τοῦ Σωτῆρος ἐπιβουλήν· καὶ κατὰ χρόνους δὲ οἱ τῆς Ἐκκλησίας τοῦ Χριστοῦ πολέμιοι, κρυφαίᾳ ἀεὶ χειρὶ πολεμούμενοι, ὑπὸ τοῦ κατοικοῦντος ἐν οὐρανοῖς Κυρίου, τοῦ πρὸς αὐτῶν πολεμουμένου.

Στίχ. ε΄. «Τότε λαλήσει πρὸς αὐτοὺς ἐν ὀργῇ αὐτοῦ, καὶ ἐν τῷ θυμῷ αὐτοῦ ταράξει αὐτούς.»

Ἀλλὰ καὶ ἐν τῷ τῆς κρίσεως καιρῷ ὀργῆς Θεοῦ πειραθήσονται, καὶ τῷ θυμῷ αὐτοῦ ταραχθήσονται πάντες οἱ τοῦ σωτηρίου λόγου πολέμιοι. Ἐπείπερ αὐτὸς ὁ ὑπ' αὐτῶν προσηλωθεὶς καὶ θανάτῳ παραδοθείς, κατοικῶν ἐν οὐρανοῖς καὶ τὰ πάντα περιέχων, ἐκγελάσεται αὐτούς, καὶ ὁ τούτου δὲ Πατὴρ ὁ σὺν τῷ Χριστῷ πολεμούμενος ἐκμυκτηριεῖ αὐτούς, καὶ τὴν ἀξίαν αὐτοὺς εἰσπράξεται δίκην· εἰ οἱ λόγοι τῶν ἀπειλῶν λόγοι εἰσὶν ἐν ὀργῇ ἀπαγγελλόμενοι.

1. Ματθ. 11, 28-30.

Στίχ. ς΄. «Ἐγὼ δὲ κατεστάθην βασιλεὺς ὑπ᾽ αὐτοῦ ἐπὶ Σιὼν ὄρος τὸ ἅγιον αὐτοῦ, διαγγέλλων τὸ πρόσταγμα Κυρίου.»

Οἵδε μέν, φησί, τάδε πείσονται οἱ κατὰ τοῦ Κυρίου καὶ κατὰ τοῦ Χριστοῦ αὐτοῦ συνελθόντες, καὶ τοιοῦτον μὲν ἐκείνων τὸ τέλος· ἐμὲ δὲ τότε μετὰ τὴν τοσαύτην ἐπιβουλὴν καὶ τοσαῦτα πάθη βασιλέα πρὸς αὐτοῦ τοῦ Πατρὸς καθεστάσθαι, καὶ τὸ πατρικὸν ὑμῖν πρόσταγμα διαγγέλλειν· τοῦτο δ᾽ ἂν εἴη τὸ εὐαγγελικὸν κήρυγμα. Εἰ δέ ἐστιν ὄρος ἅγιον Θεοῦ τὸ ἐπουράνιον περὶ οὗ φησιν ὁ Παῦλος· «Προσεληλύθατε Σιὼν ὄρει·[1]» καὶ πάλιν· «Ἡ δὲ ἄνω Ἰερουσαλήμ, ἐλευθέρα ἐστίν[2]», ἐνταῦθά φησι τὰ βασίλεια αὐτῷ συνεστάναι· μέρος δ᾽ ἂν τῆς ἄνω Ἐκκλησίας καὶ ἡ ἐπὶ γῆς εἰς ἐκεῖνο τέλους καὶ αὐτῇ σπεύδουσα. Ὅπως δὲ ὑπὸ τοῦ Πατρὸς ἐν τῇ ἐπουρανίῳ Σιὼν κατεστάθη βασιλεὺς ὁ Χριστὸς αὐτοῦ, πάρεστι γνῶναι καὶ ἀπὸ τοῦ λέγεσθαι αὐτῷ· «Κάθου ἐκ δεξιῶν μου, ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου.[3]» Ποίους δὲ ἐχθροὺς ἢ τοὺς προλεχθέντας, τοὺς δὴ συναχθέντας κατ᾽ αὐτοῦ καὶ παραστάντας ἄρχοντας καὶ βασιλεῖς, καὶ λαούς, καὶ ἔθνη; τούτους γὰρ ὑποτάξειν τοῖς αὐτοῦ ποσὶν ὁ Πατὴρ ἐπηγγείλατο.

Στίχ. ζ΄. «Κύριος εἶπε πρός μέ· Υἱός μου εἶ σύ, ἐγὼ σήμερον γεγέννηκά σε.»

Τὸ «σήμερον» ὄνομα χρόνου ἐστίν· ἰσοδυναμεῖ δὲ τῇ ἐνεστώσῃ ἡμέρᾳ· ἡμέρα δὲ διάστημά τι χρονικόν ἐστι. Τί οὖν φησι πρὸς αὐτὸν ὁ Κύριος· «Ἐγὼ σήμερον γεγέννηκά σε;» δηλονότι περὶ τῆς χρονικῆς ἔφη γεννήσεως τῆς κατ᾽ οἰκονομίαν· περὶ γὰρ τῆς ἀνάρχου φησὶν αὐτὸς ὁ Δαυΐδ· «Ἐκ γαστρὸς πρὸ ἑωσφόρου ἐγέννησά σε.[4]» Γεννᾶται δὲ σήμερον οὐχὶ ἀρχὴν συστάσεως ἐν τῷ γεννᾶσθαι λαμβάνων, κατὰ δὲ τὴν σαρκικὴν οἰκονομίαν εἰς υἱοθεσίαν ἐλθών. Καὶ ὁ παρ᾽ αὐτοῦ δὲ λαβὼν ἐξουσίαν τέκνον Θεοῦ γενέσθαι, ὅτε γίνεται τέκνον διὰ τοῦ βαπτίσματος ἀναγεννώμενος, ἕτερόν τι πρὸ τοῦ εἶναι τέκνον ὑπάρχων, ἐξευγενίζεται. Ὁ μέντοι γε Ἑβραῖος ἐλέγετο κύριον εἶναι τῆς λέξεως, «ἔτεκον», ὅπερ καὶ Ἀκύλας πεποίηκεν. Ὁ δὲ Ἀπόστολος, νομομαθὴς ὑπάρχων, ἐν τῇ πρὸς Ἑβραίους τῇ τῶν Ἑβδομήκοντα ἐχρήσατο.

Καὶ ὅτι γε εἰς τὸν ἡμέτερον Σωτῆρα Ἰησοῦν τὸν Χριστόν, καὶ οὐκ εἰς ἄλλον, πεπλήρωται ταῦτα, παρίστησι· τὸ γάρ.

Στίχ. η΄. «Αἴτησαι παρ᾽ ἐμοῦ, καὶ δώσω σοι ἔθνη τὴν κληρονομίαν σου, καὶ τὴν κατάσχεσίν σου τὰ πέρατα τῆς γῆς.»

Οὐδεὶς ἂν ἔχοι φάναι ἐφ᾽ ἑτέρου τῶν πάλαι τοῦ Θεοῦ προφητῶν πεφανερῶσθαι καὶ πεπληρῶσθαι. Οὔτε γὰρ Μωϋσῆς τῶν ἐθνῶν ἁπάντων ἐκράτησεν, οὔτε Δαυΐδ, οὔτε Σολομών, οὔτε τις ἕτερος προφητῶν ἢ βασιλέων τῶν ἐξ αἰῶνος γενομένων· μόνῳ δὲ τῷ ἡμετέρῳ Σωτῆρι ἡ τῶν πραγμάτων ἐνάργεια μαρτυρεῖ· ἐπειδήπερ εἰς πᾶσαν

1. Ἑβρ. 12, 22. 2. Γαλ. 4, 26. 3. Ψαλμ. 109, 1. 4. Ψαλμ. 109, 3.

τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος τῶν ἀποστόλων αὐτοῦ, καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα αὐτῶν διῆλθεν.[1]

Στίχ. θ΄. «Ποιμανεῖς αὐτοὺς ἐν ῥάβδῳ σιδηρᾷ, ὡς σκεύη κεραμέως συντρίψεις αὐτούς.»

Λαβὼν τὴν κατὰ πάντων ἐξουσίαν, τοὺς προτέρους ἐκείνους τοὺς κατὰ σοῦ φρυάξαντας καὶ κενὰ μελετήσαντας, ἀλλὰ καὶ τοὺς παραστάντας καὶ συναχθέντας κατὰ σοῦ βασιλεῖς τε γῆς καὶ ἄρχοντας ποιμανεῖς, οὐ τῇ τῶν ἡμέρων προβάτων ποιμαντικῇ ῥάβδῳ, τῇ διὰ λόγων καὶ σωτηρίων μαθημάτων· τοιαύτη γὰρ λογικῇ ῥάβδῳ τὰ Χριστοῦ πρόβατα ἐν ταῖς μάνδραις αὐτοῦ, ἐν ταῖς Ἐκκλησίαις καὶ ταῖς τῶν ἱερῶν Γραφῶν πνευματικαῖς νομαῖς ποιμαίνεται· ἀλλ᾽ ἐν ῥάβδῳ σιδηρᾷ, δι᾽ ἧς συντρίψειν αὐτούς, καὶ τὸ οἴημα αὐτῶν κατεάξειν δίκην ἀγγείου ὀστρακίνου λέγεται. Ῥάβδον δὲ σιδηρᾶν τὴν Ῥωμαίων ἀρχὴν εἶναί φησιν, ἐπικρατεστέραν γενομένην μετὰ τὴν τοῦ Σωτῆρος ἡμῶν ἐπιφάνειαν. Ἐξ ἐκείνου γὰρ τῶν κατ᾽ ἔθνη πολυαρχιῶν καὶ τῶν κατὰ χώρας ἐθναρχιῶν καταλυθεισῶν, ἡ Ῥωμαίων ἐμονάρχησε βασιλεία, ἣν καὶ ἡ τοῦ Δανιὴλ προφητεία σιδηρᾶν προσεῖπεν, ἐπὶ μὲν τῆς εἰκόνος φήσασα· αἱ κνῆμαι καὶ οἱ πόδες σιδηροῖ, καὶ τὴν ἑρμηνείαν ἐκθεμένη διὰ τοῦ φάναι· «Βασιλεία τετάρτη ἔσται ἰσχυρὰ ὡς ὁ σίδηρος· ὃν τρόπον γὰρ ὁ σίδηρος, λεπτυνεῖ καὶ δαμάσει·[2]» ἐπὶ δὲ τῆς ὁράσεως τοῦ προφήτου· «Καὶ ἰδού», φησίν, «ζῷον τέταρτον φοβερόν, καὶ οἱ ὀδόντες αὐτοῦ σιδηροῖ, ἐσθίον καὶ λεπτῦνον, καὶ τὰ ἐπίλοιπα τοῖς ποσὶν αὐτοῦ συνεπάτει.[3]» Ταύτην τοίνυν καὶ ἐπὶ τοῦ παρόντος δηλοῦσθαι φάσκοντος λόγου· «Ποιμανεῖς αὐτοὺς ἐν ῥάβδῳ σιδηρᾷ, ὡς σκεύη κεραμέως συντρίψεις αὐτούς.» Δυνάμει γὰρ ἀφανεῖ καὶ ἀοράτῳ παρὰ τοῦ Πατρὸς κλῆρον παραλαβὼν τὰ καθ᾽ ὅλης τῆς οἰκουμένης ἔθνη ὁ Χριστός, τοὺς μὲν ἐπεγνωκότας αὐτόν, καὶ ὑπὸ τὴν αὐτοῦ μάνδραν γενομένους ποιμανεῖ εἰσάγων καὶ ἐξάγων εἰς ἀγαθὰς νομάς, ὥστε λέγειν τὴν αὐτοῦ ποίμνην (λογικὴ γὰρ ἦν)· «Κύριος ποιμαίνει με, καὶ οὐδέν με ὑστερήσει. Εἰς τόπον χλόης ἐκεῖ με κατεσκήνωσεν· ἐπὶ ὕδατος ἀναπαύσεως ἐξέθρεψέ με, τὴν ψυχήν μου ἐπέστρεψε·[4]» τοὺς δὲ ἀφηνιῶντας τῶν ἐθνῶν καὶ κατεπαιρομένους τῶν αὐτοῦ προβάτων τῇ ῥάβδῳ τῇ σιδηρᾷ καθυποτάττει δαμάζων καὶ συντρίβων διὰ τῆς Ῥωμαϊκῆς δυναστείας. Οὕτω γοῦν συμβαίνει τῶν ἀπλήστων ἐθνῶν τοὺς θυμοὺς καὶ τὰς ὁρμὰς τὰς κατὰ τῆς Ἐκκλησίας τοῦ Θεοῦ διὰ τῆς Ῥωμαϊκῆς ἀπειλῆς ἀνακρούεσθαι, οὐκ ἂν ἐπιτρεψάντων τῶν κατὰ πόλεις ἀρχόντων τε καὶ δήμων, ἐν μέσοις αὐτῶν συστῆναι τοῦ Χριστοῦ διδασκαλίαν, ἀνατρεπτικὴν τῆς πολυθέου πλάνης αὐτῶν τυγχάνουσαν, εἰ μὴ ὁ Ῥωμαϊκὸς αὐτοῖς ἦν ἐπηρτημένος φόβος, καὶ τὰ συντρίβοντα αὐτοὺς καὶ μὴ ἐῶντα κεφαλὴν ἐπᾶραι

1. Πρβλ. Ψαλμ. 18, 5. 2. Δαν. 2, 40. 3. Δαν. 7, 7. 4. Ψαλμ. 22, 1-3

διατάγματα τοὺς θυμοὺς αὐτῶν ἐχαλίνου καὶ συνέτριβε. Καὶ ἄλλῃ δὲ θεϊκῇ καὶ ἀπορρήτῳ δυνάμει ὁ Χριστὸς τὰ μὲν αὐτοῦ πρόβατα ἡμέρως ποιμαίνει, μηδέποτε ἀναχωρῶν ἀπ' αὐτῶν, καθ' ἣν πεποίηται ἐπαγγελίαν φήσας· «Ὅπου ἂν εἶεν δύο ἢ τρεῖς συνηγμένοι ἐν τῷ ὀνόματί μου, ἐκεῖ εἰμι ἐν μέσῳ αὐτῶν·[1]» καὶ πάλιν· «Ἰδοὺ ἐγὼ μεθ' ὑμῶν εἰμι πάσας τὰς ἡμέρας ἕως τῆς συντελείας τοῦ αἰῶνος·[2]» τοὺς δ' ἐπανισταμένους αὐτοῦ τῇ ποίμνῃ ἐν τοῖς κατὰ χρόνους διωγμοῖς πάλιν αὐτὸς μετέρχεται ἀφανεῖ καὶ ἀοράτῳ δυνάμει κολάζων ἐν ῥάβδῳ σιδηρᾷ, ἀλλὰ καὶ τὴν ὑπερηφανίαν αὐτῶν καὶ τὸ ἔπαρμα τῆς ἀλαζονείας ὡς σκεύη κεράμια συντρίβει· ὡς ἤδη μυρίους αὐτῶν ὑπὸ τῶν θεηλάτων αὐτοῦ μαστίγων ἐλαυνομένους δοῦναι δόξαν τῷ Θεῷ, καὶ ἐξομολογήσασθαι τὰς δυσσεβείας αὐτῶν. «Ὡς σκεύη κεραμέως συντρίψεις αὐτούς·» οὐχ ὥστε ἀπολέσαι καὶ ἀναλῶσαι συντρίβει, ἀλλ' ὥστε ἀναπλάσαι· πρὸς τοῦτο γὰρ σκοπὸς τῷ κεραμεῖ συντρίβειν τὰ οἰκεῖα σκεύη, ὅταν ἔτι ὑγιῆ καὶ ἀκέραιον σῴζῃ τοῦ κεραμέως τὴν διάπλασιν οὐδέπω πυρὶ προσωμιληκότα. Τούτοις δὲ μαρτυρεῖ καὶ ὁ μακάριος Ἱερεμίας ὁ προφήτης, λέγων ὡς ἐκ τοῦ Θεοῦ· «Ἦ καθὼς ὁ κεραμεύς, οὕτως οὐ δυνήσομαι τοῦ ποιῆσαι ὑμῖν, οἶκος Ἰσραήλ, λέγει Κύριος;[3]» τουτέστιν, οὕτω καὶ διαπεσόντας ἀναπλάσαι, καὶ πάλιν εἰς τὸ ἀρχαῖον ἀποκαταστῆσαι.

Στίχ. ι'-ιβ'. «Καὶ νῦν, βασιλεῖς σύνετε, παιδεύθητε πάντες οἱ κρίνοντες τὴν γῆν. Δουλεύσατε τῷ Κυρίῳ ἐν φόβῳ, καὶ ἀγαλλιᾶσθε αὐτῷ ἐν τρόμῳ. Δράξασθε παιδείας, μήποτε ὀργισθῇ Κύριος.»

Τῆς εὐαγγελικῆς δηλονότι νομοθεσίας. Ἐντεῦθεν μεταβατικῶς ὁ λόγος διδασκαλίαν ἐκτίθεται τοῖς ἄρχουσι καὶ τοῖς βασιλεῦσι, τοῖς ὑπὸ τῇ σιδηρᾷ ῥάβδῳ ποιμανθησομένοις, καί φησιν· ὅτι Γνόντες, ὦ οὗτοι, καὶ συνόντες ὁπόση τις ἡ δύναμις τοῦ παρὰ τοῦ Πατρὸς εἰληφότος τὰ ἔθνη κληρονομίαν, καὶ ὁποία τις τυγχάνει ἡ σιδηρᾶ ῥάβδος ἡ καθ' ὑμῶν ἐπεγειρομένη, παύσασθε πολεμοῦντες αὐτῷ· ἀπολαβόντες δὲ μᾶλλον σύνεσιν ἐπίδοτε ἑαυτοὺς τῇ λογικῇ παιδείᾳ.

Στίχ. ιγ'. «Ὅταν ἐκκαυθῇ ἐν τάχει ὁ θυμὸς αὐτοῦ· μακάριοι πάντες οἱ πεποιθότες ἐπ' αὐτῷ·»

Ὅτι δὲ μὴ «πάθη» Θεοῦ ὀργὴ καὶ θυμός, ὁ μακάριος ἐδήλωσε Παῦλος εἰπών· «Κατὰ δὲ τὴν σκληρότητά σου καὶ ἀμετανόητον καρδίαν, θησαυρίζεις ἑαυτῷ ὀργὴν ἐν ἡμέρᾳ ὀργῆς·[4]» δι' ὧν σημαίνει τὴν ἐφ' ἁμαρτίαις κόλασιν εἰρῆσθαι θυμὸν καὶ ὀργήν. Ἐπ' αὐτῷ δέ, λέγει, πεποιθότες τῷ προφητευομένῳ Χριστῷ διὰ παντὸς τοῦ ψαλμοῦ, οἱ μικρὸν ὕστερον (βραχὺς γὰρ ἅπας ὁ παρὼν βίος) εὑρεθήσονται μακάριοι. Τὸ δὲ λεῖπον τοῖς ἐν τῷ πρώτῳ ψαλμῷ διὰ τούτων ἀπέδωκεν. Οὐ γὰρ ἀρκεῖ μόνον τὸ μὴ πορεύεσθαι ἐν βουλῇ ἀσεβῶν, οὐδὲ τὸ μὴ στῆναι ἐν ὁδῷ ἁμαρτωλῶν καὶ μελετᾶν ἐν τῷ νόμῳ· ἀλλὰ γὰρ δὴ

---

1. Ματθ. 18, 20. 2. Ματθ. 28, 20. 3. Ἱερ. 18, 6. 4. Ῥωμ. 2, 5.

καὶ μὴ διακενῆς μελετᾶν, ἀλλὰ γνῶναι Χριστὸν ἐξ αὐτῶν, καὶ τῆς αὐτοῦ γενέσθαι μερίδος τε καὶ κληρονομίας, καὶ διὰ πίστεως καὶ ἔργων ἐπ' αὐτῷ πεποιθέναι. Εἰκότως ἄρα, μιᾶς οὔσης τῆς διανοίας, συνημμένοι παρ' Ἑβραίοις εἰσὶν οἱ δύο ψαλμοί.

ΕΞΗΓΗΣΙΣ ΤΟΥ ΨΑΛΜΟΥ Γ΄.

Στίχ. α΄. *Ψαλμὸς τῷ Δαυῒδ, ὁπότε ἀπεδίδρασκεν ἀπὸ προσώπου Ἀβεσσαλὼμ τοῦ υἱοῦ αὐτοῦ.*

Ἀναγκαίως τὸν καιρὸν ἐπισημειοῦται, ὡς ἂν ἐφαρμόσοι μὲν τοῖς λεγομένοις τὴν ἀπὸ τῶν Βασιλειῶν ἱστορίαν, καὶ ὡς ἂν μάθοιμεν, ὅτι, μετὰ τὸ ἐξαμαρτῆσαι εἰς τὴν τοῦ Οὐρίου, τοσοῦτον εἰσηνέγκατο μετανοίας καρπόν, ὡς πάλιν ἐν θείῳ Πνεύματι ψάλλειν. Ἕπεται γὰρ τῇ κατὰ τὸν Οὐρίαν ἱστορίᾳ ἡ τοῦ Ἀβεσσαλὼμ κατὰ τοῦ πατρὸς ἐπανάστασις. Γένοιτο δ' ἂν ἐκ τούτων καὶ ἑτέροις τροπὴ τῆς ἀπὸ προτέρων κακῶν ἐπὶ τὰ κρείττω μεταβολῆς, διδασκαλία τε γνησίας πρὸς τὸν Θεὸν ἐπιστροφῆς. Καὶ ἄλλως δὲ ἴδιον δικαίων ἐστὶ τὸ θλίβεσθαι· διὸ καὶ ὁ Σωτὴρ φησιν· «Ἐν τῷ κόσμῳ θλίψιν ἔχετε·[1]» «καὶ στενὴ καὶ τεθλιμμένη ἐστὶν ἡ ὁδὸς ἡ ἀπάγουσα εἰς τὴν ζωήν.[2]»

Στίχ. β-γ΄. «Κύριε, τί ἐπληθύνθησαν οἱ θλίβοντές με; Πολλοὶ ἐπανίστανται ἐπ' ἐμέ· πολλοὶ λέγουσι τῇ ψυχῇ μου· Οὐκ ἔστι σωτηρία αὐτῷ ἐν τῷ Θεῷ αὐτοῦ. Σὺ δέ, Κύριε, ἀντιλήπτωρ μου εἶ, δόξα μου, καὶ ὑψῶν τὴν κεφαλήν μου.»

Πάντας διωγμοὺς χρὴ προσδοκᾶν τοὺς κατὰ Θεὸν ζῆν προῃρημένους. Ἐπεὶ κατὰ τὸν Ἀπόστολον· «Πάντες οἱ θέλοντες ζῆν εὐσεβῶς ἐν Χριστῷ Ἰησοῦ διωχθήσονται.[3]» Ἀλλ' ἐν πᾶσι προσήκει τὰ δεινὰ καρτερῶς ὑπομένειν· ἐπεὶ μηδὲ πρὸς ὀλίγον ἐστὶν ἡμῖν ὁ ἀγών, μηδὲ πρὸς μικρούς, ἀλλὰ πρὸς πλείονας καὶ μεγάλους, οὐ μόνον τοὺς ἐν ἀνθρώποις, ἀλλὰ καὶ τοὺς ἀοράτους ἐχθρούς. Καὶ κατὰ τὸ ῥητὸν δέ, Δαυῒδ, ἐκ νέας ἡλικίας ὑπὸ τοῦ Σαοὺλ πολεμηθείς, καὶ μετὰ ταῦτα ὑπὸ μυρίων ἄλλων, καὶ τέλος ὑπὸ τοῦ υἱοῦ τῆς βασιλείας ἐλαυνόμενος καὶ φεύγων, ταῦτα κατὰ τὸν καιρὸν τῆς φυγῆς ἔλεγεν. Ἐχθρῶν δέ ἐστι τὸ ἐπεμβαίνειν καὶ ἐπανίστασθαι τοῖς κακοῖς τῶν δι' ἐναντίας· διόπερ καὶ τῷ Δαυῒδ ἡμαρτηκότι ἐπὶ τῆς τοῦ Οὐρίου πολλοὶ ἐπανίσταντο ἐπιχαιρεσίκακοι ἐχθροί τινες. Πάλαι καὶ ἐκ μακροῦ διὰ φθόνου ὑψοῦται κεφαλὴ τοῦ κατὰ σῶμα μεγεθυσμένου, παρὰ τὰς τῶν ὑποδεεστέρων κεφαλὰς κάτω κειμένας. Οὕτω διαναστάσης τῆς τοῦ μακαρίου ψυχῆς καὶ εἰς ἐπίδοσιν ἀναβεβηκυίας τοῦ ὡς ἐν ψυχαῖς μεγέθους, ἡ κεφαλὴ ὑψοῦται Θεοῦ συνεργοῦντος αὐτῇ καὶ πρὸς ἑαυτὸν εἰς οὐρανὸν ἀνάγοντος, τὸν

1. Ἰω. 16, 33. 2. Ματθ. 7, 14. 3. Β' Τιμ. 3, 12.

ἐμπαρέχοντα αὐτὸν τῇ πρὸς τὸ ἀνωτάτω ἀκολουθίᾳ. Ἐπεὶ δὲ πολλῷ πλέον τῆς προαιρέσεως τῆς τἀνθρώπου χαρίζεται, νικῶν ἐν τῷ δωρεῖσθαι ὁ εὐεργέτης τὸν κατὰ δύναμιν ποιοῦντα τὸ καλόν· καὶ διὰ τοῦτο παντὸς καλοῦ τὴν αἰτίαν ὁ Παῦλος ἀνατιθεὶς τῷ Θεῷ φησιν· «Οὐ τοῦ θέλοντος, οὐδὲ τοῦ τρέχοντος, ἀλλὰ τοῦ ἐλεοῦντος Θεοῦ.[1]» Ὁ Θεὸς μὲν οὖν καὶ ἡ ἀρετὴ μεγεθύνει, καὶ δι' ὅλων ἐπαινεῖ τὴν τοῦ ἁγίου ψυχήν· κακία δὲ καὶ ἡ συνεργὸς ταύτῃ ἐχθρὰ τοῖς ἀνθρώποις δύναμις, συστέλλει καὶ εἰς στενὸν συνάγει τὴν μὴ ἑπομένην Θεῷ, καὶ οὕτω βραχεῖα γίνεται καὶ κολοβή, ὥστε τῆς χύσεως τῆς κακίας ἐπιγινομένης εἰς τὸ μηδέν, τὴν τοιαύτην ψυχὴν λογισθῆναι κατὰ τὸν Ἡσαΐαν· οἱ γὰρ ἁμαρτάνοντες εἰς οὐδὲν ἐλογίσθησαν. Καὶ ὥσπερ σωμάτων ἐλάχιστόν ἐστιν ὁ χοῦς, οὕτως αἱ πάντη μοχθηραὶ ψυχαί, ἐπὶ πολὺ σμικρυνθεῖσαι, εἰσὶν ὡς «ὁ χοῦς ὃν ἐκρίπτει ὁ ἄνεμος.» Κεφαλὴν δὲ τῆς ψυχῆς νοητέον τὴν διανοητικὴν δύναμιν· ταύτης γὰρ διαφέρουσαν οὐδὲ μέχρι τοῦ ἐπινοῆσαι δυνατόν· εἴ γε καὶ τοῦ σώματος ἡ κεφαλὴ τιμιωτέρα. Αὕτη τοίνυν ἡ νοητικὴ δύναμις, τροπικώτερον κεφαλὴ λεχθεῖσα τῆς ψυχῆς, οἷς μὲν ὕψωται ἄνω βλέπουσα, οὐ μόνον τὴν γῆν, ἀλλὰ καὶ πάντα τὰ σώματα ὑπερκύψασα, ὡς φθάνειν μέχρι Θεοῦ. Παρατηρητέον δὲ τριχῶς τῆς σχέσεως τοῦ Θεοῦ ὑμνουμένης ὑπὸ τοῦ λέγοντος τὴν τάξιν τοῦ πρώτου λεχθέντος, καὶ τοῦ ἑξῆς καὶ τοῦ λοιποῦ. Πρῶτον γάρ φησιν εἶναι τὸν Θεὸν ἀντιλήπτορα αὐτοῦ, ἔπειτα δόξαν, ἔπειτα ὑψοῦντα τὴν κεφαλήν. Καὶ ἡμῖν ἀντιλήπτωρ, καὶ τὸ ὄνομα δηλοῖ ἀντιλαμβανόμενον, ἵνα ῥύσῃ τε ἀπὸ πολλῶν θλιβόντων καὶ ἐπανισταμένων καὶ ἀπογινωσκόντων τὴν τοῦ λέγοντος ταῦτα σωτηρίαν. Ἑξῆς δὲ τῷ ἀντιλήπτορι ἡ «δόξα» ἐστί· πρότερον γὰρ ἀντιλαμβάνεται ὁ Θεός, εἶτα δοξάζει καὶ ἑξῆς ὑψοῖ τοῦ δεδοξασμένου τὴν κεφαλήν. Εἰ γὰρ συνηγέρθη Χριστῷ, καὶ τὰ ἄνω φρονεῖ, οὐ τὰ ἐπὶ τῆς γῆς, ὑψωθήσεται αὐτοῦ ἡ κεφαλὴ ἀπὸ τοῦ Κυρίου, ὅς ἐστιν ὁ Λόγος, δόξα ὢν τοῦ χωρήσαντος αὐτόν, ἣν ἀπὸ τοῦ μόνου ἐζήτησεν ὁ μὴ λαμβάνων δόξαν παρὰ ἀνθρώπου. Ὅπως δὲ ὑψώθη τοῦ Δαυῒδ ἡ κεφαλή, νοήσεις ἐπιστήσας, ὡς καθ' ὅλης τῆς τῶν ἀνθρώπων οἰκουμένης καὶ ἐν πᾶσι τοῖς ἔθνεσι τὸ τοῦ Δαυῒδ βεβόηται ὄνομα, διὰ τὸν ἐκ σπέρματος αὐτοῦ κατὰ σάρκα γενόμενον Χριστὸν τὸν τοῦ Θεοῦ Υἱόν· οὐχ οὕτως γὰρ ἐν ἀνθρώποις ὤν, καὶ μόνου τοῦ Ἰσραὴλ βασιλεύων, δεδόξαστο καὶ ὕψωτο, καὶ μάλιστα μετὰ τὴν ἐπανάστασιν τοῦ Ἀβεσσαλὼμ τὴν κατ' αὐτοῦ γενομένην, ὡς διὰ τῆς σωτηρίου θεοφανείας ἐκ σπέρματος αὐτοῦ προελθούσης κατὰ σάρκα.

Στίχ. ε'. «Φωνῇ μου πρὸς Κύριον ἐκέκραξα, καὶ ἐπήκουσέ μου ἐξ ὄρους ἁγίου αὐτοῦ.»

Τοῦ ὄρους ἐμνημόνευσε τούτου καὶ ὁ πρὸ τούτου ψαλμός, ἐν οἷς ἔλεγεν· «Ἐγὼ δὲ κατεστάθην βασιλεὺς ὑπ' αὐτοῦ ἐπὶ Σιὼν ὄρος

1. Ῥωμ. 9,16.

τὸ ἅγιον αὐτοῦ.[1]» Ἦν δὲ καὶ ὁ λέγων ἐν ἐκείνοις ταῦτα ὁ Χριστός· καὶ νῦν τοιγαροῦν ἐπακούσεσθαι αὐτοῦ φησιν ὁ Δαυῒδ ἐξ ὄρους ἁγίου αὐτοῦ. Τίνα δὲ ἐπακούσεσθαι αὐτοῦ, ἀλλ' ἢ τὸν Κύριον τὸν καταστάντα βασιλέα «ἐπὶ Σιὼν ὄρος τὸ ἅγιον αὐτοῦ;» Διὰ τούτου γὰρ μόνου ἀφέσεως τεύξεσθαι πεπίστευκεν, αὐτὸν δὲ εἶναι δόξαν αὐτοῦ, καὶ τὸν ὑψοῦντα τὴν κεφαλὴν αὐτοῦ. Σφόδρα τοίνυν προειπὼν δοξασθήσεσθαι καὶ ὑψωθήσεσθαι τὴν ἑαυτοῦ κεφαλήν, ὁπόθεν ὑπῆρξεν αὐτῷ τοῦτο διδάσκει λέγων· «Φωνῇ μου πρὸς Κύριον ἐκέκραξα, καὶ ἐπήκουσέ μου ἐξ ὄρους ἁγίου αὐτοῦ.»

Στίχ. ς'. «Ἐγὼ ἐκοιμήθην καὶ ὕπνωσα, ἐξηγέρθην ὅτι Κύριος ἀντιλήψεταί μου.»

Τὰ μέλλοντα ἐν τούτοις ὡς παρῳχηκότα θεσπίζει· ὡς γὰρ ἐν τῷ δευτέρῳ ἐλέγετο· «Ἵνα τί ἐφρύαξαν ἔθνη, καὶ λαοὶ ἐμελέτησαν κενά; Παρέστησαν καὶ συνέστησαν κατὰ τοῦ Κυρίου καὶ κατὰ τοῦ Χριστοῦ αὐτοῦ[2]», ταῦτά τε ἐνοεῖτο μελλητικῶς· οὕτω καὶ νῦν τό, «Ἐγὼ ἐκοιμήθην καὶ ὕπνωσα», προφητικῶς εἴρηται, ἀντὶ τοῦ, «Κοιμηθήσομαι καὶ ὑπνώσω», καὶ ἐξεγερθήσομαι· ὅτι σὺ Κύριος ἀντιλήπτωρ μου εἶ, δόξα μου καὶ ὑψῶν τὴν κεφαλήν μου. Ἐν τούτῳ γὰρ τὸν καιρὸν ἐπισημαίνεται καθ' ὃν ὑπάρξει αὐτῷ ταῦτα. Μετὰ γὰρ τὸ κοιμηθῆναι αὐτὸν ἐξεγερθήσεται, φησίν, ὅτι Κύριος ἀντιλήψεται αὐτοῦ. «Κοίμησιν» δὲ σημαίνει τὸν θάνατον, μεθ' ὃν ταῦτα ἔσεσθαι περὶ αὐτοῦ προφητεύει, ἀναπέμπων ἐπὶ τὸν χρόνον τῆς τοῦ Σωτῆρος παρουσίας, μεθ' ἣν τέλους ἔτυχεν ἡ προφητεία· ὅτε καὶ μέχρις ᾅδου καταβὰς ὁ Υἱὸς τοῦ ἀνθρώπου ὁ Χριστός, καὶ τῶν ἐκεῖ προσδοκώντων ἄφιξιν Σωτὴρ ἐπεδείχθη, ὡς ἅμα τῇ αὐτοῦ ἐκ νεκρῶν ἀναστάσει πολλὰ σώματα τῶν ἁγίων τῶν κεκοιμημένων συναναστῆναι αὐτῷ ἐν οἷς εἰκὸς εἶναι καὶ τὴν τοῦ Δαυῒδ ψυχήν. Θαρσῶν δὲ τῇ δυνάμει τῆς ἀναστάσεως τοῦ Σωτῆρος, δι' ἧς ἤμελλε καὶ αὐτὸς κοιμηθεὶς ἐξεγερθήσεσθαι, φησίν·

Στίχ. ζ'. «Οὐ φοβηθήσομαι ἀπὸ μυριάδων λαοῦ τῶν κύκλῳ συνεπιτιθεμένων μοι.»

Προεώρα γὰρ ὅτι μυριάδες ἀντικειμένων δυνάμεων βουλήσονται ἐπισχεῖν τὴν τῶν ἁγίων ἀναβίωσιν, διαφθονούμεναι τῇ αὐτῶν σωτηρίᾳ· ὧν ἐγώ, φησίν, λόγον οὐδένα ποιήσομαι, θαρρῶν τῷ ὑπερασπιστῇ μου, τῷ τοῦ θανάτου νικητῇ· ὃς δὴ θύρας χαλκᾶς συντρίψας καὶ μοχλοὺς σιδηροῦς συνθλάσας, τὰς ἐξ αἰῶνος ἀποκεκλεισμένας τοῦ θανάτου πύλας ἀνέῳξεν· ὁδόν τε ἀναστάσεως παρέσχε τοῖς αὐτόθι γνωρίμοις αὐτοῦ, ὧν εἷς αὐτῶν ἦν ὁ Δαυῒδ. Διὸ ἐν ἑτέρῳ ψαλμῷ ἔλεγεν· «Ἐγνώρισάς μοι ὁδοὺς ζωῆς· πληρώσεις με εὐφροσύνης μετὰ τοῦ προσώπου σου.[3]»

Στίχ. η'-θ'. «Ἀνάστα, Κύριε, σῶσόν με, ὁ Θεός μου. Ὅτι σὺ ἐπάταξας πάντας τοὺς ἐχθραίνοντάς μοι ματαίως· ὀδόντας ἁμαρτωλῶν

1. Ψαλμ. 2,6. 2. Ψαλμ. 2,1-2. 3. Ψαλμ. 15,11.

συνέτριψας. Τοῦ Κυρίου ἡ σωτηρία, καὶ ἐπὶ τὸν λαόν σου ἡ εὐλογία σου.»

Πιστεύσας τῇ προγνώσει τῆς γενησομένης αὐτῷ μετὰ «τὴν κοίμησιν» τουτέστι τοῦ θανάτου διὰ τῆς σωτηρίου χάριτος καὶ εὐεργεσίας· ὅτι τε οὐκ ἄλλως ἔσται ἢ τῇ αὐτοῦ τοῦ Σωτῆρος ἀναστάσει, ἀκολούθως εὔχεται ἐπιταχῦναι τοῦ Κυρίου τὴν ἀνάστασιν, ὅπως δι' αὐτῆς τύχῃ καὶ αὐτὸς τῆς σωτηρίας· διό φησιν· «Ἀνάστα, Κύριε, σῶσόν με, ὁ Θεός μου.» Νικητὴν δὲ τὸν Σωτῆρα εἰδὼς πάντων τῶν ἐπιβουλῶν τοῦ τῶν ἀνθρώπων γένους, δαιμόνων πονηρῶν καὶ δυνάμεων ἀντικειμένων, φησίν· «Ὅτι σὺ ἐπάταξας πάντας τοὺς ἐχθραίνοντάς μοι ματαίως.» Οὕτως τὸ Ἑβραϊκὸν οὐκ ἔχει, «ματαίως,» ἀλλὰ «σιαγόνα·» οἱ δὲ Ἑβδομήκοντα, «ματαίως», ἐξέδωκαν, ἢ κατὰ τὰ ἀρχαῖα ἀντίγραφα ἑτέρως ἐσχηκότα, καθά φασί τινες τῶν Ἑβραίων, ἢ τῆς λέξεως τὸ εὐτελὲς ἀποφεύγοντες. Οἱονεὶ δὲ κοιμώμενον δεικνὺς τὸν Θεόν, ὅτε πείρας ἕνεκα παρέδωκεν ἡμᾶς ταῖς ἀντικειμέναις δυνάμεσι, διανίστησιν αὐτόν. Τάχα δὲ καὶ ὅτε τὸν Σωτῆρα ὑπὲρ ἡμῶν πάντων παρέδωκεν, ἐκάθευδεν αὐτῷ ὁ Πατήρ· Ἀνίσταται δὲ σῴζων αὐτὸν πατάσσων αὐτοῦ τοὺς ἐχθρούς, ἢ τοὺς Ἰουδαίους, ἢ τοὺς νοητοὺς ἀλόγως ἐχθραίνοντας. Μετὰ γὰρ τῶν μισούντων ὁ ἅγιός ἐστιν εἰρηνικός, ἀγαπῶν τοὺς ἐχθρούς· ἀνθρωπινώτερον ὁ μὴ ματαίως ἐχθραίνων ἀμύνεσθαι θέλει· θεοσεβέστερον δὲ διὰ τὸ ἀληθεύειν. Ἔφη γὰρ ὁ Παῦλος· «Ἐχθρὸς ὑμῖν γέγονα ἀληθεύειν ὑμῖν·[1]» Ὁποῖον καὶ ἐν Ψαλμοῖς τό, «Οὐχὶ τοὺς μισοῦντάς σε, Κύριε, ἐμίσησα;[2]» Ἀλλ' οὐκ ἐπιβουλευτικὴν ἔχθραν νοητέον, ἀλλὰ κωλυτικήν, χεομένης κακίας εἰς πολλούς. Δι' ἑαυτοῦ γὰρ ἢ καὶ δι' ἄλλου χρὴ τὴν δυνατὴν προσάγοντα βοήθειαν θεραπεύειν· ἢ τὸ τελευταῖον εὔχεσθαι περὶ τοῦ κολασθῆναι τὴν μοχθηρὰν ἕξιν, ἤγουν ἐκριζωθῆναι ἀπὸ τοῦ ἔχοντος· οὗ διδακτικὸν καὶ τό, «Προσεύχεσθε ὑπὲρ τῶν ἐπηρεαζόντων», καὶ τό, «Ἀγαπᾶτε τοὺς ἐχθροὺς ὑμῶν.[3]» Ὁ δὲ μὴ ψιλῶς ἀγαπῶν, καὶ περὶ τὸ καλῶς γενέσθαι αὐτῷ συνεργεῖ, καὶ τὸ ἐν ἑβδόμῳ δὲ ψαλμῷ λεγόμενον· «Εἰ ἀνταπέδωκα τοῖς ἀνταποδιδοῦσί μοι κακά, ἀποπέσοιμι ἄρα ἀπὸ τῶν ἐχθρῶν μου κενός[4]», σαφῶς διδάσκει μηδένα μισεῖν. Πῶς οὖν εἴρηται· «Οὐχὶ τοὺς μισοῦντάς σε, Κύριε, ἐμίσησα;[5]» Μᾶλλον δὲ τίς ἐστιν οὕτως ἄθεος, ὡς μισεῖν ὃν ἡγεῖται Θεόν; Δῆλον οὖν, ὡς οἱ μισοῦντες καὶ καταθεματίζοντες Ἰησοῦν μισοῦσι τὸν Θεόν· «Ὁ γὰρ ἐμέ», φησί, «δεχόμενος δέχεται τὸν ἀποστείλαντά με·[6]» καί, «Ὁ ὁμολογῶν τὸν Υἱόν, καὶ τὸν Πατέρα ἔχει·[7]» οὐκοῦν καὶ «ὁ μισῶν τὸν Υἱόν, καὶ τὸν Πατέρα μισεῖ.[8]» Καὶ πᾶς δὲ ἁμαρτάνων μισεῖ τὸν Θεόν· μισεῖ γὰρ σοφίαν καὶ δικαιοσύνην, ἅπερ ἐστὶ Χριστός.

---

1. Γαλ. 4, 16. 2. Ψαλμ. 138, 21. 3. Ματθ. 5, 44. Λουκ. 6, 28. 4. Ψαλμ. 7, 5. 5. Ψαλμ. 138, 21. 6. Ματθ. 10, 40. 7. Πρβλ. Ματθ. 10, 40. 8. Ἰω. 15, 23.

Καὶ τί θαυμαστόν, ὅπου ἑαυτὸν ὁ ἁμαρτάνων μισεῖ; Κατὰ γὰρ Σολομῶντα· «Ὁ ἀπωθούμενος παιδείαν μισεῖ ἑαυτόν.[1]» Οὐκοῦν ὁ μισῶν τοὺς μισοῦντας τὸν Θεὸν πλὴν λογίων τῶν εὐσεβεστάτων πάντας μισήσει καὶ ἑαυτὸν ἁμαρτάνοντα. Ὥστε οὐ ζῷα νομιστέον τὰ μισοῦντα τὸν Θεόν, ἀλλὰ τοῖς λογικοῖς κακὰ συμβεβηκότα, οἷον ἡ ἀδικία· καὶ ὁ ἄδικος καθὸ ἄδικος μισεῖ τὸν Θεόν, τῆς ἐν αὐτῷ ἀδικίας τοῦτο ποιούσης. Καὶ δεῖ ταῦτα μισεῖν ἐχθρὰ τυγχάνοντα προηγουμένως ἡμῶν. Καὶ ὥσπερ ἀπὸ τελειότητος ἔρχεται δικαιοσύνη καὶ σωφροσύνη, οὕτω καὶ τὸ τοιόνδε μῖσος. Οὐκοῦν πᾶς ἐχθραίνων τινὶ ματαίως ἐχθραίνει· ὃ δὴ προὔκειτο δεῖξαι. Τοιοῦτόν ἐστι καὶ τό, «Ἐμίσησάν με δωρεάν.[2]»

Ἀλλὰ καὶ διὰ τοὺς ἀνωτέρω εἰρηκότας τῇ ψυχῇ αὐτοῦ, «οὐκ ἔστι σωτηρία αὐτῷ ἐν τῷ Θεῷ αὐτοῦ», νῦν φησιν·«Ὀδόντας ἁμαρτωλῶν συνέτριψας», τουτέστι τοὺς λόγους καὶ τὰς κατ' ἐμοῦ βλασφημίας περιεῖλας· ἀλλὰ καὶ αὐτοὺς τοὺς κατ' ἐμοῦ τὰ τοιαῦτα φθεγξαμένους, ἀσεβεῖς ὄντας καὶ ἐπιχαιρεσικάκους, συνέτριψας, καὶ τὰς φωνὰς αὐτῶν κατήσχυνας. Καὶ οὐ μόνον γε ἐμοὶ τὸ κοιμηθῆναι καὶ ἀναστῆναι παρέσχου, ἀλλὰ καὶ παντὶ τῷ μέλλοντι χρηματίζειν σου λαῷ. Τηρητέον δέ, ὡς, ἀντὶ τοῦ «Σωτηρία», ἡ Ἑβραϊκὴ φωνὴ τὸ «τοῦ Ἰησοῦ» ὄνομα παρείληπται· καὶ δὴ τὸ συμπέρασμα τοῦ παντὸς δύο περιέχει διδασκαλίας· ὅτι τε ἡ τοῦ Κυρίου δύναμις σωτήριός ἐστι, καὶ ὅτι αὐτὸς τῷ αὐτοῦ λαῷ, τῷ δι αὐτοῦ σεσωσμένῳ, τὴν εὐλογίαν παρέξει. Εὐλογία δὲ πάντως πνευματικὴ κατὰ τὸν Ἀπόστολον εἰπόντα· «Εὐλογητὸς ὁ Θεὸς καὶ Πατὴρ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· ὁ εὐλογήσας ἡμᾶς ἐν πάσῃ εὐλογίᾳ πνευματικῇ ἐν τοῖς ἐπουρανίοις ἐν Χριστῷ.[3]» Ἔνθεν ἐπὶ τῆς τοῦ Σωτῆρος γενέσεως λέλεκται τῷ Ἰωσὴφ ὑπὸ τοῦ ἀγγέλου· «Καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἰησοῦν· αὐτὸς γὰρ σώσει τὸν λαὸν αὐτοῦ[4]», οὓς καὶ μακαρίους ὁ λόγος ἔφασκε. Ταῦτα μὲν οὖν τις κατὰ θεωρίαν τῶν προκειμένων. Εἴποι δ' ἄν τις καὶ πρὸς λέξιν πεπληρῶσθαι αὐτά· προλεχθέντα μὲν ὑπὸ τοῦ Δαυΐδ προφητικῶς ἐν καιρῷ τῆς περιστάσεως, ὁπηνίκα ὁ υἱὸς ἐδίωκεν αὐτόν, ἐπὶ πέρας δὲ ἠγμένα μετ' οὐ πολύ, ὅτε ἐν τῇ τοῦ πολέμου συμβολῇ πίπτει μὲν ὁ Ἀβεσσαλώμ, πίπτουσι δὲ καὶ οἱ τὰ φίλα αὐτῷ φρονοῦντες· κρατεῖ δὲ ἡ τοῦ Δαυΐδ πρόρρησις ἡ φήσασα· «Ὅτι σὺ ἐπάταξας πάντας τοὺς ἐχθραίνοντάς μοι ματαίως· ὀδόντας ἁμαρτωλῶν συνέτριψας. Τοῦ Κυρίου ἡ σωτηρία, καὶ ἐπὶ τὸν λαόν σου ἡ εὐλογία σου.» Ἐλέγετο γοῦν ταῦτα προφητικῶς, ὡς ἂν ἤδη τοῦ λαοῦ σεσωσμένου, καὶ ὑπὸ τοῦ Δαυΐδ γεγενημένου.

1. Παρμ. 15,32. 2. Ψαλμ. 34,19. 3. Ἐφ. 1,3. 4. Ματθ. 1,21.

ΕΞΗΓΗΣΙΣ ΨΑΛΜΟΥ Δ'.

Εἰς τὸ τέλος ἐν ψαλμοῖς ᾠδὴ τῷ Δαυΐδ.
Εἰς τὸ τέλος ἐν ὕμνοις ψαλμὸς τῷ Δαυΐδ.

Ὥσπερ πάσης τέχνης καὶ ἐπιστήμης τέλος ἐστὶν .... καταντῆσαι τὸν μετερχόμενον· οὕτω πάσης λογικῆς φύσεως, τὸ ἐν Χριστῷ ζωοποιηθῆναι τέλος ἐστίν, ὡς ἐν τῇ πρώτῃ πρὸς Κορινθίους ὁ Παῦλός φησι λέγων τῷ ἰδίῳ τάγματι·[1] Δοκεῖ μη .... ἐν ὑπογράφειν ἁπάντων, ὡς αἱ ἑκάστου «ζωοποιουμένου» πρὸς τὴν ἀξίαν μετὰ βασάνους. Ἢ καὶ τούτων χωρὶς «ζωοποιήσας» δὲ πάντας Χριστὸς ἐν ἑαυτῷ τοὺς τῷ Ἀδὰμ ἀποθνήσκοντας βασιλεύει «τῶν ζωοποιηθέντων»· ἐφ' ὃ παρεκάλει τοὺς συνιέντας ἡ «εἰς τὸ τέλος» ἐπιγραφή. Παντὶ δὲ ἀγωνιζομένῳ τέλος ἡ νίκη. Πολλαὶ μὲν οὖν αἱ κατὰ μέρος νίκαι, καὶ τέλος ἢ ποτὲ μὲν λέγοντος Παύλου· «Ἐν τούτοις πᾶσιν ὑπερνικῶμεν διὰ τοῦ ἀγαπήσαντος ἡμᾶς·[2]» ποτὲ δέ· «Τὸν ἀγῶνα τὸν καλὸν ἠγώνισμαι, τὸν δρόμον τετέλεκα, τὴν πίστιν τετήρηκα· λοιπὸν ἀπόκειταί μοι ὁ τῆς δικαιοσύνης στέφανος, ὃν ἀποδώσει μοι ὁ Κύριος.[3]» Οἱ οὖν ἐπιγεγραμμένοι «εἰς τὸ τέλος τῷ Δαυΐδ,» τέλος καὶ νίκην ἀπαγγέλλουσι τοῦ Χριστοῦ λεγομένου Δαυΐδ· καὶ ἀντὶ τοῦ, «εἰς τέλος» κατὰ τὸν Ἀκύλαν, «νικοποιοῦ». Παντὶ γὰρ νενικημένῳ περιποιήσεται νίκην. Ὑπὸ Χριστοῦ γάρ τις νικώμενος, τὴν κακίαν νενίκηκε, ταύτην ἐξαφανίζων τῷ ὑποτετάχθαι Χριστῷ. Νικᾷ γὰρ οὐκ ἄκοντας, ἀλλὰ πείθων ὡς λόγος Θεοῦ. Τοὺς δὲ τοιούτους ὕμνους ἢ ψαλμούς, «εἰς τὸ νῖκος,» Θεοδοτίων ἐπέγραψε· Σύμμαχος δέ, «ἐπινικίους». Οὕτω δὲ νοεῖν εὔλογον, κἂν μὴ τῷ Δαυΐδ ὦσιν ἐπιγεγραμμένοι, ἀλλ' «εἰς τὸ τέλος» τυχὸν «τῷ Ἀσάφ», ἢ «τοῖς υἱοῖς Κορέ», τῷ τοὺς ἁγίους ἀναδεδέχθαι πάντας τὴν εἰκόνα Χριστοῦ. Τὸν δὲ «ἐν ψαλμοῖς» παρὰ τοῖς Ἑβδομήκοντα καὶ Ἀκύλας, (sic) σαφέστερον ὁ Σύμμαχος, «διὰ ψαλτηρίων» ἐξέδωκε διδασκο...... τὴν ᾠδὴν εἰρῆσθαι.........τὰ ψαλτήρια πλείω.........ὄργανα δι' ὧν ᾄδεται τὸ «εἰς τὸ τέλος», ἢ «ὁ ἐπινίκιος», ἢ «τῷ νικοποιῷ», ὃ δηλοῦν ἔοικε καὶ τὸ «εἰς νῖκος ἐν ὕμνοις» παρὰ τῷ Θεοδοτίωνι. Αὕτη τοίνυν ἡ ᾠδή, ἢ τὸ μελῴδημα, ἢ ψαλμὸς τὴν εἰρημένην ἔχων ὑπόθεσιν ἐπαγγέλλεται ταύτην κοινότερον μὲν ἐν τῷ προφήτῃ Δαυΐδ, μυστικώτερον δὲ τῷ Χριστῷ, τὸ πρόσωπον τῶν ἁγίων ἀναλαμβάνοντι, τὰς δὲ θλίψεις αὐτῶν ἰδιοποιημένῳ καὶ τοὺς πλατυσμοὺς ἁγίων· ἁγίων γάρ, φωνὴ τό, «ἐν παντὶ θλιβόμενοι, ἀλλ' οὐ στενοχωρούμενοι·[4]» ἐπιστρέφοντι δὲ καὶ τοὺς ὅσοι τυγχάνουσι βαρυκάρδιοι, τούς τε ἀγαπῶντας τὰ μάταια καὶ ζητοῦντας τὸ ψεῦδος. Τὸ δὲ μελῴδημα παρὰ

1. Πρβλ. Α' Κορ. 15, 22. 2. Ῥωμ. 8, 37. 3. Β' Τιμ. 4, 7-8.
4. Β' Κορ. 4, 8.

τὴν ᾠδὴν ἔοικε δηλοῦν καὶ τὸ τοῦ μυστικοῦ ῥυθμοῦ τεχνικόν· κατὰ δὲ ἀναγωγὴν ὀρθήν, πολιτεία πρὸς δόξαν Θεοῦ μετὰ δογμάτων ὑγιῶν καὶ λόγων καὶ ἑτέροις ὠφελίμων.

Στίχ. β'. «Ἐν τῷ ἐπικαλεῖσθαί με, εἰσήκουσέ μου ὁ Θεὸς τῆς δικαιοσύνης μου, ἐν θλίψει ἐπλάτυνάς με.»

Ὁ μὲν πρὸ τούτου ψαλμὸς ἐλέγετο ἐν τῷ ἀποδιδράσκειν Δαυῒδ ἀπὸ προσώπου Ἀβεσσαλὼμ τοῦ υἱοῦ αὐτοῦ· ὁ δὲ παρὼν ἔοικεν ἑξῆς ἐκείνῳ εἰρῆσθαι μετὰ τὴν κατὰ τοῦ Ἀβεσσαλὼμ νίκην· μεθ' ὃν ὕμνον ἐπινίκιον τῷ νικοποιῷ Θεῷ ἀνατίθησι τὸν παρόντα ψαλμόν, δι' οὗ καὶ ἡμεῖς παιδευόμεθα μὴ ἀμνημονεῖν τῶν τοῦ Θεοῦ εἰς ἡμᾶς εὐεργεσιῶν. Εἰκότως οὖν ἐν μὲν τῷ πρὸ τούτου ἔλεγεν· «Κύριε, τί ἐπληθύνθησαν οἱ θλίβοντές με;[1]» ἐν δὲ τούτῳ· «Ἐν θλίψει ἐπλάτυνάς με.» Λέγει δὲ ταῦτα περὶ τῆς κατὰ τὸν Ἀβεσσαλὼμ συμφορᾶς· καθ' ἣν τὸν Θεὸν ἐπικαλεσάμενος, ἔτυχεν αὐτοῦ ἐπηκόου· καὶ γενόμενος ἐν θλίψει διὰ τὸν λαόν, καὶ τὴν κιβωτὸν τοῦ Θεοῦ, ἀνέσεως καὶ «πλατυσμοῦ» ἠξιώθη, παυσαμένου μὲν τοῦ πολέμου, εἰρήνης δὲ βαθυτάτης διαλαβούσης αὐτόν τε καὶ πάντα τὸν λαόν. Ἢ ἄλλως λέγει ταῦτα ἐπὶ τοῦ πταίσματος τῆς τοῦ Οὐρίου, καὶ ἡ τοῦ υἱοῦ ἐπανάστασις, καὶ τὰ λοιπὰ πάντα τὰ κατὰ τὸν οἶκον κακὰ ἃ συμβέβηκεν αὐτῷ. Ἐπὶ τούτοις γὰρ ἑαυτὸν κακώσας, μετανοίᾳ τε καὶ ἐξομολογήσει ἑαυτὸν παραδούς, καὶ τῷ πταίσματι ἐφαμίλλως ἑαυτὸν τιμωρησάμενος, ἔργοις τε δικαιοσύνης καὶ καρποῖς ἀγαθοῖς πάσης εὐποιΐας τὸν Θεὸν ἱλασάμενος, καὶ τυχὼν ἐπαγγελίας ἀγαθῆς, δι' ἣν τῷ πρὸ τούτου ψαλμῷ προφητικῶς ἔλεγε· «Σὺ δέ, Κύριε, ἀντιλήπτωρ μου εἶ, δόξα μου καὶ ὑψῶν τὴν κεφαλήν μου[2]», καὶ τὰ λοιπὰ ὅσα παρίστη ὁ πρὸ τούτου λόγος, ἀκολούθως διὰ τῶν προκειμένων φησίν· «Ἐν τῷ ἐπικαλεῖσθαί με εἰσήκουσέ μου ὁ Θεὸς τῆς δικαιοσύνης μου, ἐν θλίψει ἐπλάτυνάς με.» Οἰκτείρησόν με καὶ εἰσάκουσον τῆς προσευχῆς μου.» Τὸ πρῶτον ἐπακουσθεὶς ἐν τῷ ἐπικαλεῖσθαι τὸν Κύριον, οὐκ ἐπαίρεται οὐδὲ ἀπορρᾳθυμεῖ· ἀλλ' εὐθὺς περὶ τοῦ μέλλοντος χρόνου πάλιν δέεται, πάντοτε τὸν Θεὸν ἐπήκοον ἔχειν παρακαλῶν· ἱκετεύει τε κατ' οἶκτον ἐπακουσθῆναι, οὐ κατ' ὀφειλήν. Εἰ γὰρ καὶ παρῆν τις αὐτῷ καρπὸς δικαιοσύνης, ἀλλ' οὐκ ἐπὶ τούτῳ θαρσεῖν ἔλεγεν· ἀλλ' ἐπὶ τῷ ἐλέῳ καὶ τοῖς οἰκτιρμοῖς τοῦ Θεοῦ.

Στίχ. γ'. «Υἱοὶ ἀνθρώπων, ἕως πότε βαρυκάρδιοι; ἵνα τί ἀγαπᾶτε ματαιότητα, καὶ ζητεῖτε ψεῦδος;»

Τοὺς τὴν διάνοιαν πεπαχυμμένους, καὶ περὶ τὴν ὑπακοὴν τοῦ θείου λόγου βραδεῖς, βαρυκαρδίους ὠνόμασεν, ἢ τοὺς βεβαρημένους τὸ συνειδὸς ὑπὸ μοχθηρῶν λογισμῶν· πλήττων δὲ τούτους τῷ λόγῳ φησίν· Ἕως πότε ταῖς ἑαυτῶν ἁμαρτίαις παραμένετε, σπεύδειν δέον ἐπὶ μετάνοιαν καὶ τὴν φίλην τῷ Θεῷ ἐξομολόγησιν; κατὰ δὲ τὴν ἱστορίαν,

1. Ψαλμ. 3, 2. 2. Ψαλμ. 3, 4.

ἔοικεν ὁ Δαυῒδ πρὸς τοὺς ἐπὶ τοῖς πειρασμοῖς καὶ ταῖς περιστάσεσι ταραττομένους, καὶ θορυβουμένους, καὶ πάντα μᾶλλον πράττοντας ἢ ἐπὶ τὸν Θεὸν καταφεύγοντας, ταῦτα λέγειν. Τί γὰρ χρὴ ταράττειν καὶ ταράττεσθαι, φησίν, ἐν τοῖς περιστατικοῖς καιροῖς; Τί δὲ χρὴ ματαιότητι ἑαυτοὺς ἐκδιδόναι, ὦ βαρυκάρδιοι ἄνδρες; Τί δὲ τὸ ψεῦδος μετιέναι, τὸ ἀληθὲς καταλιπόντας; Ἀλλὰ γὰρ ἐντεῦθεν μαθόντες, ὅτι Θεὸς καὶ Κύριός ἐστιν ὁ τῶν ὅλων ἔφορος καὶ προνοητής, ὁ μηδέποτε καταλείπων πάντα ὅσιον αὐτοῦ, ἀλλ' ἀεὶ θαυμαστὰ ἐπ' αὐτῷ δεικνύς, σπουδάζετε καὶ αὐτοὶ ὅσιοι γενέσθαι, εὖ καὶ ἀκριβῶς εἰδότες, ὅτι καὶ ὑμῶν ὥσπερ οὖν καὶ ἐμοῦ αὐτοῦ Κύριος εἰσακούσεται, ἐν τῷ κεκραγέναι πρὸς αὐτόν. Ἐπακούσαντος δὲ ὑμῶν τοῦ Κυρίου, οὐδὲν δεῖ λοιπὸν μεριμνᾶν, ἔχοντας τὸ ἀσφαλὲς ἀπὸ τῆς παρ' αὐτοῦ βοηθείας. Δόξα τε τοῦ θείου λόγου εἶεν ἂν οἱ υἱοὶ τῶν ἀνθρώπων κατὰ τὸν Ἀκύλαν καὶ Σύμμαχον· ὁ μὲν γὰρ Ἀκύλας· «Ἕως πότε, οἱ ἔνδοξοί μου;» ὁ δὲ Σύμμαχος· «Ἕως πότε, ἡ δόξα μου;» διὰ τὴν ἐν αὐτοῖς νοερὰν ψυχὴν καὶ λογικὴν τὴν κατ' εἰκόνα τοῦ Θεοῦ πεποιημένην. Οὓς ἐπὶ τὸ χεῖρον ἑαυτοὺς διαστρέφοντας ὁ λόγος ἐπονειδίζει, «βαρυκαρδίους» καλῶν, καὶ ἀνθρώπων υἱούς· δέον εἶναι υἱοὺς Θεοῦ, κατὰ τό· «Ἐγὼ εἶπον· Θεοί ἐστε, καὶ υἱοὶ Ὑψίστου πάντες.[1]»

Στίχ. δ'. «Καὶ γνῶτε, ὅτι ἐθαυμάστωσε Κύριος τὸν ὅσιον αὐτοῦ.»

Ὁ προφήτης περὶ Χριστοῦ διδάσκει ἡμᾶς, ὅς ἐστιν ἀληθὴς ὅσιος, κατὰ τὸ εἰρημένον ἐν τῷ ιε' ψαλμῷ· καὶ οἱ ἀπόστολοι δὲ ἐμαρτύρησαν, ὡς περὶ Χριστοῦ προφητευομένου λέγοντες εἰρῆσθαι τό, «Οὐκ ἐγκαταλείψεις τὴν ψυχήν μου εἰς ᾅδην, οὐδὲ δώσεις τὸν ὅσιόν σου ἰδεῖν διαφθοράν.[2]» Δυνατὸν δὲ καὶ περὶ παντὸς ὁσίου διδάσκεσθαι ἡμᾶς. Οὐ ταυτὸν δέ ἐστι πιστεῦσαι, «ὅτι ἐθαυμάστωσε Κύριος τὸν ὅσιον αὐτοῦ», καὶ γνῶναι, ὡς οὐδὲ ταὐτόν ἐστι τῇ ἀληθείᾳ πιστεῦσαι, καὶ γνῶναι τὴν ἀλήθειαν, καὶ πιστεῦσαι τῷ Θεῷ καὶ γνῶναι τὸν Θεόν. Οἱ ἀπόστολοι οὖν τῇ ἀληθείᾳ ἐπίστευον· ἀλλ' οὐ πάντως ὅτε ἐπίστευον ἐγνώκεισαν αὐτήν. Ἀπόδειξις δὲ τῶν εἰρημένων τὸ Εὐαγγέλιον, ἔνθα εἴρηται· «Ἐὰν μείνητε ἐν τῷ ἐμῷ λόγῳ, ἀληθῶς μαθηταί μού ἐστε, καὶ γνώσεσθε τὴν ἀλήθειαν, καὶ ἡ ἀλήθεια ἐλευθερώσει ὑμᾶς.[3]» Πιστεύουσι γὰρ τῇ ἀληθείᾳ, φησί, τὸ γνώσεσθαι τὴν ἀλήθειαν· κατὰ γὰρ τοὺς προφήτας πιστεῦσαι δεῖ πρὶν συνιέναι καὶ λαλῆσαι· τοῦ μὲν Ἡσαΐου λέγοντος· «Ἐὰν μὴ πιστεύσητε, οὐδ' οὐ μὴ συνῆτε·[4]» τοῦ δὲ Δαυῒδ· «Ἐπίστευσα, διὸ ἐλάλησα.[5]» Ὅτι δὲ τὸ γινώσκειν τὸν Θεὸν τοῦ πιστεύειν αὐτῷ διαφέρει, ἐν τοῖς Ψαλμοῖς ἀναγέγραπται διὰ τοῦ, «Σχολάσατε καὶ γνῶτε, ὅτι ἐγώ εἰμι ὁ Θεός·[6]» οὐ γὰρ τοῖς ἀπιστοῦσί φησι· «Σχολάσατε καὶ γνῶτε, ὅτι ἐγώ εἰμι ὁ Θεός.» Ἐπὶ γνῶσιν οὖν ἡμᾶς ὁ λόγος προκαλούμενος ὑποβαίνει καὶ τὴν τίνος γνῶ-

---

1. Ψαλμ. 81, 6. 2. Ψαλμ. 15, 10. 3. Ἰω. 8, 31-32. 4. Ἡσ. 7, 9. 5. Ψαλμ. 115, 1. 6. Ψαλμ. 45, 11.

σιν ἀναλαβεῖν ἡμᾶς χρή, ὡς εἰσιν ὑπὸ Θεοῦ τεθαυμαστωμένοι οἱ ὅσιοι, θαύμασι προσαχθέντες τῶν ἀπορρήτων μυστηρίων καὶ τῶν ἁγίων θεωρημάτων, καὶ αὐτοὶ δι' αὐτὴν τοῦ Θεοῦ χάριν καὶ θείαν ἐπισκοπὴν θαυμαστοὶ γενόμενοι.

Στίχ. ε'. «Ὀργίζεσθε καὶ μὴ ἁμαρτάνετε· ἃ λέγετε ἐν ταῖς καρδίαις ὑμῶν, ἐπὶ ταῖς κοίταις ὑμῶν κατανύγητε.»

Συμβουλεύει κωλύειν τὸ τῆς ὀργῆς πάθος, εἴ ποτε ἀγανακτικῶς ἀνακινεῖται, μηδὲ εἰς ἔργον τὸν θυμὸν κινεῖσθαι παραινῶν. Οὐκ ἀκαίρως δὲ ταῦτά φησιν· ἀλλ' ἐπειδὴ κατὰ τοῦ Ἀβεσσαλὼμ ὁρμῶντες εἰς πόλεμον, μετ' ὀργῆς ἐξῄεσαν, ὡς εἰκός, οἱ μετὰ τοῦ Δαυΐδ, ἀγανακτοῦντες ἐπὶ τῇ τοῦ υἱοῦ κατὰ τοῦ πατρὸς ἐπαναστάσει· τούτου χάριν ἔοικε τοιαῦτά τινα πρὸς αὐτοὺς λέγειν· Ὑμεῖς μέν, ὦ ἄνδρες σύμμαχοι, οἳ δὴ καὶ «ἔνδοξοί μου» ὡς «υἱοὶ ἀνθρώπων βαρυκάρδιοί» τινες ὄντες, καὶ τῇ τοῦ θνητοῦ βίου ματαιότητι προσέχοντες, οὐκ εἰδότες τὴν τοῦ Θεοῦ κατὰ τῶν ἀσεβῶν δικαιοκρισίαν, θυμοῦσθε κατὰ τοῦ ἀσεβοῦς υἱοῦ· καὶ δικαίως κινούμενοι, καὶ ἀγανακτικῶς ὀργιζόμενοι, ἐπὶ τὸν πόλεμον ὁρμᾶτε· ἐγὼ δὲ τοῖς πᾶσι παραινῶ, εἰ καὶ εὔλογος ἡ ὀργή, ἀλλ' ὑμᾶς οὐ χρὴ τῆς οἰκείας ἐπιλανθάνεσθαι ἀνεξικακίας, οὐδ' ἐπὶ πλέον ἐξάπτεσθαι, ὡς καὶ ἐπὶ ἁμαρτίας ἐκπίπτειν. Διό φημι· «Ὀργίζεσθε, ἀλλὰ μὴ ἁμαρτάνετε.» Εἰ δὲ καὶ κλονεῖσθε, κατὰ τὸν Ἀκύλαν, τὰς ψυχὰς διὰ τὰ τῷ Ἀβεσσαλὼμ προτετολμημένα, ἀλλ' ὁρᾶτε μὴ καὶ ἑτέραν ἐπὶ ταῖς προτέραις προσθείητε ἁμαρτίαν, τῇ ὀργῇ ἐπιμένοντες. Εὕροις δ' ἂν καὶ κατὰ τὴν ἱστορίαν πολλὰ παραινοῦντα αὐτὸν φείσασθαι τοῦ παιδός.

Στίχ. ς'. «Θύσατε θυσίαν δικαιοσύνης, καὶ ἐλπίσατε ἐπὶ Κύριον.»

Εἰ καὶ ὡς ἄνθρωποι θνητοὶ πολλὰ διανοεῖσθε μεθ' ἡμέραν ὀργιζόμενοι· ἀλλ' ἐπὶ ταῖς κοίταις ὑμῶν ἐφ' ἡσυχίας, παρ' ἑαυτοῖς γενόμενοι, κατανύγητε, τὰ δι' ἡμέρας ὑμῖν πεπραγμένα διαλογιζόμενοι. Μὴ γοῦν, φησίν, ὀργίζεσθε κατὰ τῶν εἰς ὑμᾶς πλημμελούντων, μηδὲ κατὰ τοῦ ἐπαναστάντος τῷ πατρί· μήτε αὐτοὶ ἁμαρτάνοντες, κἂν ἕτεροι ἀσεβοῦντες προκαλοῦνται ὑμᾶς εἰς ὀργῆς ἔργα καὶ εἰς ἁμαρτίας, ἀλλ' ἀντὶ τούτων μᾶλλον, εἴπερ βούλεσθε τὸ ἀσφαλὲς ἔχειν «θύσατε θυσίαν δικαιοσύνης, καὶ ἐλπίσατε ἐπὶ Κύριον», καὶ μηκέτι ταράττεσθε, οἰκειωθέντες τῷ Κυρίῳ διὰ τῆς δικαιοσύνης. Ἐπείπερ ἀντὶ πάσης θυσίας χαίρει δικαιοπραγίαις καὶ ταῖς κατ' ἀρετὴν πράξεσι. Καὶ τοῦτο πολὺ βέλτιον πράττειν ἢ ὀργίζεσθαι καὶ ἑαυτοὺς ἐκδικεῖν σπουδάζειν. Διὸ δὴ καὶ αὐτός, ἐπαναστάντος τοῦ υἱοῦ, περὶ τοῦτο μόνον ἐσπούδασα διὰ δικαιοσύνης τὸν Θεὸν ἱλασκόμενος· ὅθεν, «Ἐν τῷ ἐπικαλεῖσθαί με εἰσήκουσέ μου ὁ Θεὸς τῆς δικαιοσύνης μου», καί, «ἐν θλίψει ἐπλάτυνάς μοι· » ἐπειδή, θύσας θυσίαν δικαιοσύνης, ἐπ' αὐτὸν ἤλπισα.

Στίχ. ζ'. «Πολλοὶ λέγουσιν· Τίς δείξει ἡμῖν ἀγαθά;»

Ἄλλοι μέν, φησίν, ἄλλως διανοούμενοι, καὶ μάλιστα οἱ βαρυκάρδιοι υἱοὶ τῶν ἀνθρώπων, οἱ τὴν τοῦ βίου ματαιότητα ἀγαπῶντες,

οὐκ εἰδότες τ' ἀληθῶς ἀγαθά, οὐδὲ ἐλπίζοντες, οὐδὲ πιστεύοντες ταῦτα ὄψεσθαι, φασί· «Τίς δείξει ἡμῖν τὰ ἀγαθά;» Οὐ γὰρ συνορῶσιν αὐτά, τῷ μὴ καταυγάζεσθαι τῷ φωτὶ τοῦ προσώπου σου· διὸ δὴ μόνα τὰ γεώδη καὶ φθαρτὰ ὑπολαμβάνοντες εἶναι ἀγαθά, περὶ ταῦτα ἀσχολοῦνται καὶ ταῦτα μεταδιώκουσιν. Εἰ δέ τις αὐτοῖς περὶ τῶν θειοτέρων καὶ ἐπουρανίων λέγοι, ἐρωτᾶν εἰώθασιν· Καὶ τίς ἆρά ἐστιν ὁ δείξων ἡμῖν ταῦτα; Ἀλλ' ἐκεῖνοι μὲν τοιοῦτοί τινες. Ἡμεῖς δὲ παρ' οἷς «ἐσημειώθη τὸ φῶς τοῦ προσώπου σου, ὦ Κύριε», καὶ τὸν δείξοντα καὶ τὸν δώσοντα ἡμῖν αὐτὰ ἐπιστάμεθα ὑπὸ τοῦ σου φωτὸς εἰς τὴν γνῶσιν αὐτῶν ἐληλυθότες· «Ἔδωκας εὐφροσύνην εἰς τὴν καρδίαν μου.»

Στίχ. η'. «Ἀπὸ καρποῦ τοῦ σίτου καὶ οἴνου καὶ ἐλαίου αὐτῶν ἐπληθύνθησαν.»

Ἐπεὶ δὲ πολλαχοῦ τῶν Γραφῶν ἐν εὐλογίαις σῖτος καὶ οἶνος τοῖς ἁγίοις κεῖνται ἐν ἐπαγγελίᾳ, ὡς τοῦ ἐναντίου τοῖς ἁμαρτωλοῖς ἡ τούτων στέρησις· ἄξιον ἀποστῆσαι τῆς κατὰ τὸ ῥητὸν ψιλὸν ὑπολήψεως, τούς τε ἀκεραιοτέρους τῶν πεπιστευκότων, καὶ τοὺς διὰ τὴν μικρότητα τῆς ἐπαγγελίας ἑτέρῳ Θεῷ ἀναπλαττομένῳ ὑπ' αὐτῶν βουλομένους προσκυνεῖν· καὶ φιλοτιμητέον τὸ ποικίλον τῶν σωματικῶν βρωμάτων ἀναγαγεῖν ἐπὶ ταῦτα, ὧν μεταλαμβάνουσα κατ' ἀξίαν ἑκάστη ψυχὴ ἁγιάζεταί τε καὶ εὐεκτεῖ καὶ ἰσχυροποιεῖται πρὸς τὸ δύνασθαι τὰ ἐπιβάλλοντα αὐτῇ ἔργα ἐπιτελεῖν· Ἐγὼ δὲ οἶμαι αὐτὰ καὶ εἰς τὸν μέλλοντα αἰῶνα ἀνάγεσθαι. Καὶ ἵνα μὴ περὶ τῶν τηλικούτων ἀμαρτύρως δόξωμεν ἀποφαίνεσθαι, ἀρκέσει ἡμῖν Παῦλος σαφέστατα τοῦτο διδάσκων ἐν τῇ πρὸς Φιλιππησίους Ἐπιστολῇ οὕτως· «Μὴ οὖν τις ὑμᾶς κρινέτω ἐν βρώσει ἢ ἐν πόσει, ἢ ἐν μέρει ἑορτῆς ἢ νουμηνίας σαββάτων· ἅ ἐστι σκιὰ τῶν μελλόντων.[1]»

Στίχ. θ'. «Ἐν εἰρήνῃ ἐπὶ τὸ αὐτὸ κοιμηθήσομαι καὶ ὑπνώσω, ὅτι σύ, Κύριε, κατὰ μόνας ἐπ' ἐλπίδι κατῴκισάς με.»

Ἔοικε δηλοῦν τὴν ἀβλαβῆ ἄνεσιν καὶ ἀνάπαυσιν τῆς ψυχῆς, συμφώνως τῷ θείῳ λόγῳ ἐσομένην μετὰ τὰς πρὸς τὰ κάλλιστα θεωρίας. Τάχα γὰρ ὃν τρόπον κατὰ τὸ σῶμα φαγόντες καὶ πιόντες ἀνέσεως δεόμεθα τῆς κατὰ τὸν ὕπνον· οὕτως οὐ πάντοτε δυναμένη διαρκεῖν ἡ ψυχὴ πρὸς τὸ θεωρεῖν, ἐν καιρῷ ἐνατενίζει τοῖς κατὰ τὴν ἑαυτῆς δύναμιν τῷ αὐτάρκει· εἶτα διανάπαυσιν ἡγούμεθα δηλοῦσθαι διὰ τοῦ· «Ἐν εἰρήνῃ ἐπὶ τὸ αὐτὸ κοιμηθήσομαι καὶ ὑπνώσω.»

Ἐκεῖνοι μέν, φησίν, οἱ πολλοὶ ἅτε δὴ πλατεῖαν καὶ εὐρύχωρον ὁδεύοντες, δι' ἧς οἱ πολλοὶ βαδίζουσι, οὐκ ἐλπίζοντες, τίς δείξει αὐτοῖς τὰ κατὰ ἀλήθειαν ἀγαθά, ἐν οἴνῳ καὶ ἐλαίῳ καὶ σίτῳ πληθύνοντες, ὡς ἀγαθῶν τούτων ἀπολαύειν ἡγοῦνται· ἐμοὶ δὲ τῷ καταξιωμένῳ τοῦ φωτὸς τοῦ προσώπου σου, Κύριε, ἔδωκας εὐφροσύνην καρδίας· ἀλλ' οὐδὲ σαρκῶν οὐδὲ σωμάτων, καὶ οὐ τὴν ἐξ οἴνου καὶ σίτου

1. Κολ. 2, 16-17.

καὶ ἐλαίου σώματι χορηγουμένην, ἀλλ' εὐφροσύνην τὴν κατὰ διάνοιαν. Μαθὼν γὰρ παρὰ τοῦ Σωτῆρος καὶ τῶν σῶν ἐπαγγελιῶν, ὅτι, εἰ καὶ τὰ μάλιστα κατὰ τὸν ἐνεστῶτα βίον λῦπαί μοι καὶ θλίψεις καὶ πειρασμοὶ καὶ περιστάσεις οὐ διαλείπουσιν, ἀλλ' ἔσται μοι καιρὸς ὁ τῆς ἀπαλλαγῆς τοῦ σώματος, καθ' ὃν ἐν εἰρήνῃ ποιήσομαι τὴν κοίμησιν καὶ τὴν ἀπαλλαγὴν τοῦ σώματος· εὖ δὲ ἀκριβῶς πέπεισμαι, ὅτι τότε μοι παρέσται τὰ τέλη τῆς εὐφροσύνης, ἐπειδὰν ἡ κοίμησίς με καταλάβῃ καὶ ὁ κατὰ τὸν θάνατον ὕπνος. Τότε γὰρ σὺ αὐτὸς ὁ, Κύριε, μετὰ τῆς ἀγαθῆς ταύτης ἐλπίδος ἀναλαβών με κατοικιεῖς ἐν ταῖς ἐπουρανίοις μοναῖς. Σημείωσαι δὲ κἀνταῦθα τὰς ἐπὶ τοῖς διαψάλμασι διαστολάς, ἤτοι τῆς διανοίας ἐναλλαγὴν παριστώσας, ἢ τάχα μεταβολὴν τοῦ μέλους ἐναλλάττοντος, ἢ τὸν ῥυθμόν.

Ἀστέριος δὲ ὁ ἀρειανὸς οὕτως τὸν ψαλμὸν ἐξηγήσατο· Διὰ τί, «εἰς τὸ τέλος ἐν ὕμνοις», ἐπιγέγραπται ὁ ψαλμός; Ἐπειδὴ καλῶς μὲν ἤρξατο, καλῶς δὲ τὸν βίον ἐτέλεσε· ἢ ἐπειδὴ κακῶς μὲν ἤρξατο, θεωρήσας τὴν τοῦ Οὐρίου γυναῖκα λουομένην καὶ ἐμοίχευσε· καλῶς δέ, μετανοήσας, τὸν βίον ἐτέλεσε· διὰ τοῦτο «εἰς τὴν ἀρχὴν ἐν ψόγοις, εἰς τὸ τέλος ἐν ὕμνοις. Ψαλμὸς τῷ Δαυῒδ» ἡ πρᾶξις τῆς μετανοίας· καὶ ἐπειδὴ «ὅπου ἐπλεόνασεν ἡ ἁμαρτία, ὑπερεπερίσσευσεν ἡ δικαιοσύνη», διὰ τοῦτο ἔλεγεν· «Ἐν τῷ ἐπικαλεῖσθαί με εἰσήκουσέ μου ὁ Θεὸς τῆς δικαιοσύνης μου.[1]» Δικαιοσύνην γὰρ αὐτοῦ νῦν λέγει ὁ Δαυῒδ τὴν μετάνοιαν. Εἶδεν ὁ Θεὸς καθαρθεῖσαν τὴν ψυχήν, καὶ ἐδέξατο τὴν προσευχήν. Ἢ ἐπειδὴ ἐν τῷ πρὸ τούτου ψαλμῷ τὸν διωγμὸν τὸν ὑπὸ τοῦ Ἀβεσσαλὼμ ὠδύρετο· προσευχὴ δὲ μεσιτεύσασα τὸν τύραννον ἀνεῖλεν· ὡς, ἐρωτηθεὶς πῶς τοῦ Ἀβεσσαλὼμ ἐνίκησεν, ἀπεκρίνατο τὴν ἀρχὴν τοῦ ψαλμοῦ. Ὥσπερ γάρ, φησίν, ἁμαρτήσαντί μοι ὁ Θεὸς αὐτὸν κατ' ἐμοῦ ἤγειρεν, οὕτως μετανοήσαντι τὴν κατ' αὐτοῦ ἐδωρήσατο νίκην. Διὰ τί δ' ἐν αὐτῷ τῷ ἐπικαλεῖσθαι εἰσηκούσθη ὁ Δαυΐδ; Ἐπειδή, ἐλεγχόμενος ὑπὸ τοῦ Νάθαν, εὐθὺς εἰς μετάνοιαν ἐκάμφθη, διὰ τοῦτο εὐθὺς προσευχόμενος εἰσηκούσθη. Ὁ γὰρ «πάντα ποιῶν ὅσα βούλεται[2]», ὁ Θεός, ὑπακούεται παραχρῆμα, καὶ ἔτι λαλοῦντος ἐρεῖ ὁ Θεός· «Ἰδοὺ πάρειμι.[3]»

Εἶτα εἰρηκὼς τοῖς πλησίον ὅπως τάχιον εἰσηκούσθη, τρέπει τὸν λόγον πρὸς τὸν Θεόν, καὶ τῷ εἰσακούσαντι εὐχαριστεῖ· «Ἐν θλίψει ἐπλάτυνάς μοι.» Τὰ κύματα τῶν θλίψεων, φησίν, ἡ ταχεῖα γαλήνη διέλυσε, καὶ λιμῷ με τηκόμενον ἀπὸ καρποῦ σίτου καὶ οἴνου καὶ ἐλαίου ἐπλούτισας, ὡς μὴ μόνον ἐμέ, ἀλλὰ καὶ πάντας τοὺς ὑπ' ἐμὲ ἀπολαῦσαι. Διὸ ὑποκαταβὰς ἔλεγεν· «Ἀπὸ καρποῦ σίτου καὶ οἴνου καὶ ἐλαίου αὐτῶν ἐπληθύνθησαν.[4]» Ἡ ἐκείνων συνουσία εὐφροσύνη καρδίας μοι γέγονεν. Τοῦτο δὲ μανθάνομεν ἀπ' αὐτῆς τῆς ἱστορίας. Ὅτε γὰρ πολεμούμενος ὑπὸ τοῦ Ἀβεσσαλὼμ ἔφυγεν

---

1. Ῥωμ. 5, 20. 2. Πρβλ. Ψαλμ. 113, 11. 3. Ἠσ. 58, 9. 4. Ψαλμ. 4, 8.

ἐν ταῖς ἐρήμοις καὶ ἐν τοῖς ὄρεσιν, λιμῷ καὶ ἀνάγκῃ ὡς ἐν διωγμῷ ἐκρατήθη· ἀλλ' ὁ Θεὸς αὐτοῦ τὴν ἀνάγκην παρεμυθήσατο. Πρῶτος γὰρ ὁ Σίβα ὁ ἐκ τοῦ οἴκου τοῦ Σαοὺλ ἤνεγκεν αὐτῷ ἄρτους διακοσίους, καὶ οἶνον καὶ παλάθας καὶ σταφίδας· εἶτα μετὰ τοῦτον Βερζελλὶ ὁ Γαλααδίτης, καὶ αὐτὸς αὐτῷ προσήνεγκε δέκα κοίτας, ἵνα μὴ χαμευνῇ, καὶ ἀμφιτάπητας, τοὺς καλουμένους νῦν τυλοτάπητας, καὶ οἴνου κεράμια καὶ πυροὺς καὶ κριθὰς καὶ ἄλευρον καὶ κύαμον καὶ φακόν, καὶ μέλι καὶ βούτυρον, καὶ πρόβατα, καὶ γαλαθηνὰ μοσχάρια· Εὐχαριστῶν οὖν ἐπὶ τούτοις φησίν· «Ἐν θλίψει ἐπλάτυνάς μοι.»

Τί δέ, λέγων εἰσηκούσθην, μὴ μακρὸν κατέτονας λόγον; Μὴ πλατὺν ὀνομάτων καὶ ῥημάτων κατέγραψας πίνακα; Οὐδαμῶς, φησὶν ὁ Δαυΐδ· οὐ γὰρ χρήζει πολυλογίας ὁ Θεός, ὁ καὶ μόνῳ στεναγμῷ ἀρκούμενος. Τοῦτο μόνον ἔλεγον προσευχόμενος· «Οἰκτείρησον, καὶ εἰσάκουσον τῆς προσευχῆς μου.» Εἴποι δὲ ταῦτα καὶ ὁ λῃστὴς ἐν τῷ σταυρῷ πρὸς τὸν Κύριον· εἰπὼν γὰρ καὶ ἐπικαλεσάμενος ἐν τῇ αὐτοῦ θλίψει· «Μνήσθητί μου, Κύριε, ὅταν ἔλθῃς ἐν τῇ βασιλείᾳ σου[1]», εἰσηκούσθη, καὶ ἀντὶ σταυροῦ τὸν παράδεισον ᾤκησε, καὶ πολίτης γέγονε τοῦ οὐρανοῦ. Αὐτὸς καὶ πρὸς τοὺς Ἰουδαίους βοήσεται· «Υἱοὶ ἀνθρώπων, ἕως πότε βαρυκάρδιοι;[2]» θεάσασθε τὴν κτίσιν τῷ κτίστῃ συμπάσχουσαν. Εἰ, τὸν Λάζαρον τετραήμερον ἀπὸ τοῦ τάφου τρέχοντα ἰδόντες, οὐκ ἐπιστεύσατε, νῦν γοῦν προσκυνήσατε τοῦ Σταυρωθέντος τὴν δύναμιν· νεκροὺς ὁ σεισμὸς ἀνέστησεν, καὶ ὑμεῖς τῇ ἀπιστίᾳ καθεύδετε. Διὰ τί βαρυκάρδιοι; Τοῦτο μὲν διὰ τὸ μὴ κατανυγῆναι τοῖς θαύμασιν, τοῦτο δὲ διὰ τὸ ἐξ ἀφροσύνης βαρέως κατὰ τοῦ Χριστοῦ ὀργίζεσθε. Μάρτυς ἡ Γραφὴ εἰποῦσα· «Βαρὺ λίθος καὶ δυσβάστακτος ἄμμος· ὀργὴ δὲ ἄφρονος βαρυτέρα·[3]» ὅτι οὔτε νουθεσίᾳ θέλγεται, καὶ θαύματα βλέπων ὀργίζεται.

«Ἵνα τί ἀγαπᾶτε ματαιότητα[4]», τὸν Βαραββᾶν τοῦ Χριστοῦ προτιμήσαντες, τὸν φονέα ὑπὲρ τὸν ζωοποιόν, τὴν βασιλείαν τοῦ Καίσαρος ὑπὲρ τὴν βασιλείαν τῶν οὐρανῶν, τὴν ἁμαρτίαν τὴν ἄμμου παραλίας βαρυτέραν ὑπὲρ τὴν δικαιοσύνην, τὰ πρόσκαιρα ὑπὲρ τὰ αἰώνια, τὴν φθορὰν ὑπὲρ τὴν ἀφθαρσίαν; Ἀλλὰ πρὸς τούτοις καὶ «ζητεῖσθε ψεῦδος», ψευδομάρτυρας ἐξωνούμενοι κατὰ τῆς ἀληθείας λέγοντας· «Τοῦτον εὕρομεν διαστρέφοντα τὸ ἔθνος, καὶ κωλύοντα τῷ Καίσαρι φόρον διδόναι.[5] Ἀνασείει τὸν λαὸν διδάσκων.[6]» «Εἰ μὴ ἦν οὗτος κακοποιός, οὐκ ἄν σοι παρεδώκαμεν αὐτόν.» Καὶ τί ἐκακοποίησεν; ὅτι νοσοῦντας ἰάσατο, ὅτι δαίμονας ἐφυγάδευσεν, ὅτι νεκροὺς ἤγειρεν, ὅτι ἐκ πέντε ἄρτων ἰσαρίθμους χιλιάδας ἐν ἐρήμῳ διέθρεψε χωρὶς γυναικῶν καὶ παίδων; Ἔτι ἡ τροφὴ ἐν τῷ λάρυγγι καὶ τὸ ψεῦδος ἐν τῷ στόματι. Καὶ τοῖς τῷ Ἀβεσσαλὼμ συναποξενωθεῖσιν ἔλεγεν

---

1. Λουκ. 23, 42. 2. Ψαλμ. 4, 2. 3. Παρμ. 27, 3. 4. Ψαλμ. 4, 2. 5. Λουκ. 23, 2. 6. Λουκ. 23, 5.

ὁ Δαυΐδ· Τί τῷ ἀτάκτῳ παιδὶ συναπήχθητε; Τί τὸν Υἱὸν κατὰ πατρὸς ἀλείφετε; Τί τῇ ματαίᾳ βουλῇ τοῦ Ἀχιτόφελ ἠκολουθήσατε; Εἰ ὁ κακολογῶν πατέρα ἢ μητέρα θανάτου ἄξιος, ὁ κατὰ πατρὸς ἀκονῶν ξίφος υἱὸς ποσάκις ἐστὶν ἄξιος ἀποθανεῖν; «Ἵνα τί οὖν ἀγαπᾶτε ματαιότητα καὶ ζητεῖτε ψεῦδος;[1]» Ψεῦδος λέγει νῦν πᾶν πρᾶγμα μάταιον, ταχεῖαν τὴν πτῶσιν καὶ μεταβολὴν ἔχον. «Πλὴν μάταιοι οἱ υἱοὶ τῶν ἀνθρώπων, ψευδεῖς οἱ υἱοὶ τῶν ἀνθρώπων ἐν ζυγοῖς, τοῦ ἀδικῆσαι.[2]»

ΕΡΜΗΝΕΙΑ ΨΑΛΜΟΥ Ε΄.

Εἰς τὸ τέλος ὑπὲρ τῆς κληρονομούσης ψαλμὸς τῷ Δαυΐδ.

Εἰς τὸ τέλος χαριστήριος ὕμνος ᾄδεται ὑπὲρ τῆς ἀγομένης ψυχῆς, ἤτοι Ἐκκλησίας, εἰς θείαν κληρονομίαν ἡτοιμασμένην τοῖς τοῦ Θεοῦ θεραπευταῖς. Ἐστὶ γὰρ κληρονομία τοῖς θεραπεύουσι Κύριον· Ἔστι δὲ αὕτη οὐ φθαρτὴ καὶ ἐν αἰσθητῷ πλούτῳ ἔχουσα εἶναι. Εἴρηται γὰρ εἰσάγεσθαι τοὺς ταύτης κληρονόμους «εἰς κληρονομίαν ἄφθαρτον καὶ ἀμίαντον καὶ ἀμάραντον, τετηρημένην ἐν οὐρανοῖς.[3]» Εἰς ταύτην τοὺς ἀξίους καλῶν ὁ Σωτήρ· «Δεῦτε ἐκ δεξιῶν μου, εἶπερ (sic) οἱ εὐλογημένοι τοῦ Πατρός μου, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν.[4]» Ταύτης ἔρωτα λαβὼν ὁ τὸν ἐγκείμενον ψαλμὸν λέγων, εὐχὴν ἀναπέμπει τῷ εὐτρεπίσαντι αὐτὴν Θεῷ, ἵνα ἀξιωθῇ κληρονόμος αὐτῆς κατὰ τὴν καινὴν διαθήκην ἀναδειχθῆναι· ὡς καὶ περὶ τῆς αὐτοῦ ψυχῆς σημαίνει τὴν ἐπιγραφὴν τὴν «ὑπὲρ τῆς κληρονομούσης.»

Στίχ. β΄. «Τὰ ῥήματά μου ἐνώτισαι, Κύριε, σύνες τῇ κραυγῇ μου.»

Τὰ μὲν οὖν ῥήματα διὰ στόματος ἐπαγγελλόμενα ὠσὶν ἀκούεται καὶ ἐνωτίζεται· ἡ δὲ κραυγὴ οὐ διὰ τῶν λόγων, κἂν αὐτοὶ εἰδέναι καὶ ὁμολογεῖν τὸν ἐπὶ πάντων Θεὸν τοῖς χείλεσι φάσκοιεν· ἀλλ' ἐν τῇ καρδίᾳ ἑαυτῶν, τουτέστιν ἐν τῇ διανοίᾳ· οὐδὲ μία τις ἀληθὴς περὶ Θεοῦ ὑπῆρχεν ἔννοια. Τοιοῦτος μὲν οὖν ἐτύγχανεν πᾶς ὁ πρὸ τῆς τοῦ Σωτῆρος ἡμῶν παρουσίας βίος. Ἄφρων δὲ ἀληθέστατα καὶ φυσικώτατα ὁ ἀρνησίθεος ὠνόμασται. Εἰ γὰρ «σοφίας ἀρχὴ φόβος Θεοῦ[5]», ἀφοβία καὶ ἀθέτησις τοὐναντίον ἂν γένοιτο τῆς σοφίας.

Στίχ. γ΄, δ΄. «Ὅτι πρὸς σὲ προσεύξομαι, Κύριε, τὸ πρωῒ εἰσακούσῃ τῆς φωνῆς μου· τὸ πρωῒ παραστήσομαί σοι καὶ ἐπόψῃ με.»

Παιδεύεται διὰ τούτων ἡ κληρονομοῦσα τὴν ἀπαρχὴν τῶν ἡμερινῶν πράξεων τῇ πρὸς Θεὸν ἀνατιθέναι λατρείᾳ· ὅπερ οὐκ ἂν ἐποίει μὴ καὶ ἀπὸ κοίτης ἔχουσα τὴν ἀγνωσίαν.

---

1. Ψαλμ. 4, 2. 2. Ψαλμ. 61, 10. 3. Α' Πέτρ. 1, 4. 4. Ματθ. 25, 34. 5. Ψαλμ. 110, 10.

Στίχ. ε΄, ς΄. «Ὅτι οὐχὶ Θεὸς θέλων ἀνομίαν σὺ εἶ· οὐ παροικήσει σοι πονηρευόμενος, οὐδὲ διαμενοῦσι παράνομοι κατέναντι τῶν ὀφθαλμῶν σου.»

Ὡς ἂν ἠξιωμένη τῶν ἐπηγγελμένων ἀγαθῶν ἡ κληρονομοῦσα, τοὺς ἀνόμους ἐπιδείκνυσιν ἑαυτῇ. Οἱ γὰρ παράνομοι, εἰ καὶ πρὸ τοῦ παρανομῆσαι παρῴκησάν σοί ποτε, καθάπερ οἱ τὸν Μωϋσέως δεξάμενοι νόμον, ἀλλὰ παραβάται γεγονότες οὐ μένουσιν. Μισεῖς δὲ καὶ τοὺς ἔξω τῆς θεοσεβείας ἐν ὅσῳ μίσους ἄξια πράττουσιν.

Στίχ. ζ΄, η΄. «Ἐμίσησας, Κύριε, πάντας τοὺς ἐργαζομένους τὴν ἀνομίαν, ἀπολεῖς πάντας τοὺς λαλοῦντας τὸ ψεῦδος. Ἄνδρα αἱμάτων καὶ δόλιον βδελύσσεται Κύριος.»

Οὐ τούς ποτε ἐργασαμένους, ἀλλὰ καὶ τοὺς ἔτι καὶ νῦν ἐργαζομένους, ὡς ἂν ἐπιμένοντας τῇ κακίᾳ μισεῖ ὁ Θεός. Παρὰ πάντας δὲ τούτους ἀπωλείᾳ παραδίδωσι τοὺς μὴ μόνον κατὰ ἀπάτην λογιζομένους τὰ ψευδῆ, ἀλλὰ καὶ λαλοῦντας αὐτά, καὶ ἑτέροις διακονουμένους, ὁποῖοι τυγχάνουσιν οἱ ἄθεοι, αἱρεσιῶται. Καὶ ἐπὶ πᾶσι τούτοις «τὸν ἄνδρα αἱμάτων βδελύσσεται Κύριος», καὶ ἐν τῇ ἴσῃ τούτῳ τιμωρίᾳ καὶ τὸν δόλιον τίθησιν. Ὁ δὲ βδελυγμὸς ὑπερβάλλουσαν ἀποστροφήν, ὡς ἐπὶ μεγάλῳ βιάσματι, τοῦ βδελυσσομένου πρὸς τὸν βδελυκτὸν παρίστησι.

Στίχ. θ΄. «Κύριε, ὁδήγησόν με ἐν τῇ δικαιοσύνῃ σου· ἕνεκα τῶν ἐχθρῶν μου κατεύθυνον ἐνώπιόν σου τὴν ὁδόν μου.»

Χριστὸς δὲ ἡ δικαιοσύνη· αὐτὸς γὰρ ἐγενήθη σοφία ἡμῖν ἀπὸ Θεοῦ, δικαιοσύνη τε καὶ ἁγιασμὸς καὶ ἀπολύτρωσις.

Στίχ. ι΄, ια΄. «Ὅτι οὐκ ἔστιν ἐν τῷ στόματι αὐτῶν ἀλήθεια, ἡ καρδία αὐτῶν ματαία.»

Ματαία δὲ καὶ τῶν ἔξω σοφῶν ἡ καρδία περὶ ὧν εἴρηται· «Κύριος γινώσκει τοὺς διαλογισμοὺς τῶν σοφῶν, ὅτι εἰσὶ μάταιοι·[1]» ὧν ὁ λάρυγξ ἀπέπνει νεκρὰ δόγματα, τὸν ζωοποιὸν τοῦ Θεοῦ λόγον μὴ διδασκόντων, τὸν δὲ ψευδῆ καὶ νεκρόν· «Κρῖνον αὐτούς, ὁ Θεός», τοὺς ἐπιβουλεύοντάς μου ταῖς περὶ τῆς κληρονομίας ἐλπίσιν· οὗτοι γάρ σε παραπικραίνουσι. «Κρῖνον»· σοῦ γὰρ σῴζειν σπουδάζοντος, πολεμοῦσιν ἐπιβουλεύοντες. Βούλεται δὲ καὶ αὐτοὺς ἐντεῦθεν ἤδη «κριθέντας» ὠφεληθῆναι, τοῦ πλήθους τῶν ἀσεβημάτων ἔξω γεγενημένους.

Στίχ. ιβ΄. «Καὶ εὐφρανθήτωσαν πάντες οἱ ἐλπίζοντες ἐπὶ σέ, εἰς αἰῶνα ἀγαλλιάσονται καὶ κατασκηνώσεις ἐν αὐτοῖς.»

Ἀλλὰ καὶ ἐπὶ τῆς τοῦ Σωτῆρος ἐπιδημίας ηὐφράνθησαν οἱ τὴν αὐτοῦ καραδοκήσαντες ἐνανθρώπησιν· ἥτις τοῖς προφήταις καὶ τοῖς νοοῦσι τὰ τούτων ἠλπίζετο. Ἐπεδήμησε γὰρ ὁ Θεὸς Λόγος σὰρξ γεγονώς, προσλήψει σαρκός, ἵνα σκηνώσῃ ἐν τοῖς πεπιστευκόσιν

1. Ψαλμ. 93, 11.

αὐτῷ, κατὰ τό, «Ὁ Λόγος σὰρξ ἐγένετο καὶ ἐσκήνωσεν ἐν ἡμῖν·[1]» οἳ καὶ εἰς αἰῶνα ἀγαλλιάσονται, ὁρῶντες τοῦ σαρκωθέντος Λόγου «τὴν δόξαν, ὡς Μονογενοῦς παρὰ Πατρός, πλήρης χάριτος καὶ ἀληθείας[2]» οἵ καί φασιν· «Εἰ καὶ ἐγνώκαμεν κατὰ σάρκα Χριστόν, ἀλλὰ νῦν οὐκέτι γινώσκομεν[3]», ἔχοντες θεωρίαν τῆς δόξης αὐτοῦ, καθ' ἣν Μονογενὴς παρὰ Πατρός ἐστιν.

Στίχ. ιβ', ιγ'. «Καὶ καυχήσονται ἐν σοὶ οἱ ἀγαπῶντες τὸ ὄνομά σου, ὅτι σὺ εὐλογήσεις δίκαιον.»

Οὔσης λόγου «καυχήσεως,» περὶ ἧς ὁ Παῦλός φησιν· «Μηδεὶς καυχάσθω ἐν ἀνθρώποις[4]», καὶ ὁ προφήτης· «Μὴ καυχάσθω ὁ σοφὸς ἐν τῇ σοφίᾳ αὐτοῦ[5]», καὶ τὰ ἑξῆς· οὐ τοιαύτη τυγχάνει ἡ τοῦ λέγοντος· «Ἐμοὶ δὲ μὴ γένοιτο καυχᾶσθαι εἰ μὴ ἐν τῷ σταυρῷ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ·[6]» καί, «Ὁ καυχώμενος, ἐν Κυρίῳ καυχάσθω.[7]» Τοιοῦτοι περὶ ὧν ὁ λόγος, ἠγαπηκότων αὐτοῦ τὸ ὄνομα. Προαιρέσει γάρ, οὐ φόβῳ, τετιμηκότες ἐκαυχῶντο. Αἴτιον δὲ «τῆς καυχήσεως» τὸ τῶν ἐπουρανίων τυγχάνειν εὐλογιῶν· περὶ ὧν φησιν ὁ Ἀπόστολος· «Εὐλογητὸς ὁ Θεὸς ὁ εὐλογήσας ἡμᾶς ἐν πάσῃ εὐλογίᾳ πνευματικῇ ἐν τοῖς ἐπουρανίοις.[8]» Καὶ τέλος δὲ ἀγαθῶν τῆς ἐλπιζομένης κληρονομίας ὁ τῆς δικαιοσύνης στέφανος, οὗ τεύξονται οἱ κατὰ Παῦλον λέγειν δυνάμενοι· «Λοιπὸν ἀπόκειταί μοι ὁ τῆς δικαιοσύνης στέφανος·[9]» ᾧπερ ηὐδόκησεν ὁ Θεὸς ὅπλῳ χρήσασθαι φυλακτικῷ πάσης ἐφόδου πολεμίων ἐπιούσης κατὰ τῶν οἰκείων αὐτοῦ.

ΨΑΛΜΟΣ ΤΩ ΔΑΥΙΔ ϛ'.

Εἰς τὸ τέλος ἐν ὕμνοις ὑπὲρ τῆς ὀγδόης.

Ὀγδόη ἡ ἀναστάσιμος τοῦ Σωτῆρος ἡμέρα κυριακὴ σωτήριος, ἐν ᾗ πάντων ἁμαρτημάτων καθάρσιον εἶναι πιστεύομεν· ἐν ᾗ συμβολικῶς μὲν ἅπαν περιετέμνετο βρέφος, κατὰ δὲ τὸ ἀληθὲς καθαίρεται δι' ἀναγεννήσεως πᾶσα ἐν Θεῷ ψυχὴ γεννωμένη. Τοσοῦτον δὲ κρεῖττον αὐτὴ τῆς ἑβδόμης, ὡς ἐν αὐτῇ λύεσθαι τὴν περὶ τοῦ σαββάτου νομοθεσίαν, εἰ καταλάβοι κατ' αὐτὴν ἡ τοῦ βρέφους ὀγδόη· περιτέμνεται γὰρ ἄνθρωπος ἐν σαββάτῳ.

Στίχ. β', γ'. «Κύριε, μὴ τῷ θυμῷ σου ἐλέγξῃς με, μηδὲ τῇ ὀργῇ σου παιδεύσῃς με. Ἐλέησόν με, Κύριε, ὅτι ἀσθενής εἰμι· ἴασαί με, Κύριε, ὅτι ἐταράχθη τὰ ὀστᾶ μου.»

Ἐξ ἀσθενείας γὰρ ἅπαν ἁμάρτημα γίνεται, πρὸς τὸ πάθος ἀεὶ τῆς ψυχῆς ἐνδιδούσης· διὸ καταφεύγει πρὸς τὸν Σωτῆρα καὶ ἰατρόν,

---

1. Ἰω. 1, 14. 2. Ἰω. 1, 14. 3. Β' Κορ. 5, 16. 4. Α' Κορ. 3, 21. 5. Ἱερ. 9, 23. 6. Γαλ. 6, 14. 7. Α' Κορ. 1, 31. 8. Ἐφ. 1, 3. 9. Β' Τιμ. 4, 8.

τὸν Υἱὸν τοῦ Θεοῦ. Ἐγγενόμενος γὰρ ψυχῇ τῇ λογικῇ, ὡς μὲν λόγος Θεοῦ τὴν ἀλογίαν αὐτῆς ἀφαιρεῖται· ὡς δὲ σοφία τῆς ἀφροσύνης αὐτὴν ἀπαλλάττει, καὶ ὡς δικαιοσύνη τῆς ἀδικίας, καὶ ὡς ἀλήθεια τοῦ ψεύδους ἐλευθεροῖ. Τὰς νεανικὰς δὲ τῆς ψυχῆς ὑποφαίνει δυνάμεις, τεταράχθαι φήσας αὐτοῦ τὰ ὀστᾶ, δι' ὧν εἴωθεν ἀντιβαίνειν τοῖς πάθεσιν ἀνδρικῶς· ὃ δὴ σαφηνίζων ἐπήγαγε· «Καὶ ἡ ψυχή μου ἐταράχθη σφόδρα.» Ἴασις δὲ ἀσθενείας ἡ ἐκ Θεοῦ δύναμις· ἧς ὁ τυχών φησι· «Πάντα ἰσχύω ἐν τῷ ἐνδυναμοῦντι με Χριστῷ.[1]» Ὅτι δὲ μὴ πάντως αἰσθητὰ τὰ ὀστᾶ, δηλοῖ τό, «Πάντα τὰ ὀστᾶ μου ἐροῦσιν· Κύριε, τίς ὅμοιός σοι;[2]» Καὶ τό, «Διεσκορπίσθη τὰ ὀστᾶ ἡμῶν παρὰ τὸν ᾅδην.[3]»

Στίχ. δ'. «Καὶ σύ, Κύριε, ἕως πότε;»

Τὴν ἐπὶ μακρῷ χρόνῳ παράτασιν τῆς ἑαυτοῦ μετανοίας ἐμφαίνει. Ὁ γάρ τοι σοφὸς τῶν ψυχῶν ἰατρὸς οὐ παραχρῆμα κατὰ τὴν πρώτην ἐπιστροφὴν ἐπακούει τοῦ δεομένου, ὡς ἐν ἕξει παραμόνῳ γένηται τἀγαθοῦ, βεβαίαν δείξας μετάνοιαν· καὶ μετὰ τὴν ἱκανὴν καρτερίαν τὴν ἐν ἐξομολογήσει· φησὶν ἐνέπεισας· «καιρῷ δεκτῷ ἐπήκουσά σου.[4]» Τοῖς γὰρ μὴ ἐξ ἁμαρτίας αὐτὸν ἐπικαλουμένοις ἐρεῖ· Ἔτι λαλοῦντός σου, «Ἰδοὺ πάρειμι.[5]»

Στίχ. ε'-ζ'. «Ὅτι οὐκ ἔστιν ἐν τῷ θανάτῳ ὁ μνημονεύων σου, ἐν δὲ τῷ ᾅδῃ τίς ἐξομολογήσεταί σοι; Ἐκοπίασα ἐν στεναγμῷ μου, λούσω καθ' ἑκάστην νύκτα τὴν κλίνην μου, ἐν δάκρυσί μου τὴν στρωμνήν μου βρέξω.»

Σοφὸς ὢν ὁ Δαυῒδ οὐκ ἠγνόει τὴν παροῦσαν ζωὴν θεραπείας εἶναι καιρόν, μεθ' ὃν οὐδεὶς κατορθοῖ· καὶ πάντα πράττει θεραπευθῆναι βουλόμενος, πρὶν ὑπὸ τοῦ κοινοῦ καταληφθῆναι. Διό φησιν· Ἀντὶ μιᾶς νυκτὸς καθ' ἣν ἥμαρτον, πάσας ἐξομολογοῦμαι τὰς νύκτας, ἀποπλῦναι πειρώμενος ἐμαυτόν, καὶ τὴν ἐφ' ἣν ἥμαρτον κλίνην δάκρυσιν μετανοίας. Οἶδα γὰρ δὲ κἂν τύχῃ τῆς ἀφέσεως ἐπαγγέλληται, δακρύων πέρας οὐχ ἕξειν. Τὸ δέ, «Τίς ἐξομολογήσεταί σοι;» ἀντὶ τοῦ, «οὐδείς», κεῖται· νῦν γὰρ οὐ σημαίνει τὸ σπάνιον.

Στίχ. η'. «Ἐταράχθη ἀπὸ θυμοῦ ὁ ὀφθαλμός μου, ἐπαλαιώθην ἐν πᾶσι τοῖς ἐχθροῖς μου.»

Ἡ μνήμη, φησί, τοῦ θυμοῦ σου καὶ τῆς ὀργῆς τὸν ἐμὸν ἐτάραξε νοῦν· ὃ δὴ διδάσκων ὁ Σωτὴρ ἔλεγεν· «Ὁ λύχνος τοῦ σώματος ἐστὶν ὁ ὀφθαλμός.[6]» Οὐ γὰρ ἐγχωρεῖ ἕνα τῶν δυεῖν ὀφθαλμῶν τοῦ σώματος λύχνον εἶναι· ἀλλ' οὐδὲ σωματικὸς ὀφθαλμὸς ὑπὸ θυμοῦ ταράσσεται τοῦ Θεοῦ. Ἀντὶ κατορθώματος δὲ καταριθμεῖται τὰς ἰδίας κακοπαθείας· ἐν αἷς καὶ τὴν κάκωσίν τε καὶ ταπείνωσιν, ἣν ἐπὶ πλεῖστον χρόνον ἐν μέσοις ἐποιεῖτο τοῖς ἰδίοις ἐχθροῖς.

1. Φιλιπ. 4, 13. 2. Ψαλμ. 34, 10. 3. Ψαλμ. 140, 7. 4. Β' Κορ. 6,2.
5. Ἠσ. 8, 9. 6. Ματθ. 6, 22.

Στίχ. ια.' «Ἀπόστητε ἀπ' ἐμοῦ, πάντες οἱ ἐργαζόμενοι τὴν ἀνομίαν, ὅτι εἰσήκουσε Κύριος τῆς φωνῆς τοῦ κλαυθμοῦ μου. Εἰσήκουσε Κύριος τῆς δεήσεώς μου, Κύριος τὴν προσευχήν μου προσεδέξατο. Αἰσχυνθείησαν καὶ ταραχθείησαν πάντες οἱ ἐχθροί μου, ἐπιστραφείησαν καὶ αἰσχυνθείησαν σφόδρα διὰ τάχους.»

Ἐπηκόου τυχὼν τοῦ Θεοῦ, ἐπιστρέφει πάλιν πρὸς αὐτὸν τὴν εὐχήν, καὶ παρακαλεῖ πρὸς τὸ ἀναχωρῆσαι καὶ αἰσχυνθῆναι αὐτοῦ τοὺς ἐχθρούς, ἀποτυχόντας ἐν οἷς ἐπεβούλευσαν, δι' ὧν αὐτῷ Θεὸς τὴν σωτηρίαν παρέσχετο. Ἀξιοῖ δὲ καὶ λίαν αὐτοὺς ταραχθῆναι· ὃ δὴ πάντως αὐτοὺς κατὰ τὸν καιρὸν τῆς τοῦ Θεοῦ δικαιοκρισίας ἐκδέξεται.

ΨΑΛΜΟΣ ΤΩ ΔΑΥΙΔ Ζ'.

Ὃν ᾖσε τῷ Κυρίῳ ὑπὲρ τῶν λόγων Χουσὶ υἱοῦ Ἰεμενεῖ.

Στίχ. β, γ'. «Κύριε ὁ Θεός μου, ἐπὶ σοὶ ἤλπισα· σῶσόν με ἐκ πάντων τῶν διωκόντων με, καὶ ῥῦσαί με, μήποτε ἁρπάσῃ ὡς λέων τὴν ψυχήν μου, μὴ ὄντος λυτρουμένου, μηδὲ σῴζοντος.»

Οὐκ ἐπ' ἀνθρώποις, οὐδὲ συμβουλαῖς ἀνθρώπων, ἢ στρατοῦ πλήθει τὰς ἐμὰς ἐλπίδας ἀπήρτησα· Διό με ῥῦσαι πολεμίων μοι τοσούτων ἐπικειμένων διὰ παντός. Οὐ μόνον νῦν Ἀβεσσαλώμ, καὶ Ἀχιτόφελ, καὶ τῶν σὺν αὐτοῖς· ἀλλὰ καὶ πάλαι νέῳ ὄντι Σαοὺλ τε καὶ πλείστων τῶν τε δι' αὐτῶν ἀφανῶς μοι πολεμούντων δαιμόνων· ὧν περὶ τοῦ ἄρχοντος εἴρηται· «Ὁ ἀντίδικος ὑμῶν διάβολος ὡς λέων ὠρυόμενος περιέρχεται ζητῶν τίνα καταπίῃ·[1]» ἐξ οὗ μάλιστα ῥυσθῆναι παρακαλῶ.

Στίχ. δ', ε'. «Κύριε ὁ Θεός μου, εἰ ἐποίησα τοῦτο, εἰ ἔστιν ἀδικία ἐν χερσί μου, εἰ ἀνταπέδωκα τοῖς ἀνταποδιδοῦσί μοι κακά, ἀποπέσοιμι ἄρα ἀπὸ τῶν ἐχθρῶν μου κενός.»

Ὅσην ἄγει παῤῥησίαν ἐπὶ τῷ μὴ μνησικακεῖν! Ἐξαίρετον γὰρ τοῦτο κατόρθωμα τοῦ Δαυΐδ· ὡς τοῦ μὲν Μωϋσέως τὸ πρᾶον· «πρᾶος γὰρ ἦν παρὰ πάντας τοὺς ἀνθρώπους τοὺς ὄντας ἐπὶ τῆς γῆς·[2]» τοῦ Ἀβραὰμ δὲ ἡ πίστις· «Ἐπίστευσε» γὰρ «τῷ Θεῷ, καὶ ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην;[3]» καὶ τοῦ Ἰὼβ ἡ καρτερία, καὶ Ἰωσὴφ ἡ σωφροσύνη, καὶ ἡ σοφία τοῦ Σολομῶντος. Καὶ τὸ στεῤῥὸν τῶν ἁγίων οὐκ ἐπὶ τοῖς αὐτοῖς μεμαρτύρηται· ἀλλ' ἐν ᾧ κρατεῖ παραδόξῳ παλαίσματι. Δαυΐδ τοίνυν ὁ διὰ παντὸς ἀμνησίκακον ἤτησε, προτείνει Θεῷ τῶν ἴσων ἐξ αὐτοῦ τυχεῖν ἐξαιτούμενος. Ἤδη γὰρ ἐκ τοῦ θείου Πνεύματος τὴν μέλλουσαν τοῦ Σωτῆρος ἐπαγγελίαν τήν, «Ἐὰν ἀφῆτε τοῖς ἀνθρώποις τὰ παραπτώματα αὐτῶν, ἀφή-

1. Α' Πέτρ. 5, 8. 2. Ἀριθ. 12, 3. 3. Γεν. 15, 6.

σει καὶ ὑμῖν ὁ Πατὴρ ὑμῶν ὁ οὐράνιος τὰ παραπτώματα ὑμῶν.[1]» Διὸ μετὰ τὴν ἱκανὴν μετάνοιαν ἔτυχε τῆς ἀφέσεως.

Στίχ. ς'. «Καταδιώξαι ἄρα ὁ ἐχθρὸς τὴν ψυχήν μου, καὶ καταλάβοι καὶ καταπατήσαι εἰς γῆν τὴν ζωήν μου, καὶ τὴν δόξαν μου εἰς χοῦν κατασκηνώσαι.»

Διατεινόμενος δέ φησιν· Εἰ μὴ κατώρθωσα τοῦτο, μὴ ἐλευθερωθείην πρὸ τοῦ θανάτου τῆς ἁμαρτίας, μηδὲ τὴν ἐμὴν ἀπολάβοιμι δόξαν, ἐν αὐταῖς δέ μου καταληφθείην ταῖς ἁμαρτίαις, ἵν' ὡς ὅτε ἥμαρτον οὕτω μέχρι παντὸς τὴν ἐμὴν ὁ δυσμενὴς καταπατήσῃ ψυχήν, μέχρι τοῦ εἰς χοῦν ὑποστρέψαι θανάτου. Εἰ δὲ κατώρθωσα, τύχοιμι τῶν ἴσων λυτρούμενος, καὶ μὴ εἰς ὃν ἐξ ἁμαρτίας κατέπεσα χοῦν ἐπιμένων τῆς σαρκικῆς ἁμαρτίας. Ἡ ζωὴ τοῦ ἔτι τὴν εἰκόνα τοῦ χοϊκοῦ φοροῦντος καταπεπάτηται ὑπὸ τοῦ ἐχθροῦ εἰς γῆν· οὗτος δέ, κἂν δοξάζεσθαι ποτὲ δοκῇ, κατεσκήνωσεν αὐτοῦ ἡ δόξα εἰς χοῦν, ὡς τῶν ποιούντων διὰ δόξαν, καὶ τὸν παρ' αὐτῶν ἔπαινον, ἢ τὴν παρ' αὐτοῖς ἀποδοχήν.

Στίχ. ζ', η'. «Ἀνάστηθι, Κύριε, ἐν τῇ ὀργῇ σου, ὑψώθητι ἐν τοῖς πέρασι τῶν ἐχθρῶν σου. Ἐξεγέρθητι, Κύριε ὁ Θεός μου, ἐν προστάγματι ᾧ ἐνετείλω, καὶ συναγωγὴ λαῶν κυκλώσει σε.»

Οἷα δὴ στρατηγὸν διαναστῆναι σὺν ἀγανακτήσει κατὰ τοῦ τῶν ἀοράτων πολεμίων ἄρχοντος στρατοπέδου, λέγων· Ὁ τοῖς ἀνθρώποις ἡμῖν προσέταξας ἀγωνίζεσθαι κατὰ τῶν ἀοράτων δυνάμεων, τοῦτο δρᾶσον αὐτός. Τούτων γὰρ ὑπὸ σοῦ καθῃρημένων, κἀγὼ σωθήσομαι, οὐ μόνος, ἀλλὰ καὶ ἡ τῶν ἐθνῶν Ἐκκλησία κυκλώσει σε, πάσης δαιμόνων πλάνης ἀπελασθείσης. Ταύτης δὲ καθάπερ χοροῦ μέσος γενόμενος ὕμνον ἀναπέμψεις πρέποντα τῷ Πατρὶ καθάπερ ἔφης· «Ἀπαγγελῶ τὸ ὄνομά σου τοῖς ἀδελφοῖς μου, ἐν μέσῳ Ἐκκλησίας ὑμνήσω σε.[2]»

Στίχ. θ'. «Καὶ ὑπὲρ ταύτης εἰς ὕψος ἐπίστρεφον, Κύριος κρινεῖ λαούς. Κρῖνόν με, Κύριε, κατὰ τὴν δικαιοσύνην σου, καὶ κατὰ τὴν ἀκακίαν μου ἐπ' ἐμέ.»

Ἐπειδὴ πᾶν τὸ ποίημα ἄξει ὁ Θεὸς εἰς κρίσιν, καὶ τοὺς πάντας δεῖ παραστῆναι τῷ βήματι τοῦ Χριστοῦ, εἰκότως μαθὼν ὁ Δαυΐδ, ὅτι μέλλει κρίνειν τὴν οἰκουμένην ἐν δικαιοσύνῃ καὶ λαοὺς ἐν εὐθύτητι· Γενοῦ, φησί, κἀμοῦ κριτής, ὦ Κύριε, μὴ κατὰ τὰς λοιπάς μου πράξεις, ἀλλὰ κατὰ τὴν ἁπλότητά μου καὶ δικαιοσύνην.

Στίχ. ι', ια'. «Συντελεσθήτω δὴ πονηρία ἁμαρτωλῶν καὶ κατευθυνεῖς δίκαιον, ἐτάζων καρδίας καὶ νεφροὺς ὁ Θεός.»

Ἐπιστημονικὸν καὶ μέγα τὸ πέρας αἰτεῖσθαι γενέσθαι κακίας, κυβέρνησιν δὲ τῷ δικαίῳ πρὸς τὸ μηκέτι χειμάζεσθαι. Περὶ δικαιοκρισίας εἰπὼν τοῦ Θεοῦ, μόνον δίκαιον ἀποφαίνει κριτήν, ὡς καὶ μόνον ὁρῶντα καρδίας· αὐτὸς γὰρ ἀποδίδωσιν ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ.

1. Ματθ. 6, 14. 2. Ψαλμ. 21, 23.

«Ἄνθρωπος μὲν γὰρ εἰς ὄψιν ὁρᾷ·[1]» αὐτὸς δὲ κριτικός ἐστιν ἐνθυμήσεων καὶ ἐννοιῶν καρδίας· οὐκ ἔστι κρίσις ἀφανὴς ἐνώπιον αὐτοῦ. Τοιοῦτον δείξας τὸν Θεόν, πεπαρρησιασμένῳ συνειδότι φησίν· «Ἡ βοήθειά μου παρὰ τοῦ Θεοῦ τοῦ σῴζοντος τοὺς εὐθεῖς τῇ καρδίᾳ.» Χρηστὰ γὰρ ἐλπίζει διὰ τὸν ἐτάζοντα καρδίας καὶ νεφρούς, ὡς δὴ σκολιὸν ἔχων οὐδὲν ἐν καρδίᾳ.

Στίχ. ιγ΄. «Ἐὰν μὴ ἐπιστραφῆτε, τὴν ῥομφαίαν αὐτοῦ στιλβώσει· τὸ τόξον αὐτοῦ ἐνέτεινε καὶ ἡτοίμασεν αὐτό.»

Μήποτε παρασεσιωπημένως ταῦτα περὶ τοῦ διαβόλου λέγεται· οὗτος γὰρ πρὸς τούτους καὶ ὠδίνησεν ἀδικίαν, καὶ τὰ ἑξῆς.

Στίχ. ιε΄-ιζ΄. «Ἰδοὺ ὠδίνησεν ἀδικίαν, συνέλαβε πόνον, καὶ ἔτεκεν ἀνομίαν. Λάκκον ὤρυξε καὶ ἀνέσκαψεν αὐτόν, καὶ ἐμπεσεῖται εἰς βόθρον ὃν εἰργάσατο. Ἐπιστρέψει ὁ πόνος αὐτοῦ εἰς κεφαλὴν αὐτοῦ, καὶ ἐπὶ κορυφὴν αὐτοῦ ἡ ἀδικία αὐτοῦ καταβήσεται.»

Ταῦτα ῥητῶς ἐπ' Ἀχιτόφελ πεπλήρωται. Παρευδοκιμηθεὶς γὰρ ὑπὸ τοῦ Χουσί, καὶ τὰ πράγματα τοῦ Ἀβεσσαλώμ, ὡς δὴ σοφός, ἀπογνούς, καὶ τὴν μέλλουσαν ἐκ τοῦ Δαυῒδ φοβούμενος δίκην, οἴκαδε ἀναχωρήσας ἀπήγξατο, παθὼν ἅπερ ἐπεβούλευε παθεῖν τὸν Δαυῒδ, καὶ τὴν κατ' αὐτοῦ κακίαν ἐπὶ τὴν αὐτοῦ κεφαλὴν ἀπεμάξατο. Καὶ καθόλου δὲ πᾶς δι' ὧν εἰργάσατο κακῶν καθ' ἑαυτοῦ τὴν ψῆφον ἐν ἡμέρᾳ κρίσεως φέρει.

Στίχ. ιη΄. «Ἐξομολογήσομαι τῷ Κυρίῳ κατὰ τὴν δικαιοσύνην αὐτοῦ, ψαλῶ τῷ ὀνόματι Κυρίου τοῦ Ὑψίστου.»

Ὡς δὲ μηδενὶ αὐτὸς ἐπιβουλεύσας, μηδὲ λάκκον ὀρύξας, παρορῶν δὲ τοὺς ἀδικοῦντας τῶν ἀσεβῶν ἀπολλυμένων ἐν κρίσει, «Ἐξομολογήσομαι», φησί, «τῷ Κυρίῳ κατὰ τὴν δικαιοσύνην αὐτοῦ·» Τὰ ἐμαυτοῦ δίκαια καθάπερ ἐν δικαστηρίῳ προθείς· «καὶ ψαλῶ δὲ τῷ ὀνόματι Κυρίου τοῦ ὑψίστου·» πιστεύων καταξιωθήσεσθαι τοῦ χοροῦ τῶν παρ' αὐτοῦ σῳζομένων.

ΨΑΛΜΟΣ ΤΩ ΔΑΥΙΔ Η΄.

Εἰς τὸ τέλος ὑπὲρ τῶν ληνῶν.

Τὰ ἐπὶ τῇ συντελείᾳ νῦν τῶν αἰώνων προφητευόμενα τὴν ἐπιγραφήν, «εἰς τὸ τέλος», ἐποίησεν. «Ὑπὲρ» δὲ «τῶν ληνῶν» διὰ τὰς ἐν πάσῃ τῇ γῇ συστάσας Ἐκκλησίας, ἀλληγορίας νόμῳ λεγομένας ληνούς. Ὅτε μὲν εἷς ἦν λαός· ἦν δὲ οὗτος Ἰσραήλ, ᾧ ἐχρημάτιζε καὶ πύργος ὁ παρὰ τούτοις νεώς, καὶ «προλήνιον» τὸ πρὸ τοῦ ναοῦ θυσιαστήριον κατὰ τὴν Ἡσαΐου φωνήν. Τὸ δὲ πλῆθος νυνὶ τῶν ληνῶν τὰ πολλὰ μηνύει θυσιαστήρια, ταῖς κατὰ μέρος ἐκκλησίαις συνδιαιρούμενα.

1. Α' Βασ. 16, 7.

Διὸ καὶ ἐν πγ' ψαλμῷ τὸν αὐτὸν ἐπιγραφέντι τρόπον πολλὰ θυσιαστήρια καὶ σκηνώματα θεσπίζονται καὶ αὐλαί, κατὰ τό, «Ὡς ἀγαπητὰ τὰ σκηνώματά σου, Κύριε τῶν δυνάμεων! ἐπιποθεῖ καὶ ἐκλείπει ἡ ψυχή μου εἰς τὰς αὐλὰς τοῦ Κυρίου·[1]» μεθ' ἃ ἐπάγει· «Τὰ θυσιαστήριά σου, Κύριε τῶν δυνάμεων.[2]»

Στίχ. β', γ'. «Κύριε ὁ Κύριος ἡμῶν, ὡς θαυμαστὸν τὸ ὄνομά σου ἐν πάσῃ τῇ γῇ! Ὅτι ἐπήρθη ἡ μεγαλοπρέπειά σου ὑπεράνω τῶν οὐρανῶν. Ἐκ στόματος νηπίων καὶ θηλαζόντων κατηρτίσω αἶνον ἕνεκα τῶν ἐχθρῶν σου, τοῦ καταλῦσαι ἐχθρὸν καὶ ἐκδικητήν.»

Οὐ πάλαι θαυμαστὸν ἐν πάσῃ τῇ γῇ· μετὰ δὲ τὴν τοῦ Σωτῆρος παρουσίαν ἐγένετο, ὅτε καὶ συναγωγὴ λαῶν ἐκύκλωσεν αὐτόν· συμφώνως τῷ νῦν ῥηθέντι· «Ἐκ στόματος νηπίων,» καὶ τὰ ἑξῆς. Τὴν γὰρ νέαν καὶ καινὴν συναγωγὴν μετὰ τὴν εἰς ὕψος ἀνάληψιν αὐτοῦ ἐκ νηπίων διδάσκει συνεστάναι ψυχῶν διὰ τὴν ἀναγέννησιν τὴν ἐν τῷ Χριστῷ πανταχοῦ συστᾶσαν τῆς οἰκουμένης μετὰ τὴν ἀνάληψιν τὴν αὐτοῦ. Διὸ καὶ βοώντων αὐτῷ τῶν παίδων, «Ὡσαννὰ ἐν τοῖς ὑψίστοις, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου», ἀγανακτοῦσί φησιν· «Οὐδέποτε ἀνέγνωτε, ὅτι Ἐκ στόματος νηπίων καὶ θηλαζόντων κατηρτίσω αἶνον;[3]» καὶ μήποτε τό· «Ἕνεκα τῶν ἐχθρῶν σου.» Καὶ διὰ τοὺς ἀρχιερεῖς λέγεται καὶ Φαρισαίους· «ἐχθρὸς» καὶ «ἐκδικητής» ὁ λέων εἰρημένος ἐν τῷ πρὸ τούτου ψαλμῷ. Τὸ οὖν μέγιστον θαῦμα, ὅτι ὁ τοσοῦτος, ἐχθρός τε καὶ λέων, ὁ ἄρχων τοῦ αἰῶνος τούτου, διὰ νηπίων καὶ θηλαζόντων καθήρηται· μεθ' ὃ πανταχοῦ Θεὸς ἐν πᾶσι θαυμάζεται. Ἐχθρὸς δὲ ὢν ἐνεδρεύει πρὸς ἁμαρτίαν ὑποσκελίζων, καὶ τοὺς ἡμαρτηκότας μετὰ ταῦτα κολάζει.

Καὶ πῶς ἐν πάσῃ τῇ γῇ τὸ πάλαι μηδενὶ γινωσκόμενον ὄνομα τοῦ Κυρίου καὶ θαυμαστὸν κατέστη, διασαφεῖ λέγων ἑξῆς· «Ὅτι ἐπήρθη ἡ μεγαλοπρέπειά σου ὑπεράνω τῶν οὐρανῶν·» καὶ τὸ ἐπιλεγόμενον δὲ τρίτον ἐν τῷ, «Ἐκ στόματος νηπίων καὶ θηλαζόντων κατηρτίσω αἶνον», ἔχοι ἂν συμφωνίαν πρὸς τό· «Συναγωγὴ λαῶν κυκλώσει σε.» Τὸ γὰρ νέαν καὶ καινὴν συναγωγὴν τῶν κυκλούντων τὸν Θεὸν μετὰ τὴν εἰς ὕψος ἀνάληψιν αὐτοῦ ἐκ νηπίων ψυχῆς καὶ θηλαζόντων συνεστάναι διδάσκει· οὕτω καλῶν τοὺς ἀναγεννωμένους ἐν Χριστῷ λαούς. Εἰς ὕψος γὰρ ἀναβὰς μετὰ τὴν εἰς ᾅδην κάθοδον, ὁ διὰ τῆς προφητείας παριστώμενος Κύριος κατηρτίσατο ἑαυτῷ ἐπὶ τῆς γῆς τὴν τῶν λαῶν συναγωγήν, ἐκ νηπίων καὶ θηλαζόντων αὐτὴν συστησάμενος.

Στίχ. δ', ε'. «Ὅτι ὄψομαι τοὺς οὐρανοὺς ἔργα τῶν δακτύλων σου, σελήνην καὶ ἀστέρας, ἃ σὺ ἐθεμελίωσας. Τί ἐστιν ἄνθρωπος, ὅτι μιμνήσκῃ αὐτοῦ; ἢ υἱὸς ἀνθρώπου, ὅτι ἐπισκέπτῃ αὐτόν;»

Εἰ καὶ θαυμαστά σου, φησί, δημιουργήματα οὐρανὸς καὶ τὰ ἐν

1. Ψαλμ. 83, 2-3. 2. Ψαλμ. 83, 4. 3. Ματθ. 21, 16.

αὐτῷ ἅπερ ἥδρασας δι' ὅλου τοῦ αἰῶνος ἑστάναι· «ἔστησε» γὰρ «αὐτὰ εἰς τὸν αἰῶνα [1]», καθά φησιν ἐν ἑτέροις, «καὶ πρόσταγμα ἔθετο, καὶ οὐ παρελεύσεται [2]» οὐ μήν σοι μεγάλα πρὸς ὕπαρξιν, ἀλλὰ βραχείας δυνάμεως δακτύλοις ἀναλογούσης· οὕτω γὰρ τὰς μικρὰς δυνάμεις ἐκάλεσε τοῦ Θεοῦ. Καὶ ταῦτα μὲν ἡδρασμένα μένει· ἄνθρωπον δὲ τὸν καθ' ἕνα παρερχόμενον ἐκπέπληγμαι θεωρῶν, ὅπως καὶ μέμνησαι τούτου, καὶ προνοῇ· ὅπερ οὐκ ἂν ὑπῆρξεν εἰ μικρόν τι καὶ φθαρτὸν ἐτύγχανε ζῷον· οὕτω δὲ τίμιον ὡς ἐκ στόματος νηπίων καὶ θηλαζόντων ὕμνον αὐτῷ κατηρτίσθαι. Εἰ καὶ σμικρὸς τοίνυν κατὰ τὸ σῶμα· ἀλλὰ κατὰ ψυχὴν τὴν κατ' εἰκόνα τετίμηται· ὥστε διὰ τούτου θαυμαστόν σου καταστῆναι τὸ ὄνομα ἐν πάσῃ τῇ γῇ.

Ἀποθαυμάζει τὸ θεῖον Πνεῦμα καὶ εὔχεται τοῦ θαυμασμοῦ λέγων· Οὐρανοὺς μὲν ὁρῶ τοὺς τὸν σύμπαντα κόσμον περιέχοντας· ὁρῶ δὲ καὶ σελήνην καὶ ἄστρα, καὶ ταῦτα πάντα γνωρίζω τῇ φύσει ὄντα μεγάλα καὶ θαυμαστὰ τῆς ὅλης δημιουργίας μέρη· ἀλλ' ὅμως, καίπερ ὄντα τοιαῦτα, οἶδα, ὅτι βραχύτατα τῶν σῶν ἔργων τυγχάνει. Ἔργα γοῦν ἐστι ταῦτα τῶν σῶν δακτύλων· οὐχὶ δὲ χειρῶν, οὐδὲ μεγάλης τινὸς δυνάμεως· ἀλλ', ὡς ἂν εἴποι τις, ἄκρων δακτύλων, τροπικῶς οὕτως τῶν δυνάμεων ὀνομαζομένων τοῦ Θεοῦ, δι' ὧν τὰ αἰσθητὰ καὶ ὁρώμενα δημιουργήματα συνεστήσατο.

Στίχ. ς΄. «Ἠλάττωσας αὐτὸν βραχύ τι παρ' ἀγγέλους, δόξῃ καὶ τιμῇ ἐστεφάνωσας αὐτόν.»

Καὶ μὴν ἑτέρως δόξῃ καὶ τιμῇ τὸν ἄνθρωπον ἐστεφάνωσεν ὁ Θεός, ἐπὶ μόνου τοῦ ἀνθρώπου φήσας· «Ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν καὶ καθ' ὁμοίωσιν [3]», καὶ διαφόρως τοῖς ἁγίοις ἀνθρώποις ἐπιφανείς, καὶ Πνεύματος ἁγίου, καὶ δυνάμεως οὐρανίου μεταδούς, ὡς τὸ μέλλον εἰδέναι, καὶ νόσους ἐλαύνειν, καὶ νεκροὺς ἀνιστᾶν· καὶ τὸ μέγιστον ἁπάντων, τῇ τοῦ Μονογενοῦς τιμήσας αὐτὸν παρουσίᾳ.

Στίχ. ζ΄-θ΄. «Δόξῃ καὶ τιμῇ ἐστεφάνωσας αὐτόν, καὶ κατέστησας αὐτὸν ἐπὶ τὰ ἔργα τῶν χειρῶν σου. Πάντα ὑπέταξας ὑποκάτω τῶν ποδῶν αὐτοῦ, πρόβατα καὶ βόας πάσας, ἔτι δὲ καὶ τὰ κτήνη τοῦ πεδίου, τὰ πετεινὰ τοῦ οὐρανοῦ, καὶ τοὺς ἰχθύας τῆς θαλάσσης, τὰ διαπορευόμενα τρίβους θαλασσῶν.»

Τῇ γὰρ λογικῇ φύσει, ὡς ἂν ὡμοιωμένῃ Θεῷ, τὴν κατὰ πάντων ἀρχὴν καὶ δύναμιν ἐδωρήσατο. Ὁ ἄνθρωπος, τῆς θεϊκῆς εἰκόνος λαβών, ὡς βασιλεὺς ἁπάντων ἐστὶν ὁ Θεός, οὕτως ἄρχων κατέστη τῶν ἐπὶ γῆς. Εἰ δὲ καθολικῶς εἴρηται· «Καὶ κατέστησας αὐτὸν ἐπὶ τὰ ἔργα τῶν χειρῶν σου·» λέγει δὲ ἀλλαχοῦ· «Καὶ τὰ ἔργα τῶν χειρῶν σου εἰσὶν οἱ οὐρανοί [4]», δῆλον ὡς καὶ ἐπὶ τοὺς οὐρανοὺς κατέστησεν αὐτόν. Καὶ μήποτε ἀπορρήτως τὴν ἐν οὐρανῷ διατριβὴν σημαίνει,

1. Ψαλμ. 148, 6. 2. Ψαλμ. 148, 6. 3. Γεν. 1, 26. 4. Ψαλμ. 101, 26.

τῶν ἀπὸ γῆς ἐκεῖσε μεθισταμένων, ὅτε μέλλουσι βασιλείαν κληρονομεῖν οὐρανῶν ὡς ἐπήγγελται. Λέγει δὲ ὁ Παῦλος· «Κληρονόμοι μὲν Θεοῦ, συγκληρονόμοι δὲ Χριστοῦ.[1]» Οὕτω καὶ τό, Πάντα ὑπέταξεν ὑποκάτω τῶν ποδῶν αὐτοῦ, νοητέον νῦν μὲν τὰ ζῷα· ἐπειδὴ δὲ καὶ βίος ἰσάγγελος ἀπόκειται τοῖς ἀνθρώποις ἐν οὐρανῷ, ἐκεῖ καταστὰς ἐπὶ τὰ ἔργα τῶν χειρῶν αὐτοῦ, θεωρὸς οὐρανῶν ἔσται καὶ τῶν ἐν αὐτοῖς. Ὁ δὲ μακάριος Παῦλος καὶ τοῦτο περὶ τοῦ Σωτῆρος ἐξέλαβεν, ἐν αἰῶνι τῷ μέλλοντι γενησόμενον. Διό φησι πρὸς αὐτὸν ὁ Πατήρ· «Κάθου ἐκ δεξιῶν μου, ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου.[2]»

ΨΑΛΜΟΣ ΤΩ ΔΑΥΙΔ Θ΄.

Εἰς τὸ τέλος ὑπὲρ τῶν κρυφίων τοῦ Υἱοῦ.

Πολλὰ δὲ ἦν αὐτῷ τὰ κρυφίως πεπραγμένα ἥ τε ἐκ Παρθένου διὰ Πνεύματος ἁγίου κατὰ σάρκα γέννησις, αἵ τε παράδοξοι καὶ θαυματουργοὶ δυνάμεις, ὅ τε θάνατος αὐτὸς καὶ ἡ εἰς ᾅδου κάθοδος καὶ ἡ ἐκ νεκρῶν ἀναβίωσις. Ταῦτα γὰρ αὐτῷ πάντα κρυφίως πέπρακται. Ἀπέκρυψε γὰρ αὐτὰ καὶ τοὺς ἄρχοντας τοῦ κόσμου τούτου. Ὑπὲρ δὴ τούτων τῶν κρυφίων ὁ Προφήτης λέγει·

Στίχ. β΄. «Ἐξομολογήσομαί σοι, Κύριε, ἐν ὅλῃ καρδίᾳ μου, διηγήσομαι πάντα τὰ θαυμάσιά σου.»

Τοιαῦτα καὶ αὐτὸς ἐν Εὐαγγελίοις φησίν· «Ἐξομολογοῦμαί σοι, Πάτερ, Κύριε τοῦ οὐρανοῦ καὶ τῆς γῆς, ὅτι ἀπέκρυψας ταῦτα ἀπὸ σοφῶν καὶ συνετῶν, καὶ ἀπεκάλυψας ταῦτα νηπίοις.[3]» Καὶ ἐν τῷ ψαλμῷ γὰρ περὶ τῶν κρυφίων εὐχαριστεῖ. Μετὰ δὲ τὴν εὐχαριστίαν, ἣν ὑπὲρ τῆς ἡμετέρας ἐποιήσατο σωτηρίας, περὶ τῶν θαυμασίων τοῦ Πατρὸς διδάξειν ἡμᾶς ἐπαγγέλλεται τῇ τοῦ Πατρὸς ἐναγαλλόμενος θέᾳ. Ὡς δὲ Υἱῷ καὶ ἡ γνῶσις παρῆν τοῦ ὀνόματος τῆς θεότητος τοῦ ἀρρήτου καὶ ἀκατονομάστου Πατρός. Ταῦτα δὲ μάλιστα, φησί, ποιήσω τὸν τῆς ζωῆς νικήσας ἐχθρὸν θάνατον, περὶ οὗ λέλεκται· «Ἔσχατος ἐχθρὸς καταργήσεται ὁ θάνατος.[4]» Ἀποστραφήσεται γὰρ εἰς τὰ ὀπίσω, τουτέστι τὴν πρώτην αὐτοῦ κατάστασιν, ὅτε μὴ ὑφεστήκει. «Ὁ» γὰρ «Θεὸς θάνατον οὐκ ἐποίησεν·[5]» «φθόνῳ δὲ διαβόλου θάνατος εἰσῆλθεν εἰς τὸν κόσμον·[6]» οὗ δὴ γεγονότος καὶ οἱ λοιποὶ πάντες ἐχθροὶ τοῦ λόγου σου καὶ πολέμιοι ἀσθενήσαντες ἀπολοῦνται.

Στίχ. θ΄. «Καὶ αὐτὸς κρινεῖ τὴν οἰκουμένην ἐν δικαιοσύνῃ, κρινεῖ λαοὺς ἐν εὐθύτητι.»

Εἰ οἱ ἐν τῇ οἰκουμένῃ οὐκ ἐν ὁμοίοις εἰσὶν ἔργοις, οὐκ ἂν εἶεν

---

1. Ῥωμ. 8, 17. 2. Ψαλμ. 109, 1. 3. Ματθ. 11, 25. 4. Α΄ Κορ. 15, 26. 5. Σοφ. Σολ. 1, 13. 6. Σοφ. Σολ. 2, 24.

δικαιοσύνη ἡ κρίσις τοῦ Θεοῦ· ὁμοίως τοὺς ἁμαρτάνοντας κολάζει, ἢ τοὺς δικαίους δοξάζει. «Κρινεῖ λαοὺς ἐν εὐθύτητι.» Οἰκουμένην μὲν τὴν Ἐκκλησίαν, ἥτις οἰκεῖται ὑπὸ τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος, κατὰ τό· Ἐγὼ καὶ ὁ Πατὴρ «ἐλευσόμεθα πρὸς αὐτόν, καὶ μονὴν παρ' αὐτῷ ποιησόμεθα·[1]» λαοὺς δὲ τοὺς λοιποὺς παρὰ τὴν Ἐκκλησίαν, ἢ τοὺς ἐκ περιτομῆς. «Ὅσοι γὰρ ἐν νόμῳ ἥμαρτον, διὰ νόμου κριθήσονται, τῶν ἀνόμως ἁμαρτανόντων ἀνόμως ἀπολλυμένων.[2]»

Στίχ. ι', ια'. «Καὶ ἐγένετο Κύριος καταφυγὴ τῷ πένητι, βοηθὸς ἐν εὐκαιρίαις, ἐν θλίψει. Καὶ ἐλπιζέτωσαν ἐπὶ σὲ οἱ γινώσκοντες τὸ ὄνομά σου, ὅτι οὐκ ἐγκατέλιπες τοὺς ἐκζητοῦντάς σε, Κύριε.»

Ποίῳ δὲ πένητι καταφυγὴ γέγονεν ὁ κριτής, ἀλλ' ἢ τῷ κατὰ τὸν πρῶτον βίον τὴν στενὴν ὡδευκότι καὶ τεθλιμμένην, καὶ τῷ μακαριζομένῳ πτωχῷ, δηλονότι τῷ πνεύματι; Τοῦτο δὲ μαθόντες οἱ γινώσκοντες τὸ ὄνομά σου, καὶ ὅτι ἐν τῷ τῆς δικαιοκρισίας καιρῷ τοὺς ἐκζητοῦντάς σε νῦν οὐκ ἐγκαταλείψεις, ἐντεῦθεν ἐλπιζέτωσαν ἐπὶ σὲ πάντα διὰ τὰς ἀμοιβὰς ὑπομένοντες.

Στίχ. ις', ιζ'. «Ἀγαλλιασόμεθα ἐπὶ τῷ σωτηρίῳ σου, ἐνεπάγησαν ἔθνη ἐν διαφθορᾷ ᾗ ἐποίησαν. Ἐν παγίδι ταύτῃ ᾗ ἔκρυψαν συνελήφθη ὁ πούς αὐτῶν. Γινώσκεται Κύριος κρίματα ποιῶν. Ἐν τοῖς ἔργοις τῶν χειρῶν αὐτοῦ συνελήφθη ὁ ἁμαρτωλός.»

Ὠδὴ διαψάλματος.

Ἀλλὰ καὶ τοῖς εὐσεβέσιν ἐπιβουλεύσαντες, ἑαυτοὺς περιέπειραν ἀπωλείᾳ. Τότε καὶ γνωσθήσεται δικαίᾳ κρίσει χρώμενος ὁ Θεός. Ὠδὴ δὲ διαψάλματος· ὡς ἂν μεταβολῆς γεγενημένης ἤτοι μέλους κατὰ τὴν Ἑβραΐδα φωνήν, ἢ μελῳδίας, ἢ καὶ τῆς διανοίας αὐτῆς τῶν λεγεμένων ἐφ' ἕτερον νοῦν μεταβαλλόντων τὸν λόγον.

Στίχ. ιη'. «Ἀποστραφήτωσαν οἱ ἁμαρτωλοὶ εἰς τὸν ᾅδην, πάντα τὰ ἔθνη τὰ ἐπιλανθανόμενα τοῦ Θεοῦ.»

Εἰ γὰρ καὶ νῦν ἀναισθητοῦσι, ἀλλ' ἥξει τῆς κρίσεως ὁ καιρός. Θεοῦ δὲ ἄνθρωπος, κἂν δοκῇ καταπεφρονῆσθαι παρὰ Θεοῦ, τῷ παρὰ τῶν ἁμαρτωλῶν ἀνήκεστα πάσχειν· ἀλλ' οὐ παραδέδοται λήθῃ. Οὐ γὰρ εἰς τὸ τέλος ἐπιλησθήσεται ὁ πτωχὸς τῷ πνεύματι· ἕξει δὲ καρπὸν καὶ τέλος ἀγαθὸν διὰ τὴν ἐν τοῖς παροῦσιν ὑπομονήν.

Στίχ. κ', κα'. «Ἀνάστηθι, Κύριε, μὴ κραταιούσθω ἄνθρωπος, κριθήτωσαν ἔθνη ἐνώπιόν σου. Κατάστησον, Κύριε, νομοθέτην ἐπ' αὐτούς· γνώτωσαν ἔθνη, ὅτι ἄνθρωποί εἰσι.»

Διεγείρει τὸν Θεὸν ὡς τῆς ἀνοχῆς αὐτοῦ καὶ τοῦ πλούτου τῆς χρηστότητος καὶ τῆς μακροθυμίας, ἀναβολὴν μὲν ἐμποιούσης αὐτῷ, ἐπιτριβὴν δὲ τοῖς ἀσεβέσιν ἀνθρώποις. Εὐξάμενος δὲ ἐνώπιον τοῦ Θεοῦ κριθῆναι τὰ ἔθνη, νῦν ἀκολούθως πρὸ τῆς μελλούσης κρίσεως ἀξιοῖ

1. Ἰω. 14, 23. 2. Ῥωμ. 2, 12.

δοθῆναι τοῖς ἔθνεσι νομοθέτην, ἵνα μάθωσιν, ὡς εἰσὶν ἄνθρωποι, ἀλλ' οὐκ ἄλογα ζῷα· οὐ γὰρ ἀλόγοις δίδοται νόμος. Οὐκ ἂν δὲ λέγοι Μωϋσῆν τὸν ἐξ ἀνθρώπων πάλαι γεγενημένον, οὐδὲ νόμον τὸν μόνοις τεθέντα τοῖς Ἰουδαίοις· ἀλλ' οὐδὲ προσδοκᾶν ἕτερον εἶναι, τὸ διὰ πάσης ἐλθεῖν τῆς οἰκουμένης τῆς Καινῆς Διαθήκης τὸν νόμον. Χριστὸς γὰρ ὁ νομοθέτης, καὶ τοῦ Εὐαγγελίου τὸ κήρυγμα κεκράτηκε τῶν ἐθνῶν. Περὶ οὗ διὰ τοῦ προφήτου φησὶν ὁ Πατήρ· «Ἰδοὺ ὁ παῖς μου ὃν ᾑρέτισα, ὁ ἐκλεκτός μου εἰς ὃν εὐδόκησεν ἡ ψυχή μου. Κρίσιν τοῖς ἔθνεσιν ἐξοίσει. Οὐκ ἐρίσει, οὐδὲ κραυγάσει, οὐδὲ ἀκουσθήσεται ἡ φωνὴ αὐτοῦ. Κάλαμον συντεθλασμένον οὐ συντρίψει, καὶ λίνον τυφόμενον οὐ σβέσει· ἀλλ' εἰς ἀλήθειαν ἐξοίσει κρίσιν. Ἀναλάμψει, καὶ οὐ θραυσθήσεται, ἕως ἂν θῇ ἐπὶ τῆς γῆς κρίσιν, καὶ τῷ ὀνόματι αὐτοῦ ἔθνη ἐλπιοῦσιν.[1]» Τὸ δὲ Ἑβραϊκὸν καὶ οἱ λοιποὶ πάντες ἑρμηνευταί, «Καὶ τῷ νόμῳ αὐτοῦ ἔθνη ἐλπιοῦσιν», ἐξέδωκαν.

Στίχ. κβ', κγ'. «Ἱνατί, Κύριε, ἀφέστηκας μακρόθεν, ὑπερορᾷς ἐν εὐκαιρίαις, ἐν θλίψει; Ἐν τῷ ὑπερηφανεύεσθαι τὸν ἀσεβῆ ἐμπυρίζεται ὁ πτωχός· συλλαμβάνονται ἐν διαβουλίοις οἷς διαλογίζονται.»

Ἢ ἐπειδὴ ὁ Θεὸς ὁ δρασσόμενός ἐστι τοὺς σοφοὺς ἐν τῇ πανουργίᾳ αὐτῶν, κατὰ τὸν Ἀπόστολον, τοῦτο αὐτὸ ἤδη γενέσθαι παρακαλεῖ; Ἐπὶ πολλαῖς γὰρ ἀσεβείαις ὁρῶντες αὐτοὺς οἱ πολλοὶ εὐθυνουμένους τε καὶ μηδενὶ λυπηρῷ περιπίπτοντας, μακαρίους αὐτοὺς ἡγοῦνται καὶ ἐπαίνων ἀξίους. Κἀκεῖνοί τε μεγάλα βλάπτονται καὶ οἱ ζηλωταὶ τῆς κακίας γενόμενοι.

Στίχ. κδ', κε', κς'. «Ὅτι ἐπαινεῖται ὁ ἁμαρτωλὸς ἐν ταῖς ἐπιθυμίαις τῆς ψυχῆς αὐτοῦ, καὶ ὁ ἀδικῶν ἐνευλογεῖται. Παρώξυνε τὸν Κύριον ὁ ἁμαρτωλός· κατὰ τὸ πλῆθος τῆς ὀργῆς αὐτοῦ οὐκ ἐκζητήσει. Οὐκ ἔστιν ὁ Θεὸς ἐνώπιον αὐτοῦ, βεβηλοῦνται αἱ ὁδοὶ αὐτοῦ ἐν παντὶ καιρῷ. Ἀνταναιρεῖται τὰ κρίματά σου ἀπὸ προσώπου αὐτοῦ, πάντων τῶν ἐχθρῶν αὐτοῦ κατακυριεύσει.»

Τῇ παρούσῃ τῶν ἀσεβῶν ἐπεξέρχεται καταστάσει, τὴν μέλλουσαν κρίσιν ἀναγκαίαν δεῖξαι βουλόμενος. Τὸ δὲ «παρώξυνε», «διέσυρεν» Ἀκύλας ἡρμήνευσε. Τοὺς περὶ Θεοῦ γὰρ κρίσεως λόγους ἀληθῶς διασύρουσιν. Ἐπιμένων δέ τις ἁμαρτίαις, πρὸς τὸ Θεὸν ζητεῖν ἐμποδίζεται, συνάγων ἑαυτῷ πλῆθος ὀργῆς. Διὸ μὴ ζήτει καὶ τὰς περὶ Θεοῦ φυσικὰς ἐννοίας περικοπτόμενος, καὶ τοῦ βίου τὰς ὁδοὺς ἀκαθάρτους ἔχων· τούτου γε χάριν διὰ παντὸς καὶ τοῦ Θεοῦ τὰ κρίματα μὴ λαμβάνων εἰς νοῦν, ἐν τῷ συγχωρεῖσθαι μάλιστα κατακυριεῦσαι τῶν ἐχθρῶν.

Στίχ. κη'. «Οὗ ἀρᾶς τὸ στόμα αὐτοῦ γέμει καὶ πικρίας καὶ δόλου, ὑπὸ τὴν γλῶτταν αὐτοῦ κόπος καὶ πόνος.»

Τῶν γὰρ ἑτεροδόξων τὸ στόμα ἀρᾶς γέμει, κακολογούντων τὸν

1. Ἡσ. 42, 1-4.

Δημιουργόν, καὶ τῶν λοιδόρων· πικρίας δὲ τῶν θυμικῶν, δόλου τῶν δολίων.

Στίχ. κθ'. «Ἐγκάθηται ἐνέδρᾳ μετὰ πλουσίων ἐν ἀποκρύφοις, τοῦ ἀποκτεῖναι ἀθῶον.»

Καὶ ταῦτα πράττει παραλογιζόμενος ἑαυτόν, ὡς οὐχ ὁρῶντος Θεοῦ.

Στίχ. λβ'. «Εἶπε γὰρ ἐν καρδίᾳ αὐτοῦ· Ἐπιλέλησται ὁ Θεός, ἀπέστρεψε τὸ πρόσωπον αὐτοῦ τοῦ μὴ ἰδεῖν εἰς τέλος.»

Ταῦτα δὲ πάντα ὁ ἀσεβὴς κατὰ τῶν πενήτων τοῦ Θεοῦ διαπράττεται, ἑαυτὸν ἀπατῶν καὶ τοῖς ἑαυτοῦ λογισμοῖς μὴ εἶναι Θεὸν ἔφορον διανοούμενος.

Στίχ. λγ', λδ', λε', λς'. «Ἀνάστηθι, Κύριε ὁ Θεός μου, ὑψωθήτω ἡ χείρ σου, μὴ ἐπιλάθῃ τῶν πενήτων σου εἰς τέλος. Βλέπεις, ὅτι σὺ πόνον καὶ θυμὸν κατανοεῖς, τοῦ παραδοῦναι αὐτοὺς εἰς χεῖράς σου. Σοὶ ἐγκαταλέλειπται ὁ πτωχός, ὀρφανῷ σὺ ἦσθα βοηθός. Σύντριψον τὸν βραχίονα τοῦ ἁμαρτωλοῦ καὶ πονηροῦ· ζητηθήσεται ἡ ἁμαρτία αὐτοῦ, καὶ οὐ μὴ εὑρεθῇ.»

Οὕτως ἐπὶ τὴν τῶν ἀσεβῶν κρίσιν διεγείρει λοιπὸν τὴν ἀνοχὴν τοῦ Θεοῦ. Ἡ δὲ χεὶρ ὑψουμένη δύναμιν ἐδήλωσε κριτικήν. Ἐν ὅσῳ γὰρ αὐτὴ μὴ τιμωρεῖται τοὺς ἀσεβεῖς, τετιμωρεῖσθαι δοκεῖ· ἀποδιδοῦσα δὲ ἑκάστῳ κατὰ τὸ δίκαιον, ὑψοῦσθαι λέγεται, καὶ ταύτην οὐδεὶς ἀποδράσεται. Διό φησι. Τοῦ παραδοῦναι αὐτὸν εἰς χεῖρά σου. Τοιγαροῦν ὁ σὸς πτωχὸς ἀκούσας τῶν σῶν λόγων φασκόντων· «Μὴ ἑαυτοὺς ἐκδικοῦντες, ἀγαπητοί· ἀλλὰ δότε τόπον τῇ ὀργῇ. Ἐμοὶ ἐκδίκησις, ἐγὼ ἀνταποδώσω, λέγει Κύριος.[1]»

ΕΙΣ ΤΟ ΤΕΛΟΣ ΨΑΛΜΟΣ ΤΩ ΔΑΥΙΔ Ι'.

Ἐπειδὴ καὶ «τῷ Δαυῒδ εἰς τὸ τέλος» γέγραπται· καὶ κατὰ τὸν Ἀκύλαν, «τῷ νικοποιῷ», κατὰ δὲ τὸν Σύμμαχον, «ἐπινίκιος τοῦ Δαυῒδ», φήσεις, ὅτι καὶ ὁ Δαυῒδ μετὰ τὴν συμβᾶσαν αὐτῷ συμφορὰν ἔφασκε τὰ προκείμενα.

Στίχ. β'. «Ἐπὶ τῷ Κυρίῳ πέποιθα· πῶς ἐρεῖτε τῇ ψυχῇ μου· Μεταναστεύου ἐπὶ τὰ ὄρη ὡς στρουθίον;»

Τελείου φωνή, καὶ κατὰ τὸν Ἀπόστολον εἰπεῖν δυναμένου, «Τίς ἡμᾶς χωρίσει ἀπὸ τῆς ἀγάπης τοῦ Θεοῦ;[2]» Οὐ κατὰ τὸν ἀτελῆ τὸν φυγῇ μεταναστεύοντα τόπον ἐκ τόπου, καὶ περιφεύγοντα τοὺς διώκοντας. Καθὰ δὴ στρουθίον τοὺς θηρεύοντας, ὅς, κἂν διαφύγοι, λέγοι ἄν· «Ἡ ψυχὴ ἡμῶν ὡς στρουθίον ἐρρύσθη ἐκ τῆς παγίδος τῶν θηρευόντων.[3]»

Στίχ. γ'-ε'. «Ὅτι ἃ κατηρτίσω καθεῖλον· ὁ δὲ δίκαιος τί ἐποίησε; Κύριος ἐν ναῷ ἁγίῳ αὐτοῦ, Κύριος ἐν οὐρανῷ ὁ θρόνος αὐτοῦ. Οἱ

1. Ῥωμ. 12, 19. 2. Ῥωμ. 8, 35. 3. Ψαλμ. 123, 7.

ὀφθαλμοὶ αὐτοῦ εἰς τὸν πένητα ἀποβλέπουσι, τὰ βλέφαρα αὐτοῦ ἐξετάζει τοὺς υἱοὺς τῶν ἀνθρώπων. Κύριος ἐξετάζει τὸν δίκαιον καὶ τὸν ἀσεβῆ.»

Ὁ μόνος δίκαιος καὶ κριτὴς Θεός, τοὺς ἑαυτοῦ πολεμουμένους ὁρῶν, τί ἐποίησεν; Ἐν οὐρανῷ κατοικῶν καὶ βασιλείαν ἔχων ἀσάλευτον, οὐδὲν τῶν ἐπὶ γῆς παρορᾷ. Χαρίζεται δὲ τῷ πένητι τῶν εὐεργετικῶν αὐτοῦ δυνάμεων τὴν ἐπισκοπήν, ἅς φησιν ὀφθαλμούς· ὥσπερ οὖν βλέφαρα τὴν κριτικὴν αὐτοῦ καὶ πάντα διακρίνουσαν πρόνοιαν. Διὰ δικαιοσύνην δὲ κρινεῖ καὶ τοὺς δικαίους, μή τι καὶ αὐτὸς πεπλημμέληται.

Στίχ. ς'. «Ἐπιβρέξει ἐπὶ ἁμαρτωλοὺς παγίδας, πῦρ καὶ θεῖον, καὶ πνεῦμα καταιγίδος ἡ μερὶς τοῦ ποτηρίου αὐτῶν.»

Τὰς ἐπιπόνους κολάσεις πολλαχῇ δηλοῖ τὸ ποτήριον, ὡς ἐν Ἡσαΐᾳ· «Ἐξεγείρου, ἐξεγείρου, Ἱερουσαλήμ, ἡ πιοῦσα τὸ ποτήριον εἰσπτώσεως, τὸ κόνδυ τοῦ θυμοῦ.[1]» Λέγει δὲ καὶ τῷ Ἱερεμίᾳ Θεός· «Λάβε τοῦ οἴνου τοῦ ἀκράτου ἐκ χειρός μου, καὶ ποτίσεις αὐτὸ πάντα τὰ ἔθνη, πρὸς οὓς ἐγὼ ἀποστελῶ σε.[2]» Ὁποῖον τὸ προκείμενον ποτήριον, οὗ τὸ πλήρωμα πῦρ καὶ θεῖον, καὶ πνεῦμα καταιγίδος· οὗ δὴ σύμβολα τὰ κατὰ Σοδόμων ἐπενεχθέντα. Δηλοῖ δὲ τὸ πῦρ τὴν διακαύσεως ἀπειλήν, τὸ δὲ θεῖον τὴν διεγείρουσαν ἔτι μᾶλλον τὸ πῦρ ἀφορμήν, τὸ δὲ πνεῦμα τῆς καταιγίδος, πειρασμοῦ συστροφήν. Εἴρηται γὰρ ἐν Ἡσαΐᾳ· «Ὡς καταιγὶς δι' ἐρήμου διέλθοι ἐρχομένη ἐγγύς· φοβερὸν τὸ ὅραμα καὶ σκληρὸν ἀνηγγέλη μοι.[3]» Ἔστι δὲ καὶ τοῖς εὐσεβέσι ποτήριον τὸ μεθύσκον ὡς κράτιστον, περὶ οὗ τάχα κἀκεῖνο λέλεκται· «Κύριος ἡ μερὶς τῆς κληρονομίας μου καὶ τοῦ ποτηρίου.[4]» Καὶ δι' ἔργων ἀγαθῶν τὸ μὲν φυγεῖν, τὸ δὲ αἱρήσασθαι.

Στίχ. ζ'. «Ὅτι δίκαιος Κύριος καὶ δικαιοσύνας ἠγάπησεν, εὐθύτητα εἶδε τὸ πρόσωπον αὐτοῦ.»

Ὡς γὰρ δίκαιος ἐπιβλέπει μὲν τὸν πένητα, παιδεύει δὲ τοὺς ἁμαρτωλούς· οὐσίᾳ δὲ δίκαιός ἐστιν, οὐ μετοχῇ. Πλὴν καὶ οὕτως ἔχων ἀγαπᾷ τὰς ἐν τοῖς πολλοῖς δικαίοις δικαιοσύνας, τὴν ἑκάστου πρόθεσιν ἀποδεχόμενος. Ἀλλὰ καὶ ἑκάστου κρίματός ἐστί τις δικαιοσύνη· πολλὰ δὲ τὰ κρίματα τοῦ Θεοῦ, περὶ ὧν γέγραπται· «Τὰ κρίματα Κυρίου ἀληθινὰ δεδικαιωμένα ἐπὶ τὸ αὐτό.[5]» Πολλαὶ ἄρα καὶ αἱ δικαιοσύναι. Βλέπει δὲ καὶ εὐθύτητα, τὴν πρὸς τὸν ὀρθὸν λόγον γνώμην· χαίρει γὰρ ἐπὶ τοῖς ἔχουσι, κἂν ὀνειδιζομένους ὁρᾷ. Μήποτε δὲ ὡς πολλαὶ δικαιοσύναι ἐπὶ τοῖς κρίμασιν, οὕτως εὐθύτητες. Διὰ δὲ τὸ ἀποδέχεσθαι τὴν εὐθύτητα, τὸ πρόσωπον αὐτοῦ ὁρᾷ. Ἐπιφαίνεται γὰρ παρὼν ὁ Θεὸς τοῖς ἔργοις τῆς προνοίας καὶ τοῖς ἀποτελέσμασι τῶν κριμάτων.

---

1. Ἡσ. 51,17. 2. Ἱερ. 32,1. Μασ. 25,15. 3. Ἡσ. 21,1-2. 4. Ψαλμ. 15,5. 5. Ψαλμ. 18,10.

ΨΑΛΜΟΣ ΤΩ ΔΑΥΙΔ ΙΑ'.

Εἰς τὸ τέλος περὶ τῆς ὀγδόης.

Ἡ αὐτή ἐστι τῇ τοῦ ς' ἐπιγραφή. Ἐλέγομεν δέ, ὡς καὶ τὸν νόμον λύει Μωϋσέως, εἰ ἄγοι βρέφος ἐν Σαββάτῳ, ἡμέραν ὀγδόην τῆς περιτομῆς ἐν αὐτῇ γινομένης. Τὴν ὁμοίαν ἔχειν ἐλέγομεν δύναμιν καὶ τὴν Κυριακήν, τὴν ἀναστάσιμον οὖσαν τοῦ Κυρίου, καὶ τυγχάνουσαν ἀπὸ τῆς πρώτης ὀγδόην, πρώτην δὲ κατὰ φύσιν ὑπάρχουσαν· καθαρτικὴ γάρ ἐστι πάσης ψυχῆς.

Στίχ. β', γ'. «Σῶσόν με, Κύριε, ὅτι ἐκλέλοιπεν ὅσιος, ὅτι ὠλιγώθησαν αἱ ἀλήθειαι ἀπὸ τῶν υἱῶν τῶν ἀνθρώπων. Μάταια ἐλάλησαν ἕκαστος πρὸς τὸν πλησίον αὐτοῦ, χείλη δόλια ἐν καρδίᾳ καὶ ἐν καρδίᾳ ἐλάλησαν.»

Διαβάλλει πᾶσαν τὴν καθ' ἑαυτὸν γενεάν· λέξει γὰρ καὶ προϊών· «Σύ, Κύριε, φυλάξεις ἡμᾶς καὶ διατηρήσεις ἡμᾶς ἀπὸ τῆς γενεᾶς ταύτης καὶ εἰς τὸν αἰῶνα.[1]» Τοιαύτη γὰρ ἡ προτέρα γενεά, περὶ ἧς ἔφη καὶ ὁ Σωτήρ· «Ἄνδρες Νινευῖται ἀναστήσονται ἐν τῇ κρίσει μετὰ τῆς γενεᾶς ταύτης, καὶ κατακρινοῦσιν αὐτήν· καὶ βασίλισσα Νότου[2]», καὶ τὰ ἑξῆς· καὶ πάλιν οὕτως· «Ἔσται τῇ γενεᾷ τῇ πονηρᾷ ταύτῃ.[3]» Οὐκ ἀδίκως δὲ ταύτης κατηγορῶ, φησὶν ὁ Προφήτης· ἀλλ' ὅτι μηδεὶς ὅσιος ἐν αὐτῇ, μηδεὶς ἀληθής. Ἐπεὶ οὖν μηδένα μοι σωτηρίαν αἴτιον εὑρίσκω, αὐτός μοι, Κύριε, τοῦτο γενοῦ. Διελέγχει δὲ τῶν Ἰουδαίων τὴν ἀπιστίαν, περὶ ὧν φησι καὶ Μωϋσῆς· «Υἱοί, οἷς οὐκ ἔστι πίστις ἐν αὐτοῖς.[4]» Ὅτι δὲ μάταια ἐλάλουν ἐπιβουλεύοντες τῷ Σωτῆρι καὶ δολίως αὐτῷ προσερχόμενοι, σαφῶς ἡ τῶν Εὐαγγελίων διδάσκει γραφή.

Στίχ. δ', ε'. «Ἐξολοθρεύσαι Κύριος πάντα τὰ χείλη τὰ δόλια, γλῶσσαν μεγαλορρήμονα. Τοὺς εἰπόντας· Τὴν γλῶσσαν ἡμῶν μεγαλυνοῦμεν, τὰ χείλη ἡμῶν παρ' ἡμῶν ἐστι· τίς ἡμῶν Κύριός ἐστι;»

Θεοῦ γὰρ ἦν, οὐκ ἀνθρώπου, τῆς ἐκείνων περιγενέσθαι κακίας, καὶ σβέσαι λόγους βλασφημοῦντας τὸν Ἰησοῦν. Ὁμοίως δὲ τῷ Φαραὼ φήσαντι· «Οὐκ οἶδα τὸν Κύριον[5]», καὶ αὐτοί φασι· «Τίς ἡμῶν Κύριός ἐστι;» νομίσαντες εἶναι κύριοι διὰ τῶν ἰδίων λόγων τὴν τοῦ Σωτῆρος σβέσαι διδασκαλίαν, ὡς ἂν ὄντες αὐτεξούσιοι. Ταῦτα δὲ ἦν τὰ Φαρισαίων καὶ Σαδδουκαίων χείλη, μεθ' ὑποκρίσεως προσιόντων τῷ Σωτῆρι, καὶ Ῥαββὶ καλούντων αὐτόν, λάθρα δὲ κατ' αὐτοῦ τυρευόντων. Μεγαλορρήμονες δὲ ἦσαν οἱ πρεσβύτεροι καὶ οἱ ἀρχιερεῖς τοῦ λαοῦ, τολμῶντες ἀνακρίνειν τὸν Σωτῆρα καὶ λέγειν αὐτῷ· «Ἐν ποίᾳ ἐξουσίᾳ ταῦτα ποιεῖς, καὶ τίς σοι ἔδωκε τὴν ἐξουσίαν ταύτην;[6]»

Στίχ. ς'. «Ἕνεκεν τῆς ταλαιπωρίας τῶν πτωχῶν καὶ τοῦ στενα-

1. Ψαλμ. 11, 8. 2. Ματθ. 12, 41-42. 3. Ματθ. 12, 45. 4. Δευτ. 32, 20. 5. Ἐξ. 5, 2. 6. Ματθ. 21, 23.

γμοῦ τῶν πενήτων νῦν ἀναστήσομαι, λέγει Κύριος. Θήσομαι ἐν σωτηρίῳ, παρρησιάσομαι ἐν αὐτῷ.»

Ἢ καὶ οὕτως· Οἱ πτωχοὶ δι' ἐμὲ καὶ πένητες γεγονότες τῷ πνεύματι στένουσιν ἀεὶ ταπεινούμενοι προσέχοντές μου τῷ λόγῳ, καὶ πίστιν ἀκλινῆ διασῴζοντες· ὧν ἕνεκεν ἀναστήσομαι, καὶ κατὰ τὸ πρέπον τῇ ἐμῇ ἀναστάσει σωτήριον στήσομαι πᾶσιν ἀνθρώποις· ἐφ' ᾧπερ ὡς μεγάλῳ παρρησιάσομαι κατορθώματι.

Στίχ. ζ'. «Τὰ λόγια Κυρίου λόγια ἁγνά, ἀργύριον πεπυρωμένον, δοκίμιον τῇ γῇ, κεκαθαρισμένον ἑπταπλασίως.»

Ὁ δὲ ἄργυρος πολλάκις πυρούμενος ἀμιγὴς ἑτέρας ὕλης ἐστίν· οὕτω καθαρὰ ψεύδους τοῦ Κυρίου τὰ λόγια.

Στίχ. η'. «Σύ, Κύριε φυλάξεις ἡμᾶς καὶ διατηρήσεις ἡμᾶς ἀπὸ τῆς γενεᾶς καὶ εἰς τὸν αἰῶνα.»

Ἐπειδὰν φυλάξῃς τοὺς σοὺς πτωχούς, καὶ ἐπειδὰν ἡμᾶς περιτειχίσῃς ἅμα τῇ ἐρχομένῃ γενεᾷ, τῇ καλουμένῃ αἰωνίᾳ, οἱ παράνομοι τότε, ἐκτὸς γενόμενοι τῆς εἰς πάντας ἀνθρώπους χυθησομένης σου χάριτος, κύκλῳ περιπατήσουσι, θεωροὶ γενησόμενοι τῶν σῳζομένων· καὶ τοῦτο ἔσται ὅταν ὑψωθῶσιν οἱ εὐτελεῖς τῶν ἀνθρώπων.

Στίχ. θ'. Κύκλῳ οἱ ἀσεβεῖς περιπατοῦσι, κατὰ τὸ ὕψος σου ἐπολυώρησας τοὺς υἱοὺς τῶν ἀνθρώπων.»

Ἐπειδὴ ὁ κύκλος τῇ εὐθείᾳ ἐναντίος ἐστὶ κατὰ τὴν σκολιότητα καὶ εὐθύτητα, οἱ δὲ ἀσεβεῖς κύκλῳ περιπατοῦσιν, οἱ εὐσεβεῖς ἄρα εὐθεῖαν περιπατοῦσιν.

ΕΙΣ ΤΟ ΤΕΛΟΣ ΨΑΛΜΟΣ ΤΩ ΔΑΥΙΔ ΙΒ'.

Διὰ τὸ τέλος τὸ παρὰ τῷ Θεῷ πάντα πρὸ τοῦ τέλους ἀνδρικῶς ἠγωνίζετο· τὸ δὲ τέλος ὁ τῶν πόνων ἐστὶ καρπός, ζωὴν αἰώνιον καὶ βασιλείαν οὐρανῶν προξενῶν. Εἰς μὲν οὖν τὸ τέλος ἀνέπεμψε τὴν ᾠδὴν τῷ Θεῷ· κατὰ δὲ τὴν ἀρχήν, ὡς ἀγωνιζόμενος ἔτι, τὰς πρώτας προφέρει φωνάς·

Στίχ. β'. «Ἕως πότε, Κύριε, ἐπιλήσῃ μου εἰς τέλος; ἕως πότε ἀποστρέψεις τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ;»

Λήθην δὲ Θεὸς ποιεῖται τῶν ἐπιλανθανομένων αὐτοῦ διὰ τῆς ἁμαρτίας· ἀποστρέφει καὶ τὸ πρόσωπον ἀπὸ τῶν αἰσχρόν τι πραττόντων, ἀναξίους εἶναι κρίνας τῆς ἐποπτείας αὐτοῦ· διόπερ ὑπὸ τοῦ συνειδότος νυττόμενος καὶ τὴν τοῦ Θεοῦ δεδιὼς κρίσιν ἐπάγει·

Στίχ. γ'-ε', «Ἕως τίνος θήσομαι βουλὰς ἐν ψυχῇ μου, ὀδύνας ἐν καρδίᾳ μου ἡμέρας καὶ νυκτός; Ἕως πότε ὑψωθήσεται ὁ ἐχθρός μου ἐπ' ἐμέ; Ἐπίβλεψον, εἰσάκουσόν μου, Κύριε ὁ Θεός μου. Φώτισον τοὺς ὀφθαλμούς μου, μήποτε ὑπνώσω εἰς θάνατον· μήποτε εἴποι ὁ ἐχθρός μου· Ἴσχυσα πρὸς αὐτόν.»

Ὑψοῦται δὲ κατὰ τοῦ ἁμαρτάνοντος ὁ ἐχθρὸς ταπεινουμένου τῇ

ἁμαρτίᾳ· καὶ τοὐναντίον δικαιοπραγοῦντος. Ὡς μηδὲ βουλόμενος ἀμισθεὶ εἰσακουσθῆναι, προτάττει τό, «ἐπίβλεψον», παρακαλῶν ἰδεῖν αὐτοῦ τὰ κατορθώματα. Ἢ καὶ ὡς τοῦ Θεοῦ μὴ εἰσακούοντος, εἰ μή τις δίκαιος ᾖ. Πρόσωπον δὲ Θεοῦ φωτὸς γέμει, δύναμις οὖσα πρὸς εὐεργεσίαν προνοουμένη· οὗ τις μετέχων φωτισθήσεται, καθάπερ ἡλιακῶν ἀπολαύων αὐγῶν. Ἀποστραφέντος δέ, μηκέτι φωτιζομένη σκοτοῦται ψυχή, μηδὲν ἐνεργούντων τῶν ἔνδον ὀφθαλμῶν, οἵτινες διανοίας εἰσὶ λογισμοί. Ἐπιμενούσης δὲ τῇ ἁμαρτίᾳ, καὶ τοῦ σκότους ἐπὶ πλέον ἐπικρατοῦντος, τῷ καὶ μένειν ἀπεστραμμένον τὸ πρόσωπον τοῦ Θεοῦ, ἑξῆς οἱονεί πως γίνεται κακίας ἀθεράπευτα πλημμελούσης, καὶ μήτι γρηγοροῦσα λέγοιτ' ἂν εἰς θάνατον ἡμαρτηκέναι.

ΕΙΣ ΤΟ ΤΕΛΟΣ ΨΑΛΜΟΣ ΤΩ ΔΑΥΙΔ ΙΓ'.

Ἐπεὶ ταῦτα προφητικῶς εἰρημένα ἐπὶ συντελείᾳ τῶν αἰώνων ἤμελλε γίνεσθαι, προγέγραπται τό, «εἰς τὸ τέλος·» ψαλμὸς δὲ οὐκ εἴρηται διὰ τὸ κατηγορεῖν πάντων ἀνθρώπων.

Στίχ. β'. «Εἶπεν ἄφρων ἐν καρδίᾳ αὐτοῦ· Οὐκ ἔστι Θεός. Διεφθάρησαν καὶ ἐβδελύχθησαν ἐν ἐπιτηδεύμασιν· οὐκ ἔστι ποιῶν χρηστότητα.»

Τῶν δὲ ἀθέων οἱ μὲν μὴ εἶναι Θεὸν παντελῶς ἔδοξαν, ἀλλ' εἶναι διὰ κενὸν ὄνομα· οἱ δὲ μὴ ὄντας ἀνέπλασαν, τὸν ὄντα παρωσάμενοι· οἱ δὲ εἶναι μὲν ἔφασαν, μὴ προνοεῖν δὲ τῶν ἐπὶ γῆς. Οἱ δὴ πάντες εἰς ἀθεΐαν περιετράπησαν φρονοῦντες οὕτως· εἰ καὶ μὴ ἐτόλμων εἰπεῖν δι' ἃς ἔχουσι πάντες φυσικὰς ἐννοίας περὶ Θεοῦ· διὸ καρδίᾳ ἔλεγον, ἀλλ' οὐ στόματι· ἐν τούτῳ γὰρ καὶ πολλοὺς λέγειν ἐδόκουν θεούς. Ἠλέγχοντο δὲ ἀφ' ὧν ἔδρων· ἀπὸ γὰρ τοῦ καρποῦ τὸ δένδρον γινώσκεται. Μηδεμιᾶς γὰρ ἀσελγείας φειδόμενοι, παντὶ δὲ τρόπῳ τὸν βίον διαφθειρόμενοι, εἰ καὶ μυρίους ὡμολόγουν θεούς, δῆλοι ἦσαν οὐδὲν ὑγιὲς φρονοῦντες περὶ Θεοῦ. Ἄφρων οὖν ὄντως ὁ πρὸ τῆς τοῦ Σωτῆρος ἐπιδημίας βίος. Εἴπερ «ἀρχὴ σοφίας φόβος Κυρίου[1]», οὐκοῦν τῷ μὴ φοβεῖσθαι καὶ ἀθετεῖν ἀντίκειται ἡ σοφία.

Στίχ. γ'. «Πάντες ἐξέκλιναν ἅμα ἠχρειώθησαν· οὐκ ἔστι ποιῶν χρηστότητα, οὐκ ἔστιν ἕως ἑνός.»

Δοκεῖ δέ μοι τὰ προκείμενα καὶ αὐτοῦ τοῦ Ἰουδαίων ἔθνους λεληθυῖαν κατηγορίαν περιέχειν. Εἰ γάρ, διακύψας ἐκ τοῦ οὐρανοῦ Κύριος καὶ ἐπισκοπήσας τοὺς ἐπὶ γῆς πάντας εὗρεν ἐκκλίναντας καὶ ἀχρειωθέντας, ὡς μηδένα μηδαμῶς εὑρίσκεσθαι ἐν ἀνθρώποις, μηδὲ μέχρις ἑνός, τὸν μηδὲ ἠχρειωμένον, μηδὲ ἐκκλίναντα· ἀκόλουθόν ἐστι τοῖς πᾶσι συμπεριλαμβάνεσθαι, καὶ τὸ Ἰουδαίων ἔθνος, καὶ αὐτὸν τὸν καλούμενον Ἰσραήλ. Τὰ μέντοι προκείμενα λόγια σαφῶς ἀπεφη-

1. Ψαλμ. 110, 10.

νατο, ὅτι πάντες ἐξέκλιναν, ἅμα ἠχρειώθησαν, ὡς μηδὲ εἶναι ποιοῦντα χρηστότητα, μηδὲ ἕως ἑνός. Ἔδει γὰρ τὸ μέγεθος παραστῆναι τῆς ἐν τοῖς ἀνθρώποις ἐγγενομένης νόσου πρὸ τῆς τοῦ Σωτῆρος παρουσίας· ὡς ἂν ἡ ἄφιξις αὐτοῦ φανείη τοῖς πᾶσιν ἀναγκαία. Πάντες γὰρ ἥμαρτον καὶ ὑστεροῦνται τῆς δόξης τοῦ Θεοῦ, δικαιούμενοι δωρεὰν τῇ αὐτοῦ χάριτι Ταύτην δὲ καὶ ὁ Ἡσαΐας συμφώνως ἀποδίδωσι τὴν διάνοιαν ἐν οἷς φησι πρὸς τὴν Ἰουδαίων συναγωγὴν ἀποτεινόμενος· «Ἰδοὺ ταῖς ἁμαρτίαις ὑμῶν ἐπράθητε, καὶ ταῖς ἀνομίαις ὑμῶν ἐξαπέστειλα τὴν μητέρα ὑμῶν, διότι ἦλθον, καὶ οὐκ ἦν ὁ ἄνθρωπος· ἐκάλεσα, καὶ οὐκ ἦν ὁ ὑπακούων.[1]» Τὸ γάρ, «διότι ἦλθον», ὅμοιον ἂν εἴη τῷ, «Κύριος ἐξ οὐρανοῦ διέκυψεν ἐπὶ τοὺς υἱοὺς τῶν ἀνθρώπων·» τὸ δέ· «Καὶ οὐκ ἦν ἄνθρωπος, καὶ οὐκ ἦν ὁ ὑπακούων», ὅμοιον τῷ· «Πάντες ἐξέκλιναν καὶ ἠχρειώθησαν.»

Στίχ. δ'. «Οὐχὶ γνώσονται πάντες οἱ ἐργαζόμενοι τὴν ἀνομίαν, οἱ ἐσθίοντες τὸν λαόν μου βρώσει ἄρτου;»

Καί μοι δοκεῖ προφητεύειν μεταβολὴν ἔσεσθαι τῶν ἐθνῶν ἐκ θηριώδους βίου, καὶ ἐξ ἀγνωσιας Θεοῦ, ἐπὶ ἥμερον καὶ θεοσεβῆ τρόπον· ὃ καὶ ἔστιν ὀφθαλμοῖς παραλαβόντα μαρτυρῆσαι ἀλήθειαν τῇ προφητείᾳ. Ἀναγνώσῃ τοίνυν τὰ προκείμενα ἐρωτηματικῶς, πυνθανομένου τοῦ λόγου καὶ φάσκοντος· Εἰ καὶ πάντες ἐξέκλιναν πρὸ τῆς τοῦ Χριστοῦ παρουσίας καὶ ἠχρειώθησαν· μὴ τοίνυν οὐχὶ γνώσονται ἐν τῷ μετὰ ταῦτα χρόνῳ πάντες οἱ ἐργαζόμενοι τὴν ἀνομίαν; προσυπακουόντων ἡμῶν.

Στίχ. ε'. «Τὸν Κύριον», καὶ κατὰ κοινοῦ πάλιν λαμβανόντων τὰ ἑξῆς. Καὶ αὐτοὶ γὰρ οἱ πάλαι τὸν λαὸν τοῦ Θεοῦ ὡσεὶ ἄρτον ἐσθίοντες, καὶ τὸν Κύριον μηδεπώποτε ἐπικαλεσάμενοι, μὴ οὐχὶ γνώσονται αὐτόν; Καὶ Ἡσαΐας δὲ συνᾴδει περὶ τῶν αὐτῶν θεσπίζων καὶ λέγων· «Οἷς οὐκ ἀνηγγέλη περὶ αὐτοῦ ὄψονται· καὶ οἳ οὐκ ἀκηκόασι συνήσουσιν.[2]» «Ἐκεῖ ἐδειλίασαν φόβῳ, οὗ οὐκ ἦν φόβος. Ὅτι ὁ Θεὸς ἐν γενεᾷ δικαίᾳ». Τίνες δὲ ἀλλ' ἢ οἱ ἐργαζόμενοι τὴν ἀνομίαν, καὶ οἱ πρότερον μὴ ἐπικαλούμενοι τὸν Κύριον; ἔσται γάρ ποτε καιρός, ὅτε ἐπιγνώσονται αὐτόν, καθ' ὃν καὶ φόβον ἀναλήψονται τοῦ Θεοῦ καὶ δειλίαν ἀγαθήν. Ὅτι δὲ τὸν φόβον ἀναλαβεῖν Κυρίου ἀγαθόν ἐστι, δῆλον ἀπὸ τοῦ λέγεσθαι·«Ἀρχὴ σοφίας φόβος Κυρίου.[3]» Οἱ δηλούμενοι τοίνυν φοβηθήσονται «ἐκεῖ» φόβῳ· τουτέστι «τότε». Τίνα δὲ φοβηθήσονται ἢ τὸν Κύριον; ἐκεῖ δέ, ποῦ ἢ ἐν τῇ μελλούσῃ συστήσεσθαι γενεᾷ; διὸ ἐπιλέγει:

Στίχ. ε', ς'. «Ὅτι ὁ Θεὸς ἐν γενεᾷ δικαίᾳ. Βουλὴν πτωχοῦ κατῃσχύνατε, ὁ δὲ Κύριος ἐλπὶς αὐτοῦ ἐστιν.»

Ὥσπερ ἐν τοῖς ἄλλοις κρίμασι τοῖς γινομένοις περὶ συναλλάγματα καὶ κοινωνίας οὐκ εἰς πρόσωπα βλέπειν δεῖ· οὕτως ἐν τοῖς βουλευομένοις οὐκ εἰς ἀρχὴν καὶ περιουσίαν σκοπητέον· ἀλλ' εἰς νοῦν διηρθρω-

---

1. Ἡσ. 50,1-2. 2. Ἡσ. 52,15. 3. Ψαλμ. 110,10.

μένον καὶ τὸ εὐσυνείδητον ἔχοντα. Ἐπιστατέον ἐκλαβεῖν, εἰ δυνατόν, περὶ τῶν Ἰουδαίων τὰ προκείμενα, τὴν τοῦ Σωτῆρος βουλὴν καταισχῦναι σπευδόντων, τῷ ἡγεῖσθαι αὐτὸν πτωχόν τινα εἶναι, καὶ μὴ πλοῦτον θεότητος. Ἀεὶ γοῦν καὶ ἀντιλέγουσι τῇ διδασκαλίᾳ αὐτοῦ, καὶ τὰς τεραστίους δυνάμεις κακολογοῦσιν, ὡς μὴ θεϊκῇ δυνάμει, ἀλλ' ἄλλοθέν ποθεν γεγενημένας.

Στίχ. ζ'. «Τίς δώσει ἐκ Σιὼν τὸ σωτήριον τοῦ Ἰσραήλ; ἐν τῷ ἐπιστρέψαι Κύριον τὴν αἰχμαλωσίαν τοῦ λαοῦ αὐτοῦ ἀγαλλιάσεται Ἰακώβ, καὶ εὐφρανθήσεται Ἰσραήλ.»

Πάντων ἐκκλινάντων καὶ ἅμα ἀχρειωθέντων καιρὸς ἦν εἰς εὐχὴν τρέψαι τὸν λόγον, ὡς πρεσβείας τρόπῳ φάναι· «Τίς δώσει ἐκ Σιὼν τὸ σωτήριον τοῦ Ἰσραήλ;» Αὐτοῦ γὰρ χρεία λοιπόν, τοῦ ἄφεσιν ἁμαρτημάτων παρέχοντος, τοῦ αἰτίου τῆς αἰωνίου σωτηρίας. Τοῦτο τὸ σωτήριον τὸ κατὰ σάρκα ἐκ σπέρματος Δαυὶδ γεγονός, ἐκ τῆς Σιὼν δέδοται· «Ἥξει γὰρ ἐκ Σιὼν ὁ ῥυόμενος, καὶ ἀποστρέψει ἀσεβείας ἀπὸ Ἰακώβ.[1]» Εἰς τοῦτο λήψῃ τό· «Ἐκ Σιὼν ἡ εὐπρέπεια τῆς ὡραιότητος αὐτοῦ[2]», δυνατὸν ἐκλαβεῖν· ὡς καὶ ἐκ τῆς ἐπουρανίου Σιὼν ἐλήλυθε τὸ σωτήριον· ἐπείπερ ἐν αὐτῇ εἴρηται τὴν βασιλείαν ἔχειν ὁ Χριστός. Διὸ καὶ ὁ σκοπὸς ἡμῶν, καὶ ἡ ἐλπὶς τῆς ἄνω κλήσεως ἡ βασιλεία τῶν οὐρανῶν τυγχάνει. Εἶθ' ἑξῆς τὴν μέλλουσαν ἅπασιν ἀνθρώποις προξενεῖσθαι ἀπὸ κακῶν ἐλευθερίαν διὰ τοῦ σωτηρίου παρίστησι. Καὶ θέα τίνα τρόπον, ἑτέρων λυτρουμένων, ἑτέρους φησὶν ἀγαλλιᾶσθαι· ἐν τῷ γὰρ ἠλευθερῶσθαι τὴν αἰχμαλωσίαν τοῦ λαοῦ Κυρίου, «Ἀγαλλιάσεται», φησίν, «Ἰακώβ, καὶ εὐφρανθήσεται Ἰσραήλ. «Τῶν οὖν πάλαι ᾐχμαλωτισμένων ὑπὸ τῆς δαιμονικῆς πλάνης ψυχῶν, μελλουσῶν διὰ τοῦ σωτηρίου τοῦ Θεοῦ ἐλευθερίας τυγχάνειν, καὶ ἐξ ἁπάντων τῶν ἐθνῶν μελλόντων ἐπιστρέφειν ἐπὶ τὸν Κύριον, οἱ πάλαι παρὰ τῷ Θεῷ ἀναπεπαυμένοι δίκαιοι καὶ προφῆται, αὐτοὶ ὄντες ὁ ἀληθῶς Ἰσραὴλ καὶ ὁ ἀληθῶς Ἰακώβ, ἀγαλλιάσονται καὶ εὐφρανθήσονται, διὰ τὸ πληροῦσθαι αὐτῶν τὰς περὶ ἡμῶν προφητείας, καὶ διὰ τὸ συγχαίρειν τῇ ἡμετέρᾳ σωτηρίᾳ. Διὸ καὶ ὁ Συμεών, εἰπὼν περὶ τοῦ Σωτῆρος, ὅτι «Φῶς ἔσται εἰς ἀποκάλυψιν ἐθνῶν», ἐπήγαγε, «καὶ δόξαν λαοῦ σου Ἰσραήλ.[3]»

ΕΙΣ ΤΟ ΤΕΛΟΣ ΨΑΛΜΟΣ ΤΩ ΔΑΥΙΔ ΙΔ'.

Στίχ. α'. «Κύριε, τίς παροικήσει ἐν τῷ σκηνώματί σου; καὶ τίς κατασκηνώσει ἐν τῷ ὄρει τῷ ἁγίῳ σου;»

Ἀπὸ τῶν προσεχεστέρων προβαίνων διαγράφει τὸν τέλειον. Παροικία δέ ἐστι διαγωγὴ πρόσκαιρος ἐπ' ἐλπίδι τῆς κρείττονος. Διό φησι καὶ Δαυίδ· «Πάροικός εἰμι καὶ παρεπίδημος, καθὼς πάντες

1. Ἡσ. 59, 20. 2. Ψαλμ. 49, 2. 3. Λουκ. 2, 32.

οἱ πατέρες μου.[1]» Πάροικος γὰρ Ἀβραάμ, μηδὲ βῆμα κεκτημένος ποδός, μόλις δὲ τάφον πριάμενος. Ὃ δὴ σύμβολον τοῦ ζῶντα μὲν ἐν σαρκὶ πάροικον εἶναι προσήκειν, μεταβαίνοντα δὲ ταύτης, τοῖς οἰκείοις τόποις ἀναπαύεσθαι. Καὶ μακάριόν φησιν ἐν ἀλλοφύλοις παροικοῦντα, μὴ ὡς οἰκείοις προστετηκέναι τοῖς ἐν τῇ γῇ. Σκήνωμα δὲ Θεοῦ ἡ παρ' αὐτοῦ δεδομένη σὰρξ τῇ τοῦ ἀνθρώπου ψυχῇ πρὸς ἐνοίκησιν. Τίς οὖν, ὡς ἀλλοτρίᾳ κεχρημένος, ἔγκαρπον αὐτὴν παραδώσει τῷ δεδωκότι, ὡς ἂν γένηται καὶ σκήνωμα τοῦ Θεοῦ τοῖς ἁγίοις ἐνοικοῦντος; Εἶτα πρὸς τὸ μεῖζον προσκόπτει· «Καὶ τίς κατασκηνώσει ἐν ὄρει ἁγίῳ σου;» Οὐκ ἐν τῇ γηΐνῃ Σιών, ὅπερ Ἰουδαίοις δοκεῖ, ἀλλὰ περὶ ἧς ὁ Παῦλός φησι· «Προσεληλύθατε ὄρει Θεοῦ ζῶντος, Ἱερουσαλὴμ ἐπουρανίῳ.[2]» Παρελθὼν οὖν τις τὴν σάρκα ταύτην καὶ νεκρώσας αὐτοῦ τὰ μέλη τὰ ἐπὶ τῆς γῆς, τὸν ἁγιασμὸν κατορθώσας, ἐν τῇ ἁγίᾳ κατασκηνώσει πόλει· ἧς ἐπιθυμῶν ὁ Δαυῒδ ἔλεγε· «Διελεύσομαι ἐν τόπῳ σκηνῆς θαυμαστῆς ἕως τοῦ οἴκου τοῦ Θεοῦ·[3]» καί, «Ὡς ἀγαπητὰ τὰ σκηνώματά σου, Κύριε τῶν δυνάμεων![4]» τὸ δὲ τούτου σπάνιον ἐμφαίνει τό, «τίς», ὡς τό, «Τίς ἔγνω τὸν νοῦν Κυρίου;[5]» καὶ τό, «τίς ἀναγγελεῖ ὑμῖν τὸν τόπον τὸν αἰώνιον;[6]» καὶ τό, «Τίς ἄρα φρόνιμος καὶ πιστὸς οἰκονόμος;[7]» Μήποτε δὲ καί, τὸν Θεὸν ἐρωτήσας, ἔτυχε ἀποκρίσεως;

«Κύριε, τίς παροικήσει ἐν τῷ σκηνώματί σου; ἢ τίς κατασκηνώσει ἐν ὄρει ἁγίῳ σου;»

Τάχα δὲ καὶ ὁ μεθιστάμενος εἰς οὐρανόν, ὡς ἀπὸ ξένης ἥκων διατριβῆς, παροικεῖ· Θεοῦ γὰρ σκήνωμα ὁ οὐρανός. Ὅρα δὲ μήπως ὁ ἐπιμένων τῇ πολιτείᾳ τοῦ νόμου, εἰς Χριστὸν ὄντος παιδαγωγοῦ, παροικεῖ ἐν τῷ σκηνώματι τοῦ Κυρίου, περὶ τὴν σκηνὴν τοῦ μαρτυρίου τευτάζων· ὁ δὲ φθάσας ἐπὶ Χριστὸν καὶ τὴν εὐαγγελικὴν διδασκαλίαν κατασκηνοῖ ἐν ὄρει ἁγίῳ τοῦ Θεοῦ, περὶ οὗ προφητεύεται· «Ἐμφανὲς ἐστι τὸ ὄρος τοῦ Κυρίου.[8]» Καὶ σκόπει πάλιν, μὴ Θεοῦ μὲν ὄρος ἅγιον ὁ τοῦ Θεοῦ Λόγος· σκήνωμα δὲ αὐτοῦ, ὃν ἀνέλαβεν ἄνθρωπον· καὶ δεῖ πρότερον ἐπιγνῶναι κατὰ σάρκα Χριστόν· εἶτα κατασκηνοῦν ἐν ὄρει ἁγίῳ Θεοῦ, θεασάμενον τὴν δόξαν αὐτοῦ, δόξαν ὡς Μονογενοῦς παρὰ Πατρός· καὶ λέγειν· «Εἰ γὰρ ἐγνώκαμεν κατὰ σάρκα Χριστόν, ἀλλὰ νῦν οὐκέτι γινώσκομεν.[9]» Πρὸς τὸν τοιοῦτον γὰρ εἴρηται· «Ἐπ' ὄρος ὑψηλὸν ἀνάβηθι ὁ εὐαγγελιζόμενος τὴν Σιών.[10]» Ἄλλως ὄρος τοῦ Θεοῦ τὸ ὑπὸ μόνων ἁγίων ψυχῶν καὶ τελείων ἐν δικαιοσύνῃ κατοικηθησόμενον· ὁ οὐρανὸς αὐτός, καὶ ἡ ὑπὸ τοῦ Σωτῆρος εὐαγγελισθεῖσα βασιλεία τῶν οὐρανῶν. Αὕτη ἐστὶν Ἱερουσαλὴμ ἡ ἐπουράνιος· αὕτη ἐστὶ τὸ Σιὼν ὄρος, καὶ ἡ πόλις τοῦ Θεοῦ τοῦ ζῶν-

1. Ψαλμ. 38, 13. 2. Ἑβρ. 12, 22. 3. Ψαλμ. 41, 5. 4. Ψαλμ. 83, 2. 5. Α' Κορ. 2, 16. 6. Ἠσ. 33, 14. 7. Λουκ. 12, 43. 8. Ἠσ. 2, 2. 9. Β' Κορ. 5, 16. 10. Ἠσ. 40, 9.

τος, κατὰ τὸν ἱερὸν Ἀπόστολον, ὅς φησι· «Προσεληλύθατε Σιὼν ὄρει, καὶ πόλει Θεοῦ ζῶντος, Ἱερουσαλὴμ ἐπουρανίῳ.[1]» Τὴν δὲ σκηνὴν νοήσεις τὴν ἄνω ἐπὶ τοῦ ὄρους ἱδρυμένην ἀπὸ τοῦ φάσκοντος λόγου· «Χριστὸς δὲ παραγενόμενος ἀρχιερεὺς τῶν μελλόντων ἀγαθῶν διὰ τῆς μείζονος καὶ τελειοτέρας σκηνῆς, οὐ χειροποιήτου, τουτέστιν, οὐ ταύτης τῆς κτίσεως.[2]»

Τούτων τοιγαροῦν καὶ ὁ Δαυῒδ εἰς ἔννοιαν ἐλθών, ἀναφωνεῖ λέγων· «Κύριε, τίς παροικήσει ἐν τῷ σκηνώματί σου;» Ἀληθῶς γὰρ σπάνιος καὶ δυσεύρετος, καὶ εἷς που ἀπὸ μυρίων, ὁ τῆς ἀναβάσεως ἐκείνης καὶ τῆς ἐν οὐρανοῖς παροικήσεως ἄξιος. Τὸ μὲν οὖν δηλωθὲν σκήνωμα, τὸ ἐν οὐρανοῖς, οἰκητήριον αὐτοῦ γένοιτ' ἂν τοῦ Θεοῦ· ἄνθρωπος δέ, ὥσπερ ἀπὸ αἰχμαλωσίας τῆς κατὰ γῆν διατριβῆς μέλλων μεθίστασθαι ἐπὶ τὴν οὐράνιον κατασκήνωσιν, ὥσπερ τις ξένος καὶ πάροικος ἔσται ἐκεῖ, ἅτε δὴ ἑτέρωθεν μετανάστης γεγονώς, καὶ ἐξ ἑτέρας ὡρμημένος χώρας· διὸ λέλεκται· «Τίς παροικήσει ἐν τῷ σκηνώματί σου;» Μακάριος δὲ ὁ ἐν αὐτῷ γενόμενος τῷ ὄρει, καὶ ἱδρυθεὶς ἐν αὐτῷ, τοῦ λόγου διδάσκοντος παράμονον ἔσεσθαι καὶ διαιωνίζουσαν τοῖς ἀξίοις τὴν αὐτὴν μονήν.

Στίχ. β'. «Πορευόμενος ἄμωμος, καὶ ἐργαζόμενος δικαιοσύνην.»

Οὐ γὰρ μία πρᾶξις τελειοῖ τὸν σπουδαῖον, ἀλλὰ παντὶ προσῆκε τῷ βίῳ ταῖς κατ' ἀρετὴν ἐνεργείαις συμπαρατείνεσθαι, ἵνα ἄμωμοι καὶ ἀνέγκλητοι κατ' αὐτὴν γενώμεθα τὴν ὁδόν. Εἴη δ' ἂν αὕτη ἡ σωτήριος γνῶσις, ἣν αὐτὸς παριστὰς ἔλεγεν· «Ἐγώ εἰμι ἡ ὁδός.[3]» Δεῖ γὰρ πρὸς τῷ πρώτῳ κατορθώματι, καὶ τῆς δι' ἔργων καὶ πράξεων τῶν ἐν δικαιοσύνῃ πρόνοιαν ποιεῖσθαι.

Στίχ. β,γ'. «Λαλῶν ἀλήθειαν ἐν καρδίᾳ αὐτοῦ· ὃς οὐκ ἐδόλωσεν ἐν γλώσσῃ αὐτοῦ.»

Οὐ δεῖ τοίνυν κατεπαίρεσθαί τινα τῶν ἀτελεστέρων μετὰ τὸ κατορθῶσαι τὰ εἰρημένα· ἵνα μή, οἷόν τι ναυάγιον παθών, ἀπολέσῃ τὰ ἑαυτοῦ καλά.

Στίχ. δ'. «Ἐξουδένωται ἐνώπιον αὐτοῦ πονηρευόμενος, τοὺς δὲ φοβουμένους τὸν Κύριον δοξάζει. Ὁ ὀμνύων τῷ πλησίον αὐτοῦ καὶ οὐκ ἀθετῶν.»

Ἐνταῦθα ἐπὶ ἑνὶ πράγματί φησιν εὐλόγως ποτὲ δεῖν ὀμνύναι, καὶ ὀμνύοντα μὴ παραβαίνειν τοὺς ὅρκους. Ἐπὶ ποίῳ δὲ τούτῳ, ἢ ἐπὶ τῷ ἑταιρίαν γνησίαν καὶ φιλίαν σπένδεσθαι; Ἔστι δὲ ὅρκος τοῦ τηλικούτου ἀνδρὸς ἀκατάγνωστος λόγος, ἐφ' ᾧ βεβαιοῦται τό, «Ναὶ ναί», καὶ τό, «Οὒ οὔ.[4]»

Στίχ. ε'. «Τὸ ἀργύριον αὐτοῦ οὐκ ἔδωκεν ἐπὶ τόκῳ, καὶ δῶρα ἐπ' ἀθῴοις οὐκ ἔλαβεν.»

Ἐπειδὴ συμβαίνει ποτὲ μετὰ πάντα τὰ κατηριθμημένα κατορθώ-

---

1. Ἑβρ. 12, 22. 2. Ἑβρ. 9, 11. 3. Ἰω. 14. 6. 4. Ἰακ. 5, 12.

ματα σκάζειν τινὰ καὶ νοσεῖν περὶ δωροδοκίας καὶ τόκους,καὶ ταύτην προσθεραπεύει τὴν νόσον. Ὁ γὰρ τῆς βασιλείας τῶν οὐρανῶν ἕνεκεν, καὶ αὐτῆς τῆς πρὸς τὸν πλησίον ἀγάπης καὶ φιλανθρωπίας τοῦτο πράττων, δίδωσι μέν, ἀλλ' οὐκ ἐπὶ τῷ τὴν ἀμοιβὴν παρὰ ἀνθρώπων λαβεῖν· ἑαυτῷ δὲ ταμιευόμενος ὥσπερ ἐν θησαυρῷ καὶ αὐτῷ φυλάττων εἰς τὴν μέλλουσαν τῷ Θεῷ ἀνταπόδοσιν· «Καὶ δῶρα ἐπ' ἀθώοις οὐκ ἔλαβε.» Τιμὴν μὲν γὰρ τάχα προσοῖτο [προσοίσοιτο] τὴν ἄλυπον καὶ ἀβλαβῆ τοῖς τιμῶσιν· ὑποκειμένης δὲ αἰτίας ἐφ' ἑτέρου βλάβῃ, εἴ ποτε δέξαιτο δῶρα, παντάπασιν ἀνέτρεψε τὰ προλεχθέντα.

ΣΤΗΛΟΓΡΑΦΙΑ ΤΩ ΔΑΥΙΔ ΙΕ'.

Τῷ μὲν «Δαυΐδ» ἐπιγέγραπται ὁ ψαλμός· ἤ, «τοῦ Δαυΐδ», κατὰ τοὺς λοιποὺς ἑρμηνευτάς. Ψαλμὸν δὲ εἶπον καταχρησάμενος τῇ συνηθείᾳ· κατὰ γὰρ τὸ ἀκριβὲς οὐκ ἄν τις αὐτὸν εἴποι ψαλμόν, ὅτι μὴ τοῦτο δηλοῦν βούλεται ἡ προγραφή· ἀλλ' ἔστι στηλογραφία προφητείαν περιέχουσα θαυμαστήν, καὶ γραφῆς αἰωνίου, ὥσπερ ἐν στήλῃ τετυπωμένης, ἀξίαν.

Στίχ. α', β'. «Φύλαξόν με, Κύριε, ὅτι ἐπὶ σοὶ ἤλπισα. Εἶπα τῷ Κυρίῳ· Θεός μου εἶ σύ· ὅτι τῶν ἀγαθῶν μου οὐ χρείαν ἔχεις.»

Ὅτι μὲν οὖν διὰ τοῦ Δαυΐδ ἀναπεφώνηται τὰ ἐν τῇ προφητείᾳ περιεχόμενα, παντὶ ἂν εἴη σαφές. Ζητουμένου δὲ εἰς τίνα ἄρα χρὴ ἀναφέρειν τὰ λεγόμενα, ἀξιόχρεως ἡμῖν διδάσκαλος γένοιτ' ἂν Πέτρος ὁ ἀπόστολος, ἐν ταῖς Πράξεσι τῶν ἀποστόλων μνημονεύσας τῶν ἐν αὐτῇ φερομένων. Διελθὼν γὰρ πρὸς τὸν λαὸν τὰ τοῦ ψαλμοῦ, ταῦτά τε ἐπὶ τὸν Σωτῆρα τὰ εἰρημένα ἀναδιδάξας, ἑξῆς ἐπιφέρει καί φησιν· «Ἄνδρες ἀδελφοί, ἐξὸν εἰπεῖν μετὰ παρρησίας πρὸς ὑμᾶς περὶ τοῦ πατριάρχου Δαυΐδ, ὅτι καὶ ἐτελεύτησε καὶ ἐτάφη· καὶ τὸ μνῆμα αὐτοῦ ἐστιν ἐν ἡμῖν ἄχρι τῆς ἡμέρας ταύτης. Προφήτης οὖν ὑπάρχων, καὶ εἰδώς, ὅτι ὅρκῳ ὤμοσεν αὐτῷ ὁ Θεὸς ἐκ καρποῦ τῆς ὀσφύος αὐτοῦ τὸ κατὰ σάρκα ἀναστήσειν τὸν Χριστόν, καθίσαι ἐπὶ τὸν θρόνον αὐτοῦ, προϊδὼν ἐλάλησε περὶ τῆς ἀναστάσεως τοῦ Χριστοῦ, ὅτι οὔτε ἐγκατελείφθη εἰς ᾅδην, οὔτε ἡ σὰρξ αὐτοῦ εἶδε διαφθοράν. Τοῦτον τὸν Ἰησοῦν ἀνέστησεν ὁ Θεός, οὗ πάντες ἡμεῖς ἐσμεν μάρτυρες.[1]» Ὧν οὕτως εἰρημένων, περιττὸν ἂν εἴη τοῦ λοιποῦ ζητεῖν, ἐπὶ τίνα χρὴ φέρειν τὴν προφητείαν, ἅπαξ ὑπὸ τηλικούτου μάρτυρος δεδιδαγμένοι. Κατὰ μὲν οὖν τοὺς Ἑβδομήκοντα «στηλογραφία» λέλεκται ἡ προφητεία, τὸ περιέχειν τὴν κατὰ τοῦ θανάτου νίκην τοῦ Σωτῆρος διὰ τῆς ἐκ νεκρῶν ἀναστάσεως αὐτοῦ κατωρθωμένην. Ὥσπερ γὰρ τῶν ἀγωνιζομένων ἐν σταδίοις οἱ μέγιστοι καὶ παράδοξοι ἆθλοι στήλης ἀξιοῦνται, καὶ τῶν ἐν πολέμοις κατὰ τῶν ἐχθρῶν τρόπαια εἰς μακρὰν

1. Πράξ. 2, 20-32.

μνήμην στηλιτεύεται· οὕτω καὶ τὸ μέγα τρόπαιον τοῦ Σωτῆρος, ὅπερ ἤγειρε καθελὼν τὸν τὸ κράτος ἔχοντα τοῦ θανάτου, ἄνωθεν ἀπὸ τῶν προφητικῶν χρόνων ἐστηλιτεύετο ταῖς ἑαυτῶν γραφαῖς· διὸ στηλογραφία λέλεκται.

«Ὅτι τῶν ἀγαθῶν μου οὐ χρείαν ἔχεις.» Οὐχ ἵνα τὰ ἐπάξια χαρίσηται ἀνθ' ὧν αὐτῷ προσηγάγομεν. Ἄλλοι δέ φασιν, ὡς ἐκ προσώπου τοῦ Σωτῆρος εἴρηται ὁ ψαλμός· εἴρηται δὲ κατὰ τὸ ἀνθρώπειον, ὥσπερ αὐτοὶ αὐτὰ πολλὰ καὶ ἐν τοῖς ἱεροῖς Εὐαγγελίοις εὑρίσκομεν· τοιοῦτόν ἐστι τό· «Πάτερ, εἰ δυνατόν, παρελθέτω τὸ ποτήριον τοῦτο ἀπ' ἐμοῦ. Πλὴν οὐχ ὡς ἐγὼ θέλω, ἀλλ' ὡς σύ·[1]» καί, «Πορεύομαι πρὸς τὸν Πατέρα μου καὶ Πατέρα ὑμῶν, καὶ Θεόν μου καὶ Θεὸν ὑμῶν.[2]» Οὕτως εὑρίσκομεν αὐτὸν εὐχόμενον συνεχῶς, καὶ τὰ γόνατα κάμπτοντα. Οὕτω τοίνυν καὶ ἐν τούτῳ τῷ ψαλμῷ αἰτεῖ φυλαχθῆναι, καὶ ὑφ' ἑαυτοῦ φυλάττεται. Αἰτεῖ μὲν γὰρ ὡς ἄνθρωπος, δίδωσι δὲ τὴν αἴτησιν ὡς Θεός· εὐδοκοῦντος δηλονότι καὶ συνεργοῦντος τοῦ οἰκείου Πατρός. «Ὅτι τῶν ἀγαθῶν μου οὐ χρείαν ἔχεις.» Τοῦτο ὁ Σύμμαχος ἑτέρως ἡρμήνευσεν· «Ἀγαθόν μοι οὐκ ἔστιν ἄνευ σοῦ.» Πᾶσα, φησί, τῶν ἀγαθῶν ἡ φορὰ διὰ τῆς σῆς ὑπάρχει μοι χάριτος. Ἀμφότερα δὲ τῆς εὐσεβείας ἔχεται. Καὶ ἡμεῖς γὰρ παρὰ τοῦ Θεοῦ τῶν ἀγαθῶν ἀπολαύομεν, καὶ αὐτὸς τῆς ἡμετέρας δικαιοπραγίας οὐ χρήζει· χάριν μέντοι τῆς ἡμετέρας ὠφελείας ταύτην νομοθετεῖ.

Στίχ. γ', δ'. «Τοῖς ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ ἐθαυμάστωσε πάντα τὰ θελήματα αὐτοῦ ἐν αὐτοῖς.—Ὑμεῖς δέ ἐστε σῶμα Χριστοῦ, καὶ μέλη ἐκ μέλους.[3]»

Δύναται, ἰδιοποιούμενος τὰ πάθη τῆς Ἐκκλησίας αὐτοῦ, τὰ προκείμενα ἐξ αὐτῆς λέγειν· «Τοῖς ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ ἐθαυμάστωσε πάντα τὰ θελήματα αὐτοῦ ἐν αὐτοῖς. Ἐπληθύνθησαν αἱ ἀσθένειαι αὐτῶν.» Ἕτεροι δὲ γῆν αὐτοῦ τὴν Ἐκκλησίαν φασίν· ὅθεν καὶ θαυμάσια γίνονται τὰ τοῦ Θεοῦ θελήματα. Θελήματα δὲ Θεοῦ αἱ κατ' εἶδος ἀρεταὶ παριστάμένου τούτου· ἐκ τοῦ· «Εὗρον Δαυῒδ τὸν τοῦ Ἰεσσαί, ἄνδρα κατὰ τὴν καρδίαν μου, ὃς ποιήσει πάντα τὰ θελήματά μου[4]», τὰ οὕτως ἡρμηνευμένα θελήματα Θεοῦ. Θαυμαστοῖ δὲ Θεὸς ἐν τοῖς ἁγίοις αὐτοῦ, πλέον τι ἐχόντων τῶν κατὰ Θεὸν σοφῶν τῶν ἄλλων ἀνθρώπων ἐν τῷ κατὰ ἀρετὴν ἐνεργεῖν. Οὐ γὰρ ἀνδρεία ἡ αὐτὴ τῶν μαρτύρων τῆς ἀληθείας, προφητῶν τε καὶ ἀποστόλων, τῇ τῶν ἄλλως ἀνδριζομένων; ἀλλ' οὐδέ, ἡ σωφροσύνη τῶν τηρούντων ἣν ἔσχεν Ἰωσὴφ καὶ Σουσάννα, τῇ τῶν ἄλλων σωφροσύνῃ. Οὕτω δὲ καὶ ἐπὶ τῶν λοιπῶν ἀρετῶν, θαυμαστοῦντος Θεοῦ τὰς τῶν ἁγίων ἀρετὰς ὡς ἀσυγκρίτως ὑπερέχειν αὐτοὺς τῶν κατὰ ἀνθρώπους γενομένων σπουδαίων. Οὕτω θαυμασίων τῶν θελημάτων τοῦ Θεοῦ ἐν τοῖς ἁγίοις

1. Ματθ. 26, 39. 2. Ἰω. 20, 17. 3. Α' Κορ. 12, 27. 4. Α' Βασ. 13, 14. Ἠσ. 48, 28. Πράξ. 13, 22.

ὄντων, πληθύνονται αὐτῶν, τῶν ἁγίων λέγω, αἱ ἀσθένειαι, ὁρώντων ὡς πολὺ ἀπολείπονται τῆς Θεοῦ ἰσχύος καὶ τοῦ μεγέθους αὐτοῦ. Ὅμως, εἰ καὶ πληθύνονται αἱ προλεχθεῖσαι αὐτῶν ἀσθένειαι, οὐκ ἐμβραδύνουσιν, οὐ παραμένουσιν αὐτοῖς, παραχρῆμα ἀπερχόμεναι. Μέχρι γὰρ τοῦ ἐννοῆσαι αὐτάς, ἔσχον αὐτὰς ταχυνούσας ἐν τῷ μηκέτ' εἶναι· διὰ τὸ ἰσχύειν ἐν τῷ ἐνδυναμοῦσθαι αὐτοὺς ὑπὸ Χριστοῦ πρώτων, «ἐν τῷ Θεῷ ποιήσομεν δύναμιν.[1]»

Οἶμαι δὲ διὰ τούτων δηλοῦσθαι τῶν ἁπάντων τῶν πάλαι εἰδωλολατρῶν τὴν προτέραν κατάστασιν· ἐν ᾗ, ἄθεοι ὄντες καὶ εἰδωλολάτραι, οὐκ ἐπὶ μίαν ἐξώκειλαν πλάνην. Πλῆθος γὰρ ἦν αὐτῶν τῆς πολυθεΐας καὶ εἰδωλολατρείας καὶ ἀσθενείας. Ἀλλ' ἐπειδὴ ἐξ αὐτῶν ἐκείνων μεταβαλόντες διὰ τῆς σωτηρίου χάριτος γεγόνασιν ἅγιοι τοῦ Θεοῦ, διὰ τοῦτο λέλεκται· «Τοῖς ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ ἐθαυμάστωσε πάντα τὰ θελήματά μου ἐν αὐτοῖς·» καὶ ἐπεὶ συνῆπται τό· Ἐπληθύνθησαν εἴδωλα αὐτῶν, ἢ τὰ διαπονήματα αὐτῶν, ἢ ἀσθένειαι αὐτῶν. Ταῦτα γὰρ πάντα προσῆν τοῖς ὕστερον ἁγίοις πρὸ τῆς ἀπὸ τῶν χειρόνων ἐπὶ τὰ κρείττω μεταβολῆς. Ἀλλὰ «μετὰ ταῦτα ἐτάχυναν», οὐκ ἀμελήσαντες οὐδὲ βραδύναντες, ἀλλὰ διὰ τάχους τὴν μετάνοιαν ἐνδειξάμενοι μετὰ τὴν εἰς αὐτοὺς γενομένην χάριν, δι' ἧς ἐθαυμαστώθη πάντα τοῦ Σωτῆρος θελήματα ἐν αὐτοῖς. Ὅθεν συγχώρησιν προτέρων ἁμαρτημάτων διδοὺς αὐτοῖς φησιν· «Οὐ μὴ συναγάγω τὰς συναγωγὰς αὐτῶν ἐξ αἱμάτων·» ἢ κατὰ τὸν Ἀκύλαν· «Οὐ μὴ σπείσω σπονδὰς αὐτῶν ἐξ αἱμάτων.» Πάλαι μὲν γάρ, φησί, σπονδὰς ἐποίουν ἐξ αἱμάτων, Ἰουδαῖοι μὲν κατὰ νόμον τῷ Θεῷ θυσίας προσφέροντες, Ἕλληνες δέ, ὅτε τοῖς δαίμοσιν ἐλάτρευον. Ἐγὼ δὲ καινὰς αὐτοῖς θυσίας παραδούς, οὐκέτι δέξομαι σπονδὰς αὐτῶν ἐξ αἱμάτων· οὐδὲ ταύτας σπείσω ἅτε ἀρχιερεὺς ἐκ τῶν χειρῶν αὐτῶν ἀποδεξάμενος καὶ σπένδων· καινὰ δὲ μυστήρια παραδοὺς αὐτοῖς καὶ καινὰς θυσίας τὰς ἀναίμους καὶ ἀκάπνους, καὶ λογικάς, ταύταις χρῆσθαι διδάξω αὐτούς· ἀλλ' οὐδὲ μνημονεύσω διὰ τῶν χειλέων μου τῶν παλαιῶν αὐτῶν ὀνομάτων. Πάλαι μὲν γὰρ ἐπαξίως τῶν πράξεων ἐπήγοντο προσηγορίας οἱ ἀπὸ τῶν ἐθνῶν, βέβηλοι καὶ ἀκάθαρτοι, καὶ εἰδωλολάτραι, πολύθεοί τε καὶ ἄθεοι ὀνομαζόμενοι· νῦν δὲ ἐκείνων μὲν οὐκέτι μνησθήσομαι τῶν ὀνομάτων, ἕτερα δὲ αὐτοῖς ἀντ' ἐκείνων δωρήσομαι· εὐσεβεῖς αὐτοὺς καὶ θεοσεβεῖς, καὶ ἁγίους, κλητούς τε καὶ ἐκλεκτούς, καὶ Χριστιανοὺς ὀνομάζων.

Στίχ. ε'. «Κύριος μερὶς τῆς κληρονομίας μου καὶ τοῦ ποτηρίου μου, σὺ εἶ ὁ ἀποκαθιστῶν τὴν κληρονομίαν μου ἐμοί.»

Ἀναμνησθῆναι προσήκει τῶν ἐν τῷ δευτέρῳ εἰρημένων ψαλμῷ. Καὶ γὰρ ἐκεῖ ἀνθρωπίνως πάλιν πρὸς αὐτὸν ἔλεγεν ὁ Πατήρ· «Αἴτησαι παρ' ἐμοῦ, καὶ δώσω σοι ἔθνη τὴν κληρονομίαν σου, καὶ τὴν κα-

1. Ψαλμ. 59, 14.

τάσχεσίν σου τὰ πέρατα τῆς γῆς.[1]» Καὶ ἐν τοῖς ἱεροῖς Εὐαγγελίοις αὐτὸς πρὸς τὸν ἑαυτοῦ ἔφη Πατέρα περὶ τῶν ἱερῶν ἀποστόλων· «Πάτερ, οὓς ἔδωκάς μοι σοὶ ἦσαν, καὶ ἐμοὶ αὐτοὺς δέδωκας καὶ οὐδεὶς ἐξ αὐτῶν ἀπώλετο εἰ μὴ ὁ υἱὸς τῆς ἀπωλείας.[2]» Ἀλλ' ὥσπερ ἐνταῦθα ἀνθρωπίνως διαλέγεται λαβεῖν παρακαλῶν, οὕτως ἑτέρωθι δείκνυσι, ὡς αὐτός ἐστι τῶν ἁπάντων δεσπότης· «Τὰ πρόβατα» γὰρ «τὰ ἐμὰ τῆς φωνῆς μου ἀκούει· κἀγὼ γινώσκω αὐτά, καὶ ἀκολουθοῦσί μοι· κἀγὼ ζωὴν αἰώνιον δίδωμι αὐτοῖς·[3]» καὶ πάλιν· «Καὶ ἄλλα δὲ πρόβατα ἔχω, ἃ οὐκ ἔστιν ἐκ τῆς αὐλῆς ταύτης· κἀκεῖνά με δεῖ ἀγαγεῖν, καὶ τῆς φωνῆς μου ἀκούσουσι, καὶ γενήσεται μία ποίμνη, εἷς ποιμήν.[4]» Ἐν τῷ παρόντι μέντοι ψαλμῷ, ἀνθρωπίνως λέγει· «Κύριος μερὶς τῆς κληρονομίας μου καὶ τοῦ ποτηρίου·» κληρονομίαν καλῶν τὴν τῶν ἐθνῶν βασιλείαν· ποτήριον δὲ ὃν ὑπὲρ ἡμῶν ὑπέμεινε θάνατον. Οὕτω γὰρ καὶ ἐν τοῖς ἱεροῖς ἔλεγεν Εὐαγγελίοις· «Πάτερ, εἰ δυνατόν, παρελθέτω τὸ ποτήριον τοῦτο ἀπ' ἐμοῦ·[5]» ὡσεὶ σαφέστερον ἔλεγε· Καὶ τῆς ἐμῆς Ἐκκλησίας, ἥτις ἐστὶν ἡ κληρονομία μου, μερίς ἐστιν ὁ Κύριος· ὁ αὐτὸς δὲ καὶ τοῦ ποτηρίου μου, τουτέστι τοῦ θανάτου, μερὶς γεγενημένος ὁ αὐτός.

«Σὺ εἶ ὁ ἀποκαθιστῶν τὴν κληρονομίαν μου ἐμοί.»

Πάλαι μὲν γάρ, φησίν, ἄλλη τις κληρονομία μου, καὶ ἄλλα σχοινίσματά μου. «Ὅτε» γὰρ «διεμέριζεν ὁ Ὕψιστος ἔθνη», ἐγενήθη «μερὶς Κυρίου λαὸς αὐτοῦ Ἰακώβ, σχοίνισμα κληρονομίας αὐτοῦ[6]» Ἰσραήλ. Ἀλλὰ τότε μὲν μερὶς καὶ κληρονομία, καὶ σχοίνισμα ὁ πρότερος ἦν λαός· οὗ διαπεσόντος καὶ ἀποβλήτου γενομένου διὰ τὰς ἀσεβείας αὐτῶν, ἑτέρα μερὶς καὶ ἄλλα σχοινία, καὶ ἕτεροι κλῆροι ἀντὶ τῶν προτέρων ἐκείνων ἐδόθησάν μοι «ἐν τοῖς κρατίστοις.» Αὕτη γάρ, φησίν, ἡ δευτέρα κρατίστη καὶ ἀρέσκουσά μοι ἐστιν.

Στίχ. η'. «Προωρώμην τὸν Κύριον ἐνώπιόν μου διὰ παντός· ὅτι ἐκ δεξιῶν μου ἐστίν, ἵνα μὴ σαλευθῶ.»

Ὁ ἅγιος, ἀεὶ λογιζόμενος ἐν ὀφθαλμοῖς αὐτοῦ εἶναι τὸν Κύριον, οὐ σαλεύεται· ἀλλὰ βέβαιος ἕστηκεν ὁ Κύριος ἐκ δεξιῶν τοῦ δικαίου. Περὶ δὲ τοῦ Ἰούδα, «Ὁ διάβολος στήτω», φησίν, «ἐκ δεξιῶν αὐτοῦ.[7]»

ΠΡΟΣΕΥΧΗ ΤΩ ΔΑΥΙΔ ΙϚ'.

Στίχ. α'. «Εἰσάκουσον, Κύριε, δικαιοσύνης μου, πρόσχες τῇ δεήσει μου. Ἐνώτισαι τὴν προσευχήν μου οὐκ ἐν χείλεσι δολίοις.»

Ἱκετεύει διὰ τῆς προσευχῆς τὸν Θεὸν ἀκροατὴν γενέσθαι, οὐ τῆς φωνῆς, οὐδὲ τῶν ῥημάτων αὐτοῦ, ἀλλ' αὐτῆς τῆς ἐν αὐτῷ ἀρετῆς, ὥσπερ βοώσης διὰ τῶν πράξεων τῆς δικαιοσύνης καὶ δυσωπούσης τὴν θείαν

1. Ψαλμ. 2, 8. 2. Ἰω. 17, 6, 12. 3. Ἰω. 10, 27-28. 4. Ἰω. 10, 16. 5. Ματθ. 26, 39. 6. Δευτ. 32, 8-9. 7. Ψαλμ. 108, 6.

ἀκοήν. Οὐκ ἂν γάρ τις, ἑαυτῷ φαῦλα συνειδώς, ῥαδίως ἂν τοιαύτην ἀφῆκε φωνήν. Τὸ δέ, «Πρόσχες τῇ δεήσει μου», εἴποι ἂν ἐκεῖνος ὁ βεβασανισμένος καὶ πρεπούσας Θεῷ ἐν τῇ προσευχῇ ἀναπέμπων δεήσεις, ὁ μὴ ἐπὶ μικροῖς καὶ τοῖς τυχοῦσιν αἰτήμασι, μηδ' ἐπὶ θνητοῖς καὶ ἀνθρωπίνοις παρακαλῶν τὸν Θεόν. Τοῦτο γοῦν καὶ ὁ Σωτὴρ ἐδίδασκε λέγων· «Αἰτεῖτε τὰ μεγάλα, καὶ τὰ μικρὰ προστεθήσεται ὑμῖν.[1]» Καὶ τρίτον δὲ ἱκετεύει, καὶ αὐτὰ τὰ ῥήματα τῆς προσευχῆς ἐνωτίσασθαι, κρῖναί τε, ὡς εἰπεῖν, καὶ αὐτὴν τὴν φωνήν, ὅτι μὴ ἐν χείλεσι δολίοις προφέρεται. Πολλάκις γὰρ σεμνὰ φθεγγόμεθα, καὶ λόγοις χρώμεθα τοῖς ἀπὸ τῶν θείων Γραφῶν, οὐ κεκαθαρμένοις τοῖς χείλεσιν. Ἤδη δέ τινες, ἀδιαφόρως λοιδορίαις κατά τινων χρησάμενοι, ἢ διαβολαῖς, ἢ ψευδολογίαις, ἢ ἀπάταις, ἢ ἐπιορκίαις, ἢ αἰσχρορρημοσύναις, ἢ ἄλλοις τισὶν ἀτόποις φωναῖς, ἀθρόως μεταβάλλοντες ἐν τῇ προσευχῇ τὸν Θεὸν ἐπικαλοῦνται. Μόνος δὲ ὁ ἅγιος καὶ τὴν γλῶτταν αὐτοῦ καὶ τὰ χείλη, καὶ τὴν φωνὴν αὐτήν, καὶ τὰ κοινὰ ῥήματα καθαίρει· εἰδὼς εἰρημένον· «Περὶ παντὸς ἀργοῦ ῥήματος δώσετε λόγον ἐν ἡμέρᾳ κρίσεως.[2]» Προσευχῆς γὰρ οὐ διὰ χειλέων δολίων προσφερομένης, διὰ δὲ γλώττης κεκαθαρμένης, καὶ τὰ θεῖα λόγια μελετᾶν εἰθισμένης, ἐνωτίζεται ὁ Θεός. Διὸ ἐπὶ μὲν τῆς δικαιοσύνης, «εἰσάκουσον», ἐλέγετο, ἐπὶ δὲ τῆς δεήσεως, «πρόσχες·» ἐπὶ δὲ τῆς διὰ χειλέων προφερομένης φωνῆς, «ἐνώτισαι.» Τρία γοῦν ᾐτήσατο διὰ τῶν προκειμένων, προτάξας τῶν δύο τὸ κρεῖττον.

Στίχ. γ'. «Ἐδοκίμασας τὴν καρδίαν μου, ἐπεσκέψω νυκτός· ἐπύρωσάς με, καὶ οὐχ εὑρέθη ἐν ἐμοὶ ἀδικία.»

Ὡς τὴν ἀνθρωπίνην ἀσθένειαν ὑπερβαίνει ἡ τῶν προκειμένων διάνοια! Τίς γὰρ καυχήσεται ἁγνὴν ἔχειν καρδίαν; καὶ τίς παρρησιάζεται λέγων καθαρὸς εἶναι ἀπὸ ἁμαρτιῶν; Μόνῳ τοιγαροῦν ἁρμόζοι αὐτῷ Χριστῷ λέγειν τὰ προκείμενα. Μήποτε δὲ τὴν εἰς τὸν ᾅδην κάθοδον, καὶ τὸν ἐν τῷ θανάτῳ χῶρον, νύκτα κέκληκεν ἐπὶ τοῦ παρόντος; Εἰ γὰρ καὶ ἐν νυκτὶ γέγονεν ἐν τῷ καιρῷ τῶν πειρατηρίων καὶ ἐν τῷ σκοτεινῷ καὶ ἀφεγγεῖ τόπῳ τοῦ θανάτου· ἀλλὰ δοκιμασθείς, ἐπισκοπῆς τῆς παρὰ τοῦ Πατρὸς ἠξίωται διὰ τῆς ἀναστάσεως, καὶ ταύτης τετύχηκεν. Ἐπειδήπερ, οἷα χρυσὸς ἐν πυρὶ βληθείς, λαμπρὸς καὶ καθαρὸς διαμεμένηκεν. Ἐπειδὴ μόνος τῶν ἐξ αἰῶνος «ἁμαρτίαν οὐκ ἐποίησεν, οὐδὲ εὑρέθη δόλος», κατὰ τὸν Ἡσαΐαν, «ἐν τῷ στόματι αὐτοῦ.[3]»

Στίχ. δ'. «Ὅπως ἂν μὴ λαλήσῃ τὸ στόμα μου τὰ ἔργα τῶν ἀνθρώπων, διὰ τοὺς λόγους τῶν χειλέων σου ἐγὼ ἐφύλαξα ὁδοὺς σκληράς.»

Ὁ δὲ Σύμμαχος εἰπών· «ἐγὼ ἐφυλαξάμην ὁδοὺς παραβάτου», ἑτέραν παρέστησε διάνοιαν· ὡς τοῦ τὴν εὐχὴν διαπέμποντος πάντα ἄνθρωπον παραβάτην φεύγοντος, καὶ πάσας τὰς τῶν τοιούτων ὁδούς,

---

1. Ματθ. 6, 33. 2. Ματθ. 12, 36. 3. Ἡσ. 53, 9. Α' Πέτρ. 2, 22.

διὰ τὸ χαλεπὰς εἶναι καὶ ἀποσκλήρους πάσας τὰς κατὰ κακίαν πράξεις.

Στίχ. ε'. «Κατάρτισαι τὰ διαβήματά μου ἐν ταῖς τρίβοις σου, ἵνα μὴ σαλευθῶσι τὰ διαβήματά μου.»

Ὑπογραμμὸν ἡμῖν καὶ διὰ τούτων παρέσχεν ὁ Σωτήρ, παιδεύων μήποτε ἐπιτρίβεσθαι, μηδὲ μέγα ἐφ' ἑαυτοῖς φρονεῖν. Εὖ δὲ καὶ ἀκριβῶς πεπεῖσθαι, ὡς πάντοτε τῆς παρὰ τοῦ Θεοῦ δεόμεθα βοηθείας, ἵνα μὴ σαλευθῇ ἡμῶν τὰ διαβήματα, καὶ εἰς τὸ ἐφαρμόσαι ταῖς ἑαυτοῦ τρίβοις τοὺς ἡμετέρους πόδας.

Στίχ. ζ'. «Θαυμάστωσον τὰ ἐλέη σου ὁ σῴζων τοὺς ἐλπίζοντας ἐπὶ σέ.»

Σῴζων δὲ εἴρηται τοὺς ἐλπίζοντας εἰς αὐτόν, οὐ τοὺς ἐκ σπέρματος Ἰσραήλ, οὐδὲ τοὺς κατὰ τὸν νόμον Μωϋσέως βιοῦντας· ἀλλ' ὥσπερ καινὴν ὁδὸν εὑράμενος, σῴζων ἀνεφάνη τοὺς εἰς αὐτὸν ἠλπικότας. «Μένει» γάρ, φησὶν ὁ Ἀπόστολος, «πίστις, ἐλπίς, ἀγάπη·[1]» τὰ τρία ταῦτα συμπέπλεκται, ὥσπερ ὑφ' ἑνὶ δεσμῷ κατεσφιγμένα. Διὸ τὴν πίστιν τῇ ἐλπίδι συνάπτει λέγων· «Ἔστι δὲ πίστις ἐλπιζομένων ὑπόστασις πραγμάτων, ἔλεγχος οὐ βλεπομένων·[2]» ταῦτα δ' ἐξ ἀγάπης τῆς πρὸς τὸν Θεὸν φύεται· καὶ δι' αὐτῶν πάλιν εἰς Θεὸν ἀγάπη κρατύνεται.

Στίχ. η,' θ'. «Ἐκ τῶν ἀνθεστηκότων τῇ δεξιᾷ σου φύλαξόν με, Κύριε, ὡς κόρην ὀφθαλμοῦ. Ἐν σκέπῃ τῶν πτερύγων σου σκεπάσεις με ἀπὸ προσώπου ἀσεβῶν τῶν ταλαιπωρησάντων με.»

Καὶ πᾶς μὲν δίκαιος προσευχόμενος δείσθω τοῦ Θεοῦ, τῆς παρ' αὐτοῦ καταξιοῦσθαι φυλακῆς· ὁμολογῶν μὴ ἱκανὸς εἶναι φύλαξ αὐτὸς ἑαυτοῦ γίνεσθαι διὰ τὸ πλῆθος τῶν ἀνθεστηκότων αὐτῷ· φυλαχθῆναί τε ἑαυτόν, ὥσπερ τινὰ κόρην ὀφθαλμοῦ παρακαλείτω· ὁρῶν τοὺς ἀνθεστηκότας τῇ δεξιᾷ τοῦ Θεοῦ ἐχθρούς τινας, καὶ πολεμίους τῷ τῆς ψυχῆς αὐτοῦ ὀφθαλμῷ ἐπιβουλεύοντας, καὶ τυφλῶσαι αὐτὸν θέλοντας. Ἀλλὰ καὶ πολλῶν ὄντων ἀσεβῶν τῶν ταλαιπωριζόντων αὐτόν, τουτέστι ταλαίπωρον αὐτὸν ἀποφαινόντων, βέλη τε κατ' αὐτοῦ πεμπόντων, ὑπὸ τὰς πτέρυγας καταφεύγων τοῦ Θεοῦ, σκέπης τῆς ὑπ' αὐτῷ τυχεῖν ἀξιούτω. Ἀλλὰ καὶ ὁ Σωτὴρ ὑπὲρ τῆς αὐτοῦ Ἐκκλησίας, ἥτις ἐστὶν αὐτοῦ σῶμα, ταύτας ἀνέπεμπε πρὸς τὸν Πατέρα τὰς φωνάς. Πτέρυγας δὲ νοήσεις τὰς τῆς προνοίας αὐτοῦ δυνάμεις.

Στίχ. ι'-ιβ'. «Οἱ ἐχθροί μου τὴν ψυχήν μου περιέσχον, τὸ στέαρ αὐτῶν συνέκλεισαν, τὸ στόμα αὐτῶν ἐλάλησεν ὑπερηφανίαν. Ἐκβάλλοντές με νυνὶ περιεκύκλωσάν με· τοὺς ὀφθαλμοὺς αὐτῶν ἔθεντο ἐκκλῖναι ἐν τῇ γῇ. Ὑπέλαβόν με ὡσεὶ λέων ἕτοιμος εἰς θήραν, καὶ ὡσεὶ σκύμνος οἰκῶν ἐν ἀποκρύφοις.»

Ἀντὶ δὲ τοῦ, «Ἐκβάλλοντές με περιεκύκλωσάν με», ὁ Σύμμαχος

1. Α' Κορ. 13, 13. 2. Ἑβρ. 11, 1.

οὕτως ἡρμήνευσε· «Μακαρίζοντές με παραχρῆμα περιεκύκλουν με», καὶ τοὺς ὀφθαλμοὺς δὲ αὐτῶν, φησίν, ἔθεντο κατ' ἐμοῦ τοῦ παρακλῖναί με. Παρασαλεῦσαι γάρ με καὶ ἀποκινῆσαι τῆς στάσεως καὶ τῆς κατὰ Θεὸν προκοπῆς ἐσπούδαζον· μιμούμενοι τὸν ἀντίδικον ἡμῶν διάβολον, «ὃς ὡς λέων ὠρυόμενος περιπατεῖ ζητῶν τίνα καταπίῃ.[1] Ὑπέλαβόν με» καὶ αὐτὸν «ὡς λέων ἕτοιμος εἰς θήραν, καὶ ὡς σκύμνος οἰκῶν ἐν ἀποκρύφοις.» Οὐδὲ γὰρ ἐκ τοῦ προφανοῦς ἐποιοῦντο τὴν κατ' ἐμοῦ συσκευήν, ἀλλὰ λαθραίως ἐνεδρεύοντες.

Στίχ. ιγ', ιδ'. «Ἀνάστηθι, Κύριε, πρόφθασον αὐτοὺς καὶ ὑποσκέλισον αὐτούς· ῥῦσαι τὴν ψυχήν μου ἀπὸ ἀσεβοῦς, ῥομφαίαν σου ἀπὸ ἐχθρῶν τῆς χειρός σου. Κύριε, ἀπὸ ὀλίγων ἀπὸ γῆς διαμέρισον αὐτοὺς ἐν τῇ ζωῇ αὐτῶν, καὶ τῶν κεκρυμμένων σου ἐπλήσθη ἡ γαστὴρ αὐτῶν. Ἐχορτάσθησαν υἱῶν, καὶ ἀφῆκαν τὰ κατάλοιπα τοῖς νηπίοις αὐτῶν.» Καὶ κατὰ τοῦτο ὠφεληθείην· ἀλλὰ καὶ τὴν ῥομφαίαν σου, φησί, ῥῦσαι ἀπὸ τῆς χειρὸς τῶν ἐχθρῶν· δέος γὰρ μήποτε τὴν σὴν ῥομφαίαν, ᾗ πεποιθὼς ἐγὼ κέχρημαι κατ' αὐτῶν, τῆς ἐμῆς χειρὸς ἁρπάσαντες οἱ πολέμιοι, καὶ ἀφελόμενοί μου αὐτήν, χρήσωνται αὐτῇ κατ' ἐμοῦ. Εἴη δ' ἂν «ὁ τοῦ Θεοῦ λόγος ὁ ἐνεργὴς καὶ τομώτερος ὑπὲρ πᾶσαν μάχαιραν δίστομον[2]», ὁ τῇ ψυχῇ δεδομένος ἀντὶ ῥομφαίας πρὸς ἄμυναν τῶν ἐχθρῶν· ὅπερ συμβαίνει πολλάκις, ἐπειδὰν οἱ ἐχθροὶ τοῦ Θεοῦ, τὰς ἀπὸ τῶν θείων Γραφῶν λέξεις καὶ τὰ ἀναγνώσματα ἀποβαλόντες καὶ ἀνατρέψαντες, ἐξ αὐτῶν καὶ δι' αὐτῶν τὰς ἀκεραίους καταπαλαίωσι ψυχάς. Διὸ εὔχεται ἀπὸ τῶν ἐχθρῶν τοῦ Θεοῦ ῥυσθῆναι τὴν ῥομφαίαν αὐτοῦ, καὶ «ἀπὸ ὀλίγων ἀπὸ γῆς·» ἀνθ' οὗ ὁ μὲν Ἀκύλας ἐξέδωκεν· «ἀπὸ τεθνηκότων ἐκ καταδύσεως·» ὁ δὲ Σύμμαχος· «Ἀπὸ νεκρῶν ἀπὸ ἐνδεδυκότων.» Ῥυσθῆναι γὰρ εὔχεται καὶ ἀπὸ τῶν ἐν νεκροῖς ἤδη λελογισμένων διὰ τὸ πάμπαν ἐστερῆσθαι τῆς κατὰ Θεὸν ζωῆς. Ἀντὶ δὲ τοῦ, «διαμέρισον αὐτούς», ὁ μὲν Ἀκύλας ἡρμήνευσεν, «μέρος αὐτῶν ἐν ζωῇ·» ὁ δὲ Σύμμαχος, «ἡ μερὶς αὐτῶν ἐν ζῶσιν.» Διδάσκει δὲ διὰ τούτων, ὡς τῶν μὲν ἀσεβῶν καὶ τῶν πολλάκις ὠνομασμένων ἐχθρῶν τοῦ Θεοῦ ἡ μερίς, καὶ ὁ κλῆρος, καὶ πᾶσα ἡ περιουσία ἐν τῇ παρούσῃ ζωῇ τυγχάνει καὶ ἐν τῷ θνητῷ βίῳ· ἐν ᾧ καὶ ἐπλήσθη ἡ γαστὴρ αὐτῶν πάσης τροφῆς, καὶ πάσης ἀπολαύσεως, καὶ τρυφῆς. Ἀλλὰ καὶ «τῶν κεκρυμμένων σου» φησίν· ἀνθ' οὗ ὁ Σύμμαχος ἡρμήνευσεν, «καὶ τῶν ἀποθέτων.» Ὅσα γάρ ἐστιν ἐν τῷ θνητῷ βίῳ καὶ τῇ θνητῇ ζωῇ τίμια, τῶν νομιζομένων ἀποθέτων καὶ ἀποκρύφων, ἐσχήκασιν.

Αὐτοὶ γοῦν καὶ χρυσὸν καὶ ἄργυρον καὶ πάντα γῆς μέταλλα περιειργάσαντο, λίθους τε παντοίους τιμίους καὶ πολυτελεῖς ἐξηρεύνησαν, καὶ τούτων ἁπάντων ἐπλήσθησαν· τέκνων δὲ καὶ υἱῶν, καὶ θυγατέρων ἐνεφορήθησαν. Διὸ ἐπιλέγει· «Ἐχορτάσθησαν υἱῶν.» Καὶ

1. Α' Πέτρ. 5, 8. 2. Ἑβρ. 4, 12.

οὐ μόνον γε αὐτοὶ τούτων ἐχορτάσθησαν, ἀλλ' ἐμπλησθέντες αὐτοί τε πρότεροι, κλήρους καὶ διαδοχὰς τοῖς μετ' αὐτοὺς ἐγγόνοις καταλελοίπασιν. Ἄλλος φησίν· Εἰ καὶ τῷ θανάτῳ τούτους παραπέμψαι σοὶ ῥᾴδιον, ὦ Δέσποτα· ἀλλ' οὖν ἱκετεύω ζῶντας αὐτοὺς σκεδασθῆναι, καὶ τὴν κακὴν αὐτῶν συμφωνίαν διαλυθῆναι, καὶ τῶν ἀποκειμένων σοι τιμωριῶν μετασχεῖν. Οὕτω γὰρ ἐν τῇ μεγάλῃ ᾠδῇ τοῦ Μωϋσέως αὐτὸς ὁ Θεός φησιν· «Οὐκ ἰδοὺ ταῦτα πάντα συνῆκται παρ' ἐμοί, καὶ ἐσφράγισται ἐν τοῖς θησαυροῖς μου· ἐν ἡμέρᾳ ἐκδικήσεως ἀνταποδώσω, ἐν καιρῷ ὅταν σφαλῇ ὁ πούς αὐτῶν.[1]» Καὶ τοῦτο δὲ ὁ Σύμμαχος οὕτως ἡρμήνευσε· «Χορτασθήσονται υἱοί, καὶ ἀφήσουσι τὰ λείψανα αὐτῶν τοῖς νηπίοις αὐτῶν.» Οἶδα, φησίν, ὅτι τὴν δικαίαν σου τιμωρίαν οὐ μόνον αὐτοῖς ἐπάξεις, ἀλλὰ καὶ τοῖς υἱέσι καὶ τοῖς ἐγγόνοις τῶν προγόνων πονηρίαν μιμησαμένοις. Τὸ δέ, «χορτασθήσονται», ἀντὶ τοῦ, εἰς κόρον μεθέξουσι τῶν κακῶν.

Στίχ. ιε'. «Ἐγὼ δὲ ἐν δικαιοσύνῃ ὀφθήσομαι τῷ προσώπῳ σου· χορτασθήσομαι ἐν τῷ ὀφθῆναί μοι τὴν δόξαν σου.»

Ἐκεῖνοι μὲν τοιαύτας δώσουσι δίκας· ἐγὼ δὲ τοῖς παρὰ τῆς δικαίας προνοίας ἀγαθοῖς ἐντρυφήσω, πεῖραν μεγίστην τῆς σῆς εὐεργεσίας δεξάμενος. Ἐγὼ δὲ τῇ ὁρισθείσῃ μοι δικαιοσύνῃ τε καὶ ἀρετῇ θαρρῶν πεπαρρησιασμένως «ὀφθήσομαι τῷ προσώπῳ σου.» Καὶ αὕτη μοί ἐστιν ἐλπίς, καὶ οὗτος μέγας κλῆρος· οὗ ποτε πληρωθήσομαι, καὶ χορτασθήσομαι πάσης τρυφῆς, ἐν τῷ ὀφθῆναι τὴν δόξαν σου ἐν τῇ τῶν οὐρανῶν βασιλείᾳ.

ΨΑΛΜΟΣ ΙΖ'.

Στίχ. α'. «Εἰς τὸ τέλος τῷ παιδὶ Κυρίου τῷ Δαυΐδ, ἃ ἐλάλησε τῷ Κυρίῳ τοὺς λόγους τῆς ᾠδῆς ταύτης, ἐν ἡμέρᾳ ᾗ ἐρρύσατο αὐτὸν Κύριος ἐκ χειρὸς πάντων τῶν ἐχθρῶν αὐτοῦ, καὶ ἐκ χειρὸς Σαούλ, καὶ εἶπε.» Σύμμαχος· «Ἐπινίκιον τοῦ δούλου Κυρίου τοῦ Δαυΐδ.»

Ἔδει γὰρ ἡμᾶς ἀναγκαίως ἀπὸ τοῦ ψαλμοῦ γνῶναι, ὅτι ἐπὶ ταῖς νίκαις ταῖς κατὰ τῶν ἐχθρῶν καὶ πολεμίων τὸν προκείμενον ὕμνον ἐπινίκιον τῷ πάσης νίκης αἰτίῳ, τῷ καὶ νικητὰς ἀπεργαζομένῳ, καὶ διὰ τοῦτο νικοποιῷ κεκλημένῳ, ἀνέθηκεν ὁ Δαυΐδ· καὶ ὅτι ἐπινίκιος οὗτος ὁ ὕμνος ἢ ἡ ᾠδὴ εἴρηται τοῦ Δαυΐδ. «Εἰς τὸ τέλος» δέ, ἤτοι διὰ τὸ ἀμφὶ τοὺς τελευταίους τῆς ζωῆς αὐτοῦ χρόνους, καὶ μετὰ πάσας αὐτοῦ τὰς πράξεις τὰς φερομένας ἐν τῇ ἱστορίᾳ λελέχθαι· ἢ διὰ τὸ προφητείας περιέχειν τῶν μελλόντων ἔσεσθαι ἐπὶ συντελείᾳ τοῦ αἰῶνος· ἢ τρίτον, διὰ τὸ ἐπὶ τὰ τέλη τῶν ἐμφερομένων λόγων τοῦ προκειμένου ὕμνου τὸν ἐντυγχάνοντα παραπέμπειν· ἐν οἷς τέλεσιν ἡ κλῆσις τῶν ἐθνῶν καὶ ἡ περὶ τοῦ Χριστοῦ προφητεία. Τοῦτον θεσπίζει τὸν

1. Δευτ. 32, 34-35.

τρόπον, συμπαραλαμβανομένου τοῖς πᾶσι καὶ τοῦ Σαούλ. Καὶ ἄλλως δὲ αὐτὸν ἐκ χειρὸς Σαοὺλ ἐρρύσατο, τῆς χειρὸς πολλάκις ἀντὶ πράξεως παραλαμβανομένης. Εἰκότως οὖν ὁ ῥυσάμενος Δαυῒδ ἐκ πάντων τῶν ἐχθρῶν αὐτοῦ, μειζόνως αὐτὸν εὐεργετῶν, καὶ ταύτης τῆς χειρὸς τοῦ Σαούλ, τουτέστι τῆς πράξεως αὐτοῦ, ἐρρύσατο, ὡς μὴ τὰ ὅμοια παθεῖν ἐκείνῳ.

Στίχ. β', γ'. «Ἀγαπήσω σε, Κύριε, ἰσχύς μου· Κύριος στερέωμά μου καὶ καταφυγή μου, καὶ ῥύστης μου. Ὁ Θεός μου, βοηθός μου, καὶ ἐλπιῶ ἐπ' αὐτόν· ὑπερασπιστής μου, καὶ κέρας τῆς σωτηρίας μου, καὶ ἀντιλήπτωρ μου....»

Καὶ ἄλλως δὲ ἰσχὺν καλεῖ τὸν Θεόν, ὁμολογῶν τὴν ἀνθρωπίνην ἀσθένειαν, καὶ ὡς οὐδὲν ἂν ἴσχυσεν ἄνευ Θεοῦ· καὶ Παῦλος γὰρ ἔφη· «Πάντα ἰσχύω ἐν τῷ ἐνδυναμοῦντί με Χριστῷ.[1]» Ἀκύλας δὲ καὶ Σύμμαχος ἀντὶ τοῦ, «στερέωμα», πέτραν ἡρμήνευσαν· ἔφη δὲ καὶ ὁ μέγας Ἀπόστολος· «Ἡ πέτρα δὲ ἦν ὁ Χριστός.[2]» Ἐπὶ ταύτην τὴν πέτραν τὴν ἑαυτοῦ οἰκίαν οἰκοδομῶν ὁ Δαυῒδ, ἀφωμοίωτο «τῷ φρονίμῳ τῷ οἰκοδομήσαντι τὴν ἑαυτοῦ οἰκίαν ἐπὶ τὴν πέτραν.[3]» Διὸ καὶ πάντων κρείττων ἐγένετο, τῶν ὑετοῦ δίκην, πνευμάτων τε καὶ ποταμῶν προσβαλλόντων αὐτῷ πολεμίων. Ἀλλ' οὐδὲ ἐπὶ δορυφόρους ἤλπιζεν ἢ στρατόν, ἀλλ' ἐπὶ Θεόν, βοηθὸν αὐτὸν ἔχων, πανοπλίαν καὶ κέρας· ὥστ' ἂν εἰπεῖν καὶ αὐτόν· «Ἐν σοὶ τοὺς ἐχθροὺς ἡμῶν κερατιοῦμεν.[4]»

Στίχ. ε'-ζ'. «Περιέσχον με ὠδῖνες θανάτου καὶ χείμαρροι ἀνομίας ἐξετάραξάν με. Ὠδῖνες ᾅδου περιεκύκλωσάν με, προέφθασάν με παγίδες θανάτου. Καὶ ἐν τῷ θλίβεσθαί με ἐπεκαλεσάμην τὸν Κύριον, καὶ πρὸς τὸν Θεόν μου ἐκέκραξα. Ἤκουσεν ἐκ ναοῦ ἁγίου αὐτοῦ τὴν φωνήν μου, καὶ ἡ κραυγή μου ἐνώπιον αὐτοῦ εἰσελεύσεται εἰς τὰ ὦτα αὐτοῦ.»

Διδάσκει διὰ τούτων τίνα τρόπον, καὶ ὑπὸ τῶν χειμάρρων τῆς ἀνομίας ταρασσόμενος, καὶ τὰ λοιπὰ τὰ προειρημένα πάσχων, ᾔσθετο αὐτοῦ κινδυνεύοντος, ἐπὶ τὸν λιμένα τῆς ἑαυτοῦ σωτηρίας κατέφευγε. Διό φησιν· «Ἐν τῷ θλίβεσθαι ἐπεκαλεσάμην τὸν Κύριον, καὶ πρὸς τὸν Θεόν μου ἐκέκραξα.» Εἶτα διδάσκει, ὡς οὐκ ἠστόχησε τοῦ σκοποῦ τοιαῦτα πιστεύσας· «ἡ» γὰρ «ἐλπὶς οὐ καταισχύνει.[5]» Διὸ ἐπιφέρει· «Ἤκουσεν ἐκ ναοῦ ἁγίου αὐτοῦ φωνῆς μου, καὶ ἡ κραυγή μου ἐνώπιον αὐτοῦ εἰσελεύσεται εἰς τὰ ὦτα αὐτοῦ.» Ναὸν δὲ Θεοῦ ἐν τούτοις ποῖον χρὴ νοεῖν λέγεσθαι ὑπὸ τοῦ Δαυῒδ, μήπω τοῦ ἐν Ἱεροσολύμοις οἴκου κατεσκευασμένου, ἢ πάντως που τὴν ἐπουράνιον πόλιν τοῦ Θεοῦ, καὶ τὴν ἄνω Ἱερουσαλήμ, ἧς εἰκὼν ἐτύγχανεν ὁ ἐπὶ τῆς γῆς κατεσκευασμένος νεώς;

---

1. Φιλιπ. 4, 13. 2. Α' Κορ. 10, 1. 3. Ματθ. 7, 24. 4. Ψαλμ. 43, 6. 5. Ῥωμ. 5, 5.

Στίχ. η΄. «Καὶ ἐσαλεύθη καὶ ἔντρομος ἐγενήθη ἡ γῆ, καὶ τὰ θεμέλια τῶν ὀρέων ἐταράχθησαν καὶ ἐσαλεύθησαν, ὅτι ὠργίσθη αὐτοῖς ὁ Θεός.»

Λευκότατα προφητεύων τὴν κατάβασιν τοῦ Κυρίου διὰ τὸν θάνατον καὶ τοὺς χειμάρρους τῆς ἀνομίας, διά τε τὰς ὠδῖνας τοῦ ᾅδου καὶ τὰς παγίδας τοῦ θανάτου, τὴν ἐξ οὐρανῶν κατάβασιν πεποιημένου. Ἐπὶ τῇ καταβάσει αὐτοῦ τίνα πέπρακται προδιηγεῖται λέγων· «Καὶ ἐσαλεύθη καὶ ἔντρομος ἐγενήθη ἡ γῆ·» ἀνθ' οὗ Ἀκύλας φησί· «Καὶ ἐκινήθη καὶ ἐσείσθη ἡ γῆ.» Μαρτυρεῖ δὲ τῷ λόγῳ τὸ ἔργον. Ὡς γὰρ ἐπεδήμει ὁ Υἱὸς τοῦ Θεοῦ τῇ γῇ κατὰ τὴν ἔνσαρκον αὐτοῦ παρουσίαν, πάντες οἱ τὸ τῆς γῆς στοιχεῖον οἰκοῦντες ἐκινήθησαν καὶ ἐσείσθησαν· πᾶσά τε ἀκοὴ Ἑλληνική τε καὶ βάρβαρος ἐπληροῦτο τῆς περὶ αὐτοῦ φήμης. Τὰ δὲ λεγόμενα τῶν ὀρέων θεμέλια ἐταράχθησαν καὶ ἐσαλεύθησαν· ἢ κατὰ τὸν Σύμμαχον, «περιετράπησαν, ὅτι ὠργίσθη αὐτοῖς.» Ὄρη δὲ ἦν τὰ ὑψώματα τὰ ἐπαιρόμενα κατὰ τῆς γνώσεως τοῦ Θεοῦ, δυνάμεις τινὲς ἀντικείμεναι, αἱ τὸν μακρὸν αἰῶνα τοὺς ἐπὶ γῆς ἅπαντας ἀποπλανήσασαι διὰ τῆς πολυθέου δεισιδαιμονίας. Τούτων οὖν «ὀρέων τὰ θεμέλια» τουτέστι τὰ βάθη καὶ οἱ λογισμοί, τῆς τοῦ Κυρίου δυνάμεως αἰσθόμενα, «ἐταράχθησαν, ὅτι ὠργίσθη αὐτοῖς.»

Στίχ. θ΄, ι΄. Τί οὖν ἐνεργεῖ ἡ ὀργὴ κατὰ τῶν ἀποδοθέντων ὀρέων, ἑξῆς διδάσκει λέγων· «Ἀνέβη καπνὸς ἐν ὀργῇ αὐτοῦ». Ὥσπερ γὰρ δαλοῦ καιομένου ὑπὸ πυρός, κἄπειτα σβεννυμένου, καπνὸς ἀποδίδοται, τὸν αὐτὸν τρόπον αἱ ἀντικείμεναι δυνάμεις, πάλαι μὲν πρότερον πυρὶ παραβαλλόμεναι, τὰς τῶν ἀνθρώπων ψυχὰς κατέφλεγον καὶ ἐξέκαιον· ἐπεὶ δ' ἐσβέννυτο αὐτῶν τὸ πῦρ ὑπὸ τῆς ὀργῆς τοῦ Κυρίου, τὰ σημεῖα τῆς σβέσεως αὐτῶν ἐδήλου ὁ ἐξ αὐτῶν ἀναπεμπόμενος καπνός. Εἶθ' ἑξῆς εἴρηται· «Καὶ πῦρ ἀπὸ προσώπου αὐτοῦ καταφλεγήσεται· ἄνθρακες ἀνήφθησαν ἀπ' αὐτοῦ.» Ταῦτα γὰρ ὁ τοῦ Θεοῦ Υἱὸς ἐνήργει ἀφανῶς κατὰ τῶν ἀντικειμένων δυνάμεων, τὸ πῦρ αὐτὸν σβεννὺς ἑτέρῳ πυρὶ κρείττονι καὶ δυνατωτέρῳ. Διὸ λέλεκται παρὰ Μωϋσεῖ· «Ὁ Θεὸς ἡμῶν πῦρ καταναλίσκον ἐστί·[1]» καὶ ἐν Ψαλμοῖς· «Πῦρ ἐναντίον αὐτοῦ προπορεύσεται, καὶ φλογιεῖ κύκλῳ τοὺς ἐχθροὺς αὐτοῦ·[2]» καὶ πάλιν· «Ὁ Θεὸς ἐμφανῶς ἥξει, ὁ Θεὸς ἡμῶν, καὶ οὐ παρασιωπηθήσεται· πῦρ ἐνώπιον αὐτοῦ καυθήσεται, καὶ κύκλῳ αὐτοῦ καταιγὶς σφόδρα.[3]» Τοῦτο δὲ καὶ αὐτὸς ὁ Σωτὴρ ἐδηλοῦτο πῦρ, λέγων· «Πῦρ ἦλθον βαλεῖν ἐπὶ τὴν γῆν, καὶ τί θέλω, εἰ ἤδη ἀνήφθη;[4]» Ταῦτα πάντα ἐγίνετο, ἐπειδήπερ «ἔκλινεν οὐρανοὺς καὶ κατέβη.» Οὐχ ἕνα δὲ οὐρανὸν ἔκλινεν, ἀλλὰ τοὺς πάντας ὅσοι ποτέ εἰσιν. Ἡ γὰρ ταπείνωσις τοῦ ὕψους αὐτοῦ καὶ ἡ κένωσις τῆς θεότητος ἐδηλοῦτο διὰ τῶν εἰρημένων. Ἐμφατικώτατα γὰρ τὴν κατάβασιν αὐτοῦ, «Ἔκλινεν οὐρανούς·» σωματικώτερον τὴν κάθοδον αὐτοῦ σημαίνων.

---

1. Δευτ. 4, 24. 2. Ψαλμ. 96, 3. 3. Ψαλμ. 49, 3. 4. Λουκ. 12, 49.

Στίχ. ι', ια'. «Καὶ γνόφος ὑπὸ τοὺς πόδας αὐτοῦ καὶ ἐπέβη ἐπὶ χερούβ, καὶ ἐπετάσθη, ἐπετάσθη ἐπὶ πτερύγων ἀνέμων.»

Τῇ μὲν οὖν ὁμίχλῃ καὶ τῷ γνόφῳ τὸ λεληθὸς καὶ ἀπόκρυφον παρίστησι τῆς κατὰ ἄνθρωπον αὐτοῦ οἰκονομίας· ἐπάνεισι δὲ λοιπὸν ὅθεν καὶ παρῆν· εἰς οὐρανούς τε ἀνῄει καὶ μετὰ τοῦ χερουβίμ, καὶ ἐπετάσθη· καίτοι μὴ σὺν αὐτῷ καταβάς· δίχα γὰρ τοῦ χερουβὶμ ἔκλινεν οὐρανοὺς αὐτὸς καὶ κατέβη. Ἐν δὲ τῇ ἐπανόδῳ λέλεκται· «Καὶ ἐπέβη ἐπὶ χερουβὶμ καὶ ἐπετάσθη», μεθ' οὗ ἀνείληφεν σώματος. Καὶ ἐπειδὴ ἀναβαίνοντα οὕτως ἐθεώρουν αὐτὸν αἱ δυνάμεις αἱ θεῖαι, περὶ αὐτὸν γενόμεναι ἐδορυφόρουν αὐτοῦ τὴν ἄνοδον ἐπιβοῶσαι καὶ λέγουσαι· «Ἄρατε τὰς πύλας, οἱ ἄρχοντες, ὑμῶν, καὶ ἐπάρθητε, πύλαι αἰώνιοι, καὶ εἰσελεύσεται ὁ βασιλεὺς τῆς δόξης.[1]» Ἐπληροῦτο δὲ ταῦτα κατὰ τὸν καιρόν, καθ' ὅν φησιν ἡ Γραφὴ τῶν Πράξεων τῶν ἀποστόλων· «Καὶ ταῦτα εἰπών, βλεπόντων αὐτῶν ἐπήρθη, καὶ νεφέλη ἀνέλαβεν αὐτὸν ἀπὸ τῶν ὀφθαλμῶν αὐτῶν. Καὶ ὡς ἀτενίζοντες ἦσαν εἰς τὸν οὐρανὸν πορευομένου αὐτοῦ.[2]»

Τὴν ἀφανῆ καὶ λανθάνουσαν τοῦ Σωτῆρος διατριβήν, ἣν σὺν ἀνθρώποις εἰσέτι καὶ νῦν ποιεῖται μετὰ τὴν ἀνάληψιν, διδάσκει λέγων· «Καὶ ἔθετο σκότος ἀποκρυφὴν αὐτοῦ, κύκλῳ αὐτοῦ ἡ σκηνὴ αὐτοῦ, σκοτεινὸν ὕδωρ ἐν νεφέλαις ἀέρων.» Οὐ λανθάνει γὰρ τοὺς πάντας ὅπως σύνεστιν ἡμῖν κατὰ τὸ εἰρημένον ὑπ' αὐτοῦ· «Ἰδοὺ ἐγὼ μεθ' ὑμῶν εἰμι πάσας τὰς ἡμέρας ἕως τῆς συντελείας τοῦ αἰῶνος.[3]» Σκηνὴν δὲ αὐτοῦ σημαίνει οὐχ ἑτέραν ἢ τὴν ἁγίαν Ἐκκλησίαν αὐτοῦ· ἐν ᾗ κατασκηνῶσαι ἐπηγγείλατο, εἰπών. «Ὅπου δύο ἢ τρεῖς συνηγμένοι εἰσὶν εἰς τὸ ἐμὸν ὄνομα, ἐκεῖ εἰμι ἐν μέσῳ αὐτῶν.[4]» Ἐπειδὴ δὲ καὶ αἱ περὶ αὐτοῦ προφητεῖαι σκοτεινῶς εἴρηνται καὶ ἐπικεκρυμμένως, εἰκότως ἑξῆς λέγεται· «Σκοτεινὸν ὕδωρ ἐν νεφέλαις ἀέρων. Ἀπὸ τῆς τηλαυγήσεως ἐνώπιον αὐτοῦ αἱ νεφέλαι διῆλθον, χάλαζα καὶ ἄνθρακες πυρός.» Ὅτι γὰρ νεφέλας τοὺς προφήτας, καὶ τὸν ἐξ αὐτῶν φερόμενον ὑετόν, δηλαδὴ τοὺς προφητικοὺς λόγους, τὸ Πνεῦμα τὸ θεῖον εἴωθεν ὀνομάζειν, διδάξει Ἡσαΐας, ἀλληγορικῶς τὸν λαὸν ἀμπελῶνα προσειπών, καθὰ εἴρηται, καὶ νεφέλας μηκέτι εἰς αὐτὸν ὑετὸν φερούσας.[5]»

Στίχ. ιδ'. «Καὶ ἐβρόντησεν ἐξ οὐρανοῦ Κύριος, καὶ ὁ Ὕψιστος ἔδωκε φωνὴν αὐτοῦ.»

Διδάσκει ἐν τῷ παρόντι ὁ λόγος τὰ μετὰ τὴν ἀνάληψιν τοῦ Σωτῆρος διὰ τῆς αὐτοῦ δυνάμεως καταπραχθέντα, σαφῶς δὲ τὴν ἄνοδον αὐτοῦ παρέστησε διὰ τῶν προκειμένων εἰπών· «Καὶ ἐβρόντησεν ἐξ οὐρανοῦ.» Πῶς δὲ ἐβρόντησεν ὁ ἀνωτέρω κλίνας τοὺς οὐρανοὺς καὶ καταβάς, εἰ μὴ πάντως ἀνεληλύθει; ὅπερ ἐδηλοῦτο διὰ τοῦ· «Καὶ ἐπέβη ἐπὶ χερουβὶμ καὶ ἐπετάσθη, ἐπετάσθη ἐπὶ πτεγύρων ἀνέμων.»

---

1. Ψαλμ. 23, 7, 9. 2. Πράξ. 1, 9, 10. 3. Ματθ. 28, 20. 4. Ματθ. 18, 20. 5. Πρβλ. Ἡσ. 5, 1, 6.

Οὐκοῦν ἀποδέδεικται κατεληλυθώς, εἶτα μετὰ τοῦ χερουβὶμ ἀνεληλυθώς· εἶτ' ἐξ οὐρανοῦ βροντῶν, καὶ ἑξῆς τὰ ἀναγεγραμμένα πράττων κατὰ τῶν ἐχθρῶν αὐτοῦ. Πρῶτον μὲν «ἀπὸ τῆς τηλαυγήσεως αὐτοῦ ἐνώπιον αὐτοῦ αἱ νεφέλαι αὐτοῦ διῆλθον, χάλαζα καὶ ἄνθρακες πυρός.» Ὡς γὰρ ἐπὶ τῆς Αἰγύπτου κατὰ τὴν ἑβδόμην πληγὴν εἴρηται· «Κύριος δὲ ἔδωκε φωνὴν καὶ χάλαζαν, καὶ διέτρεχε», φησί, «τὸ πῦρ ἐπὶ τῆς γῆς· καὶ ἔβρεξεν Κύριος ἐπὶ γῆν Αἰγύπτου. Ἦν δὲ ἡ χάλαζα καὶ τὸ πῦρ φλογίζον ἐν τῇ χαλάζῃ. Ἐπάταξε δὲ ἡ χάλαζα ἐν πάσῃ γῇ Αἰγύπτου·[1]» καὶ ταῦτα πάντα ἐγένετο ἵνα ὁ λαὸς τοῦ Θεοῦ ἐλευθερίας τῆς ὑπ' Αἰγυπτίοις δουλείας τυχεῖν δυνηθῇ. Τὸν αὐτὸν τρόπον καὶ ἐνταῦθα τὰς ἐξ ἐθνῶν Ἐκκλησίας καὶ τὰς τῶν ἀνθρώπων ψυχὰς τῆς ὑπὸ τὴν ἄθεον εἰδωλολατρείαν καὶ τοὺς πονηροὺς δαίμονας ὑποταγῆς ἐλευθερῶν, κατὰ τῶν νοητῶν Αἰγυπτίων ἠφίει χάλαζαν καὶ ἄνθρακα πυρὸς ὁ ἐπὶ τοῦ χερουβὶμ ἀναπτὰς Κύριος. Οἶμαι δὲ τὰς κατὰ τῶν ἀσεβῶν τιμωρητικὰς δυνάμεις χάλαζαν καὶ ἄνθρακας πυρὸς ὀνομάζεσθαι. Δυνάμεις τοίνυν τιμωροὶ καὶ κολαστικαί, τῷ βουλήματι τοῦ Κυρίου ἀφανῶς ἐξυπηρετούμεναι κατὰ τῶν δαιμόνων τῶν τὴν πολύθεον πλάνην ἐνεργούντων, πάντας αὐτοὺς ἤλαυνον. Διὸ σχεδὸν πάντα αὐτῶν ἐκλέλοιπε τὰ χρηστήρια, καὶ αἱ μαντεῖαι κατελύθησαν· ἔρημοί τε αὐτῶν κατέστησαν οἱ ναοί· σεσύληται τὰ ἀφιερώματα ἀοράτῳ καὶ ἀφανεῖ δυνάμει· τοῦ Κυρίου ταῦτα πάντα μετὰ τὴν εἰς οὐρανοὺς ἄνοδον διαπραξαμένου.

Στίχ. ιε', ις'. «Καὶ ἐξαπέστειλε βέλη καὶ ἐσκόρπισεν αὐτούς, καὶ ἀστραπὰς ἐπλήθυνε καὶ συνετάραξεν αὐτούς. Καὶ ὤφθησαν αἱ πηγαὶ τῶν ὑδάτων, καὶ ἀπεκαλύφθη τὰ θεμέλια τῆς οἰκουμένης· ἀπὸ ἐπιτιμήσεώς σου, Κύριε, ἀπὸ ἐμπνεύσεως πνεύματος ὀργῆς σου.»

Θεμέλια οἰκουμένης νοήσεις τὰς τῆς σοφίας τοῦ Θεοῦ δυνάμεις, δι' ὧν καὶ πάλαι ἡ σύμπασα κτίσις τεθεμελίωτο, καὶ μετὰ ταῦτα ἐστερεώθη ἡ οἰκουμένη, ἥτις οὐ σαλευθήσεται. Εἰ δὲ καὶ τὴν Ἐκκλησίαν τοῦ Θεοῦ τὴν οἰκουμένην ἐθέλοις νοεῖν· θεμέλιον δὲ αὐτῆς πρῶτον μὲν τὴν ἀρραγῆ καὶ στερεὰν πέτραν, ἐφ' ᾗ ᾠκοδόμηται κατὰ τό· «Ἐπὶ τὴν πέτραν οἰκοδομήσω μου τὴν Ἐκκλησίαν, καὶ πύλαι ᾅδου οὐ κατισχύσουσιν αὐτῆς.[2]» «Ἡ πέτρα δὲ ἦν ὁ Χριστός·[3]» ἢ κατὰ τὸν Ἀπόστολον, περὶ οὗ διδάσκει αὐτὸς λέγων· «Θεμέλιον γὰρ ἄλλον οὐδεὶς δύναται θεῖναι παρὰ τὸν κείμενον, ὅς ἐστιν Ἰησοῦς Χριστός·[4]» εἶτα μετ' αὐτὸν θεμέλιοι τῆς Ἐκκλησίας προφητικοὶ καὶ ἀποστολικοὶ λόγοι κατὰ τὸν Ἀπόστολον φήσαντα· «Ἐποικοδομηθέντες ἐπὶ τῷ θεμελίῳ τῶν ἀποστόλων καὶ προφητῶν, ὄντος ἀκρογωνιαίου αὐτοῦ Ἰησοῦ Χριστοῦ·[5]» οὐκ ἂν ἐκτὸς βάλοις τῆς ἀληθείας. Ταῦτ' οὖν τὰ θεμέλια τῆς οἰκουμένης ἀνεκαλύφθησαν· τῶν ἐχθρῶν τοῦ Θεοῦ τῶν πά-

1. Ἔξ. 9, 23-24. 2. Ματθ. 16, 18. 3. Α' Κορ. 10, 4. 4. Α' Κορ. 3, 11. 5. Ἐφ. 2, 20.

λαι ἐπισκοτούντων τὰ τῆς ψυχῆς ἡμῶν ὄμματα πρὸς τὸ μὴ τὰ θεῖα βλέπειν ἐκ ποδῶν μεταστάντων, καὶ τοῖς ἀποδοθεῖσι τοῦ Κυρίου βέλεσι διασκορπισθέντων, πεφευγότων τε ἀπὸ ἐπιτιμήσεως Κυρίου, καὶ ἀπὸ ἐμπνεύσεως πνεύματος ὀργῆς αὐτοῦ. Εἰκότως οὖν ἐλευθερωθέντες τούτων ἡμεῖς καὶ ἀναβλέψαντες, τὰς πηγὰς τῶν ὑδάτων ἐθεασάμεθα, καὶ τὰ θεμέλια τῆς οἰκουμένης ἐπωπτεύσαμεν. Καὶ τοῦτο ἐφ' ἡμῶν ἐν πολλοῖς γεγένηται κλίμασιν.

Στίχ. ιζ', ιθ'. «Ἐξαπέστειλεν ἐξ ὕψους, καὶ ἔλαβέ με, προσελάβετό με ἐξ ὑδάτων πολλῶν.»

Καταποθέντα γὰρ αὐτὸν καὶ ληφθέντα ὥσπερ αἰχμάλωτον ὁ τῶν ὅλων Θεὸς καὶ Πατήρ, ἐξαποστείλας τὸν ἑαυτοῦ Υἱόν, ἔλαβε. Πόθεν δὲ αὐτὸν ἔλαβεν, ἑξῆς διδάσκει λέγων, «ἐξ ὑδάτων πολλῶν.» Φησὶ γοῦν καὶ ἐν ἑξηκοστῷ ὀγδόῳ ψαλμῷ· «Σῶσόν με, ὁ Θεός, ὅτι εἰσήλθοσαν ὕδατα ἕως ψυχῆς μου· ἐνεπάγην εἰς ὕλην βυθοῦ, καὶ οὐκ ἔστιν ὑπόστασις.[1]» Τούτοις τοιγαροῦν ἀκολούθως καὶ ἐν τοῖς προκειμένοις εὐχαριστῶν, φησί· «Προσελάβετό με ἐξ ὑδάτων πολλῶν.» Τίνα δὲ τὰ ὕδατα, ἐπιφέρει σαφέστερον εἰπών· «Ἐξ ἐχθρῶν μου δυνατῶν καὶ ἐκ τῶν μισούντων με, ὅτι ἐστερεώθησαν ὑπὲρ ἐμέ. Προέφθασάν με ἐν ἡμέρᾳ κακώσεώς μου.» Καὶ ταῦτα δὲ τὸ Πνεῦμα τὸ ἅγιον εὐαγγελίζεται αὐτὸν ἀναλαβεῖν ἐκ τῶν πολλῶν ὑδάτων, ἐλευθερίαν δὲ τὴν ἀπὸ τῶν ἐχθρῶν τῶν πάλαι κατακεκρατηκότων αὐτοῦ γενέσθαι.

Στίχ. κ', κα'. «Καὶ ἐγένετο Κύριος ἀντιστήριγμά μου. Καὶ ἐξήγαγέ με εἰς πλατυσμόν, ῥύσεταί με, ὅτι ἠθέλησέ με. Καὶ ἀνταποδώσει μοι Κύριος κατὰ τὴν δικαιοσύνην μου.»

Ἤδη μέν, φησί, τῆς ἐξομολογήσεώς μου καὶ τῶν προσευχῶν καὶ τῶν ἱκετηρίων ἐπακούσας ὁ Κύριος, γέγονέ μοι ἀντιστήριγμα. Μέλλοντα γάρ με περιτρέπεσθαι, καὶ μέγα πτῶμα ὑπομένειν, εἰ μετὰ τὴν ἁμαρτίαν εἰς παντελῆ ἐξέπιπτον ἀποστασίαν, αὐτὸς παραστὰς ἔρεισμά μοι καὶ ἀντιστήριγμα γέγονεν, ὁπηνίκα, τὸν αὐτοῦ προφήτην Ναθὰν πέμψας, ἔλεγχόν μοι ἐπήγαγε τῆς ἁμαρτίας, καὶ ἀνώρθωσεν. Ἀλλὰ καὶ «ἐξήγαγέν με εἰς πλατυσμόν», καὶ «εἰς εὐρυχωρίαν», κατὰ τὸν Σύμμαχον. Στενοχωρηθέντα γάρ με, καὶ μικροῦ δεῖν ἀπογνόντα ἑαυτοῦ τὴν σωτηρίαν, ἐρρύσατο καὶ εἰς πλατυσμὸν ἐξήγαγεν, ὡς κατὰ πλάτος δυνηθῆναι ἐμαυτὸν ἀναλαβεῖν, καὶ τῆς ἐμαυτοῦ θεραπείας ἐπιμέλειαν ποιήσασθαι. Πλὴν ἀλλὰ καὶ παντελῶς ῥύσεταί με, φησίν, διδοὺς ἄφεσιν τῆς ἁμαρτίας κατὰ τὸν προφητευόμενον καιρὸν τῆς αὐτοῦ παρουσίας. Καὶ τοῦτο ποιήσει εὐεργετῶν με ὁ Κύριος, «ὅτι ἠθέλησέ με·» ἢ κατὰ τὸν Ἀκύλαν, «ὅτι ἐβουλήθη ἐν ἐμοί·» οὐ γὰρ ἂν ἐπεστράφην, οὐδ' ἂν τὸν ἔλεγχόν μοι προσήγαγεν, οὐδ' ἂν τὸν προφήτην ἑαυτοῦ πρὸς ἐμὲ ἀπεστάλκει, εἰ μὴ σῶσαί με ἤθελεν. Εὖ δὲ οἶδα καὶ ἀκριβῶς πέπεισμαι, ὅτι κατὰ τὸν καιρὸν τῆς δικαιο-

1. Ψαλμ. 68, 2, 3.

κρισίας αὐτοῦ, οὐ μνημονεύσας μου τῆς ἁμαρτίας καὶ τῶν τολμηθέντων μοι ἐν ἡμέρᾳ ταλαιπωρίας μου, «κατὰ τὴν δικαιοσύνην μου ἀποδώσει μοι.» Τὰς γὰρ ἄλλας μου πράξεις τὰς ἐν ἀρετῇ καὶ δικαιοσύνῃ, ὥσπερ ἐν τρυτάνῃ καὶ ζυγῷ ἀντιπαραλαβών, καὶ ἀντιστήσας τῷ ἁμαρτήματί μου, κατὰ πολὺ πλεοναζούσας εὑρήσει τοῦ γενομένου ἁμαρτήματος. Διὸ ἀνταποδώσει μοι οὐ καθ' ὃ ἥμαρτον (ἤδη γὰρ ἀνταπέδωκε, μετελθών με κατὰ τὸν παρόντα βίον διὰ τῶν καταλαβουσῶν με συμφορῶν), κατὰ δὲ τὰς λοιπὰς πράξεις, τὰς ἐν δικαιοσύνῃ, ἀποδώσει μοι ἐν τῇ ἡμέρᾳ τῆς αὐτοῦ δικαιοκρισίας, καὶ τῶν χειρῶν μου κατὰ τὴν καθαριότητα τὴν ἀμοιβὴν ποιήσεται· ἀπέπλυνα γὰρ τὸν πρότερον αὐταῖς ἐγγενόμενον ῥύπον· «Καὶ ἔσομαι ἄμωμος μετ' αὐτοῦ, καὶ φυλάξομαι ἀπὸ τῆς ἀνομίας μου. Καὶ ἀνταποδώσει μοι Κύριος κατὰ τὴν δικαιοσύνην μου, καὶ κατὰ τὴν καθαριότητα τῶν χειρῶν μου ἀνταποδώσει μοι.»

Διεξέρχεται ἑξῆς καταλέγων τίς ἦν ἡ δικαιοσύνη αὐτοῦ, καὶ ὅπως ἀπεκάθηρεν ἑαυτοῦ τὰς χεῖρας.

Στίχ. κβ'-κε'. «Ὅτι ἐφύλαξα τὰς ὁδοὺς Κυρίου, καὶ οὐκ ἠσέβησα ἀπὸ τοῦ Θεοῦ μου. Ὅτι πάντα τὰ κρίματα αὐτοῦ ἐνώπιόν μου, καὶ τὰ δικαιώματα αὐτοῦ οὐκ ἀπέστησεν ἀπ' ἐμοῦ. Καὶ ἔσομαι ἄμωμος μετ' αὐτοῦ, καὶ φυλάξομαι ἀπὸ τῆς ἀνομίας μου.»

Ἐπεὶ τοίνυν ταῦτα ἐπορισάμην ἐμαυτῷ, φησί, μετὰ τὴν ἁμαρτίαν, καὶ τοσαύτας συνήγαγον ἐμαυτῷ θεραπείας, εἰκότως πάλιν ἐπαναλαβὼν τὸν αὐτὸν ἐν δευτέρῳ λόγον φημί· ὅτι, διὰ τὰ προλεχθέντα, «Καὶ ἀνταποδώσει μοι Κύριος κατὰ τὴν δικαιοσύνην μου, καὶ κατὰ τὴν καθαριότητα τῶν χειρῶν μου ἐνώπιον τῶν ὀφθαλμῶν αὐτοῦ·» ἀντὶ δὲ τοῦ, «ἐνώπιον τῶν ὀφθαλμῶν αὐτοῦ», ὁ Σύμμαχος, «τὴν ἀντικρὺ τῶν ὀφθαλμῶν αὐτοῦ», ἐξέδωκεν. Οὐ γὰρ ἀνθρώπων ὀφθαλμοῖς ἐσπούδαζον τὴν ἐμαυτοῦ καθαριότητα δεικνύναι, οὐδὲ ὥστε ἀρέσκειν τοῖς πολλοῖς, ἀλλ' ἀντικρὺ τῶν αὐτοῦ τοῦ κριτοῦ ὀφθαλμῶν πᾶσαν ἐποιούμην σπουδὴν τῆς ἐμαυτοῦ καθαρότητος.

Στίχ. κϛ'-κη'. «Μετὰ ὁσίου ὅσιος ἔσῃ, καὶ μετὰ ἀνδρὸς ἀθώου ἀθῷος ἔσῃ· καὶ μετὰ ἐκλεκτοῦ ἐκλεκτὸς ἔσῃ, καὶ μετὰ στρεβλοῦ διαστρέψεις. Ὅτι σὺ λαὸν ταπεινὸν σώσεις, καὶ ὀφθαλμοὺς ὑπερηφάνων ταπεινώσεις.»

Μήποτε προφητικῶς λαὸν μὲν ταπεινόν, ἤ, κατὰ τὸν Ἀκύλαν, «πένητα», ἤ, κατὰ τὸν Σύμμαχον, «πρᾶον» τὸν χορὸν αἰνίττεται τὸν ἀποστολικόν· ὑπερηφάνους δὲ τοὺς πάλαι ἐπηρμένους, τοὺς ἀρχιερέας καὶ διδασκάλους καὶ ἄρχοντας τοῦ ἐκ περιτομῆς λαοῦ; οὓς πάλαι ὀφθαλμοῖς ὑπερηφάνοις κατὰ τοῦ Σωτῆρος ἡμῶν κεχρημένους ἐταπείνωσεν ὁ Θεός, ἐν πᾶσι σώσας τὸν αὐτοῦ ταπεινὸν καὶ πένητα καὶ πρᾶον, τὸν τοῦ Σωτῆρος ἡμῶν ἀποστόλων τε καὶ μαθητῶν λαόν.

Στίχ. κθ', λ'. «Ὅτι σὺ φωτιεῖς τὸν λύχνον μου, Κύριε, ὁ Θεός μου, φωτιεῖς τὸ σκότος μου. Ὅτι ἐν σοὶ ῥυσθήσομαι ἀπὸ τοῦ πειρατηρίου, καὶ ἐν τῷ Θεῷ μου ὑπερβήσομαι τεῖχος.»

Ζητῶν δὲ τὸν λύχνον τοῦ Δαυῒδ εὗρον ἐν ρλα΄ ψαλμῷ φερόμενον τό, «Ἐκεῖ ἐξανατελῶ κέρας τῷ Δαυῒδ· ἡτοίμασα λύχνον τῷ Χριστῷ μου.[1]» Λύχνος δὲ ἑτοιμαζόμενος τῷ Χριστῷ ἐκ σπέρματος Δαυῒδ τίς ἂν γένοιτο ἢ τὸ γέννημα τὸ κατὰ σάρκα γενόμενον ἐκ διαδοχῆς Δαυῒδ, ᾧ κέχρηται ὁ Χριστὸς ἐν αὐτῷ γενόμενος, καὶ τὰς τῆς δυνάμεως αὐτοῦ μαρμαρυγὰς καὶ τοῦ φωτὸς τὰς ἀνατολὰς πᾶσιν ἐξέλαμψεν ἀνθρώποις; Διὸ καὶ ἐν τοῖς προκειμένοις προφητικῶς φησιν ὁ Δαυῒδ· «Ὅτι σὺ φωτιεῖς λύχνον μου, Κύριε.» Σὺ γὰρ αὐτός, φησίν, ὁ Κύριος, τὸ φῶς τὸ ἀληθινὸν τυγχάνων, «ἑνωθείς» ποτε ἀπορρήτως τῷ ἐξ ἐμοῦ γενησομένῳ λύχνῳ, φωτιεῖς αὐτόν· ἀλλὰ καὶ τὸ ἐγγενόμενόν μοί ποτε σκότος τότε παντελῶς περιελεῖς, ὡς μηδὲ μνήμην αὐτοῦ ἀνιέναι ἐπὶ τὴν ἐμὴν διάνοιαν. Εὖ δὲ οἶδα, ὅτι, καὶ τῆς παρὰ σοῦ δυνάμεως καὶ ἰσχύος καταξιωθείς, ἐπιβήσομαι τοῦ ἐν οὐρανοῖς τείχους· ἐν ἀσφαλεῖ τε γενόμενος, τότε τῆς παρὰ σοὶ τεύξομαι σωτηρίας. Ἤ· Ὑπερβήσομαι καὶ ὑπερπηδήσω πάντα τὰ τῶν ἐχθρῶν ὀχυρώματα καὶ τοὺς φραγμοὺς καὶ τὸ τεῖχος, ὃ περιβάλλειν μοι εἰς τὸ ἀποκλεῖσαι σπεύδονται.

Στίχ. λα΄, λβ΄. «Ὁ Θεός μου, ἄμωμος ἡ ὁδὸς αὐτοῦ· τὰ λόγια Κυρίου πεπυρωμένα, ὑπερασπιστής ἐστι πάντων τῶν ἐλπιζόντων ἐπ᾽ αὐτόν. Ὅτι τίς Θεὸς πλὴν τοῦ Κυρίου; ἢ τίς Θεὸς πλὴν τοῦ Θεοῦ ἡμῶν;»

Ἄμωμον εἶναι ἀποφαίνεται, τουτέστιν ἀνεπίληπτον τὴν διοίκησιν αὐτοῦ, καὶ τὴν τῆς προνοίας οἰκονομίαν. Ἀλλὰ καὶ τὰ λόγια αὐτοῦ πεπυρωμένα, τουτέστι βεβασανισμένα καὶ δεδοκιμασμένα· οὐκ ἔστι τε αὐτοῖς ἐπισκέψαι· οὐδὲ ἀλλοτρίας ὕλης παρεμβεβλημένον τι ἐν αὐτοῖς εὑρεῖν, ὁποῖα τὰ παρὰ τοῖς σοφοῖς τοῦ αἰῶνος τούτου τυγχάνει· μετέχοντα μέν τινος ἔσθ᾽ ὅτε φαντασίας, πάσης δὲ ἀθεότητος καὶ δυσσεβείας πεπληρωμένα. Τί οὖν τὰ πεπυρωμένα λόγια τοῦ Κυρίου διδάσκει; ὡς ὑπερασπιστής ἐστι πάντων τῶν ἐλπιζόντων ἐπ᾽ αὐτόν· καὶ ὅτι οὐκ ἔστιν ἄλλος Θεὸς ἢ μόνος ὁ ἡμέτερος Κύριος, οὐδ᾽ ἔστιν κραταιὸς ἄλλος ἢ ὁ Θεὸς ἡμῶν· καὶ διὰ τοῦτο εἰκότως ὑπερασπιστής ἐστι πάντων τῶν ἐλπιζόντων ἐπ᾽ αὐτόν, μηδενὸς ἑτέρου εὑρισκομένου τοῦ δυναμένου στῆναι πρὸς τοσοῦτον καὶ τοιοῦτον.

Στίχ. λγ΄, λδ΄. «Ὁ Θεὸς ὁ περιζωννύων με δύναμιν, καὶ ἔθετο ἄμωμον τὴν ὁδόν μου· καταρτιζόμενος τοὺς πόδας μου ὡσεὶ ἐλάφων, καὶ ἐπὶ τὰ ὕψη μου ἱστῶν με.»

Οὐκ ἀπρακτῶν, φησί, καὶ ἀργῶν προΐσταται καὶ ὑπερασπίζει· ἀλλὰ καὶ αὐτῶν συμβαλλομένων τῇ αὐτῶν σωτηρίᾳ διὰ τοῦ ἀγωνίζεσθαι καὶ τοὺς ἐχθροὺς καταπολεμεῖν. Οὕτω γοῦν καὶ ἐμὲ ὁπλίζων ταῖς ἑαυτοῦ δυνάμεσι, τὴν θνητὴν καὶ ἀνθρωπίνην μου ἰσχὺν τῇ αὐτοῦ χάριτι δυναμοῖ· ἵν᾽ ὥσπερ ἀνὴρ τὴν ὀσφὺν περιεζωσμένος τὴν

---

1. Ψαλμ. 131, 17.

ἐξ αὐτοῦ χορηγουμένην μοι δύναμιν στῶ πρὸς τοὺς πολεμίους. Ἀλλὰ καὶ ὥσπερ εἴρηται. «Ὁ Θεός, ἄμωμος ἡ ὁδὸς αὐτοῦ·» οὕτως κατ' εἰκόνα καὶ καθ' ὁμοίωσιν αὐτοῦ καὶ ἐμὲ βουλόμενος εἶναι, καὶ τὴν ἐμὴν ὁδὸν ἔθετο ἄμωμον, διδασκαλίαις καὶ παραινέσεσιν καὶ παντοίοις μαθήμασι τὴν ὁδόν μου, τουτέστι τὴν ζωὴν καὶ τὸν βίον ἄμωμον καταρτιζόμενος. Ἀντὶ δὲ τοῦ, «ἄμωμον», Ἀκύλας, «τέλειον», ἐκδέδωκεν. Ἔτι δὲ πρὸς τούτοις, «καὶ τοὺς πόδας μου ὡσεὶ ἐλάφων κατηρτίσατο·» περὶ ὧν ἐλάφων πολὺς ἐν τοῖς ἱεροῖς πράγμασι [γράμμασι] φέρεται λόγος. Ἐπὶ σχολῆς δ' ἄν τις τῶν προτεθέντων ἐξετάσας, εὕροι ἂν αὐτῶν τὸν νοῦν ἀναφερόμενον ἐπὶ τοὺς ἁγίους τοῦ Θεοῦ ἄνδρας, τοὺς ἀναιρετικοὺς παντὸς ἑρπυστικοῦ καὶ ἰοβόλου ζῴου. Ἐπεὶ καὶ τῆς ἐλάφου τοιαύτη πέφυκεν ἡ φύσις, ὀφιοκτόνος οὖσα καὶ ἀναιρετικὴ παντὸς ἑρπετοῦ. Ὀρεινοβατὲς δὲ τὸ ζῷον καὶ δρομικόν, ὡς καὶ οἱ ἅγιοι Θεοῦ τὰ ἄνω σκοποῦντες, καὶ μὴ τὰ ἐπὶ τῆς γῆς, καὶ τὰ ὑψηλὰ διώκοντες, πόθῳ τῆς τῶν οὐρανῶν βασιλείας. Τὴν πρὸς τοὺς ἁγίους τοίνυν ὁμοιότητα ἑαυτοῦ καὶ ὁ Δαυῒδ τῇ τοῦ Θεοῦ χάριτι ἀνατίθησι, λέγων ἑξῆς· «Καὶ ἐπὶ τὰ ὕψη μου ἱστῶν με.» Εἰ γὰρ καὶ τὰ μάλιστα ἕτεροι καθέλκειν ἡμᾶς καὶ καταβιβάζειν ἐπὶ τὰ βάθη καὶ τὰς κοιλάδας τῆς κακίας πειρῶνται· ἀλλ' ὁ Θεὸς ἡμῶν, οἷά τις ἀγωνοθέτης διδάσκων ἡμᾶς ἀγαθοὺς εἶναι δρομεῖς, ἐπὶ τὰ κατάλληλα ἡμῖν ὕψη παρορμᾷ· αὐτοῦ τε ἡ χάρις. Οὐ γὰρ ἡμετέρα δύναμις ἵστησιν ἐν τοῖς ἡμετέροις ὕψεσι· φύσει γὰρ ἀνθρώπου ψυχῇ τὸ οὐράνιόν ἐστιν οἰκητήριον· καὶ τὰ ἐκεῖ ὕψη οὐκ ἀλλότρια, ἀλλ' οἰκεῖα· διό, «Ἐπὶ τὰ ὕψη μου», φησίν, «ἱστῶν με.»

Στίχ. λε', λς'. «Διδάσκων χεῖράς μου εἰς πόλεμον, καὶ ἔθου τόξον χαλκοῦν τοὺς βραχίονάς μου. Καὶ ἔδωκάς μοι ὑπερασπισμὸν σωτηρίας, καὶ ἡ δεξιά σου ἀντελάβετό μου.»

Πρὸς τούτοις ἅπασιν ὑπερασπισμὸν σωτηρίας μοι δέδωκας, τὸν σὸν Υἱὸν καταπέμψας τῇ ἰδίᾳ ἀσπίδι ὑπὲρ ἐμοῦ μαχησόμενον. Ἀκριβῶς γὰρ ἐπιστήσεις τί ποτέ ἐστι τὸ διὰ πάσης Γραφῆς προφητευόμενον σωτήριον τοῦ Θεοῦ περὶ οὗ καὶ Συμεὼν ἐν τῷ Εὐαγγελίῳ ἔλεγεν· «Νῦν ἀπολύεις τὸν δοῦλόν σου, Δέσποτα, κατὰ τὸ ῥῆμά σου ἐν εἰρήνῃ· ὅτι εἶδον οἱ ὀφθαλμοί μου τὸ σωτήριόν σου.[1]—» «Καὶ ἡ δεξιά σου ἀντελάβετό μου.» Τάχα δεξιὰ τοῦ Θεοῦ εἶναι δύναται ἐν ᾗ ἐστερέωσε τὸν οὐρανόν, μονογενὴς Λόγος.

Στίχ. λς', λζ'. «Καὶ ἡ παιδεία σου ἀνώρθωσέ με εἰς τέλος, καὶ ἡ παιδεία σου αὐτή με διδάξει.»

Σύμμαχος δὲ ἐξέδωκε· «Καὶ τὸ ὑπακούειν με αὐξήσει με.» Ὁ δὲ Ἀκύλας· «Καὶ πραότητός σου ἐπλήθυνέ με. Ἐπλάτυνας τὰ διαβήματά μου ὑποκάτω μου.» Τὰ διαβήματα, καθ' ἃ ἐκ κακίας εἰς ἀρετήν, καὶ ἐξ αἰσθητῶν ἐπὶ νοητά, καὶ ἀπὸ τοῦ παρόντος εἰς τὸν μέλλοντα

1. Λουκ. 2, 29-30.

αἰῶνα διαβαίνω, ἐπλάτυνας ὑποκάτω μου· κατ' ἀρχὰς γὰρ στενὰ καὶ ἐπίπονα φαινόμενα τῷ τὴν τεθλιμμένην ὁδεύειν ὁδόν· ὑπεράνω αὐτῶν τῇ προκοπῇ γεγενημένος, πλατυνθέντα αὐτὰ ἐθεασάμην. Ὁ γὰρ ἀνωτέρω τῶν προκοπῶν γεγενημένος, τῷ ἐπὶ τέλος ἐφθακέναι, οὐκέτι αἴσθεται τῆς στενότητος, τῶν πόνων καὶ ἱδρώτων τῶν ἐπὶ ταῖς προκοπαῖς, ἐν εὐρυχωρίᾳ γεγενημένος. «Καὶ οὐκ ἠσθένησε τὰ ἴχνη μου.» Εἰ διηνεκῶς ἐν τῷ πονεῖν ἐτέλουν, κἂν ἠσθένησε τὰ ἴχνη μου, τουτέστι τοῦ ἔσω ἀνθρώπου τὰ σκέλη· ἐπειδὴ μετὰ τοὺς ὑπὲρ ἀρετῆς καμάτους ἀνάπαυλα διαδέχεται, οὐκ ἀσθενεῖ, ἀλλ' ἰσχυροποιεῖται τὰ ἴχνη μου, ὥστ' ἂν εἰπεῖν· «Καὶ ἔστησας ἐν εὐρυχώρῳ τοὺς πόδας μου.[1]» Ἀλλὰ καὶ ὁ Ἰησοῦς ἑπόμενος ἐπακολουθεῖ τοῖς ἴχνεσιν αὐτοῦ· ἐξ αὐτοῦ τοῦ πατεῖν τὴν τετριμμένην ὑπὸ Ἰησοῦ ὁδὸν ἰσχυρὰ κτᾶται τὰ ἴδια ἴχνη, ὡς ἔργῳ φάναι· «Οὐκ ἠσθένησε τὰ ἴχνη μου» ἐν τῇ στενοχωρίᾳ τῆς θλίψεως.

Στίχ. λη'. «Καταδιώξω τοὺς ἐχθρούς μου καὶ καταλήψομαι αὐτούς, καὶ οὐκ ἀποστραφήσομαι ἕως ἂν ἐκλείπωσιν. Ἐκθλίψω αὐτοὺς καὶ οὐ μὴ δύνωνται στῆναι, πεσοῦνται ὑπὸ τοὺς πόδας μου.»

Καὶ ὅσων ἐχθρῶν καὶ πολεμίων περιγέγονε διὰ τῆς τοῦ Θεοῦ βοηθείας! Καὶ τοῦτο δέ μοι, φησίν, παρὰ τῆς σῆς χάριτος ὑπῆρξε, τὸ μὴ στενοχωρηθῆναί μου τοὺς πόδας, καὶ τὸ μὴ δικτύοις τῶν ἐχθρῶν, καὶ τοῖς σκανδάλοις τοῖς ὑπ' αὐτῶν προβεβλημένοις περιπαρῆναι. Ταῦτα γὰρ πάντα περιελὼν σὺ αὐτὸς ὁ Θεός μου, ὁμαλὴν κατηρτίσω μου τὴν πορείαν. Τὸ δέ, «Πεσοῦνται ὑπὸ τοὺς πόδας μου», νοήσεις ἐπαξίως τοῦ προφητικοῦ πνεύματος, τῆς τοῦ Σωτῆρος πρὸς τοὺς ἀποστόλους ἐπαγγελίας μνησθεὶς δι' ἧς πρὸς αὐτοὺς ἔλεγεν· «Ἰδοὺ δίδωμι ὑμῖν ἐξουσίαν πατεῖν ἐπάνω ὄφεων καὶ σκορπίων, καὶ ἐπὶ πᾶσαν δύναμιν τοῦ ἐχθροῦ.[2]»

Στίχ. μ'. «Καὶ περιέζωσάς με δύναμιν εἰς πόλεμον, συνεπόδισας πάντας τοὺς ἐπανισταμένους ἐπ' ἐμὲ ὑποκάτω μου.»

Ἐμοὶ μέν, φησίν, ἀνδρείαν ἐδωρήσω καὶ ῥώμην. Εἰπὼν ἀνωτέρω· «Ὁ Θεὸς ὁ περιζωννύων με δύναμιν», ἐνταῦθα καὶ τοῦ ἔργου τὸ ἀποτέλεσμα διδάσκει λέγων· «Καὶ περιέζωσάς με δύναμιν εἰς πόλεμον· καὶ τοὺς ἐχθρούς μου ἔδωκάς μοι νῶτον·» οἱ ἐκ μετανοίας ἄρτι τῆς ἔχθρας ἀπαλλαττόμενοι, διὰ τὸ μηδέπω τὴν ἐπ' ἀρετῇ παρρησίαν ἔχειν, τεθεῖεν τοῦ Ἰησοῦ νῶτος ὑπὸ τοῦ Πατρός· οὕτω γὰρ καὶ ἀκολουθῆσαι αὐτῷ ὀπίσω γενόμενοι δυνήσονται. Τάχα δὲ καὶ τοῦτο ῥηθείη· Ὁ σπουδαῖος, παρρησίαν πρὸς τὸν Θεὸν κεκτημένος, ἐνώπιον Κυρίου παρίσταται· ὁ δὲ φαῦλος, ὀπίσω ἐκβαλλόμενος διὰ τὴν ἰδίαν κακίαν, νῶτος τεθήσεται τοῦ Κυρίου. Ἐπεὶ γὰρ πρότεροι αὐτοὶ οἱ φαῦλοι ἔστρεψαν πρὸς αὐτὸν νῶτα, καὶ οὐχὶ πρόσωπα αὐτῶν, καὶ αὐτός, ἀποστραφεὶς αὐτούς, νῶτος αὐτοὺς ἕξει. Εἰ δὲ καὶ πᾶς δίκαιος ταῦτα λέγοι, ἐρεῖς, ὅτι αἱ

1. Ψαλμ. 30, 9. 2. Λουκ. 10, 19.

μοχθηραὶ δυνάμεις, εἰς πρόσωπον ἐρχόμεναι, βλάπτουσι τοὺς ὁρῶντας διὰ παντὸς ὄντες εἰδεχθεῖς· εἰς νῶτον δὲ ῥιφέντες, οὐδὲν δυνήσονται ἐπὶ τούτου τεκταίνεσθαι, κατὰ τό· «Ἐπὶ τοῦ νώτου μου ἐτέκταινον οἱ ἁμαρτωλοί.[1]»

Στίχ. μζ'-μθ'. «Ζῇ Κύριος, καὶ εὐλογητὸς ὁ Θεός μου, καὶ ὑψωθήτω ὁ Θεὸς τῆς σωτηρίας μου. Ὁ Θεὸς ὁ διδοὺς ἐκδικήσεις ἐμοί, καὶ ὑποτάξας λαοὺς ὑπ' ἐμέ, ὁ ῥύστης μου ἐξ ἐχθρῶν ὀργίλων.»

Εἰ γὰρ καὶ ἐταπείνωσεν ἑαυτόν, κλίνας οὐρανοὺς καὶ καταβάς, ἀλλ' ὑψηλός ἐστι, κατὰ τό· «Ὁ Θεὸς αὐτὸν ὑπερύψωσεν καὶ ἐχαρίσατο αὐτῷ ὄνομα τὸ ὑπὲρ πᾶν ὄνομα.[2] Ὁ Θεὸς ὁ διδοὺς ἐκδικήσεις ἐμοί, καὶ ὑποτάσσων λαοὺς ὑπ' ἐμέ, ὁ ῥύστης μου ἐξ ἐχθρῶν μου ὀργίλων, ἀπὸ τῶν ἐπανισταμένων ἐπ' ἐμὲ ὑψώσεις με, καὶ ἀπὸ ἀνδρὸς ἀδίκου ῥῦσαί με.» Τῷ μὲν γὰρ ἀπειθοῦντι λαῷ καὶ ἀντιλέγοντι ἐπάξειν τὰς ἐκδικήσεις καὶ τὰς τιμωρίας εἴρηται· ἢ κατὰ τὸν Σύμμαχον, «Ὁ Θεὸς ὁ παρασχὼν τιμωρίας ἐμοί·» τῷ δ' ἑτέρῳ τάγματι περὶ οὗ ἀνωτέρω εἴρηται· «Καταστήσεις με εἰς κεφαλὴν ἐθνῶν. Λαὸς ὃν οὐκ ἔγνων ἐδούλευσέ μοι·» τούτῳ τὴν ὑποταγὴν τὴν ὑπ' αὐτὸν χαρίζεται. Διὸ ἐπιλέγει κατὰ τὸν Σύμμαχον· «Καὶ ὑποτάσσων λαοὺς ἐπ' ἐμέ.» Οὗτος καὶ «ῥύστης μου», φησί, γέγονεν «ἐξ ἐχθρῶν μου ὀργίλων», καὶ «ἐκ τῶν ἐπανισταμένων ἐπ' ἐμὲ ὕψωσέ με, ὁ δ' αὐτὸς καὶ ἀπὸ ἀνδρὸς ἀδίκου ἐρρύσσατό με.» Δι' ὧν σαφῶς παρίστησιν ἐχθρούς τινας αὐτοῦ καὶ ἀνθεστηκότας· καὶ παρὰ τούτους ἕτερόν τινα ἄνδρα, μεστὸν ὡς ἀληθῶς πάσης ἀδικίας. Σημαίνει δὲ ὁ λόγος διὰ τούτων προφητικῶς τοὺς ἄρχοντας τοῦ Ἰουδαίων ἔθνους καὶ τὸν προδότην Ἰούδαν, παντὸς ἀδίκου χείρονα γενόμενον, ὅτι δή, τοιούτων ἀξιωθεὶς παρὰ τοῦ Σωτῆρος, τοῖς ἐναντίοις αὐτὸν ἠμείψατο.

Στίχ. ν', να'. «Διὰ τοῦτο ἐξομολογήσομαί σοι ἐν ἔθνεσι, Κύριε, καὶ τῷ ὀνόματί σου ψαλῶ. Μεγαλύνων τὰς σωτηρίας τοῦ βασιλέως αὐτοῦ, καὶ ποιῶν ἔλεος τῷ χριστῷ αὐτοῦ Δαυΐδ, καὶ τῷ σπέρματι αὐτοῦ, ἕως αἰῶνος.»

Ἐπὶ τὸ ἕτερον μεταβαίνει, ὡς ἂν εἴποι τις τὸ δεξιὸν τάγμα, καὶ ἔστιν ἔργοις αὐτοῖς καὶ ὀφθαλμοῖς παραλαβεῖν· ὥσπερ ὁ Δαυΐδ μετὰ τὴν τοῦ Σωτῆρος ἡμῶν παρουσίαν, ὥσπερ εἰσέτι καὶ νῦν ζῶν καὶ σὺν ἀνθρώποις πολιτευόμενος, διὰ τῶν ἑαυτοῦ γραφῶν ᾠδῶν τε καὶ ὕμνων ἐν πᾶσι τοῖς ἔθνεσι ψάλλει τῷ Θεῷ τῶν ὅλων· καὶ ὁ ἐκ σπέρματος δι' αὐτοῦ γεγονώς, οὗ εἰς πρόσωπον ἀναφέρεται τὰ προκείμενα, ὁμοίως κρείττων γενόμενος τῶν ἐπιβεβουλευκότων αὐτῷ, εἴποι ἄν· «Καὶ ἀπὸ τῶν ἐπανισταμένων ἐπ' ἐμὲ ὑψώσεις με.» Ἐκείνους μὲν οὖν καταλείπει· τὴν δὲ χάριν τὴν ἐξ αὐτοῦ καὶ τὴν ἀλήθειαν πᾶσι τοῖς ἔθνεσιν μεταδίδωσιν· εἰσέτι τε καὶ νῦν πανταχοῦ γῆς αὐτὸς παρών, καὶ μέσος τῶν εἰς αὐτὸν ἠλπικότων ἑστώς, τῷ Πατρὶ διὰ τῆς ἑαυ-

1. Ψαλμ. 128, 3. 2. Φιλιπ. 2, 9.

τοῦ Ἐκκλησίας ἐξομολογεῖται· διό φησι· «Διὰ τοῦτο ἐξομολογήσομαί σοι ἐν ἔθνεσι, Κύριε, καὶ τῷ ὀνόματί σου ψαλῶ.»

ΕΙΣ ΤΟ ΤΕΛΟΣ, ΨΑΛΜΟΣ ΤΩ ΔΑΥΙΔ ΙΗ'.

Καὶ ὁ παρὼν ψαλμὸς τῶν εἰς ἀγαθὸν τέλος παραπεμπόντων τυγχάνει· ἀλλὰ καὶ «εὐχαριστήριος» ἀναγράφῃ (sic) «ᾠδὴ τοῖς τοὺς ἐχθροὺς καταγωνισαμένοις ἐπινίκιος εἰρημένη.» Διὸ κατὰ τὸν Σύμμαχον εἴρηται· «Ἐπινίκιος ᾠδὴ τοῦ Δαυΐδ.» Ἀλλὰ καὶ διὰ τὸ ἀνακεῖσθαι τῷ τὰς νίκας δωρουμένῳ Θεῷ, κατὰ τὸν Ἀκύλαν. «Τῷ νικοποιῷ μελῴδημα», λέλεκται.

Στίχ. β'. «Οἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ, ποίησιν δὲ χειρῶν αὐτοῦ ἀναγγέλλει τὸ στερέωμα.»

Διδασκαλίαν περιέχει τῆς τοῦ Θεοῦ μεγαλουργίας παραστατικήν. Ἐπειδὴ γὰρ τὸ ἀφανὲς καὶ ἀόρατον τῆς ἀσωμάτου καὶ ἀγενήτου καὶ θεϊκῆς οὐσίας, διὰ τὸ μὴ σαρκὸς ὀφθαλμοῖς καταλαμβάνεσθαι, οἱ τὰ ὄμματα τῆς ψυχῆς πεπηρωμένοι τῆς τῶν ὄντων ὑπάρξεως ἐκβεβλήκασιν, ἀθέοις στόμασιν ἀποφηνάμενοι μὴ εἶναι Θεόν, μηδὲ ὑπάρχειν τι κρεῖττον τῶν ἐν σώμασιν ὁρωμένων· αὐτομάτῳ δὲ καὶ ἀλόγῳ συντυχίᾳ, εἰκῇ καὶ μάτην ἐξ οὐδεμιᾶς αἰτίας ὑποστῆναι τὸν πάντα κόσμον· ἀναγκαίως ὁ παρὼν λόγος διὰ τῆς ψαλμῳδίας ἀποδεικτικῶς καὶ μετὰ δημιουργικῆς τῶν ὅλων δυνάμεως τὴν θεολογίαν παρίστησι, τοιοῦτόν τινα λογισμὸν διεξιών. Θνητῶν μὲν φύσις μικρὰ τυγχάνει καὶ ἀσθενής· λογισμοί τε ἀνθρώπων δειλοί, καὶ ἐπισφαλεῖς αἱ ἐπίνοιαι ἡμῶν· διὸ πλεῖστον ὅσον ἀποδέομεν τῆς κατ' ἀξίαν τοῦ Θεοῦ δοξολογίας. Οὐδὲ γὰρ ἀνθρώπων φωναῖς, οὐδὲ γλώττῃ σαρκὸς καὶ χείλεσιν δύνασθαί ποτε νομίζειν ἐπάξιον περὶ Θεοῦ λόγον ἀποδίδοσθαι. Εἰ δὲ χρὴ διδασκαλίας ἐνεργοῦς καὶ μεγίστης αὐτῷ τε πρεπούσης τῷ Θεῷ ἐπακούειν, εἴ τις ἔρρωται τῆς ψυχῆς τὰ αἰσθητήρια, συντεινάτω ἑαυτὸν καὶ διεγειράτω πρὸς ἀκρόασιν ἐπαξίως ἀναφωνουμένην τῆς ἀπειρομεγέθους δυνάμεως τοῦ Θεοῦ· ἣν αὐτοὶ προφέρονται οἱ τὸν σύμπαντα περιέχοντες οὐρανοί, τὸν ἑαυτῶν κτίστην καὶ ποιητὴν τῶν ὅλων Θεὸν ᾠδαῖς καὶ δοξολογίαις ἀνυμνοῦντες. Αὐτοὶ γὰρ οἱ ἀνωτάτω πάντων, καὶ τοῦ ὑποβεβηκότος στερεώματος ὑπερκείμενοι οὐρανοί, οἱ σύμπασαν περιειληφότες τὴν αἰσθητὴν καὶ πνευματικὴν κτίσιν, τὴν δόξαν Θεοῦ οὐχ Ἑλληνικῇ φωνῇ φθεγγόμενοι, οὐδ' ἑτέρᾳ τινὶ διαλέκτῳ χρώμενοι, αὐτῷ δὲ ἔργῳ διὰ τοῦ ἑαυτῶν κόσμου καὶ τῆς εὐρύθμου καὶ ἐναρμονίου καὶ πανσόφου στάσεως, τοῦ αἰτίου αὐτοῖς τῆς τοιᾶσδε κινήσεως τὴν ἀπειρομεγέθη δύναμιν ἐκδιδάσκουσιν. «Ἐκ γὰρ μεγέθους καὶ καλλονῆς κτισμάτων ἀναλόγως ὁ γενεσιουργὸς αὐτῶν θεωρεῖται·[1]» καί, «Τὰ ἀόρατα αὐτοῦ ἀπὸ

1. Σοφ. Σολ. 13, 5.

κτίσεως κόσμου τοῖς ποιήμασι νοούμενα καθορᾶται· ἥ τε ἀΐδιος αὐτοῦ δύναμις καὶ θεότης.[1]» Ὁ οὖν τοὺς οὐρανοὺς νομίζων δίχα τινὸς δημιουργικοῦ λόγου καὶ θείας ἄνευ δυνάμεως ἑαυτοὺς ὑποστήσασθαι, καὶ τοῦ τοσοῦδε μεγέθους καὶ τοῦ τοιοῦδε σχήματος, τῆς τε εὐσταθοῦς καὶ εὐτάκτου κινήσεως τὴν αἰτίαν τοῖς σώμασιν αὐτῶν προσγράφων, ἄφρων καὶ ἀσεβής. Διὸ τοὺς ἔμφρονα νοῦν κεκτημένους προσήκει συνομολογεῖν μονονουχὶ φωνῆς ἀκούειν ἔργῳ βοώσης αὐτῶν τῶν οὐρανῶν, τὴν πρέπουσαν δόξαν ἀναπεμπόντων τῷ ἑαυτῶν ποιητῇ καὶ δημιουργῷ Θεῷ.

Οὕτω δὲ καὶ τὸ στερέωμα, ὃ δὴ Μωϋσῆς κατὰ τὴν δευτέραν ἡμέραν τῆς κοσμοποιΐας γεγονέναι παρίστη· καὶ τοῦτο τοιγαροῦν τὸ στερέωμα, ἕτερον ὂν παρὰ τοὺς προωνομασμένους οὐρανούς, κηρύττει τοῖς πᾶσι καὶ κέκραγε διδάσκων, ὅτι μὴ ἐξ αὐτομάτου τοιόνδε ὑπέστη· ἔργον δέ ἐστι καὶ αὐτὸ τοῦ τῶν ὅλων ποιητοῦ Θεοῦ· διὸ εἴρηται· «Ποίησιν δὲ χειρῶν αὐτοῦ ἀναγγέλλει τὸ στερέωμα.» Οἶδε δὲ Μωϋσῆς πρὸ τῆς τοῦ στερεώματος συστάσεως οὐρανὸν πρότερον τῆς ἡμέρας γεγενημένον, λέγων· «Ἐν ἀρχῇ ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν.[2]» Ἑξῆς δ' οὖν μετὰ τὴν ποίησιν τοῦ πρώτου οὐρανοῦ φωτὸς εἰσάγει δύναμιν καὶ γένεσιν, ἡμέραν τε διδάσκει τὸ φῶς κεκλῆσθαι, γεγονέναι τε πρωΐαν φησὶ καὶ ἑσπέραν, ἡμέραν μίαν. Εἶτα δευτέρας ἡμέρας ἀρχόμενος, τὴν τοῦ στερεώματος εἰσάγει ποίησιν. Οἶδε δὲ ἡ Γραφὴ καὶ πλείους οὐρανούς· διό φησιν· «Αἰνεῖτε τὸν Κύριον ἐκ τῶν οὐρανῶν·[3]» καὶ πάλιν· «Αἰνεῖτε αὐτὸν οἱ οὐρανοὶ τῶν οὐρανῶν, καὶ τὸ ὕδωρ τὸ ὑπεράνω τῶν οὐρανῶν·[4]» καὶ ἀλλαχοῦ εἴρηται· «Ὁ οὐρανὸς τοῦ οὐρανοῦ τῷ Κυρίῳ.[5]» Καὶ τὸ στερέωμα κέκληται οὐρανός, καὶ ὁ Σωτὴρ τὴν βασιλείαν τῶν οὐρανῶν ἐπαγγέλλεται, καὶ ἐν τῇ εὐχῇ διδάσκει εἰπεῖν· «Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς[6]», καί, «Αἱ δυνάμεις τῶν οὐρανῶν σαλευθήσονται.[7]»

Στίχ. γ΄. «Ἡμέρα τῇ ἡμέρᾳ ἐρεύγεται ῥῆμα, καὶ νὺξ νυκτὶ ἀναγγέλλει γνῶσιν.»

Διδάσκει ἡμέρα καὶ διδάσκει νὺξ τοὺς ἐθέλοντας παιδεύεσθαι, ὅση τίς ἐστιν ἡ σοφία ἡ ἄρρητος καὶ ἀπερίληπτος δύναμις τοῦ τὰ διαστήματα τῶν χρόνων καταμετρήσαντος αὐτοῖς Θεοῦ. Εἰ μὲν γὰρ μηδεὶς ἦν ὁ καὶ ταύταις ὥραις καὶ χρόνους καὶ καιροὺς διαταξάμενος, ἀπρονοήτῳ δὲ καὶ ἀλόγῳ κινήσει κατά τι σύμβαμα τυχιμαῖον ὑφεστῶτα ἦν· ἐχρῆν δήπου μὴ τὰ ἴσα διαστήματα τῶν ἡμερῶν διὰ παντὸς τοῦ αἰῶνος ὑφεστάναι, ἢ συγκεχυμένους αὐτῶν εἶναι τοὺς καιρούς, καὶ τὰς νύκτας δὲ ὡσαύτως εἰκῇ καὶ ὡς ἔτυχεν φέρεσθαι. Ἀλογίας γὰρ ἀδελφὴ ἀταξία, καὶ τῷ τυχιμαίῳ ἕπεται σύγχυσις· ὡς ἔμπαλιν πάσης εὐταξίας ἡγεῖται λόγος, ἁρμονίας τε καὶ συμφωνίας ἡγεῖται

1. Ῥωμ. 1, 20. 2. Γεν. 1, 1. 3. Ψαλμ. 148, 1. 4. Ψαλμ. 148, 4. 5. Ψαλμ. 113, 24. 6. Ματθ. 6, 9. 7. Λουκ. 21, 26.

σοφία. Αἱ τοίνυν τούτων πρὸς ἀλλήλας ἀμοιβαὶ καὶ ὑποχωρήσεις, ποτὲ μὲν ἡμερῶν μηκυνομένων, ὑποχωρουσῶν δὲ αὐτῶν νυκτῶν, ποτὲ δὲ τῶν νυκτῶν τὸ προδεδανεισμένον χρέος κατὰ τὴν τῶν ὡρῶν αὔξησιν ἀπολαμβανουσῶν, μονονουχὶ φθέγγονται καὶ λαλοῦσι μεγάλῃ φωνῇ τῇ πανσόφῳ διατάξει τοῦ τῶν ὅλων μαρτυροῦσαι Θεοῦ, καὶ κηρύττουσιν ἀνθρώποις τὴν τοῦ Θεοῦ γνῶσιν· οὕτω δὲ κεκραγόσιν αὐτοῖς ἔργοις αἱ τῶν ἡμερῶν καὶ τῶν νυκτῶν φωναὶ τοῖς ἐπαΐειν αὐτῶν δυναμένοις, ὡς μηδεμίαν ἀκοὴν λανθάνειν τὴν διδασκαλίαν αὐτῶν.

Πεπλήρωται γοῦν ἡ σύμπασα τῶν ἀνθρώπων οἰκουμένη τῆς εὐρύθμου καὶ ἀμοιβαίας αὐτῶν χορείας· δι' ἃ λέλεκται· «Οὐκ εἰσὶ λαλιαὶ οὐδὲ λόγοι ὧν οὐχὶ ἀκούονται αἱ φωναὶ αὐτῶν. Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν, καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα αὐτῶν·» δῆλον δέ, ὅτι τῶν ἡμερῶν καὶ τῶν νυκτῶν, τῶν τε «διηγουμένων τὴν τοῦ Θεοῦ δόξαν» οὐρανῶν, καὶ τοῦ «τὴν ποίησιν τῶν χειρῶν αὐτοῦ ἐξαγγέλλοντος» στερεώματος. Ἔνθα δὲ γενομένῳ μοι θαυμάζειν ἔπεισιν, ὅπως ὁ ἱερὸς ἀπόστολος τό· «Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν, καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα αὐτῶν», ἐπὶ τοὺς μαθητὰς καὶ εὐαγγελιστὰς καὶ ἀποστόλους τοῦ Σωτῆρος ἡμῶν ἀνήνεγκεν ἐν τῇ πρὸς Ῥωμαίους Ἐπιστολῇ. Ἐπιστήσας δὲ τὸν νοῦν τῇ ἀποστολικῇ λέξει, σφόδρα ἀκριβῶς εὗρον αὐτὸν καταχρηστικῷ τρόπῳ εὐκαίρως τὴν παράθεσιν πεποιημένον· οὐ γὰρ ὥσπερ ποτὲ μὲν ἔφη· «Ἡσαΐας δὲ κράζει ὑπὲρ τοῦ Ἰσραήλ [1]», ποτὲ δέ, «καθὼς προείρηκεν Ἡσαΐας· [2]» καὶ πάλιν· «Καθὼς γέγραπται· [3]» καὶ αὖθις· «Λέγει γὰρ ἡ Γραφή· [4]» οὐχ οὕτως καὶ ἐπὶ τοῦ· «Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν», εἴρηκε μετὰ προσθήκης ὁμοίας τοῖς προεκτεθεῖσιν. Εἰ γάρ τι τοιοῦτον προφήσας εἶπε, τάχ' ἄν τις ἐλάβετο ὡς βεβιασμένως ἐκδεξαμένου τὴν ἐν τῷ ψαλμῷ ῥῆσιν· νυνὶ δὲ ἁπλῇ φράσει φαίνεται συγχρησάμενος τῇ ἀπὸ τοῦ ψαλμοῦ παραθέσει· διὸ εἴποι τις αὐτὸν κατακεχρῆσθαι εὐκαίρως καὶ ὠφελίμως καὶ εὐρύθμως τῇ μαρτυρίᾳ.

Στίχ. ς', ζ'. «Ἐν τῷ ἡλίῳ ἔθετο τὸ σκήνωμα αὐτοῦ, καὶ αὐτὸς ὡς νυμφίος ἐκπορευόμενος ἐκ παστοῦ αὐτοῦ. Ἀγαλλιάσεται ὡς γίγας δραμεῖν ὁδὸν αὐτοῦ· ἀπ' ἄκρου τοῦ οὐρανοῦ ἡ ἔξοδος αὐτοῦ, καὶ τὸ κατάντημα αὐτοῦ ἕως ἄκρου τοῦ οὐρανοῦ· καὶ οὐκ ἔστιν ὃς ἀποκρυβήσεται τὴν θέρμην αὐτοῦ.»

Πρὸς τοῖς εἰρημένοις τῆς τοῦ Θεοῦ δοξολογίας διδάσκαλος καθέστηκεν ὁ ἥλιος, οἷα δεσπότου καὶ μεγάλου βασιλέως νόμον ἀπαράβατον τηρῶν. Οὐ γάρ ποτε ἄλλην τρέπεσθαι παρὰ τὴν ὁρισθεῖσαν αὐτῷ πορείαν τολμᾷ οὐδ' ὑπερβαίνει τοὺς ὅρους τῆς κατ' οὐρανὸν διατάξεως· ἀλλ' ἐκπορεύεται μὲν ὄρθριος, ὥσπερ ἐξ ἀδύτου καὶ ἀβά-

1. Ῥωμ. 9, 27. 2. Ῥωμ. 9, 29. 3. Α' Κορ. 1, 31. 4. Ῥωμ. 10, 11.

του νυμφῶνος προϊών, ὡραϊσμένος δὲ οἷα νυμφίος καὶ τῷ τοῦ φωτὸς ἠγλαϊσμένος ἄνθει· ἐπειδὰν τὸν ὁρίζοντα τὸν ἀνατολικὸν ὑπερβῇ, τὸν σύμπαντα διιππεύει κόσμον, ἀκοπιάστως τὸν οἰκεῖον ἐξανύων δρόμον. Κυκλοῖ δὲ κυκλῶν οἷά τις γίγας ἰσχυρὸς τὴν ἀλκὴν καὶ ἄμαχος, ὥσπερ ἐκ νύσσης ἀρξάμενος ἀπ' ἄκρου κέντρου τοῦ κατὰ ἀνατολὰς ὁρίζοντος, διατρέχων νυχθημέρῳ ἑνὶ τὸν σύμπαντα κόσμον, ὡς μηδένα ἀνεπαίσθητον εἶναι θέρμης. Ταῦτα δὲ ἐνεργεῖ δουλεύων τῷ τοῦ πεποιηκότος αὐτὸν νεύματι, καὶ τεθεικότος ἐν τῷ στερεώματι. Διὸ εἴρηται· «Ἐν τῷ ἡλίῳ ἔθετο τὸ σκήνωμα αὐτοῦ.» Ὅπερ σαφῶς εἰρημένον, λευκότερον ἡρμήνευσαν οἱ λοιποί· ὁ μὲν Ἀκύλας εἰπών· «Τῷ ἡλίῳ ἔθετο σκήνωμα ἐν αὐτοῖς·» ὁ δὲ Σύμμαχος· «Τῷ ἡλίῳ ἔταξε σκηνὴν ἐν αὐτοῖς·» ὁ δὲ Θεοδοτίων, «Τῷ ἡλίῳ ἔθετο σκήνωμα ἐν αὐτοῖς·» ὁμοίως δὲ καὶ ἡ πέμπτη ἔκδοσις ἐξέδωκεν. Ἐν γὰρ τοῖς προλεχθεῖσιν οὐρανοῖς καὶ ἐν τῷ ἀποδοθέντι στερεώματι τὸ τοῦ ἡλίου σκήνωμα καὶ τὸ οἰκητήριον τέθειται ὁ Θεός, κατὰ τὸ λελεγμένον παρὰ Μωϋσεῖ· «Καὶ ἐποίησεν ὁ Θεὸς τοὺς δύο φωστῆρας τοὺς μεγάλους· τὸν φωστῆρα τὸν μέγαν εἰς ἀρχὰς τῆς ἡμέρας, καὶ τὸν φωστῆρα τὸν ἐλάσσω εἰς ἀρχὰς τῆς νυκτός, καὶ τοὺς ἀστέρας. Καὶ ἔθετο αὐτοὺς ἐν τῷ στερεώματι τοῦ οὐρανοῦ, ὥστε φαίνειν ἐπὶ τῆς γῆς·[1]» Διὰ τούτων δεικνὺς ὁ ἥλιος καὶ μονονουχὶ βοῶν· μὴ αὐτὸς εἶναι ἑαυτοῦ κύριος, μηδ' ἐλεύθερος τυγχάνειν, γνωρίζειν δὲ τὸν καὶ ἑαυτοῦ καὶ πάντων Δεσπότην.

Στίχ. η'-ιβ'. «Ὁ νόμος Κυρίου ἄμωμος ἐπιστρέφων ψυχάς· ἡ μαρτυρία Κυρίου πιστὴ σοφίζουσα νήπια. Τὰ δικαιώματα Κυρίου εὐθέα εὐφραίνοντα καρδίαν· ἡ ἐντολὴ Κυρίου τηλαυγὴς φωτίζουσα ὀφθαλμούς. Ὁ φόβος Κυρίου ἁγνὸς διαμένων εἰς αἰῶνα αἰῶνος· τὰ κρίματα Κυρίου ἀληθινὰ δεδικαιωμένα ἐπὶ τὸ αὐτό· ἐπιθυμητὰ ὑπὲρ χρυσίον καὶ λίθον τίμιον πολύν, καὶ γλυκύτερα ὑπὲρ μέλι καὶ κηρίον. Καὶ γὰρ ὁ δοῦλός σου φυλάσσει αὐτά, ἐν τῷ φυλάσσειν αὐτὰ ἀνταπόδοσις πολλή.»

Ταῦτα δὲ πάντα παριείληφεν ὁ τοῦ Θεοῦ νόμος ὑπὲρ ἐπιστροφῆς τῆς ψυχῆς. Μαρτυρίας γὰρ πρῶτον περιέχει καὶ δικαιώματα καὶ ἐντολάς. Ἔπειτα τούτοις ἅπασιν ἐπήρτησεν, ὥσπερ βακτηρίαν ἐπιστρεπτικήν, τὸν φόβον, καὶ ἐπὶ πᾶσιν ὥσπερ κορωνίδα τὰ κρίματα ἐπέθηκε τοῦ Θεοῦ. Ἑκάστῳ δὲ τῶν εἰρημένων ἰδίωμα συνῆψε· τῷ μὲν κατὰ πάντα γενικῷ ὠνομασμένῳ νόμῳ τὴν τῆς ψυχῆς ἐπιστροφήν· ὅπως δὲ ἐπιστρέφει ψυχή, διὰ τῶν ἑξῆς παρίστησι, μαρτυρίαν πιστὴν εἰπὼν δι' ἧς σοφίζεται ὁ ἐν Χριστῷ νήπιος· ἔπειτα δικαιώματα Κυρίου, καὶ τούτων ἰδίωμα προσθεὶς τὸ εἶναι αὐτὰ εὐθέα, καρπόν τε τοῖς μεταλαμβάνουσι παρέχοντα τὴν εὐφροσύνην. Καὶ ἐπὶ τούτοις ἐντολὴν Κυρίου, ἧς καὶ αὐτῆς τὸ ἰδίωμα παρέστησεν, τηλαυγῆ φήσας αὐτὴν

1. Γεν. 1, 16-17.

καὶ τῶν ὀφθαλμῶν τῆς ψυχῆς φωτιστικήν. Τῷ δὲ φόβῳ τοῦ Κυρίου συνῆψεν τὴν ἁγνείαν, καὶ τῇ ἁγνείᾳ τὴν διαρκῆ καὶ αἰώνιον ζωήν. Καὶ ἐπὶ πᾶσι καὶ μετὰ πάντα προσέθηκεν τὴν τοῦ Θεοῦ κρίσιν, συνῆψέ τε αὐτῇ τὴν ἀλήθειαν καὶ τὴν δικαιοσύνην.

Στίχ. ιγ', ιδ'. «Παραπτώματα τίς συνήσει; ἐκ τῶν κρυφίων μου καθάρισόν με, καὶ ἀπὸ ἀλλοτρίων φεῖσαι τῷ δούλῳ σου.»

Ἀντὶ δὲ τοῦ, «Ἀπὸ ἀλλοτρίων φεῖσαι τῷ δούλῳ σου», ὁ Ἀκύλας ἐξέδωκε· «Καί γε ἀπὸ ὑπερηφάνων συντήρησον τὸν δοῦλόν σου.» Σφόδρα ἀναγκαίως καὶ ταύτην ἐκπέμπων τὴν εὐχήν, ὡς ἂν ῥυσθείη ἀπὸ ὑπερηφανίας. Ἐπειδὴ γὰρ τοῖς κατορθοῦσι παρέπεταί τις λογισμὸς πολλάκις ὑπερήφανος, ἐπαιρομένης καὶ χαυνουμένης τῆς ψυχῆς ἐφ' οἷς ἑαυτῇ συνοῖδεν ἀγαθοῖς· εἶτα τῷ τῆς ὑπερηφανίας περιπεσοῦσα κακῷ, ἄλλῳ τρόπῳ τραχηλίζεται καὶ καταπίπτει· ὡς διὰ τοῦτο φάσκειν τὸν Ἀπόστολον· «Ἵνα μὴ τυφωθεὶς εἰς κρῖμα ἐμπέσῃ τοῦ διαβόλου·[1]» ἀναγκαίως προειπών· «Καὶ γὰρ ὁ δοῦλός σου φυλάσσει αὐτά», καὶ φύλακα τῶν τοῦ Θεοῦ ἐντολῶν ἑαυτὸν εἰπών, ἱκετεύει ῥυσθῆναι ἀπὸ ὑπερηφανίας, καὶ ἐπιλέγει· «Ἐὰν μή μου κατακυριεύσωσι, τότε ἄμωμος ἔσομαι, καὶ τότε καθαρισθήσομαι ἀπὸ ἁμαρτίας μεγάλης.» Τέως μὲν γὰρ ἐπὶ τοῦ παρόντος εἰ καὶ φύλακα ἐμαυτὸν εἴρηκα τῶν τοῦ Θεοῦ παραγγελμάτων, ἀλλ' ἐπεὶ οὐδέπω συνοῖδα ἐμαυτῷ κεκαθαρισμένῳ ἐκ τῶν κρυφίων μου, ἔτι δι' ἀγωνιῶ καὶ πεφρόντικα ὡς ἂν ῥυσθείην ἀπὸ ὑπερηφανίας, εἰκότως φημί, ἅτε μηδέπω τὸ τέλειον κατορθώσας. Τότε ἀκριβῶς γνώσομαι ἐμαυτὸν ἄμωμον, καὶ τότε ἀπὸ μεγάλης καθαρισθήσομαι ἁμαρτίας, ἐπειδὰν μήτε τὰ κρύφιά μου κατακυριεύσωσι, μήτε λογισμὸς ὑπερήφανος καταδουλώσει με, ἢ πονηροὶ δαίμονες. Μεγάλην δὲ ἁμαρτίαν τὴν ἀποτελεσματικήν φησιν. Εἰ γὰρ μὴ ἀπὸ τῶν κρυφίων μου καθαρισθείην, ἐπιμένοντα ταῦτα τὰ παραπτώματα εἰς πρᾶξιν φαύλην μεταφέρει, καὶ γίνομαι ὑπεύθυνος ἁμαρτίᾳ μεγάλῃ.

Στίχ. ιε'. «Καὶ ἔσονται εἰς εὐδοκίαν τὰ λόγια τοῦ στόματός μου.»

Ὅταν ταῦτά μοι ὑπαρχθῇ παρὰ σοῦ, τὰ λόγια τοῦ στόματός μου ἃ προήνεγκα εὐχόμενός σοι, ὑμνῶν σε, εὐχαριστῶν σοι, εἰς εὐδοκίαν ἔσται. Εἰς εὐδοκίαν δέ ἐστιν τὰ λόγια τὰ ἀποδοχῆς ἄξια. «Καὶ ἡ μελέτη τῆς καρδίας μου ἐνώπιόν σου ἐστὶ διὰ παντός.» Ἡ μελέτη τοῦ διανοητικοῦ μου, γινομένη ἐν λογισμοῖς καὶ νοήσεσιν, ἐκτὸς οὖσα παντὸς μώμου, ἐνώπιόν σου τυγχάνει διὰ παντός. Τὸ μέντοι τῆς μελέτης ἄμεμπτον οὐκ ἄλλοθεν ἢ ἐκ σοῦ ὑπῆρκται, καθαρίσαντός με ἀπὸ τῶν κρυφίων μου.

«Κύριε, βοηθέ μου καὶ λυτρωτά μου.» Σοῦ βοηθοῦντος, ὦ δέσποτα, οὐδενὶ ὑποπίπτω τῶν πνευματικῶς προσπολεμούντων. Εἰ δὲ καὶ παρ' ἐμὴν ἀπροσεξίαν ἁλῶναι τοῖς ἐναντίοις συμβῇ, σύ με ἐκ τῶν κρατησάντων λυτροῦσαι, ἅμα βοηθὸς καὶ λυτρωτὴς εὑρισκόμενος.

1. Α' Τίμ. 3, 6.

ΕΙΣ ΤΟ ΤΕΛΟΣ, ΨΑΛΜΟΣ ΤΩ ΔΑΥΙΔ ΙΘ΄.

Στίχ. β΄-δ΄. «Ἐπακούσαι σου Κύριος ἐν ἡμέρᾳ θλίψεως, ὑπερασπίσαι σου τὸ ὄνομα τοῦ Θεοῦ Ἰακώβ. Ἐξαποστείλαι σοι βοήθειαν ἐξ ἁγίου, καὶ ἐκ Σιὼν ἀντιλάβοιτό σου. Μνησθείη πάσης θυσίας σου, καὶ τὸ ὁλοκαύτωμά σου πιανάτω.»

Διάψαλμα.

Ἔστι μὲν τῷ Δαυῒδ ἀνακείμενος ὁ ψαλμός, κατὰ τὴν προγραφήν. Ἐπίστησον δὲ μήποτε ὡς πρὸς τὴν ἱστορίαν εὐχή τις ἦν αὐτὴ συνεργὸς ταῖς τοῦ Δαυῒδ ἱκετηρίαις, δεομένου τε καὶ ἀντιβολοῦντος διὰ προσευχῆς τυχεῖν Θεοῦ Σωτῆρος πρὸς ἐχθροὺς καὶ πολεμίους παρατατ-τομένου. Εἰκὸς γὰρ ἦν αὐτῷ ταῦτα πράττοντι χορὸν ἁγίων ἀγγέλων ἢ καὶ θεοφιλῶν ἀνδρῶν, αὐτῶν δὴ τῶν ἱερῶν καὶ λειτουργῶν τοῦ Θεοῦ τὰ προκείμενα πάντα συνεύχεσθαι αὐτῷ καὶ λέγειν· «Ἐπακούσαι σου Κύριος ἐν ἡμέρᾳ θλίψεως», καὶ τὰ ἑξῆς· τό τε δέ, «Καὶ παρασταίη σοι τὸ ὄνομα τοῦ Θεοῦ Ἰακώβ.» Ἀπαρκεῖ γὰρ αὐτὴ ἡ ἐπίκλησις καὶ ἡ προσηγορία πρὸς ἄμυναν παντὸς ἐναντίου. Ταῦτα δὲ οὐ μόνῳ τῷ Δαυῒδ, ἀλλὰ καὶ παντὶ τῷ καθ᾽ ὁμοίωσιν ἐκείνου τὰς δι᾽ εὐχῶν ἀναπέμποντι τῷ Θεῷ νοερὰς καὶ καθαρὰς θυσίας, δυνάμεις ἁγίας, καὶ ἀγγέλων ἱερῶν χορούς, εἰκὸς ἂν εἴη συνεύχεσθαι καὶ ἐπεύχεσθαι.

Στίχ. ε΄-ζ΄. «Δῴη σοι Κύριος κατὰ τὴν καρδίαν σου, καὶ πᾶσαν τὴν βουλήν σου πληρώσαι. Ἀγαλλιασόμεθα ἐν τῷ σωτηρίῳ σου, καὶ ἐν τῷ ὀνόματι Θεοῦ ἡμῶν μεγαλυνθησόμεθα. Πληρώσαι Κύριος πάντα τὰ αἰτήματά σου· νῦν ἔγνων, ὅτι ἔσωσε Κύριος τὸν Χριστὸν αὐτοῦ.»

Ἀπὸ τοῦ διαψάλματος οἱ εὐξάμενοι προφητεύουσιν, αὐτῷ τὸν Θεὸν δώσειν, ᾧ τὰς λογικὰς θυσίας προσήνεγκεν, ὅσα κατὰ διάνοιαν ᾔτησε, καὶ πλήρωσιν τῇ βουλῇ, ᾗ ὅτι μὴ ἀλλότρια Θεοῦ τὰ βεβουλευμένα. Συναπολαύσομεν δέ σοι, φασί, τῶν ἀγαθῶν, ἀγαλλιώμενοι τῷ σωτηρίῳ τῷ σῷ· ἔγνωμεν γὰρ ἐξ ἁγίου Πνεύματος τὸ ἐκ σοῦ γενησόμενον γέννημα πάντων ἀνθρώπων σωτήριον· ἐφ᾽ ᾧ καὶ ἡμεῖς μεγαλυνθησόμεθα ἐν τῷ ὀνόματι τοῦ Θεοῦ ἡμῶν. Ἔστω δέ σου καὶ τὰ αἰτήματα· καὶ γὰρ ἄξια ταῦτα Θεοῦ.

«Ἐπακούσεται αὐτοῦ ἐξ οὐρανοῦ ἁγίου αὐτοῦ, ἐν δυναστείαις σωτηρία τῆς δεξιᾶς αὐτοῦ.» Δεξιὰ δὲ χείρ, καὶ πᾶσαι αἱ σωτήριοι καὶ δεξιαὶ πράξεις ἐν δυναστείαις. Δυνάμεσι γὰρ καὶ σημείοις καὶ τέρασι τὰς εἰς ἀνθρώπους ποιήσεται εὐεργεσίας.

Στίχ. η΄-ι΄. «Οὗτοι ἐν ἅρμασιν καὶ οὗτοι ἐν ἵπποις, ἡμεῖς δὲ ἐν ὀνόματι Κυρίου Θεοῦ ἡμῶν ἐπικαλεσόμεθα. Αὐτοὶ συνεποδίσθησαν καὶ ἔπεσαν· ἡμεῖς δὲ ἀνέστημεν καὶ ἀνωρθώθημεν. Σῶσον, Κύριε, τὸν βασιλέα, καὶ ἐπάκουσον ἡμῶν ἐν ᾗ ἂν ἡμέρᾳ ἐπικαλεσόμεθά σε.»

Ἀλλὰ γὰρ ἡ πεῖρα τῶν πραγμάτων γένοιτ᾽ ἂν ἔλεγχος τοῦ κρείττονος. Οἱ μὲν γὰρ σοὶ ἐχθροὶ ἐφ᾽ ἵπποις καὶ ἅρμασι πεποιθότες, συμπο-

δισθέντες πεσοῦνται ὁμοίως τῷ Φαραὼ ἐπὶ τῆς Ἐρυθρᾶς θαλάττης καταποντωθέντι· ἡμεῖς δὲ οἱ τῷ ὀνόματι Κυρίου τοῦ Θεοῦ ἡμῶν ὡπλισμένοι, καὶ σοὶ τῷ τὰς θυσίας ἀναπέμποντι ταῖς εὐχαῖς συναγωνιζόμενοι, ἀναστησόμεθα, καὶ ἀνορθωθησόμεθα, σοῦ τὰς κατὰ τῶν ἐχθρῶν νίκας ἀραμένου. Ἀλλὰ ταῦτα μὲν ἔσται, φασί, καὶ νῦν κατὰ τὸν καιρὸν τῆς τοῦ ἀποδοθέντος σωτηρίου ἐπιφανείας. Τότε γὰρ μάλιστα πᾶσαι αἱ ἀντικείμεναι δυνάμεις, καὶ οἱ ἀφανεῖς καὶ ἀόρατοι τοῦ Θεοῦ πολέμιοι, δι' αὐτοῦ τοῦ σωτηρίου τροπούμενοι, πεσοῦνται. Πάντες δὲ οἱ τὸ σωτήριον παραδεξάμενοι, τοῦ πάλαι αὐτῶν πτώματος διαναστήσονται. Διὸ περὶ αὐτοῦ Συμεὼν ἔλεγεν· «Ἰδοὺ οὗτος κεῖται εἰς πτῶσιν καὶ ἀνάστασιν πολλῶν·[1]» πτῶσιν μὲν δηλαδὴ τῶν ἐχθρῶν αὐτοῦ καὶ τῶν πολεμίων· ἀνάστασιν δὲ τῶν πάλαι πεπτωκότων, δι' αὐτοῦ δὲ ἐγηγερμένων. Καὶ ταῦτα μὲν τότε γενήσεται· νῦν δέ, Κύριε, σῷζε ἡμῖν τὸν βασιλέα Δαυῒδ, καὶ ἐν παντὶ τῷ ὄντι καιρῷ, καὶ ἐν ᾗ ἂν ἡμέρᾳ ἐπικαλεσώμεθά σε. Ἁρμόζει δὲ ταῦτα, ὡς ἄλλος φησί, καὶ ἐπὶ Ἐζεκίᾳ. Νοήσεις δὲ ταῦτα καὶ κατὰ τὸν τῆς ἀναγωγῆς νόμον.

ΕΙΣ ΤΟ ΤΕΛΟΣ, ΨΑΛΜΟΣ ΤΩ ΔΑΥΙΔ Κ'.

Εἰς αἴσιον γὰρ ἀναπέμπεται τὰ λεγόμενα τέλος, καὶ τῶν ἐχθρῶν τοῦ Θεοῦ σημαίνει τὸν ὄλεθρον. Διὸ κατὰ μὲν Σύμμαχον, «Ἐπινίκιός ἐστιν ᾠδή·» κατὰ δὲ τὸν Ἀκύλαν, «Τῷ νικοποιῷ μελῴδημα.»

Στίχ. β'. «Κύριε, ἐν τῇ δυνάμει σου εὐφρανθήσεται ὁ βασιλεύς.»

Οἶμαι καὶ ταῦτα λέγεσθαι τὰ προκείμενα ἐκ τῶν καὶ τὰ πρὸ τούτου τῷ Δαυῒδ ἐπευξαμένων. Μαθὼν γοῦν νῦν ὁ Δαυῒδ ἀπὸ τῶν πρὸς αὐτὸν γενομένων χρησμῶν τὰ περὶ τοῦ ἐκ σπέρματος αὐτοῦ προελευσομένου σωτηρίου, καὶ τῆς ἐν τῷ σωτηρίῳ δυνάμεως, ἐπὶ τούτοις εὐφρανθήσεται καὶ ἀγαλλιάσεται σφόδρα. Καὶ τούτοις γε θαρσῶν, τῶν τε ἐχθρῶν διὰ τούτων περιγενόμενος, σοὶ τῷ νικοποιῷ Θεῷ τὰ βραβεῖα τῆς νίκης ἀνατίθησι. Χαίρει τε καὶ ὑπερβαλλόντως ἀγάλλεται, τῆς τῶν ἐχθρῶν ἐπιβουλῆς ὑπὸ σοῦ διασῳζόμενος· καὶ οὐχ οὕτως ἐπὶ τῇ ἑαυτοῦ σωτηρίᾳ ἀγαλλιᾷ, ὅσον ὅτι παρὰ σοῦ τὸ σωτήριον αὐτοῦ προσγίνεται. Καὶ γὰρ ἐπιθυμήσας τὸ παρὰ σοῦ σωτήριον, καὶ περὶ τούτου τοῖς χείλεσιν ἑαυτοῦ ἐν ταῖς πρὸς τὸν Θεὸν εὐχαῖς ἱκετηρίαν ἀναπέμψας, οὐκ ἐκπεσεῖται τῆς ἐλπίδος, οὐδὲ στερηθήσεται τοῦ αἰτήματος, ἀλλὰ κατ' [καὶ] εὐχὰς παρέξει τευξόμενος τῆς ἐπιθυμίας.

35 «Καὶ ἐπὶ τῷ σωτηρίῳ σου ἀγαλλιάσεται σφόδρα.»

Εὐφραίνει γὰρ αὐτόν, φησίν, ὁ Θεὸς ἐν χαρᾷ, ἐπειδὰν πρόσωπον πρὸς πρόσωπον τῆς αὐτοῦ δόξης ἐπόπτην αὐτὸν καταστήσεται. Διό φησιν ὁ Σύμμαχος· «Χαροποιήσεις αὐτὸν ἐν εὐφροσύνῃ παρὰ τοῦ προσώπου σου.» Τῷ γὰρ καιρῷ τοῦ δικαιωτηρίου, ἐπειδὰν τὸ πρόσ-

---

1. Λουκ. 2, 34.

ωπον τοῦ μεγάλου βασιλέως μέσος ἑστὼς ὁ Δαυῒδ τῶν σῳζομένων θεάσοιτο, καὶ τῷ τιμίῳ λίθῳ τὴν κεφαλὴν ἐστεμμένος, δόξῃ τε καὶ μεγαλοπρεπείᾳ κεκοσμημένος, ἐνθέου χαρᾶς καὶ οὐρανίου εὐφροσύνης πληρωθήσεται.

Στίχ. γ΄-ζ΄. «Τὴν ἐπιθυμίαν τῆς καρδίας αὐτοῦ ἔδωκας αὐτῷ, καὶ τὴν δέησιν τῶν χειλέων αὐτοῦ οὐκ ὑστέρησας αὐτόν.»

Διάψαλμα.

Ὅτι προέφθασας αὐτὸν ἐν εὐλογίαις χρηστότητος, ἔθηκας ἐπὶ τὴν κεφαλὴν αὐτοῦ στέφανον ἐκ λίθου τιμίου. Ζωὴν ᾐτήσατό σε, καὶ ἔδωκας αὐτῷ μακρότητα ἡμερῶν εἰς αἰῶνα αἰῶνος. Μεγάλη ἡ δόξα αὐτοῦ ἐν τῷ σωτηρίῳ σου, δόξαν καὶ μεγαλοπρέπειαν ἐπιθήσεις ἐπ᾽ αὐτόν. Ὅτι δώσεις αὐτῷ εὐλογίαν.»

Τὰς προλεχθείσας ἐπαγγελίας θεσπίσας ὁ λόγος τῷ Δαυῒδ, ἀκολούθως τὴν αἰτίαν διδάσκει δι᾽ ἣν τῶν τοσούτων τεύξεται. Τίς δὲ ἦν ἡ αἰτία ἀλλ᾽ ἐλπὶς ἡ ἐπὶ τὸν Κύριον, δι᾽ ἣν ἐλέου τυχών, τῆς παρὰ Θεοῦ τοῦ ὑψίστου ἐλπίδος οὐκ ἀποπεσεῖται, οὐδὲ σαλευθήσεται τῆς ἐρρωμένης ταύτης στάσεως; «Ἡ γὰρ ἐλπὶς οὐ καταισχύνει.[1]»

Στίχ. θ΄, ι΄. «Εὑρεθείη ἡ χείρ σου πᾶσι τοῖς ἐχθροῖς σου, ἡ δεξιά σου εὕροι πάντας τοὺς μισοῦντάς σε. Θήσεις αὐτοὺς ὡς κλίβανον πυρὸς εἰς καιρὸν τοῦ προσώπου σου. Κύριος ἐν ὀργῇ αὐτοῦ συνταράξει αὐτούς, καὶ καταφάγεται αὐτοὺς πῦρ.»

Λέγεται ταῦτα πρὸς τὸν Θεὸν ὑπὸ τῶν τὴν εὐχὴν ἀναπεμπόντων, οἳ καὶ φασίν· εἰ καὶ τὰ μάλιστα οἱ ἑαυτοὺς ἐχθροὺς σοὶ τῷ Θεῷ καταστήσαντες, τὰς ἀνακειμένας σοι ψυχὰς καὶ τοὺς ἁγίους πάντας τοὺς σοι προσῳκειωμένους ἐκπολεμοῦντες οὐ παύονται· ἀλλ᾽ οὐ διαφεύξονται τὴν ἄφυκτόν σου χεῖρα καὶ τὴν ἀήττητόν σου δύναμιν. Τέως μὲν γὰρ εἰς ὅσον γυμνάζειν τοὺς σοὺς οἰκείους ὥσπερ ἀθλητὰς ἐπετράπησαν οἱ ἐχθροί σου, ἐπαίρονται· πλὴν πρὸς ὀλίγον ἐπαρθέντας αὐτοὺς οὐκ εἰς μακρὰν ἡ σὴ χεὶρ καταλήψεται, καὶ ἡ σὴ δεξιὰ φεύγοντας θηρεύσει. Τί δὲ ποιήσει καταλαβοῦσα; «Θήσεις αὐτοὺς ὡς κλίβανον πυρὸς εἰς καιρὸν τοῦ προσώπου σου.» Ἐν τῷ καιρῷ γὰρ τῆς ἐπιλάμψεως τοῦ προσώπου σου, ἐν ᾧ τὴν σαυτοῦ δείξεις βασιλείαν, αὐτοὺς ἑαυτοῖς τὸ τῆς κακίας πῦρ συνάξαντας, τὴν καθ᾽ ἑαυτῶν κόλασιν ἐξάψαι ποιήσεις· ὅπως αὐτοὶ ἑαυτοῖς κλίβανος πυρὸς γένοιντο. Ὁποῖα πάσχουσιν οἱ ἐν ταῖς νόσοις τὸ σῶμα πυρέττοντες· μηδενὸς γὰρ ἔξωθεν ὑποκαίοντος, ἔνδον τὸ πῦρ ἐξ ἑαυτῶν ἐπάγονται. Οὕτως οὖν καὶ τοὺς ἐχθρούς σου καὶ τοὺς μισοῦντάς σε, φησί, θήσεις ὡς κλίβανον πυρός. Διὸ λεχθήσεται πρὸς αὐτούς· «Πορεύεσθε τῷ φωτὶ τοῦ πυρὸς ὑμῶν, καὶ τῇ φλογὶ ᾗ ἐξεκαύσατε.[2]»

---

1. Ῥωμ. 5, 5. 2. Ἡσ. 50, 11.

Στίχ. ια΄. «Τὸν καρπὸν αὐτὸν ἀπὸ γῆς ἀπολεῖς, καὶ σπέρμα αὐτῶν ἀπὸ υἱῶν ἀνθρώπων.»

Διαδοχαὶ γὰρ γεγόνασι μυρίων ἀσεβῶν καὶ ἀθέων ἀνδρῶν· πολλάκις δὲ καὶ πονηρῶν πατέρων υἱοὶ θεοσεβεῖς καὶ θεοφιλεῖς ἀπεφάνθησαν. Σπέρμα δὲ τῶν ἀθέων καὶ καρπὸς τῶν ἀσεβῶν, οἱ λόγοι αὐτῶν καὶ αἱ διδασκαλίαι καὶ τὰ ἄθεα δόγματα, μετὰ τὴν τελευτὴν αὐτῶν ἐν ἀνθρώποις ἀποφανθέντα, τυγχάνει. Ἃ δὴ ὡς ἀγαθὸς ὁ Θεὸς ἀπωλείᾳ καὶ ἀφανισμῷ παραδίδωσιν· ἵνα μήτε καρπὸς τῶν ἀσεβῶν μήτε σπέρμα αὐτῶν περιλείπηται.

Στίχ. ιβ΄, ιγ΄. «Ὅτι ἔκλιναν εἰς σὲ κακά, διελογίσαντο βουλάς, ἃς οὐ μὴ δύνωνται στῆσαι. Ὅτι θήσεις αὐτοὺς νῶτον, ἐν τοῖς περιλοίποις σου ἑτοιμάσεις τὸ πρόσωπον αὐτῶν.»

Πάλιν παρατίθησι τὴν αἰτίαν δι' ἣν ταῦτα πείσονται, λέγων· «Ὅτι ἔκλιναν εἰς σὲ κακά.» Ἀντὶ δὲ τοῦ, «Ἔκλιναν», ὁ Σύμμαχος· «Ὅτι συνέφραξαν κατὰ σοῦ εἰς κακόν.» Εἰ γὰρ καὶ ἀνθρώπους ἐδόκουν πολεμεῖν, ἀλλ' ἐπεὶ μὴ δι' εὔλογον αἰτίαν, μηδὲ διά τινα πρᾶξιν ἄτοπον ἐκείνοις ἐπεβούλευον, διὰ δὲ μόνην τὴν εἰς σὲ εὐσέβειαν· εἰκότως εἴποι ἄν τις αὐτοὺς σοὶ τῷ Θεῷ ἐπιβεβουλευκέναι, καὶ πάσας τὰς μηχανὰς ἃς ἐβουλεύσαντο κατὰ τῶν σῶν ὁσίων κατὰ σοῦ τοῦ Θεοῦ μεμηχανῆσθαι. Διὸ δὴ τὰ προλεχθέντα αὐτοὺς καταλήψεται· οὐδὲ τὰς σὰς διαδράναι δυνήσονται χεῖρας. Οἱ μὲν γὰρ ἐμηχανῶντο καὶ πάντα ἔπραττον ἀθέῳ φρονήματι κατὰ σοῦ τοῦ Θεοῦ βουλευόμενοι· σὺ δὲ αὐτοὺς ἐπιστρόφους ἐποίεις καὶ φυγάδας, ὡς τὰ νῶτα παραχωρεῖν ἐλαυνομένους ὑπὸ τῆς σῆς ὀργῆς.

ΕΙΣ ΤΟ ΤΕΛΟΣ ΥΠΕΡ ΤΗΣ ΑΝΤΙΛΗΨΕΩΣ ΤΗΣ ΕΩΘΙΝΗΣ, ΨΑΛΜΟΣ ΤΩ ΔΑΥΙΔ ΚΑ΄.

Ἡ τοῦ ψαλμοῦ προγραφὴ πᾶσαν τὴν ὑπόθεσιν τῶν ἐν αὐτῷ φερομένων ἐν τῷ καιρῷ τῆς ἐκ νεκρῶν ἀναστάσεως τοῦ Σωτῆρος ἡμῶν ἀνατίθησι. Διὸ ἐπιγράφει, «Περὶ τῆς ἀντιλήψεως τῆς ἑωθινῆς.» Ὁποῖα δὲ ἦν τὰ τῆς ἑωθινῆς ἀντιλήψεως, αὖθις οἱ εὐαγγελισταὶ παραστήσουσιν· ὁ μὲν Λουκᾶς ὧδε γράφων· «Τῇ δὲ μιᾷ τῶν σαββάτων ὄρθρου βαθέος ἐπὶ τὸ μνῆμα ἦλθον γυναῖκες, φέρουσαι ἃ ἡτοίμασαν ἀρώματα. Εὗρον δὲ τὸν λίθον ἀποκεκυλισμένον ἀπὸ τοῦ μνημείου. Εἰσελθοῦσαι δὲ οὐχ εὗρον τὸ σῶμα τοῦ Κυρίου Ἰησοῦ. Καὶ ἐγένετο ἐν τῷ διαπορεῖσθαι αὐτὰς περὶ τούτου, καὶ ἰδοὺ ἄνδρες δύο ἐπέστησαν αὐταῖς ἐν ἐσθῆτι ἀστραπτούσῃ, οἳ καὶ εἶπον· Τί ζητεῖτε τὸν ζῶντα μετὰ τῶν νεκρῶν; Οὐκ ἔστιν ὧδε, ἀλλ' ἠγέρθη· μνήσθητε, ὡς ἐλάλησεν ὑμῖν, ἔτι ὢν ἐν τῇ Γαλιλαίᾳ·[1]» ὁμοίως δὲ καὶ οἱ λοιποὶ εὐαγγελισταὶ εἰρήκασιν. Ὁρᾷς ὅπως τὰ τῆς ἑωθινῆς ἀντιλήψεως κατὰ

1. Λουκ. 24, 1-6.

τὸν καιρὸν τῆς ἀναστάσεως τοῦ Σωτῆρος ἡμῶν ἐπληροῦτο; Διὸ τὴν πᾶσαν οἰκονομίαν τοῦ σωτηρίου πάθους τῇ ἀναστάσει αὐτοῦ τὸ Πνεῦμα τὸ ἅγιον ἀνατίθησι, καὶ εἰς αὐτὸ ἐκεῖνο τὸ τέλος τὴν προφητείαν ἀναπέμπει διὰ τῆς λεγούσης προγραφῆς· «Εἰς τὸ τέλος ὑπὲρ τῆς ἀντιλήψεως τῆς ἑωθινῆς», ψαλμὸς τῷ Δαυΐδ. Καὶ πῶς γὰρ οὐκ ἔμελλεν ψαλμὸς ἔσεσθαι ἡ τὴν ἀνάστασιν τοῦ Σωτῆρος ἡμῶν περιέχουσα προφητεία, καὶ τῆς Ἐκκλησίας αὐτοῦ τὴν σύστασιν, καὶ τῶν ἐθνῶν ἁπάντων τὴν κλῆσιν τῆς τε γενεᾶς καὶ τοῦ τεχθησομένου λαοῦ τὴν πρόγνωσιν; Ἐπὶ τούτοις γὰρ ὡς ἐπὶ μεγάλοις ἀγαθοῖς συγχαῖρον τὸ Πνεῦμα τὸ ἅγιον τὴν ψαλμῳδίαν ποιεῖται.

Στίχ. β΄. «Ὁ Θεὸς ὁ Θεός μου, πρόσχες μοι· ἵνα τί ἐγκατέλιπές με; μακρὰν ἀπὸ τῆς σωτηρίας μου οἱ λόγοι τῶν παραπτωμάτων μου.»

Μὴ προκειμένου δὲ ἐν τῷ Ἑβραϊκῷ τοῦ, «πρόσχες μοι», ὃ δὴ κατὰ μόνους τοὺς Ἑβδομήκοντα προσέκειτο τῷ πρώτῳ στίχῳ, ἀκριβῶς καὶ ὑπὸ τῆς φωνῆς τοῦ Σωτῆρος ἡμῶν παραλέλειπται.

Καὶ θέα τίνα τρόπον ἐν πᾶσι τούτοις οὐδαμοῦ «παραπτωμάτων» ἐμνημόνευσαν οἱ λοιποὶ ἑρμηνευταί· οὐδὲ γὰρ ἥρμοζε παραπτώματα ἐφαρμόζειν τῷ τοῦ Σωτῆρος ἡμῶν προσώπῳ, ὃς «ἁμαρτίαν οὐκ ἐποίησεν, οὐδὲ εὑρέθη δόλος ἐν τῷ στόματι αὐτοῦ.[1]» Ὑπὲρ δὲ τῶν κλαυθμῶν καὶ θρήνων ἄξια πραττόντων ἐν τῷ λαῷ, ὑπὲρ δὲ τοῦ ἀποστόλου αὐτοῦ Ἰούδα, τοῦ ἐξολισθήσαντος καὶ τῆς οἰκείας ἀξίας ἀποπεσόντος, ὀδυρόμενος διετέλει βοῶν· «Μακρὰν ἀπὸ τῆς σωτηρίας μου οἱ λόγοι τῶν ὀδυρμῶν μου.» Οἱ γὰρ λόγοι, φησί, τῶν ἐμῶν, τῶν ὑπὲρ τοῦ λαοῦ πάντοτε γινομένων, τῆς ἐμῆς σωτηρίας μακρὰν γεγόνασιν, οὐδὲν ὠφεληθέντος τοῦ λαοῦ ἀπὸ τῆς ἐξ ἐμοῦ προξενηθείσης αὐτοῖς σωτηρίας. Ἵνα δὲ μὴ δόξωμεν, τοῖς ἄλλοις ἑρμηνευταῖς ἐνταῦθα κεχρημένοι ἐκ περινοίας, τοὺς ἑτέρως τὸν ψαλμὸν ἡρμηνευκότας ἐλέγχειν, τῇ τῶν Ἑβδομήκοντα ἑρμηνείᾳ χρησόμεθα· ταύτῃ γὰρ κἀκεῖνοι τηρήσει προσεσχηκότες, οὐκ ἔφασαν ἁρμόττειν τὸν ψαλμὸν τῷ Κυρίῳ. Ἀκουσάτωσαν τοίνυν Ἰωάννου βοῶντος· «Ἴδε ὁ ἀμνὸς τοῦ Θεοῦ, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου·[2]» τοῦ δὲ θεσπεσίου Παύλου λέγοντος· «Τὸν μὴ γνόντα ἁμαρτίαν, ὑπὲρ ἡμῶν ἁμαρτίαν ἐποίησεν, ἵνα ἡμεῖς γενώμεθα Θεοῦ δικαιοσύνη ἐν αὐτῷ·[3]» καὶ πάλιν· «Χριστὸς ἡμᾶς ἠγόρασεν ἐκ τῆς κατάρας τοῦ νόμου, γενόμενος ὑπὲρ ἡμῶν κατάρα.[4]» Τοιγαροῦν ὥσπερ δικαιοσύνης ὑπάρχων πηγή, τὴν ἡμετέραν ἁμαρτίαν ἀνέλαβε, καὶ εὐλογίας ὢν πέλαγος, τὴν ἐπικειμένην ἡμῖν ἐδέξατο κατάραν, καὶ σταυρὸν ὑπέμεινεν αἰσχύνης καταφρονήσας· οὕτω καὶ τοὺς ὑπὲρ ἡμῶν ἐποιήσατο λόγους. Εἰ γὰρ τὴν ὡρισμένην ἡμῖν παιδείαν ὑπῆλθεν ἑκών, «παιδεία» γὰρ «εἰρήνης ἡμῶν ἐπ᾽ αὐτόν[5]», ᾗ φησιν ὁ προφήτης· πολλῷ μᾶλλον τοῖς ὑπὲρ ἡμῶν ἀνθ᾽ ἡμῶν ἐχρήσατο λόγοις,

1. Α΄ Πέτρ. 2, 22. 2. Ἰω. 1, 36. 3. Β΄ Κορ. 5, 21. 4. Γαλ. 3, 13. 5. Ἡσ. 53, 5.

καὶ βοᾷ· «Μακρὰν ἀπὸ τῆς σωτηρίας μου οἱ λόγοι τῶν παραπτωμάτων μου.» Μὴ ἀποβλέψῃς, φησίν, εἰς τὰ τῆς φύσεως πλημμελήματα.

Στίχ. γ΄. «Ὁ Θεός μου κεκράξομαι ἡμέρας πρὸς σέ, καὶ οὐκ εἰσακούσῃ· καὶ νυκτός, καὶ οὐκ εἰς ἄνοιαν ἐμοί.»

Ταῦτα δὲ περὶ ἡμῶν ἐξομολογούμενος, ὁ Σωτὴρ λέγει· Οὕτω δέ μου βοῶντος, οἶδα, ὅτι εἰσακούσῃ· μεθ' ὑποστιγμῆς γὰρ ἀναγνωστέον. Καὶ νυκτὸς δὲ κεκράξομαι, οὐκ ἀνοίας μοι λογιζομένης· ὅτε τὰ περιεστηκότα ἐστὶ σκυθρωπά. Τῶν πολλῶν ἐν ταῖς περιστάσεσι σκοτιζομένων, ὡς καὶ αὐτὸ τοῦτο τί δεῖ κράζοντα πρὸς Θεὸν λέγειν ἀγνοεῖν· ἐπίσταμαι γὰρ ἐγὼ τίνος ἕνεκα περὶ ἐμὲ νυκτερινὴ κατάστασίς ἐστι.

Στίχ. δ΄. «Σὺ δὲ ἐν ἁγίῳ κατοικεῖς, ὁ ἔπαινος τοῦ Ἰσραήλ.»

Καὶ μὴν ἐν πᾶσι τοῖς ἁγίοις σου ἐνοικεῖς ἀεὶ συνὼν αὐτοῖς, καὶ πάντοτε αὐτῶν εἰσακούων. Ἐν τούτῳ γοῦν καὶ ἔπαινος γίνεσθαι εἴωθας τοῦ Ἰσραήλ, τουτέστι παντὸς ἁγίου. Εἰ δὲ ἐν πᾶσι τοῖς ἁγίοις κατοικεῖ ὁ Θεός, πολλῷ μᾶλλον ἐν τῷ αὐτοῦ Μονογενεῖ, καὶ μειζόνως αὐτοῦ εἰσακούσεται.

Στίχ. ε΄-ζ΄. «Ἐπὶ σοὶ ἤλπισαν οἱ πατέρες ἡμῶν, ἤλπισαν καὶ ἐρρύσω αὐτούς. Πρὸς σὲ ἐκέκραξαν, καὶ ἐσώθησαν· ἐπὶ σοὶ ἤλπισαν, καὶ οὐ κατῃσχύνθησαν.»

Ὧδε καίτοι, φησίν, οἶδα σαφῶς ὡς ἅπαντες ἡμῶν οἱ πατέρες, τῇ σῇ βοηθείᾳ θαρρήσαντες, οὐκ ἐψεύσθησαν τῆς ἐλπίδος, καὶ εἰς ἐπικουρίαν σε καλέσαντες, τῆς σῆς προνοίας ἀπέλαυσαν· «Ἐγὼ δέ εἰμι σκώληξ καὶ οὐκ ἄνθρωπος, ὄνειδος ἀνθρώπου καὶ ἐξουθένημα λαοῦ.» Τὸν σκώληκα παντὸς μὲν ζῴου εὐτελέστατον εἶναι συμβαίνει, ὑφίστασθαι δὲ ἀπὸ φθορᾶς σωμάτων· ἀφανιστικὸν δὲ εἶναι καὶ φθαρτικὸν οὗ δ' ἂν ἐφάψηται. Μέμνηται δὲ τούτου Ἡσαΐας ὁ προφήτης λέγων· «Μὴ φοβοῦ, σκώληξ Ἰακώβ, ὀλιγοστὸς Ἰσραήλ· ἐγὼ ἐβοήθησά σοι, λέγει ὁ Θεὸς ὁ λυτρούμενός σε, ὁ ἅγιος Ἰσραήλ. Ἰδοὺ ἐποίησά σε ὡς τροχοὺς ἁμάξης ἀλοῶντας, καινούς, πριστηροειδεῖς· καὶ ἀλοήσεις ὄρη, καὶ λεπτυνεῖς βουνούς, καὶ ὡς χοῦν θήσεις· καὶ λικμήσεις, καὶ ἄνεμος λήψεται αὐτούς, καὶ καταιγὶς διασπερεῖ αὐτούς. Σὺ δὲ εὐφρανθήσῃ ἐπὶ τῷ Κυρίῳ.[1]» Δι' ὧν ἡ προφητεία, σκώληκα ὀνομάσασα, καὶ ὀλιγοστὸν εἰποῦσα διὰ τὸ εὐτελὲς καὶ σμικρὸν τοῦ ζῴου, δύναμιν αὐτῷ μεγάλην συνῆψεν· «Ἀλοήσεις ὄρη», φήσασα «καὶ λεπτυνεῖς βουνούς, καὶ ὡς χοῦν θήσεις, καὶ λικμήσεις.» Καὶ διὰ τῶν προκειμένων τοίνυν λέγων ὁ Σωτήρ· «Ἐγὼ δέ εἰμι σκώληξ, καὶ οὐκ ἄνθρωπος», τὸ εὐτελὲς καὶ ἀσθενὲς καὶ ἀπόβλητον καὶ ἀπερριμμένον τοῦ πάθους ἑαυτοῦ παρίστησι, τό τε τῶν ἐναντίων δυνάμεων ἀφανιστικόν. Ἤμελλεν γάρ, ὑποδὺς τὸν θάνατον, καὶ ἐν αὐτῷ γενόμενος τῷ τῶν νεκρῶν χωρίῳ, σκώληκος δίκην τὰς δυνάμεις τὰς ἀντικειμένας φθορᾷ παραδιδόναι. Καὶ ἄλλως δ' ἂν εἴποις σκώληκα αὐτὸν ὠνομάσθαι, καὶ οὐκ

1. Ἡσ. 41, 14-16.

ἄνθρωπον, διὰ τὸ μὴ ὁμοίως ἀνθρώποις ἐκ συνουσίας ἄρρενος καὶ θηλείας τὴν τῆς σαρκὸς γένεσιν ἐσχηκέναι. Κατὰ τρίτον δὲ τρόπον, τὸν θάνατον ἑαυτοῦ σημαίνει, καὶ τὸν ἄψυχον νεκρόν· διὸ ἐπιλέγει· «Ἐγὼ δέ εἰμι σκώληξ, καὶ οὐκ ἄνθρωπος· ὄνειδος ἀνθρώπων καὶ ἐξουδένημα λαοῦ.» Ὁ γὰρ νεκρὸς οὐκ ἄνθρωπος. Ἀλλ' εἰ μὲν ἦν πάντῃ νεκρός, ἀπήρκει φάναι· Ἐγὼ δέ εἰμι οὐκ ἄνθρωπος· ἀλλ' ἐπεὶ δυνάμεώς τινος ἀφανιστικῆς τοῦ θανάτου μετεῖχεν, εἰκότως σκώληκα αὐτὸν καὶ οὐκ ἄνθρωπον ὠνόμασεν. Γέγονε δὲ ἀληθῶς ὁ Σωτὴρ καὶ Κύριος ἡμῶν πάντων ὄνειδος, τὸν ἐπονείδιστον σταυρὸν ὑπὲρ ἡμῶν ἀναδεδεγμένος. Διὸ καὶ ἑτέρα προφητεία ἐξ αὐτοῦ προσώπου φησίν· «Οἱ ὀνειδισμοὶ τῶν ὀνειδιζόντων σε ἐπέπεσαν ἐπ' ἐμέ.[1]» Οἱ μὲν οὖν ἄλλοι ἄνθρωποι ἐπονείδιστον αὐτὸν ἔσχον κατὰ τὸν τοῦ πάθους καιρόν. Ἕτερον δὲ τάγμα παρὰ τούτοις ἐξουδένωμα αὐτὸν ἐκτήσαντο. Ποῖον δὲ τοῦτο ἢ ὁ ἐκ περιτομῆς λαός; Διὸ ἐπιλέγει ἑξῆς, «καὶ ἐξουδένωμα λαοῦ.» Διαπαίζοντες γὰρ αὐτὸν οὗτοι καὶ χλευάζοντες, ἔλεγον· «Οὐά, ὁ καταλύων τὸν ναόν, καὶ ἐν τρισὶν ἡμέραις οἰκοδομῶν αὐτόν. Ἄλλους ἔσωσε, σωσάτω ἑαυτόν. Εἰ βασιλεὺς τοῦ Ἰσραήλ ἐστιν, καταβάτω νῦν ἀπὸ τοῦ σταυροῦ, καὶ πιστεύσομεν αὐτῷ.[2]»

Στίχ. η'-θ'. Περὶ τῶν αὐτῶν καὶ τὰ ἑξῆς ἐπιφέρει λέγων· «Πάντες οἱ θεωροῦντές με ἐξεμυκτήρισάν με· ἐλάλησαν ἐν χείλεσιν, ἐκίνησαν κεφαλήν. Ἤλπισεν ἐπὶ Κυρίῳ, ῥυσάσθω αὐτόν· σωσάτω αὐτόν, ὅτι θέλει αὐτόν.» Καὶ ταῦτα ἐπληροῦτο κατὰ τὸν καιρὸν τοῦ σωτηρίου πάθους, καθ' ὃν ἱστορεῖ λέγων ὁ Ματθαῖος· «Οἱ δὲ παραπορευόμενοι ἐβλασφήμουν αὐτὸν κινοῦντες τὰς κεφαλὰς αὐτῶν καὶ λέγοντες· Οὐά, ὁ καταλύων τὸν ναόν, καὶ ἐν τρισὶν ἡμέραις οἰκοδομῶν αὐτόν· σῶσον ἑαυτόν. Εἰ Υἱὸς εἶ τοῦ Θεοῦ, κατάβηθι νῦν ἀπὸ τοῦ σταυροῦ. Ὁμοίως καὶ οἱ ἀρχιερεῖς παίζοντες μετὰ τῶν Φαρισαίων καὶ τῶν γραμματέων ἔλεγον· Ἄλλους ἔσωσεν, ἑαυτὸν οὐ δύναται σῶσαι. Εἰ βασιλεὺς Ἰσραήλ ἐστι, καταβάτω νῦν ἀπὸ τοῦ σταυροῦ, καὶ πιστεύσομεν αὐτῷ. Πέποιθεν ἐπὶ τῷ Θεῷ, ῥυσάσθω αὐτόν, εἰ θέλει αὐτόν· εἶπε γάρ, ὅτι τοῦ Θεοῦ εἰμι ὁ Υἱός.[3]»

Στίχ. ι', ια'. «Ὅτι σὺ εἶ ὁ ἐκσπάσας με ἐκ γαστρός, ἡ ἐλπίς μου ἀπὸ μαστῶν τῆς μητρός μου. Ἐπὶ σὲ ἐρρίφη ἐκ μήτρας, ἐκ κοιλίας μητρός μου Θεός μου εἶ σύ, μὴ ἀποστῇς ἀπ' ἐμοῦ.»

Παρίστησιν, ὅτι οὐ κατὰ φύσιν, οὐδὲ ὁμοίως τοῖς λοιποῖς ἅπασιν ἀνθρώποις, οὐδὲ τοῖς λοιποῖς ζῴοις παραπλησίως, τοῖς ἐξ ἄρρενος καὶ θηλείας, συνιστάμενος, καὶ τὰ τῆς αὐτοῦ γενέσεως συνετηλεῖτο· εἶχε δέ τι πλείω παρὰ τὴν κοινὴν φύσιν.

Στίχ. ιβ', ιγ'. «Ὅτι θλῖψις ἐγγύς, ὅτι οὐκ ἔστιν ὁ βοηθῶν. Περιεκύκλωσάν με μόσχοι πολλοί, ταῦροι πίονες περιέσχον με.»

Οὐκ ἂν ἁμάρτοις τοὺς ἄρχοντας τοῦ Ἰουδαίων ἔθνους ταύρους

---

1. Ψαλμ. 68, 10. 2. Ματθ. 27, 40-42. 3. Ματθ. 28, 40-43.

πίονας, ἀρχιερέας καὶ γραμματεῖς καὶ πρεσβυτέρους, διὰ τούτων δηλοῦσθαι φήσας. Μέμνηται δὲ αὐτῶν ὁ λόγος ἐν ἑξηκοστῷ ἑβδόμῳ ψαλμῷ λέγων· «Ἐπιτίμησον τοῖς θηρίοις τοῦ καλάμου· ἡ συναγωγὴ τῶν ταύρων ἐν ταῖς διαμάλεσι τῶν λαῶν.[1]» Ἀλλ' ἐνταῦθα τοὺς μὲν λαοὺς δαμάλεις ὠνόμασε, τοὺς δὲ τῶν λαῶν ἡγουμένους ταύρους. Καὶ ἐν τῷ παρόντι δὲ ψαλμῷ, ἀντὶ τοῦ· «Περιεκύκλωσάν με μόσχοι πολλοί», ὁ Ἀκύλας· «Δαμάλαιοι ταῦροι πίονες οἱ σιτιστοὶ περιέσχον με», φησί, «καὶ περιεστοιχίσαντό με·» κατὰ δὲ τὸν Ἀκύλαν· «Δυνάσται Βασὰν διεδειγματίσαντό με», εἴρηται τοῦ λόγου αἰνιττομένου τὴν τοῦ Πιλάτου στρατιωτικὴν τάξιν, ἣν Βασὰν ὠνόμασεν, οἳ στέφανον ἐξ ἀκανθῶν πλέξαντες, ἀντὶ διαδήματος ἐπέθηκαν αὐτῷ. «Ἠνοίξαντ' ἐπ' αὐτῷ τὸ στόμα αὐτῶν, ὡς λέων ἁρπάζων καὶ ὠρυόμενος, βοῶντες· Αἶρε, αἶρε, σταύρωσον αὐτόν.[2] Τὸ αἷμα αὐτοῦ ἐφ' ἡμᾶς καὶ ἐπὶ τὰ τέκνα ἡμῶν.[3]» Ἀκύλας δέ· «Ὡς λέων», φησίν, «ἁλίσκων καὶ βρυχώμενος·» κατὰ δὲ τὸν Σύμμαχον· «Ὡς λέων θηρεύων βρυχώμενος.» Οἱ γὰρ αἵματος διψῶντες, καὶ τοῖς ἑαυτῶν τέκνοις ἐπισπώμενοι τὸ τοῦ Σωτῆρος αἷμα, βρυχωμένου λέοντος οὐδὲν διέφερον.

Στίχ. ιζ', ιθ'. «Ὅτι ἐκύκλωσάν με κύνες πολλοί, συναγωγὴ πονηρευομένων περιέσχον με.»

Μετὰ τοὺς Ἰουδαίους τῶν ἐξ ἐθνῶν μνημονεύει στρατιωτῶν. Τούτοις γὰρ ἐκεῖνοι παρέδοσαν. Διὸ καὶ τὴν τάξιν ἡ προφητεία τῶν πραγμάτων ἐφύλαξεν. Εἰκότως δὲ ταύρους μὲν ἐκείνους, κύνας δὲ τούτους ὠνόμασεν· οἱ μὲν γὰρ ὑπὸ τὸν τοῦ νόμου ἦσαν ζυγόν, εἰ καὶ προφανῶς τὸν νόμον παρέβαινον· οἱ δὲ κατὰ νόμον ἦσαν ἀκάθαρτοι. Οὕτω δὲ καὶ ὁ Κύριος τὴν Χαναναίαν ὠνόμασεν. «Οὐκ ἔστι γάρ», φησί, «λαβεῖν τὸν ἄρτον τῶν τέκνων, καὶ δοῦναι τοῖς κυναρίοις.[4]» Ἀλλ' ὅμως μετὰ τὸ πάθος οἱ πάλαι κύνες διὰ τῆς πίστεως εἰς τὴν υἱῶν μεταβεβήκασι τάξιν· οἱ δὲ πάλαι τὴν τῶν υἱῶν ἐσχηκότες κηδεμονίαν, τὴν κυνῶν προσηγορίαν ἐδέξαντο, ἅτε δὴ κυνῶν δίκην κατὰ τοῦ Δεσπότου λυττήσαντες. Περὶ τούτων ὁ μακάριος Παῦλος βοᾷ· «Βλέπε τοὺς κύνας· βλέπετε τοὺς κακοὺς ἐργάτας· βλέπετε τὴν κατατομήν.[5]» Ὁ μέντοι προφητικὸς λόγος κύνας προσαγορεύσας ἔφη· «Συναγωγὴ πονηρευομένων περιέσχον με· ὤρυξαν χεῖράς μου καὶ πόδας μου, ἐξηρίθμησαν πάντα τὰ ὀστᾶ μου.» Καὶ τοῦτο δὲ δῆλόν ἐστι καὶ σαφὲς καὶ τοῖς λίαν φιλονεικοῦσιν· ἀκούομεν γὰρ ἐν τοῖς ἱεροῖς Εὐαγγελίοις αὐτοῦ τοῦ Κυρίου πρὸς τοὺς ἁγίους αὐτοῦ λέγοντος μαθητάς· «Βλέπετε τὰς χεῖράς μου, καὶ τοὺς πόδας, ὅτι αὐτὸς ἐγώ εἰμι.[6]» Καὶ μέντοι καὶ τῷ Θωμᾷ τῶν ἥλων τοὺς τύπους ὑπέδειξε, καὶ τὴν ἀπὸ τῆς λόγχης πληγήν· τότε δὲ «ἐξηρίθμησαν πάντα τὰ ὀστᾶ μου·» τουτέστιν, οὕτω διέτειναν προσηλοῦντες, ὥστε ῥᾴδιον εἶναι τῷ

1. Ψαλμ. 67, 31. 2. Ἰω. 19, 15. 3. Ματθ. 27, 25. 4. Ματθ. 15, 26. 5. Φιλιπ. 3, 2. 6. Λουκ. 24, 39.

βουλομένῳ καὶ τὸν τῶν ὀστῶν ἀριθμὸν διαγνῶναι. «Αὐτοὶ δὲ κατενόησαν καὶ ἐπεῖδόν με·» ἀντὶ τοῦ ἐπιτωθάζοντες καὶ γελῶντες· «Διεμέρισαν τὰ ἱμάτιά μου ἑαυτοῖς, καὶ ἐπὶ τὸν ἱματισμὸν ἔβαλον κλῆρον·» καὶ τοῦτο δὲ σαφέστερον ἡ τῶν ἱερῶν Εὐαγγελίων ἱστορία διδάσκει.

Στίχ. κδ΄, κε΄. «Οἱ φοβούμενοι τὸν Θεόν, αἰνέσατε αὐτόν· ἅπαν τὸ σπέρμα Ἰακώβ, δοξάσατε αὐτόν· φοβηθήτωσαν αὐτὸν ἅπαν τὸ σπέρμα Ἰσραήλ.»

Τοῦ παντὸς Ἰουδαίων ἔθνους εἰς τρία τάγματα διῃρημένου, πρῶτον μὲν εἰς τὸ κοινὸν πλῆθος τοῦ ἔθνους, ὅπερ ἐκαλεῖτο Ἰσραήλ· ἔπειτα εἰς τὸ ἱερατικόν, ὅπερ ἦν οἶκος Ἀαρών, καὶ τρίτον εἰς τὸ τῶν ἱερέων ὑπηρετικόν, ὅπερ ἦν οἶκος Λευΐ. Τὰ τρία καταριθμησάμενος ἕτερος ψαλμός, ἕτερον τάγμα τέταρτον παρὰ τὰ προειρημένα εἰσάγει, τὸ τῶν φοβουμένων τὸν Κύριον. Τοῦτο δὲ ἦν τὸ ἐξ ἐθνῶν ἐπὶ τὸν Θεὸν ἐπιστρεφόντων. Ἔφη γάρ· «Οἶκος Ἰσραήλ, εὐλογήσατε τὸν Κύριον·[1]» ὁμοίως δὲ καὶ οἶκος Ἀαρών, καὶ οἶκος Λευΐ· ἐπὶ τέλει δὲ οἱ φοβούμενοι τὸν Κύριον. Ἀλλ' ἐν τούτῳ μὲν προετάττοντο τῶν φοβουμένων τὸν Κύριον οἱ ἐκ τοῦ Ἰσραήλ· ἐνταῦθα δὲ μετὰ τὴν ἀνάστασιν τοῦ Σωτῆρος προτάττονται τοῦ Ἰσραὴλ οἱ φοβούμενοι τὸν Κύριον. Ἔδει γάρ, εἰρηκότος αὐτοῦ· «Διηγήσομαι τὸ ὄνομά σου τοῖς ἀδελφοῖς μου, ἐν μέσῳ Ἐκκλησίας ὑμνήσω σε·» τὸν ὕμνον πρώτοις παραδοθῆναι τοῖς τῆς Ἐκκλησίας αὐτοῦ. Οὗτοι δὲ ἦσαν οἱ ἐξ ἐθνῶν δι' αὐτὸν σεσωσμένοι· οὓς δὴ σημαίνει λέγων· «Οἱ φοβούμενοι τὸν Κύριον, αἰνέσατε αὐτόν.» Σφόδρα ἀκριβῶς τοῖς μὲν ἑαυτοῦ ἀδελφοῖς καὶ μαθηταῖς τὸ ὄνομα διηγεῖσθαι τὸ πατρικόν, ὡς ἂν κρείττοσι καὶ δυνατωτέροις, ἐπαγγέλλεται· ἐπὶ δὲ τῆς Ἐκκλησίας αὐτοῦ καὶ τοῦ πλήθους τοῦ λαοῦ οὐκέτι τὸ πατρικὸν ὄνομα παραδίδωσιν· οὐ γὰρ ἐχώρουν οὗτοι· ὕμνον δὲ αὐτοὺς διδάσκει· ἔπειτα τῷ σπέρματι Ἰακὼβ προστάττει δοξάζειν αὐτόν, δεύτερον τάγμα τιθεὶς τὸ Ἰουδαϊκόν, μετὰ τὸν ἐξ ἐθνῶν λαόν· οὓς καὶ ὀνομάζει οὐκ Ἰακώβ, ἀλλὰ σπέρμα Ἰακὼβ καὶ Ἰσραήλ, σφόδρα ἀκριβῶς διὰ τὴν ἐκ τοῦ πατριάρχου γένεσιν. Οὐ γὰρ διὰ τὸν ζῆλον τὸν πατρικόν, οὐδὲ διὰ τὴν πρὸς τὸν πατέρα ὁμοίωσιν ἄξιοι ἦσαν κεκλῆσθαι Ἰακώβ, ἀλλὰ τοῦ σπέρματος ἕνεκεν τοῦτον ἐχρημάτιζον τὸν τρόπον· «Ὅτι οὐκ ἐξουδένωσεν οὐδὲ προσώχθισε τῇ δεήσει τοῦ πτωχοῦ· οὐδὲ ἀπέστρεψε τὸ πρόσωπον αὐτοῦ ἀπ' ἐμοῦ, καὶ ἐν τῷ κεκραγέναι με πρὸς αὐτὸν εἰσήκουσέ μου.»

Στίχ. κς΄, κζ΄. «Φάγονται πένητες καὶ ἐμπλησθήσονται, καὶ αἰνέσουσι Κύριον οἱ ἐκζητοῦντες αὐτόν, ζήσονται αἱ καρδίαι αὐτῶν εἰς αἰῶνα αἰῶνος.»

Ἐνταῦθα μέν φησιν «φάγονται·» ὑποκαταβὰς δέ, «ἔφαγον, καὶ προσεκύνησαν πάντες οἱ πίονες τῆς γῆς.»

Ἀλλ' ὅτε μὲν «ἔφαγον», πίονες ἐγένοντο· πρὸ δὲ τοῦ φαγεῖν πέ-

1. Ψαλμ. 134, 19.

νητες ὠνομάζοντο· οὓς ἐπαγγέλλεται βρώσει χρήσασθαι τῇ ὑπ' αὐτοῦ χορηγηθησομένῃ. «Φάγονται» γάρ, φησί, «πένητες.» Οὗτοι δὲ ἦσαν οὓς καὶ ἐν τοῖς μακαρισμοῖς προτάττει τῶν λοιπῶν φάσκων· «Μακάριοι οἱ πτωχοὶ τῷ πνεύματι, ὅτι αὐτῶν ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν·[1]» οἷς καὶ τὰ ἑξῆς ἐπηγγείλατο λέγων· «Μακάριοι οἱ πεινῶντες καὶ διψῶντες τὴν δικαιοσύνην, ὅτι αὐτοὶ χορτασθήσονται.[2]» Ἐπειδὰν δὲ φάγωσι, φησίν, οἱ πένητες, καὶ φαγόντες ἐμπλησθῶσιν, ἢ «κορεσθῶσιν», κατὰ τὸν Σύμμαχον, τότε «αἰνέσουσι Κύριον ἐκζητοῦντες αὐτόν·» φαγόντες δὲ τὴν ὑπ' αὐτοῦ δοθεῖσαν αὐτοῖς βρῶσιν, καὶ ζητήσαντες αὐτόν, μέγαν ἕξουσι καρπὸν τὸν ἑξῆς δηλούμενον· «Ζήσονται» γὰρ «αἱ καρδίαι αὐτῶν εἰς αἰῶνα αἰῶνος.» Ὁ γὰρ ἄρτος ζωῆς, ὁ ὑπ' αὐτοῦ χορηγηθεὶς αὐτοῖς, αἴτιος αὐτοῖς ἔσται ἀθανασίας καὶ ζωῆς αἰωνίου, καθὼς ἐδίδαξεν αὐτὸς εἰπών· «Ἐγώ εἰμι ὁ ἄρτος ζωῆς ὁ καταβαίνων ἐκ τοῦ οὐρανοῦ, καὶ διδοὺς ζωὴν τῷ κόσμῳ·[3]» καὶ πάλιν· «Ἐάν τις φάγῃ ἐκ τοῦ ἐμοῦ ἄρτου, ζήσεται εἰς τὸν αἰῶνα[4]», καὶ τὰ ἑξῆς. Ὁρᾷς ὅπως συνᾴδει ταῦτα τῷ φάσκοντι ψαλμῷ· «Φάγονται πένητες καὶ ἐμπλησθήσονται·» καί, «ζήσονται αἱ καρδίαι αὐτῶν εἰς αἰῶνα αἰῶνος;»

Στίχ. κη', κθ'. «Μνησθήσονται καὶ ἐπιστραφήσονται πρὸς Κύριον πάντα τὰ πέρατα τῆς γῆς, καὶ προσκυνήσουσιν ἐνώπιον αὐτοῦ πᾶσαι αἱ πατριαὶ τῶν ἐθνῶν. Ὅτι τοῦ Κυρίου ἡ βασιλεία, καὶ αὐτὸς δεσπόζει τῶν ἐθνῶν.»

Τοῦ γὰρ σωτηρίου φωτὸς αὐτοῖς ἐπιλάμψαντος, ἀναμνησθήσονται, ὡς ἄρα ἦν τις αὐτοῖς Κύριος, ὅ γε ἀληθῶς τῶν ὅλων δεσπότης· οἱ γὰρ νενομισμένοι αὐτοῖς ἦσαν Κυρίου· εἰς ἀνάμνησιν δὲ ἐλθόντες τοῦ σφῶν δεσπότου, ἐπ' αὐτὸν καταφεύξονται· καὶ ὃν πάλαι ἀπεστράφησαν, κατά τινα ἐχθρῶν ἐπιβουλήν, τοῦτον Κύριον αὐτῶν ὄντα ἐπιγνώσονται, καὶ ἐπιστραφήσονται πρὸς αὐτόν. Ἀλλ' ἵνα μή τις νομίσειε ταῦτα λέγεσθαι περὶ τοῦ Ἰουδαίων ἔθνους, ἀκριβῶς ὁ λόγος προστίθησιν, ὡς ἄρα ταῦτα πληρωθήσεται ἐπὶ πάντα τὰ καθ' ὅλης τῆς οἰκουμένης ἔθνη· εἶτ' ἐπιστραφέντες τί ποιήσουσιν ἐνώπιον αὐτοῦ πᾶσαι αἱ πατριαὶ τῶν ἐθνῶν· ἀνθ' οὗ Σύμμαχος καὶ Ἀκύλας, «πᾶσαι αἱ συγγένειαι τῶν ἐθνῶν», εἰρήκασι σφόδρα ἀκριβῶς. Ποῖον γὰρ ἔθνος οὐχὶ συγγενείας ἔχει ἐπιστραφείσας πρὸς τὸν τῶν ὅλων Θεόν; Ποία δὲ πόλις, ἢ ποία χώρα, ἢ ποῖος οἶκος οὐκ ἔχει τινὰς ἀφωρισμένους καὶ ἐξειλεγμένους τῷ Θεῷ; Πῶς δ' ἔμελλον ἀποτίθεσθαι μὲν τὴν ἑαυτῶν λήθην, ἀνάμνησιν δὲ ποιεῖσθαι τοῦ τῶν ὅλων Θεοῦ αἱ συγγένειαι τῶν ἐθνῶν· πῶς δὲ ἐπιστρέφειν πρὸς αὐτὸν πάντα τὰ πέρατα τῆς γῆς, ἐπιλέγει ἑξῆς· «Ὅτι τοῦ Κυρίου ἡ βασιλεία, καὶ αὐτὸς δεσπόζει τῶν ἐθνῶν.» Οἱ γὰρ πάλαι κρατήσαντες δαίμονες καὶ διάβολος κατελύθησαν, καὶ μόνη ἡ τοῦ ἐπὶ πάντων Θεοῦ βασιλεία

1. Ματθ. 5, 3. 2. Ματθ. 5, 6. 3. Ἰω. 6, 33. 4. Ἰω. 6, 59.

ἐπεκράτησε. Τάξει οὖν ὁ λόγος καὶ ἀκολουθίᾳ κέχρηται, πρῶτον φήσας· «Μνησθήσονται», εἶτα δεύτερον, «ἐπιστραφήσονται», καὶ τρίτον, «προσκυνήσουσι.» Ταῦτα δὲ πάντα ἔσται, «Ὅτι τοῦ Κυρίου ἡ βασιλεία, καὶ αὐτὸς δεσπόζει τῶν ἐθνῶν.»

Στίχ. λ', λα'. «Ἔφαγον καὶ προσεκύνησαν πάντες οἱ πίονες τῆς γῆς· ἐνώπιον αὐτοῦ προσπεσοῦνται πάντες οἱ καταβαίνοντες εἰς τὴν γῆν. Καὶ ἡ ψυχή μου αὐτῷ ζῇ, καὶ τὸ σπέρμα μου δουλεύσει αὐτῷ.»

Ἔστι δὲ καθ' ἑκάστην ἀναστάσιμον ἡμέραν τοῦ Σωτῆρος ἡμῶν, τὴν καλουμένην κυριακήν, ὄψει παραλαβεῖν τοὺς τῆς τροφῆς τῆς ἁγίας καὶ τοῦ σώματος τοῦ σωτηρίου μεταλαμβάνοντας, καὶ μετὰ τὸ φαγεῖν προσκυνοῦντας τὸν δοτῆρα καὶ χορηγὸν τῆς ζωοποιοῦ τροφῆς, θαυμάσαι τε τῶν λόγων τὸ ἀποτέλεσμα, καὶ κατ' αὐτὴν τὴν πρόχειρον λέξιν δι' ἔργων πληρούμενον. Ἀντὶ δὲ τοῦ· «οἱ πίονες τῆς γῆς», ἡρμήνευσεν ὁ Σύμμαχος, «οἱ λιπαροὶ τῆς γῆς.» Σημαίνονται δὲ διὰ τούτων οἱ ἐκ τῆς οὐρανίου τροφῆς τὰς ψυχὰς εὐτραφεῖς καὶ ῥωμαλέοι. Ἀλλ' οὗτοι μὲν «ἔφαγον καὶ προσεκύνησαν.» Ἐπειδὴ δὲ δεῖ αὐτῷ «πᾶν γόνυ κάμψαι ἐπουρανίων καὶ ἐπιγείων καὶ καταχθονίων[1]», εἰκότως ἑξῆς ἐπισυνάπτει λέγων· «Ἐνώπιον αὐτοῦ προσπεσοῦνται πάντες οἱ καταβαίνοντες εἰς γῆν·» ἀνθ' οὗ ὁ μὲν Ἀκύλας· «Εἰς πρόσωπον αὐτοῦ κάμψουσι πάντες οἱ καταβαίνοντες εἰς χοῦν», ἐκδέδωκε. Σαφῶς δὲ διὰ τούτων καὶ τὸ σχῆμα τῶν γόνυ κλινόντων ἐν τῇ Ἐκκλησίᾳ τοῦ Θεοῦ παρίσταται, ἐν ᾗ γόνατα κλίναντες, καὶ τὰ μέτωπα εἰς γῆν ἐρείσαντες, τοῦτον προσκυνεῖν εἰώθασι τὸν τρόπον. Εἶθ' ἑξῆς εἴρηται· «Καὶ ἡ ψυχή μου αὐτῷ ζῇ· καὶ τὸ σπέρμα μου δουλεύσει αὐτῷ». Ὃ δὴ σαφέστερον ἡρμήνευσεν ὁ Σύμμαχος συνάψας καὶ εἰπών· «Ἔμπροσθεν αὐτοῦ ὀκλάσουσιν ἅπαντες οἱ καταβαίνοντες εἰς κόνιν· οὗ ἡ ψυχὴ ζήσει, σπέρμα δὲ λατρεύσει αὐτῷ.» Πάντες γὰρ αὐτοί, φησίν, ὀκλάσαντες, καὶ γόνυ κλίναντες προσκυνήσουσιν· ὧν ἐλπὶς ζήσεσθαι τὴν ψυχήν, καὶ ὧν τὸ σπέρμα λατρεύσει αὐτῷ. Εἰ δὲ ἐκ προσώπου τοῦ λέγοντος Σωτῆρος βούλοιτό τις ἀκοῦσαι τό· «Καὶ ἡ ψυχή μου αὐτῷ ζῇ», κατὰ τὴν τῶν Ἑβδομήκοντα ἑρμηνείαν· καί, «Τὸ σπέρμα μου δουλεύσει αὐτῷ·» εἴποι ἂν ταῦτα λέγεσθαι ὑπὸ τοῦ Σωτῆρος, τοῦτον πάντα τὸν ψαλμὸν διεξιόντος περὶ πάσης ψυχῆς αὐτῷ ἀνακειμένης, καὶ περὶ τοῦ αὐτοῦ σπέρματος. Σπέρμα δὲ αὐτοῦ τί ἂν εἴποις ἢ τοὺς διὰ γεννήσεως ἁγίου Πνεύματος γεννωμένους αὐτῷ υἱούς, οἳ καὶ δουλεύσαντες τῷ αὐτοῦ Πατρὶ τῆς αἰωνίου καὶ μακαρίας ζωῆς μεθέξουσιν;

Στίχ. λβ'. «Ἀναγγελήσεται τῷ Κυρίῳ γενεὰ ἡ ἐρχομένη, καὶ ἀναγγελοῦσι τὴν δικαιοσύνην αὐτοῦ λαῷ τῷ τεχθησομένῳ, ὃν ἐποίησεν ὁ Κύριος.»

---

1. Φιλιπ. 2, 10.

Προονομάσας σπέρμα αὐτοῦ ὁ Σωτὴρ ἐν τῷ· «Καὶ τὸ σπέρμα μου δουλεύσει αὐτῷ·» τί ποτε εἴη τοῦτο τὸ σπέρμα διασαφεῖ, γενεὰν ἐρχομένην ὀνομάζων καὶ λαὸν τεχθησόμενον. Ὥσπερ γὰρ τὰ γεννώμενα, ἀπὸ σπερμάτων τὴν ἀρχὴν τῆς ὑποστάσεως λαμβάνει, τὸν αὐτὸν τρόπον τὸν τεχθησόμενον λαὸν καὶ τὴν ἐλευσομένην γενεάν, νέαν οὖσαν καὶ καινήν, οὐδαμόθεν ἕξειν τὴν ἀρχὴν παρίστησιν ἀλλ' ἢ ἐκ τῶν αὐτοῦ λογικῶν σπερμάτων, ὧν ἐπὶ γῆς παρὼν κατεβάλλετο διὰ τῶν ἀποστόλων αὐτοῦ, τὸ πνεῦμα τῆς υἱοθεσίας. Ἀντὶ δὲ τοῦ· «Ἀναγγελήσεται τῷ Κυρίῳ γενεὰ ἡ ἐρχομένη», σφόδρα θαυμαστῶς ὁ Σύμμαχος· «Ἀναγραφήσεται ἐν βιβλίῳ τῷ Κυρίῳ.» Ἤμελλεν ἀναγγέλλεσθαι ἡ γενεὰ ἡ ἐρχομένη· ἀλλ' ἀνατεθήσεσθαι τῷ Κυρίῳ βίβλος προφητείας περὶ τῆς γενεᾶς τῆς ἐρχομένης, καὶ τοῦ τεχθησομένου λαοῦ.

ΨΑΛΜΟΣ ΤΩ ΔΑΥΪΔ ΚΒ'.

Στίχ. α', β'. «Κύριος ποιμαίνει με, καὶ οὐδέν με ὑστερήσει· εἰς τόπον χλόης, ἐκεῖ με κατεσκήνωσεν· ἐπὶ ὕδατος ἀναπαύσεως ἐξέθρεψέ με· τὴν ψυχήν μου ἐπέστρεψεν. Ὡδήγησέ με.»

Μέση τυγχάνει κατάστασις ἡ τῶν προβάτων τῆς τε τῶν τελείων προκοπῆς καὶ τῶν ἐν βυθῷ κακίας καλινδουμένων, καὶ διὰ τοῦτο ἑρπετοῖς καὶ θηρίοις ἀγρίοις παραβαλλομένων. Ὁ μὲν γὰρ τέλειος γένοιτ' ἂν ὁ κατὰ τὴν εἰκόνα τοῦ Θεοῦ καὶ τὴν ὁμοίωσιν αὐτοῦ τὴν ψυχὴν τοῖς κατ' ἀρετὴν τρόποις κεχαρακτηρισμένοις· ὁ καὶ βασιλέα τὸν Κύριον, ἀλλ' οὐ ποιμένα ἐπιγραφόμενος· ὁ δὲ ἐκπεσὼν ταύτης, ἐξ αὐτοπροαιρέτου δὲ διαστροφῆς ἐπὶ τὴν θηριώδη μεταβεβληκὼς ἕξιν, ἵππος θηλυμανὴς χρηματίσοι ἄν, καὶ λύκος ἁρπακτικός. Ὄφεις δέ, καὶ γεννήματα ἐχιδνῶν, καὶ χοίρους, καὶ κύνας, καὶ ἀλώπεκας τοὺς τοιούτους εἴωθεν ὀνομάζειν ἡ Γραφή. Οἱ δὲ ἐκ τῆς τοιαύτης καταπτώσεως μεταβάλλοντες ἐπὶ τὴν κρείττονα κατάστασιν, τέως μὲν ὥσπερ ἐν εἰσαγωγαῖς καὶ προθύροις γιγνόμενοι τῆς κατὰ Θεὸν γνώσεως, πρόβατα ἂν εἰκότως κληθεῖεν Θεοῦ· προκόψαντες δὲ ἐπὶ τὸ τελειότερον, ἄνθρωποι χρηματίζουσιν. Ὅτε γε μὴν πρόβατα τυγχάνουσιν, ὑπὸ ποιμένι τῷ διὰ Ἰεζεκιὴλ δηλωθέντι Δαυΐδ, τουτέστι τῷ ἐκ σπέρματος Δαυΐδ Σωτῆρι ἡμῶν καὶ Χριστῷ, ἀγόμενοι, διδάσκονται λέγειν· «Κύριος ποιμαίνει με, καὶ οὐδέν με ὑστερήσει.» Οἱ δὲ αὐτοὶ τῆς νοερᾶς καὶ καινῆς τροφῆς καὶ πόας ἀντιλαμβανόμενοι τῆς ἐν τοῖς ἱεροῖς Εὐαγγελίοις ἐροῦσιν· «Εἰς τόπον χλόης ἐκεῖ με κατεσκήνωσεν.» Πίνων δὲ τοῦ ὕδατος ὁ εἰσαγόμενος ἐν Χριστῷ, οὔπω δὲ τοῦ οἴνου τοῦ τῆς ἀληθινῆς ἀμπέλου οἷός τε ὢν μεταλαμβάνειν, διὰ τὸ ἔτι πρόβατον εἶναι, τέως δὲ τῷ σωτηρίῳ τρεφόμενος ὕδατι, περὶ οὗ ἐβόα ὁ Σωτὴρ λέγων· «Εἴ τις διψᾷ, ἐρχέσθω πρός με

καὶ πινέτω.[1]» καὶ πάλιν· «Ὁ πίνων ἐκ τοῦ ὕδατος οὗ ἐγὼ δώσω αὐτῷ, ποταμοὶ ἐκ τῆς κοιλίας αὐτοῦ ῥεύσουσιν ὕδατος ζῶντος·[2]» καὶ αὖθις· «Ὁ πίνων ἐκ τοῦ ὕδατος οὗ ἐγὼ δώσω αὐτῷ, οὐ μὴ διψήσῃ εἰς τὸν αἰῶνα·[3]» εἴποι ἄν· «Ἐπὶ ὕδατος ἀναπαύσεως ἐξέθρεψέ με.» Ἀλλὰ καὶ πᾶν ἄχθος ἀποθέμενος τῶν παλαιῶν ἁμαρτημάτων διὰ λουτροῦ παλιγγενεσίας καὶ ἀνακαινώσεως Πνεύματος ἁγίου, εἴποι ἄν· «Ἐπὶ ὕδατος ἀναπαύσεως ἐξέθρεψέ με.» Ἀναπαύσεως γὰρ ὡς ἀληθῶς ἐκεῖνο τὸ ὕδωρ, δι' οὗ τὸ βαρὺ καὶ ἐπίμοχθον φορτίον τῶν ἁμαρτιῶν τὸ πιεζοῦν τὴν ψυχὴν ἀπορρίψας τις, καὶ πάντα ῥύπον καὶ σπίλον καὶ κηλῖδα σμηξάμενος, δεσμῶν τε ἀνεθεὶς πολυπλόκων, συνησθημένος τούτων ἁπάντων ἐρεῖ· «Ἐπὶ ὕδατος ἀναπαύσεως ἐξέθρεψέ με.» Εἶθ' ὥσπερ ἐκλείπων πάλαι τὴν ψυχήν, ἔπειτα διὰ τῆς ἀποδοθείσης χλόης καὶ τοῦ σωτηρίου ὕδατος ἀναλαβὼν ἑαυτόν, καὶ ὥσπερ ἐκ θανάτου παλινδρομήσας, φήσει· Τὴν ψυχήν μου ἐπέστρεψε». Ταῦτα πάντα ὑπάρξει τῷ διὰ τοῦ δηλωθέντος Δαυῒδ ὑπὸ τοῦ Κυρίου ποιμαινομένῳ.

Στίχ. γ'. «Ὡδήγησέ με ἐπὶ τρίβους δικαιοσύνης ἕνεκεν τοῦ ὀνόματος αὐτοῦ.»

Ταῦτα, φησί, πράττει, ὡς ἂν μὴ βλασφημῆται αὐτοῦ τὸ ὄνομα, τῶν αὐτοῦ προβάτων ἀπολλυμένων, ἢ κακῶς ἀγομένων.

Στίχ. δ'. «Ἐὰν γὰρ καὶ πορευθῶ ἐν μέσῳ σκιᾶς θανάτου, οὐ φοβηθήσομαι κακά, ὅτι σὺ μετ' ἐμοῦ εἶ.»

Μακρὰν γὰρ ἡ ἁμαρτία παντὸς συνόντος Θεῷ. Σκιὰν θανάτου τὸν κοινόν φησι θάνατον, καὶ τὴν τῆς ψυχῆς ἀπὸ τοῦ σώματος λύσιν, πρὸς ἀντιδιαστολὴν τοῦ θανάτου τῆς ψυχῆς, καθ' ὃ εἴρηται· «Ψυχὴ ἁμαρτάνουσα, αὕτη ἀποθανεῖται·[4]» καί, «Ἔστιν ἁμαρτία πρὸς θάνατον.[5]» Οὐκ ἔστι γὰρ σκιὰ θανάτου· ἀλλ' ἀληθινὸς θάνατος ἡ τῆς ψυχῆς ἀπώλεια τυγχάνει. Ἐπεὶ οὖν μεμαθήκασιν, ὡς ἄρα ὁ πιστεύων εἰς τὸν Υἱὸν τοῦ Θεοῦ οὐ μὴ ἀποθάνῃ εἰς τὸν αἰῶνα, μεταβέβηκε δὲ ἀπὸ τοῦ θανάτου εἰς τὴν ζωήν, σφόδρα ἀκριβῶς οὐ φασὶ θάνατον ἐπιέναι αὐτοῖς ἀλλ' ἢ ἄρα σκιὰν θανάτου· ταύτῃ δηλοῦντες τοὺς κατὰ ἄνθρωπον κινδύνους καὶ τὸν σωματικὸν θάνατον οὐδὲν ἕτερον ὄντα ἢ χωρισμὸν ψυχῆς ἀπὸ σώματος.

«Ἡ ῥάβδος σου καὶ ἡ βακτηρία σου, αὗταί με παρεκάλεσαν.» Ταῦτα οὖν παρακαλεῖ τὸν τυπτόμενον καὶ τὸν κολαζόμενον, πεπεισμένον, ὅτι μαστιγοῖ ὁ Θεὸς πάντα υἱὸν ὃν παραδέχεται.

Στίχ. ε'. «Ἡτοίμασας ἐνώπιόν μου τράπεζαν ἐξεναντίας τῶν θλιβόντων με. Ἐλίπανας ἐν ἐλαίῳ τὴν κεφαλήν μου, καὶ τὸ ποτήριόν σου μεθύσκον ὡς κράτιστον!»

Ἴσασι γὰρ καὶ τὸ πνευματικὸν ἔλαιον, ὃ τὴν κεφαλὴν ἐπιάνθησαν,

---

1. Ἰω. 7, 37. 2. Ἰω. 7, 39. 3. Ἰω. 4, 13. 4. Ἰεζ. 18, 4. 5. Α' Ἰω. 5, 17.

καὶ τὴν κρατύνουσαν, ἀλλ' οὐ διαλύουσαν μέθην· καὶ τὴν μυστικὴν τροφήν, ἣν προτίθησιν ἡμῖν ὁ πρὸς τὸ ποιμαίνειν καὶ νυμφίος γενόμενος. Τούτοις δέ, φησίν, ἐντρυφῶμεν τοῖς ἀγαθοῖς, τῶν δυσμενῶν ἀνιωμένων και τρυχομένων· ὅτι οἱ πάλαι, φησί, δουλεύοντες τοσαύτης μεταβολῆς τετυχήκασιν, «ἐλίπανας ἐν ἐλαίῳ τὴν κεφαλήν μου.»

Στίχ. ϛ'. «Καὶ τὸ ἔλεός σου καταδιώξεταί με πάσας τὰς ἡμέρας τῆς ζωῆς μου, καὶ τὸ κατοικεῖν με ἐν οἴκῳ Κυρίου εἰς μακρότητα ἡμερῶν.»

Πεποιθὼς τῷ σῷ ἐλέει, καὶ τῇ σῇ χάριτι, οἶδ' ὅτι οὐκ ἐκπεσοῦμαι τῆς παρὰ σοὶ ἐλπίδος παιδαγωγούμενος πάσας τὰς ἡμέρας τῆς ζωῆς μου ὑπὸ τοῦ σοῦ ἐλέους. Τοῦτο γοῦν τὸ σὸν ἔλεος καὶ αὐτή σου ἡ χάρις κατηξίωσέ με οἰκητήριον κτήσασθαι τὸν σὸν οἶκον καὶ τὴν σὴν Ἐκκλησίαν· ἔνθα τὰς διατριβὰς ποιούμενος ὡς ἐν οἴκῳ Θεοῦ, ἱερῷ καὶ ἁγίῳ ναῷ, μακρότητος τῶν παρὰ σοὶ ἡμερῶν καὶ ζωῆς αἰωνίου τεύξομαι. Τὸ γὰρ κατοικεῖν με ἐν τῷ σῷ οἴκῳ, καὶ μηδέποτε αὐτοῦ ἐξίστασθαι μηδὲ ἀπονεύειν, ἀεὶ δὲ εἴσω περιβόλων ἱερῶν τὰς διατριβὰς ποιεῖσθαι, ταῦτά μοι αἴτια γενήσεσθαι πιστεύω μακρότητος ἡμερῶν τῶν ἐκ τοῦ σοῦ φωτὸς ὑφισταμένων. Ἀντὶ δὲ τοῦ, «εἰς μακρότητα ἡμερῶν, εἰς μῆκος χρόνου» ὁ Σύμμαχος ἡρμήνευσε, τῆς κατὰ τὸν Θεὸν ζωῆς τὸ ἄπειρον καὶ ἀθάνατον σημήνας.

ΨΑΛΜΟΣ ΤΩ ΔΑΥΙΔ ΚΓ'.

«Ἐν ἐνίοις ἀντιγράφοις εὗρον· «Τῆς μιᾶς τῶν Σαββάτων.»

Στίχ. α', β'. «Τοῦ Κυρίου ἡ γῆ καὶ τὸ πλήρωμα αὐτῆς, ἡ οἰκουμένη καὶ πάντες οἱ κατοικοῦντες ἐν αὐτῇ. Αὐτὸς ἐπὶ θαλασσῶν ἐθεμελίωσεν αὐτήν, καὶ ἐπὶ ποταμῶν ἡτοίμασεν αὐτήν».

Εἰ μὴ γὰρ Λόγος αὐτῆς, φησίν, ἐπεστάτει θεῖος, καὶ εἰ μὴ σοφία Θεοῦ τοῦτον αὐτὴν τεθεμελιώκει τὸν τρόπον, πάλαι ἂν φυσικῷ βάρει κάτω που φερομένη κατὰ βυθῶν κεχωρήκει. Ἀλλ' ἦν ἄρα κρείττων αὐτῆς ἡ θαυματουργὸς καὶ παραδοξοποιὸς τοῦ τῶν ὅλων Κυρίου δύναμις, ἣ τὸν τοσοῦτον ὄγκον καὶ τὸ τοσοῦτον τῆς γῆς πλήρωμα, ὅλην τε τὴν οἰκουμένην καὶ τοὺς κατοικοῦντας αὐτὴν ἄνω φέρεσθαι μετέωρον ὑπὲρ τὰ νῶτα τῶν ὑδάτων βεβούληται. Διό, «αὐτὸς ἐπὶ θαλασσῶν ἐθεμελίωσεν αὐτήν», εἴρηται. Οὐ γὰρ αὐτὴ ἑαυτὴν ἡ βαρεῖα καὶ ἄψυχος γῆ ἐπὶ τῶν βυθῶν ἐστήριξεν, ἀλλ' ὁ πάντων δημιουργὸς ὁ τοῦ Θεοῦ Υἱός, ὃς τὸ στερέμνιον καὶ βαρὺ τῆς γῆς στοιχεῖον θεϊκῇ δημιουργίᾳ ὑπὲρ νώτων ὀχεῖσθαι θαλάσσης καὶ ὑπεράνω τῆς ὑγρᾶς φύσεως ἑστάναι βουληθείς, καὶ τοῦτον αὐτὴν θεμελιώσας τὸν τρόπον. Καὶ καθ' ἕτερον δὲ λογισμὸν παρίστησι τὸ μὴ αὐτόματον ὑποστῆναι τὴν γῆν, μηδὲ ὡς ἔτυχεν, εἰκῇ καὶ ἀλόγως, τὸ τοιοῦτον αὐτῇ περιβεβλῆσθαι σχῆμα· διὸ ἐπιλέγει· «Καὶ ἐπὶ ποταμῶν ἡτοίμασεν αὐτήν.» Εἰ μὲν γὰρ ὅλη δι' ὅλου λεία καὶ ὁμαλὴ κατὰ τὴν σφαῖραν

τῶν Ἑλλήνων ὑπῆρχεν, οὐκ ἄν ποτε τῆς τῶν ποταμῶν συστάσεως δεκτικὴ ἐγεγόνει· οὐδ' ἂν εἰς γεωργίαν ἐπιτηδεία, ἐκρεόντων ἁπανταχόθεν τῶν εἰς αὐτὴν φερομένων ὄμβρων· ὡς αὖ πάλιν ἐκ τοῦ ἐναντίου, εἰ πλὰξ ἦν μία ἡπλωμένη καὶ ἀνειμένη εἰς πεδιάδας χώρας, οὐδ' οὕτως συνέστησαν ἐν αὐτῇ ποταμοί· οἵ τ' ἐξ ἀεννάων πηγῶν φερόμενοι, οἵ τε ἐκ τῶν χειμερινῶν ὄμβρων συνιστάμενοι· πάλαι δ' ἂν ἐπικλύσαντες πᾶσαν, οὔτε σπέρμασιν, οὔτε φυτοῖς, οὔτε γεωργίαις ἐπιτηδείαν αὐτὴν παρεῖχον· ἀλλ' οὐδὲ αὐτοῖς τοῖς οἰκήτορσιν γεγόνει ἂν χρήσιμος, πάντων ἐπικλυζομένων καὶ κατασυρομένων ὑπὸ τῆς τῶν ὑδάτων πλημμύρας. Ταῦτα μὲν οὖν ἦν, εἰ μὴ λόγος τις δημιουργικὸς καὶ Θεοῦ σοφία τεχνικῶς αὐτῇ τοιόνδε σχῆμα περιβεβλήκει· νυνὶ δὲ οὕτως κατεσκευάσθη, ὡς εἰς ὄρη καὶ νάπας, βουνούς τε καὶ φάραγγας ἐσχηματίσθαι· ὡς καὶ ποταμοὺς τὰς ἑαυτῶν διεξόδους ἀκωλύτως ποιεῖσθαι· ὄρη τε καὶ ἄλση καὶ φυτὰ ζῴοις ἀπονέμεσθαι· χώρας τε καὶ πεδιάδας εἰς οἰκήσεις καὶ γεωργίας ἀνθρώποις ἀφωρίσθαι. Τίς τοίνυν οὐκ ἂν ὁμολογήσειεν ἀληθῶς σοφῆς εἶναι προμηθείας ταῦτα; ἥ, προλαβοῦσα τὸ μέλλον πρὸ τοῦ πληρώματος τῆς γῆς, καὶ πρὸ τοῦ συστῆναι τὰ ἐν αὐτῇ, τοιάνδε αὐτὴν ἐσχημάτισε, καταλλήλῳ διαπλάττουσα τύπῳ, ὡς ἂν τοῖς πᾶσι γένοιτο ἐπιτηδεία. Μυστικώτερον δὲ τοῦ Κυρίου γέγονεν ἡ γῆ.

Στίχ. γ'. «Τίς ἀναβήσεται εἰς τὸ ὄρος τοῦ Κυρίου; ἢ τίς στήσεται ἐν τόπῳ ἁγίῳ αὐτοῦ;»

Τὸ τελικὸν ἀγαθὸν καὶ τὸν Θεὸν Λόγον λεκτέον, ἐφ' ὃ ἀναβαίνει ὁ διὰ προκοπῆς ἐπὶ τὴν ἀκρώρειαν αὐτοῦ φθάσαι γλιχόμενος. Σπάνιος δὲ ὁ τοιοῦτος· διὸ εἴρηται· «Τίς ἀναβήσεται εἰς τὸ ὄρος τοῦ Κυρίου; ἢ τίς στήσεται ἐν τόπῳ ἁγίῳ αὐτοῦ;»

Στίχ. δ'-η'. «Ἀθῶος χερσὶ καὶ καθαρὸς τῇ καρδίᾳ, ὃς οὐκ ἔλαβεν ἐπὶ ματαίῳ τὴν ψυχὴν αὐτοῦ, καὶ οὐκ ὤμοσεν ἐπι δόλῳ τῷ πλησίον αὐτοῦ. Οὗτος λήψεται εὐλογίαν παρὰ Κυρίου, καὶ ἐλεημοσύνην παρὰ Θεοῦ σωτῆρος αὐτοῦ. Αὕτη ἡ γενεὰ ζητούντων αὐτόν, ζητούντων τὸ πρόσωπον τοῦ Θεοῦ Ἰακώβ. *Διάψαλμα.* Ἄρατε πύλας, οἱ ἄρχοντες, ὑμῶν, καὶ ἐπάρθητε, πύλαι αἰώνιοι, καὶ εἰσελεύσεται ὁ βασιλεὺς τῆς δόξης. Τίς ἐστιν οὗτος ὁ βασιλεὺς τῆς δόξης; Κύριος κραταιὸς καὶ δυνατός, Κύριος δυνατὸς ἐν πολέμῳ.»

Ἴσως δὲ διὰ τῆς πεύσεως καὶ ἀποκρίσεως διδάσκουσι πάντας ἀνθρώπους τὴν δεσποτείαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· εἴ γε τίς δ' οἴη ταύτας μὴ ἀγνοεῖν. Τινὲς δὲ τὴν δευτέραν πεῦσιν καὶ ἀπόκρισιν, οὐ ταῖς ἔτι ἀνωτέρω δυνάμεσιν εἰρῆσθαι φασίν, ἀλλὰ ταῖς αὐταῖς. Τό τε διάψαλμα πρὸ τοῦ· «Ἄρατε πύλας, οἱ ἄρχοντες, ὑμῶν», κείμενον, τῆς μελῳδίας ἔοικε μεταβολὴν πεποιῆσθαι· ἐπεὶ καὶ τῆς διανοίας αὐτῆς. Ἐν δὲ τῷ λέγειν εἰσελεύσεσθαι αὐτόν, λεληθότως καὶ ἔξοδον αὐτοῦ ᾐνίξατο. Εἶτ' ἐπεὶ μὴ μόνος ἤμελλεν εἰσιέναι εἰς τὴν αὐτοῦ βασιλείαν, πάσας ἀναπετασθῆναι τὰς πύλας ὁ λόγος παρακε-

λεύεται διὰ τοὺς μέλλοντας κληρονομεῖν τὴν βασιλείαν τῶν οὐρανῶν σὺν τῷ Υἱῷ τοῦ Θεοῦ. Πολλὰς γὰρ ἀνέῳξε καὶ διαφόρους πύλας τῆς εἰς τοὺς οὐρανοὺς εἰσόδου· «ἐπεὶ καὶ πολλαὶ μοναὶ παρὰ τῷ Πατρί.[1]» Ὅρα δὲ εἰ μὴ ἐν τούτοις λυθείη ἂν τὸ ζητούμενον ἐν τῷ φάσκοντι ψαλμῷ· «Ἀνέβη ὁ Θεὸς ἐν ἀλαλαγμῷ, Κύριος ἐν φωνῇ σάλπιγγος.[2]» Ἐνταῦθα γὰρ τὸ Πνεῦμα τὸ ἅγιον καὶ τὸν ἀλαλαγμὸν καὶ τὴν φωνὴν τῆς σάλπιγγος ἀποδίδωσιν. Ἐν γὰρ τῇ εἰς οὐρανοὺς ἀναβάσει τοῦ Υἱοῦ τοῦ Θεοῦ, τοὺς διακονησαμένους αὐτῷ ἀγγέλους τὴν εἰς ἀνθρώπους οἰκονομίαν προτρέχειν αὐτῷ εἰκός, καὶ τὰς οὐρανίους πύλας αὐτῷ παρασκευάζειν, φωνάς τε ἀφιέναι καὶ βοὰς ἀγγελικάς, τὰς ἐν τῷ ψαλμῷ φερομένας· ἃς δὴ ἀλαλαγμὸν καὶ φωνὴν σάλπιγγος ὠνόμασε φήσας· «Ἀνέβη ὁ Θεὸς ἐν ἀλαλαγμῷ, Κύριος ἐν φωνῇ σάλπιγγος.»

ΤΩ ΔΑΥΙΔ ΚΔʹ.

Ἐπεὶ μήτε ψαλμὸς ἐπιγέγραπται, μήτε ᾠδή, μήτε τι τῶν παραπλησίων, ἀλλ' οὐδ' εἰς τὸ τέλος ἀναπέμπεται τὰ προκείμενα· λόγοι δέ εἰσιν ἐν ἁγίῳ Πνεύματι τῷ Δαυῒδ συγγεγραμμένοι· διὸ παρὰ τοῖς λοιποῖς ἑρμηνευταῖς «τοῦ Δαυῒδ» προγέγραπται· εἰκότως φήσομεν διδασκαλίαν περιέχειν τῆς πρὸς τὸν Θεὸν ἐξομολογήσεως, ᾗ πρῶτος μὲν αὐτὸς ὁ Δαυῒδ ἐχρήσατο, ἔπειτα δὲ καὶ ἡμῖν παραδέδωκε, παιδεύων ὅπως χρὴ νοσήσαντα τὴν ἑαυτῶν θεραπεύειν ψυχὴν δι' ἐξομολογήσεως.

Στίχ. βʹ, γʹ. «Πρός σέ, Κύριε, ἦρα τὴν ψυχήν μου· ὁ Θεός μου, ἐπὶ σοὶ πέποιθα, μὴ καταισχυνθείην· μηδὲ καταγελασάτωσάν με οἱ ἐχθροί μου· καὶ γὰρ πάντες οἱ ὑπομένοντές σε οὐ μὴ καταισχυνθῶσιν.»

Ταῦτά φησιν, ὡσανεὶ ἐπάρας εἰς ὕψος μεταθείς τε καὶ μετεωρίσας τῶν τῇδε πραγμάτων τὴν ἑαυτοῦ ψυχήν· ἄνω τε πλησίον αὐτὴν τοῦ Θεοῦ τῇ διαθέσει καταστήσας δι' ἀποστροφῆς μὲν τῶν θνητῶν καὶ ἀνθρωπίνων, ἐπιστροφῆς δὲ γνησίας τῆς πρὸς αὐτόν. Ἔπειτά φησι· Τοῦτο πεποίηκα, οὐκ ἐμαυτῷ θαρρῶν, ἀλλ' ἐπὶ σοὶ τῷ Θεῷ μου πεποιθώς, πολλῇ παρρησίᾳ χρώμενος. Ὁ πάντων μὲν τῶν αἰσθητῶν καὶ ὁρωμένων καταφρονήσας, ἐπὶ δὲ τὸν ἀσώματον καὶ ἀόρατον Θεὸν τὴν ἑαυτοῦ ψυχὴν ἐπάρας, ὡς ἂν ἴδιον ἑαυτοῦ κτῆμα γενόμενον τὸν Θεὸν ἐπικαλεῖσθαι θαρρεῖ· διὸ λέγει· «Ὁ Θεός μου, ἐπὶ σοὶ πέποιθα.» Καὶ τὰ παρ' ἐμοῦ μέν, φησί, ταῦτα. Λοιπὸν δὲ εὐχῆς μοι δεῖ, καὶ τῆς παρὰ σοῦ τοῦ Θεοῦ συνεργείας, πρὸς τὸ μὴ ἐκπεσεῖν τοῦ σκοποῦ, μηδ' ὥσπερ ἀφ' ὑψηλῆς ἀκρωρείας πεσόντα ἀπορραγῆναι. Διὸ δέομαι καὶ ἱκετεύω μὴ καταισχυνθῆναι, μηδὲ καταγελασθῆναι ὑπὸ τῶν ἐχθρῶν μου· ταῦτα δέ μοι ἔσται ἐκ τῆς σῆς τοῦ Θεοῦ μου βοηθείας. Τὰ μὲν γὰρ πρῶτα ἐξ ἐμῆς ἦν προαιρέσεως, τὸ ἄγειν καὶ φέρειν τὴν

---

1. Πρβλ. Ἰω. 14, 2. 2. Ψαλμ. 46, 6.

ἐμαυτοῦ ψυχὴν ὅπῃ καὶ βούλομαι· τὰ δὲ δεύτερα τῆς σῆς ἀντιλήψεως καὶ συνεργείας δεῖται.

Στίχ. γ'. «Αἰσχυνθήτωσαν οἱ ἀνομοῦντες διακενῆς.»

Μόνον ὑπομένειν τῇ προθέσει, μηδὲ μεταβάλλειν, καὶ μεθίστασθαι τῆς πίστεως. Οἱ γὰρ εὐρίπιστοι καὶ παντὶ ἀνέμῳ περιφερόμενοι πάθοιεν ἄν ποτε τὰ τῆς αἰσχύνης· οὐ μὴν καὶ οἱ λέγειν μεμαθηκότες· «Ὑπομένων ὑπέμεινα τὸν Κύριον.[1]» Ἀντὶ δὲ τοῦ, «ἀνομοῦντες», οἱ λοιποὶ καὶ ἡ πέμπτη ἔκδοσις, «οἱ ἀποστατοῦντες» ἡρμηνεύκασιν· σαφῶς τοὺς παραβάτας, καὶ μὴ τῷ προτέρῳ ἑαυτῶν σκοπῷ ἐμμένοντας καταισχυνθήσεσθαι ἀποφηνάμενοι. Τῆς γὰρ ἀποστασίας ἑαυτῶν καρπὸν ὑπόκενον εὑρόντες, ὡς ἂν διακενῆς ἀποστατήσαντες τοῦ Θεοῦ, καταισχυνθήσονται.

Στίχ. δ', ε'. «Τὰς ὁδούς σου, Κύριε, γνώρισόν μοι καὶ τὰς τρίβους σου δίδαξόν με. Ὁδήγησόν με ἐπὶ τὴν ἀλήθειάν σου καὶ δίδαξόν με, ὅτι σὺ εἶ ὁ Θεὸς ὁ Σωτήρ μου, καὶ σὲ ὑπέμεινα ὅλην τὴν ἡμέραν.»

Εἰσὶ δὲ ὁδοὶ τοῦ Κυρίου αἱ τῆς προνοίας αὐτοῦ διοικήσεις, καθ' ἃς τὰ σύμπαντα διακυβερνᾷ· περὶ ὧν ὁ θεῖος Ἀπόστολος διδάσκων ἔλεγεν· «Ὦ βάθος πλούτου καὶ σοφίας καὶ γνώσεως Θεοῦ· ὡς ἀνεξερεύνητα τὰ κρίματα αὐτοῦ καὶ ἀνεξιχνίαστοι αἱ ὁδοὶ αὐτοῦ.[2]» Οὕτω δὲ καὶ τρίβοι αὐτοῦ εἶεν αἱ κατὰ μέρος διοικήσεις τῶν ὅλων, καθ' ἃς ὥσπερ ἐπιπορευόμενος τά τε κατ' οὐρανὸν καὶ τὰ ἐπὶ γῆς τῇ προνοητικῇ δυνάμει, τρίβους ἑαυτοῦ καὶ πορείας τοῖς νοεῖν δυναμένοις δείκνυσι· διὸ κατὰ τὸν Σύμμαχον, εἴρηται, «καὶ τὰς πορείας σου δίδαξόν με.» Ταῦτα δέ με διδάσκων, ἐπίστησόν με τῇ ἀληθείᾳ σου, πρὸς τὸ μὴ σφάλλεσθαι ψευδοδοξοῦντα, καὶ ἕτερα ἀνθ' ἑτέρων ἐν τῇ τῶν φυσικῶν θεωρίᾳ δοξάζειν, ὁποῖα πεπόνθασιν οἱ σοῦ τοῦ Θεοῦ μὴ τυχόντες διδασκάλου, λογισμοῖς δὲ θνητοῖς καὶ ἀνθρωπίνοις καταστοχασάμενοι τῶν πραγμάτων, καὶ μακρὰν τῆς ἀληθείας ἐξακοντισθέντες. Διδαχθεὶς δὲ παρὰ σοῦ, ὅτι μὴ μόνον κτίστης καὶ δημιουργὸς καὶ Θεός μου τυγχάνεις, ἀλλὰ καὶ Σωτήρ μου, εἰκότως «σὲ ὑπέμεινα ὅλην τὴν ἡμέραν», τουτέστι πᾶσαν τὴν ζωήν μου, μεμαθηκώς, ὅτι «πάντες οἱ ὑπομένοντές σε οὐ μὴ καταισχυνθῶσιν.»

Στίχ. ς', ζ'. «Μνήσθητι τῶν οἰκτιρμῶν σου, Κύριε, καὶ τὰ ἐλέη σου, ὅτι ἀπὸ τοῦ αἰῶνός εἰσιν. Ἁμαρτίας νεότητός μου, καὶ ἀγνοίας μου μὴ μνησθῇς.»

Οὐχ ἡγοῦμαι ταῦτα τῷ Δαυῒδ τοσοῦτον ἁρμόζειν, ὅσον τοῖς ἐξομολογεῖσθαι ἐπὶ τοῖς πρότερον ἁμαρτήμασιν ἑαυτῶν διδασκομένοις. Οὐ γὰρ εὑρίσκομεν τὸν Δαυῒδ ἐν τῇ νεότητι αὐτοῦ ἡμαρτηκότα, οὐδ' ἐν τῇ παιδικῇ ἡλικίᾳ· ἀλλ' οὐδ' ἐν ἀγνοίᾳ γεγενημένον. Μήποτ' οὖν ἡ διδασκαλία ὡς παρὰ ἰατροῦ τοῖς νενοσηκόσι, καὶ ἐν τῇ τῆς ἡλικίας ἀκμῇ ἐντὸς γενομένοις Θεοῦ γνώσεως, νεωτερικοῖς ἁμαρτήμασιν

1. Ψαλμ. 39, 2. 2. Ῥωμ. 11, 33.

ἐγκαλινδηθεῖσιν, δίκην φαρμάκου παραδέδοται; ὡς ἂν μαθόντες ἐξομολογοῖντο τὰ ἐν ἀγνοίᾳ αὐτοῖς πεπλημμελημένα, ἀνακαλύπτοντες τῷ Θεῷ, καὶ ὥσπερ παλαιὰ τραύματα τῆς ἑαυτῶν ψυχῆς ἀπογυμνοῦντες αὐτῷ, δεόμενοί τε ἰάσεως καὶ θεραπείας τυχεῖν διὰ τοῦ ἐλέους αὐτοῦ, «ἕνεκεν τῆς χρηστότητός σου, Κύριε».

Στίχ. η', θ'. «Χρηστὸς καὶ εὐθὺς ὁ Κύριος, διὰ τοῦτο νομοθετήσει ἁμαρτάνοντας ἐν ὁδῷ. Ὁδηγήσει πραεῖς ἐν κρίσει, διδάξει πραεῖς τὰς ὁδοὺς αὐτοῦ.»

Χρηστός ἐστιν καὶ εὐθύς, φησίν, ὁ Κύριος, εὖ διατιθέμενος τὰ πάντα, καὶ τὴν εὐθείαν ὁδὸν ἀγαπῶν, τά τε σκολιὰ εἰς εὐθεῖαν ἄγων. Διὰ τοῦτο οὐκ ἀποστρέφεται, οὐδὲ παρορᾷ καταλιμπάνων αὐτοὺς φθείρεσθαι ταῖς ἑαυτῶν ἁμαρτίαις· ἀλλ' οἷα φιλάνθρωπος καὶ ἀγαθὸς Σωτὴρ νοσούντων μᾶλλον ἢ ὑγιαινόντων τὴν φροντίδα ποιεῖται· καὶ τούτοις νομοθετεῖ, μετανοίας ὁδοὺς ὑποδεικνὺς αὐτοῖς, καὶ νόμους τοὺς ἁρμόζοντας αὐτοῖς πρὸς σωτηρίαν παρατιθέμενος. Ἔστι γάρ τις καὶ ὁδὸς τοῖς ἁμαρτάνουσιν ἐπιδεδειγμένη σωτηρίας, ἡ τῆς ἐπιστροφῆς καὶ μετανοίας καὶ ἐξομολογήσεως, ὡς ἑτέρα οὖσα παρὰ τὴν τοῖς τελείοις δεδομένην. Νομοθετῶν γὰρ ὁ Θεός, ἄλλην μὲν ἁμαρτάνουσιν ὁδὸν δείκνυσιν, ἑτέραν δὲ τοῖς ἐπιστρέφουσιν ἐξ ἁμαρτίας, καὶ ἄλλην πάλιν τοῖς ἐν ἀρετῇ προκόπτουσι, καὶ ἑτέραν τοῖς τελειοτέροις. Διὸ τοῖς μὲν ἁμαρτάνουσιν ὑποδείκνυσιν ὁδόν· τοὺς δὲ πραεῖς ὁδηγήσει ἐν κρίσει κεκριμένως, καὶ αὐτῶν πρόνοιαν ποιούμενος ὡς βελτιόνων· διὸ καὶ μακαρισμῶν αὐτοὺς ἀξιοῖ, κατὰ τό, «Μακάριοι οἱ πραεῖς, ὅτι αὐτοὶ κληρονομήσουσι τὴν γῆν.[1]» Τούτους δὲ καὶ διδάσκει ὁδοὺς αὐτοῦ. Ἀντὶ δὲ τοῦ, «ὁδοὺς αὐτοῦ», ὁ Ἀκύλας καὶ ὁ Σύμμαχος, «ὁδὸν ἑαυτοῦ», ἔφησεν. Ταύτην γὰρ αὐτὸς ὁ Σωτὴρ ὥδευσε τὴν ὁδὸν κατὰ τὸ λελεγμένον· «Μάθετε ἀπ' ἐμοῦ ὅτι πρᾶός εἰμι καὶ ταπεινὸς τῇ καρδίᾳ.[2]» Κατὰ ταύτην οὖν ἄγων αὐτούς, ὁδηγὸς αὐτῶν καὶ χειραγωγὸς γίνεται· διόπερ ὡς σοφὸς νομοθέτης, ἄλλην μὲν ὁδὸν ἐπιδείκνυσι τοῖς ἁμαρτάνουσιν, ἑτέραν δὲ τοῖς πράοις.

Στίχ. ι'. «Πᾶσαι αἱ ὁδοὶ Κυρίου ἔλεος καὶ ἀλήθεια τοῖς ἐκζητοῦσι τὴν Διαθήκην αὐτοῦ καὶ τὰ μαρτύρια αὐτοῦ.»

Πολλαὶ μέν, φησίν, αἱ ὁδοὶ τοῦ Κυρίου, πλὴν ἀλλ' ἐν πάσαις τὸ ἔλεος αὐτοῦ προτρέχει· τῷ τε ἐλέει συμπαρορμᾷ ἡ ἀλήθεια· ἐλεεῖ γὰρ τὰ ὄντα καὶ οὐδὲν βδελύσσεται ὧν ἐποίησεν·[3] οὐδὲ γὰρ μισῶν τι κατεσκεύασε. Καθ' ἑκάστην τοίνυν ὁδὸν τῆς τοῦ Θεοῦ διοικήσεώς τε καὶ προνοίας τὸ ἔλεος αὐτοῦ προτρέχει, ἕπεται δὲ τῷ ἐλέῳ ἡ ἀλήθεια. Τοῖς δ' ἐκζητοῦσιν, ἀσχολουμένοις, ὁ εἰπών· «Ζητεῖτε, καὶ εὑρήσετε, κρούετε, καὶ ἀνοιγήσεται ὑμῖν[4]», τὴν περὶ τῶν ζητουμένων ἀλήθειαν παραδίδωσιν. Διαθήκη δὲ αὐτοῦ γενικῶς καὶ καθ' ὅλου ὠνόμασται πᾶσα ἡ ἀνθρώποις παραδοθεῖσα θεόπνευστος Γραφή. Μαρτύρια δὲ

1. Ματθ. 5, 5. 2. Ματθ. 11, 29. 3. Σοφ. Σολ. 11, 24. 4. Ματθ. 7, 7.

αὐτοῦ τυγχάνει ἤτοι τὰ προφητικῶς περὶ αὐτοῦ ἐν τῇ θείᾳ Γραφῇ μεμαρτυρημένα, ἢ τὰ κατὰ διαμαρτυρίαν ὑπ' αὐτοῦ τοῖς τὰ θεῖα παιδευομένοις παρηγγελμένα.

Στίχ. ιβ', ιγ'. «Τίς ἐστιν ἄνθρωπος ὁ φοβούμενος τὸν Κύριον; νομοθετήσει αὐτῷ ἐν ὁδῷ, ᾗ ᾑρετίσατο. Ἡ ψυχὴ αὐτοῦ ἐν ἀγαθοῖς αὐλισθήσεται, καὶ τὸ σπέρμα αὐτοῦ κληρονομήσει γῆν.»

Ἀκουέτω, φησί, πᾶς ὁ φοβούμενος τὸν Κύριον, μίαν τε ὁδὸν ἣν ἂν ἕλοιτο διαπορευόμενος, τί αὐτὸν περιμένει. Νῦν μὲν κακοπαθήσει, οἷα εἰκός, ἐγγυμναζόμενος τοῖς τῆς θεοσεβείας ἄθλοις· ἔσται δὲ καιρὸς ὁπηνίκα ἡ ψυχὴ αὐτοῦ ἐν ἀγαθοῖς αὐλισθήσεται· ποίοις δὲ ἀγαθοῖς ἢ περὶ ὧν εἴρηται· «Ἃ ὀφθαλμὸς οὐκ εἶδε[1]», καὶ τὰ ἑξῆς; Τό γε μὲν σπέρμα, ὅπερ κατεβάλετο ἐν τῇ γῇ καθ' ὃν ἐπολιτεύετο ἐπὶ γῆς χρόνον, πολλοὺς κληρονομήσει, σωτηρίας αἴτιον γινόμενον πολλοῖς. Σπέρμα δὲ τί ἂν εἴποις ἢ τὴν διδασκαλίαν καὶ τοὺς λόγους καὶ τὰ συγγράμματα, ἢ τοὺς κατὰ Θεὸν αὐτῷ γεννηθέντας καὶ μαθητευθέντας ἄνδρας; δι' ὧν καὶ μετὰ τὴν ἐν ἀγαθοῖς ἀνάπαυσιν αὐτοῦ μυρίοι τῆς παρὰ τῷ Θεῷ κληρονομίας τεύξονται, ἅτε ἀγαθῶν σπερμάτων τυχόντες καὶ ὠφελημένοι τὴν ἔνθεον καρποφορίαν.

Στίχ. ιδ'. «Κραταίωμα Κύριος τῶν φοβουμένων αὐτόν, καὶ ἡ Διαθήκη αὐτοῦ τοῦ δηλῶσαι αὐτοῖς.»

Ὁ μὲν Ἀκύλας, «ἀπόρρητον Κυρίου» ἐξέδωκεν· ὁ δὲ Σύμμαχος, «ὁμιλία Κυρίου·» ὁ δὲ Θεοδοτίων καὶ ἡ πέμπτη ἔκδοσις «μυστήριον Κυρίου». Ἐντεῦθεν γὰρ εἰς τοσαύτην ἤλασε μακαριότητα ὁ ἀνωτέρω προλεχθεὶς φοβούμενος Κύριον ἐκ τοῦ ὁμιλίαν τοῦ Κυρίου, καὶ ἀπόρρητον αὐτοῦ, καὶ τὸ μυστήριον αὐτοῦ γνωστὸν αὐτῷ γεγονέναι, καὶ τὰ ἐν τῇ Διαθήκῃ αὐτοῦ, τοῦτ' ἔστιν ἐν τῇ θείᾳ Γραφῇ, περιεχόμενα μυστήρια.

Στίχ. ιε'-ιζ'. «Οἱ ὀφθαλμοί μου διὰ παντὸς πρὸς τὸν Κύριον, ὅτι αὐτὸς ἐκσπάσει ἐκ παγίδος τοὺς πόδας μου. Ἐπίβλεψον ἐπ' ἐμὲ καὶ ἐλέησόν με, ὅτι μονογενὴς καὶ πτωχός εἰμι ἐγώ. Αἱ θλίψεις τῆς καρδίας μου ἐπληθύνθησαν, ἐκ τῶν ἀναγκῶν μου ἐξάγαγέ με.»

Οὐ διὰ τὰ κατορθώματα ὥσπερ ὀφειλομένην τὴν σωτηρίαν αὐτῷ· οἶδα γάρ, ὅτι, πάντα ποιήσας τὰ παρ' ἐμαυτοῦ, ἔτι τοῦ σοῦ ἐλέους δέομαι. Διὸ «ἐπίβλεψον ἐπ ἐμέ, καὶ ἐλέησόν με.» Σύνοιδα γὰρ ἐμαυτῷ πτωχῷ καὶ ἀβοηθήτῳ καὶ μὴ ἐπαρκοῦντι πρὸς σωτηρίαν. Ἴδιόν τέ ἐστι πάντων τῶν θεοφιλῶν τὸ ἑαυτοὺς κακοῦν ἐν θλίψεσιν, ἐν ἀνάγκαις, ἐν στενοχωρίαις, καὶ διωγμοῖς· ἀλλ οὐ καὶ ἀγνοοῦσι τὸ τούτων τέλος· διὸ τυχεῖν αὐτοῦ παρὰ τοῦ Θεοῦ ἱκετεύουσι λέγοντες· « Ἐκ τῶν ἀναγκῶν μου ἐξάγαγέ με·» ὡς ἂν διελθόντες τὰς τοῦ βίου ἀνάγκας, τὰς δὲ συμφορὰς καὶ τὰς περιστάσεις, εἰπεῖν ποτε δυνηθεῖεν· «Διήλθομεν διὰ πυρὸς καὶ ὕδατος, καὶ ἐξήγαγες ἡμᾶς εἰς ἀναψυχήν.[2]»

---

1. Α' Κορ. 2, 9. 2. Ψαλμ. 65, 12.

Στίχ. ιη΄-κ΄. «Ἴδε τὴν ταπείνωσίν μου καὶ τὸν κόπον μου, καὶ ἄφες πάσας τὰς ἁμαρτίας μου. Ἴδε τοὺς ἐχθρούς μου, ὅτι ἐπληθύνθησαν, καὶ μῖσος ἄδικον ἐμίσησάν με. Φύλαξον τὴν ψυχήν μου καὶ ῥῦσαί με· μὴ καταισχυνθείην, ὅτι ἤλπισα ἐπὶ σέ.»

Τὰ μὲν παρ' ἐμοῦ σπουδάζεται, τὰ δὲ παρὰ σοῦ τυχεῖν ἀξιῶ. Ἐγὼ μὲν οὖν ἐμαυτὸν κολάζω, καὶ ὥσπερ δίκην εἰσπραττόμενος ὧν πρότερον ἐπλημμέλησα, ἐμαυτὸν τιμωροῦμαι, ταπεινῶν ἐμαυτὸν ἐν κόποις καὶ πόνοις· σὺ δέ, ὁ Θεός, οἷά τις ἀγωνοθέτης, τὸν ἐμὸν ἀγῶνα θεωρῶν καὶ τοὺς ἐμοὺς καμάτους, δίδου τὴν ἄφεσιν τῶν ἁμαρτημάτων, καὶ συγχώρει ὅσα πώποτε διεπραξάμην ἐν ἁμαρτίαις. Ἀλλὰ καὶ θεασάμενος τοὺς ἐμοὺς ἐχθροὺς ὁπόσοι ὄντες ἐπεβούλευον, καὶ ὡς μῖσος ἄδικον ἐμίσησάν με, φύλαξ γενοῦ τῆς ἐμῆς ψυχῆς, καὶ ῥῦσαί με τῆς τῶν πολεμίων ἐπιβουλῆς. Τοσαῦτα δὲ πράξας καὶ τοσαῦτα δεηθείς, μὴ καταισχυνθῆναι ἀξιῶ. Σὲ γὰρ ἐλπίδα ἐμαυτοῦ θέμενος, ἀκριβῶς οἶδα καὶ πέπεισμαι, ὅτι οὐ καταισχύνει.

Στίχ. κα΄, κβ΄. «Ἄκακοι καὶ εὐθεῖς ἐκολλῶντό μοι, ὅτι ὑπέμεινά σε. Λύτρωσαι, ὁ Θεός, τὸν Ἰσραὴλ ἐκ πασῶν τῶν θλίψεων αὐτοῦ.»

Καὶ τοῦτό μοι πρὸς τοῖς ἄλλοις κατορθώμασι μέγα ὑπῆρξε, καὶ σοὶ τῷ Θεῷ φίλον· πολλοῖς γὰρ ἐγινόμην ὑπογραμμὸς καρτερίας, βίου τε σεμνοῦ καὶ μετανοίας καὶ ἐξομολογήσεως· διὸ ἄκακοι ἄνδρες καὶ εὐθεῖς συνήπτοντό μοι κολλώμενοι, καὶ συμβιοῦν ἀξιοῦντες, δι' οὐδὲν ἕτερον ἢ ὅτι ὑπέμενον καρτερῶν, καὶ πάντα ὑπέφερον, σὲ τὴν ἐμαυτοῦ ἐλπίδα προβεβλημένος. Τούτοις ἅπασιν ἐπιλέγει· «Λύτρωσαι, ὁ Θεός, τὸν Ἰσραὴλ ἐκ πασῶν τῶν θλίψεων αὐτοῦ·» ἤτοι αὐτὸς ἑαυτὸν ἐξομολογούμενος Ἰσραὴλ ὀνομάζων διὰ τὰ προλεχθέντα αὐτοῦ κατορθώματα· τοιοῦτος γάρ ἐστιν ὁ κατὰ ψυχὴν Ἰσραήλ. Ἢ ἄλλως, διδασκόμενος μὴ ἑαυτὸν μόνον φυλάττειν, μηδὲ αὐτῷ μόνῳ σπουδάζειν, καὶ περὶ μόνου ἑαυτοῦ τὸν Θεὸν ἱκετεύειν· μετὰ δὲ τὸ κατορθῶσαι καὶ εὖ τὰ καθ' ἑαυτὸν διαθέσθαι, ὑπὲρ τοῦ παντὸς λαοῦ τοῦ Θεοῦ τὰς παρακλήσεις ἀναπέμπει· ἱκετεύει τε, ἵν' ὥσπερ ἀνωτέρω ἑαυτὸν ἠξίου ῥυσθῆναι ἀπὸ τῶν ἑαυτοῦ θλίψεων, οὕτω καὶ πάντα τὸν τοῦ Θεοῦ λαὸν κατὰ διάνοιαν Ἰσραὴλ ὀνομαζόμενον.

ΨΑΛΜΟΣ ΤΩ ΔΑΥΙΔ ΚΕ΄.

Στίχ. α΄. «Κρῖνόν με, Κύριε, ὅτι ἐγὼ ἐν ἀκακίᾳ μου ἐπορεύθην, καὶ ἐπὶ τῷ Κυρίῳ ἐλπίζων οὐ μὴ σαλευθῶ.»

Ἰδίως ἄν τις ἐπὶ τὸν Δαυῒδ ἀναφέρων τοὺς προκειμένους λόγους, εἴποι ἂν ἐντυχίαν αὐτὸν ποιεῖσθαι πρὸς τὸν Θεὸν περὶ τοῦ ἰδίου βίου. Τοῦ γὰρ ἱεροῦ Ἀποστόλου φήσαντος· «Πρῶτον πάντων δεῖ ποιεῖσθαι δεήσεις, προσευχάς, ἐντεύξεις, εὐχαριστίας·[1]» καὶ διελόντος τὰ

1. Α' Τιμ. 2, 1.

προλεχθέντα εἰς εἴδη τέσσαρα, ἡμᾶς προσήκει τὴν διάνοιαν τοῖς ἐν τῇ βίβλῳ τῶν Ψαλμῶν ἐμφερομένοις ἐφιστᾶν τὸν νοῦν, ἐπισημαινομένους τίνες μὲν αὐτῶν περιέχουσι δεήσεις, καὶ τίνες προσευχάς, καὶ τίνες ἐντεύξεις, καὶ ἐπὶ πᾶσι τίνες εὐχαριστίας· τί τε διαφέρει θάτερον θατέρου, ἀναλέγεσθαί τε ἀπὸ πάσης τῆς βίβλου τῶν Ψαλμῶν τὰ ἰδιώματα τῶν εἰρημένων· οἷον τὰς μὲν δεήσεις ἀπὸ τῶν περιεχόντων παρακλήσεις, καὶ ἱκετηρίας, ἐν αἷς δὲ καὶ ἐξομολογήσεις φέρονται· ὁποῖός ἐστιν ὁ εἰκοστὸς τέταρτος ψαλμός, οὔτε ᾠδή, οὔτε ψαλμός, οὔτε ὕμνος, οὔτε τι τοιοῦτον· ἀλλ' ἁπλῶς τῷ Δαυΐδ ἐπιγεγραμμένος. Προσευχαὶ δέ εἰσιν, ὅσοι ἐν τῇ προγραφῇ προσευχῶν ἐπιγράφουσιν· οἷον ὁ ἓξ καὶ δέκατος, καὶ ὁ ὀγδοηκοστὸς πέμπτος, καὶ ὀγδοηκοστὸς ἔνατος, καὶ ἑκατοστὸς πρῶτος, καὶ ἑκατοστὸς τεσσαρακοστὸς πρῶτος. Εὐχαριστίαι δέ εἰσιν οἱ ὁμοίως ἔχοντες τῷ ἑκατοστῷ δευτέρῳ, ἐν ᾧ εἴρηται· «Εὐλόγει, ἡ ψυχή μου τὸν Κύριον, καὶ μὴ ἐπιλανθάνου πάσας τὰς ἀνταποδόσεις αὐτοῦ», καὶ τὰ ἑξῆς. Ἔντευξιν δὲ περιέχει ὁ μετὰ χεῖρας, ἐν ᾧ γέγραπται· «Κρῖνόν με, Κύριε, ὅτι ἐγὼ ἐν ἀκακίᾳ μου ἐπορεύθην», καὶ τὰ ἑξῆς.

Ἐρεῖς οὖν, ἐπειδὴ ὄντως ἤρξατο ὁ Δαυΐδ, ὡς οἱ θεοφιλεῖς ἄνδρες ἐν τοῖς ἑαυτῶν τοῦ βίου κατορθώμασιν εἶχόν τινα πλεονεκτήματα ἐξαίρετα, ἐν οἷς ἕκαστος αὐτῶν ἰδίως διαπρεπὴς γέγονεν· οἷον ὡς ἐπὶ παραδείγματος, Ἰωσὴφ ἐν σωφροσύνῃ, Ἰὼβ τῇ τῶν δεινῶν ὑπομονῇ, Σολομὼν ἐν σοφίᾳ καὶ φρονήσει· Ἀβραὰμ διὰ τῆς πίστεως δεδικαιῶσθαι λέγεται· καὶ ἄλλος πάλιν ἐν ἄλλῳ ἀρετῆς ἀγῶνι μεμαρτύρηται διαλάμψας. Τούτοις οὖν ὁμοίως καὶ ὁ Δαυΐδ ἐξαίρετον ἀρετὴν κτησάμενος ἀναγέγραπται τὴν ἀνεξικακίαν· δι' ἣν καὶ τὸν Σαοὺλ ἤνεγκε, μυρία κατ' αὐτοῦ δεδρακότα, ἅπερ πράως καὶ ἀνεξικάκως ὑπομείνας ἀναγέγραπται. Ἐπεὶ τοίνυν ἐξαίρετος ἦν αὕτη τοῦ Δαυΐδ ἀρετή, λέγω δὲ ἡ τῆς πραότητος καὶ ταπεινοφροσύνης καὶ ἀνεξικακίας, ταῦτα πάντα ὁμοῦ περιλαβὼν ἀκακίαν αὐτὰ ὠνόμασε· καὶ ὡς ἐν τούτῳ μάλιστα τῷ μέρει κατορθώσας, ἐν τῇ πρὸς τὸν Θεὸν ἐντεύξει φησί· «Κρῖνόν με, Κύριε, ὅτι ἐγὼ ἐν ἀκακίᾳ μου ἐπορεύθην.» Ἐπεὶ δὲ μέγα περὶ ἑαυτοῦ ἀπεφήνατο, ὥσπερ ἐγκαυχησάμενος τῷ ἐξαιρέτῳ ἑαυτοῦ κατορθώματι τῆς ἀκακίας ἢ τῆς ἁπλότητος, ἐπιλαμβάνεται αὐτὸς ἑαυτοῦ καὶ ἐπιλέγει ἀναγκαίως ἑξῆς· «Καὶ ἐπὶ τῷ Κυρίῳ ἐλπίζων οὐ μὴ ἀσθενήσω.» Ἀναγκαίως οὖν συνέπλεξεν ἑαυτὸν τῇ ἐπὶ τὸν Κύριον ἐλπίδι, καὶ ἑαυτοῦ κατηγορεῖ, ὡς δυναμένου σαλευθῆναι καὶ ἐκτραπῆναι καὶ ἐξασθενῆσαι. Πλὴν οὐδὲν πείσεσθαι διὰ τὴν εἰς Θεὸν ἐλπίδα θαρρῶν διεβεβαιοῦτο· ᾔδει γάρ, ὅτι ἡ ἐλπὶς οὐ καταισχύνει [1], κατὰ τὸν Ἀπόστολον.

Στίχ. β', γ'. «Δοκίμασόν με, Κύριε, καὶ πείρασόν με· πύρωσον τοὺς νεφρούς μου καὶ τὴν καρδίαν μου. Ὅτι τὸ ἔλεός σου κατ-

1. Ῥωμ. 5, 5.

έναντι τῶν ὀφθαλμῶν μου ἐστί, καὶ εὐηρέστησα ἐν τῇ ἀληθείᾳ σου.»

Οὐχ ὡς ἀλαζονευόμενος, οὐδ ἐπαιρόμενος ἔλεγε τό· «Δοκίμασον με, Κύριε, καὶ πείρασόν με· πύρωσον τοὺς νεφρούς μου καὶ τὴν καρδίαν μου·» ἀλλ' ὡς ἐν εὐχῇ παρακαλῶν ὑπὸ τοῦ Θεοῦ καθαρθῆναι διὰ τῆς πυρώσεως, εἰ δέοιτο καθάρσεως. Παρακαλεῖ τοίνυν δοκιμασθῆναι καὶ πειρασθῆναι τὴν προλεχθεῖσαν αὐτοῦ ἀρετήν, καθ' ἣν διαπρέψας ἀποδέδεικται, οὐκ ἐφ' ἑαυτῷ πεποιθώς, ἀλλ' ἐπὶ τῷ τοῦ Θεοῦ ἐλέῳ. Οὕτω γοῦν, φησί, διὰ παντὸς σὲ τὸν Θεὸν καὶ τὸν σὸν ἔλεον πρὸ ὀφθαλμῶν ἔχων, πάντα τὸν ἐμαυτοῦ βίον καὶ πάσας μου τὰς πράξεις ἐπαιδαγώγουν, ὡς εὐαρεστῆσαι ἐν τῇ ἀληθείᾳ σου. Οὐ γὰρ μεθ' ὑποκρίσεως, ἀλλ' ἐν ἀληθείᾳ περιεπάτησα καὶ ἀνεστράφην, μόνῳ τῷ Θεῷ εὐαρεστῆσαι σπουδάζων.

Στίχ. δ', ε'. «Οὐκ ἐκάθισα μετὰ συνεδρίου ματαιότητος, καὶ μετὰ παρανομούντων οὐ μὴ εἰσέλθω. Ἐμίσησα ἐκκλησίαν πονηρευομένων, καὶ μετὰ ἀσεβῶν οὐ μὴ καθίσω.»

Εἴ που τοίνυν συνήρχοντο κατὰ τὸ αὐτὸ ἄνδρες οὐ σπουδαῖοι, οὐδ' ἐπὶ σπουδαίοις πράγμασι συνεδρεύοντες, ἐπὶ ματαίοις δὲ καὶ οὐκ ἀναγκαίοις ποιούμενοι τὴν σύνοδον· τούτους, φησίν, ἔφυγον, ὥστε μὴ συμπεριπλέκεσθαι αὐτῶν τῇ ματαιότητι,*** ὡς καὶ παρὰ τὸν θεῖον νόμον τολμᾶν τινὰ δρᾶν· καὶ τούτους ἔτι μᾶλλον ἔφυγον, παραιτούμενος τὴν ἅμα αὐτοῖς εἰς τὴν πλάνην εἴσοδον. Καὶ εἴ ποτε δὲ ἑώρων ἐκκλησιάζοντάς τινας, καὶ οὐκ ἐπὶ ματαιότητος συνερχομένους, ἀλλ' οὐδ' ἐπὶ παρανόμοις ἔργοις, ἀλλ' ἐπὶ πονηροῖς καὶ ἀσεβέσι δόγμασιν, ἐν ἐκκλησίᾳ δῆθεν συγκροτουμένους, τούτους δὴ μάλιστα παρὰ τοὺς προλεχθέντας μίσους ἀξίους ἡγούμην. Καὶ ἕτερον δὲ τάγμα παρὰ τὰ προλελεγμένα εἰδώς, τὸ τῶν ἀσεβῶν, τῶν τὸν Θεὸν μὴ εἰδότων, εἰδωλολατρείαις καὶ πλάνῃ καλινδουμένων, ἀνεχώρουν αὐτῶν, ὡς μηδὲ βούλεσθαι αὐτοῖς συγκαθέζεσθαι, μηδ' ἐπὶ πολὺ συγχρονίζειν, μὴ ἄρα τις ἐξ αὐτῶν γένοιτό μοι μετάδοσις ἀσεβείας· διὸ φημί· «Καὶ μετὰ ἀσεβῶν οὐ μὴ καθίσω.»

Στίχ. ς'-η'. «Νίψομαι ἐν ἀθώοις τὰς χεῖράς μου, καὶ κυκλώσω τὸ θυσιαστήριόν σου, Κύριε, τοῦ ἀκοῦσαι φωνῆς αἰνέσεως, καὶ διηγήσασθαι πάντα τὰ θαυμάσιά σου. Κύριε, ἠγάπησα εὐπρέπειαν οἴκου σου, καὶ τόπον σκηνώματος δόξης σου.»

Κυκλῶν σου τὸ θυσιαστήριον, ὕμνους ἀνέπεμπον ἀντὶ θυσίας, καὶ τὴν ἐμὴν φωνὴν ἀκουστὴν ἐποίουν τοῖς πλησιάζουσιν, ὥστε πάντας ἀκούειν τῆς ἐμῆς φωνῆς αἰνούσης σε τὸν Θεὸν καὶ διηγουμένης πάντα τὰ θαυμάσιά σου. Ἐν γὰρ τοῖς εἰς σὲ ὕμνοις συμπαρελάμβανον τὰς θαυμασίας σου πράξεις, ἃς ἐνεδείξω τοῖς ἡμετέροις προπάτορσιν. Οὐ μόνον δὲ τὸ θυσιαστήριόν σου ἐκύκλουν, ἀλλὰ καὶ πάντα τὸν οἶκόν σου ἠγάπησα, Κύριε· καὶ τούτου μάλιστα τὴν εὐπρέπειαν θεωρουμένην ἐν εὐσεβέσι δόγμασι καὶ λόγοις, ἔν τε τοῖς θεοπνεύστοις ἀναγνώσμασιν. Εὐπρέπεια δὲ εἴη τοῦ οἴκου τοῦ Θεοῦ καὶ ὁ τῶν συνερχομένων

κόσμος, ὅ τε βίος ὁ ἀνεπίληπτος καὶ τὸ κόσμιον τοῦ πλήθους, καὶ ἡ ὁμοφροσύνη τῶν συνερχομένων. Ἀλλ' ἐπεὶ καὶ αὐτὸ ἔδαφος δι' ὑπερβολὴν τῆς πρὸς Θεὸν ἀγάπης ἀγαπητὸν τυγχάνει ταῖς φιλοθέοις ψυχαῖς, ἕτερον ὂν παρὰ τὴν ἀποδοθεῖσαν ἡμῖν εὐπρέπειαν τοῦ οἴκου τοῦ Θεοῦ, εἰκότως ἐπιλέγει· «Καὶ τόπον σκηνώματος δόξης σου.»

Στίχ. ια', ιβ'. «Ἐγὼ δὲ ἐν ἀκακίᾳ μου ἐπορεύθην· λύτρωσαί με, Κύριε, καὶ ἐλέησόν με. Ὁ πούς μου ἔστη ἐν εὐθύτητι, ἐν ἐκκλησίαις εὐλογήσω σε, Κύριε.»

Ἐπεὶ τοίνυν ᾧ μέτρῳ μετροῦμεν «ἀντιμετρηθήσεται ἡμῖν», καὶ ἐν ᾧ κρίματι κρίνομεν [1], κριθησόμεθα, διὰ τοῦτο συνεχῶς τὴν ἀκακίαν προβάλλεται, τουτέστι τὴν ἀμνηστίαν κακῶν, καὶ τὴν πρὸς τοὺς εἰς αὐτὸν ἡμαρτηκότας ἀνεξικακίαν· ὡς ἂν καὶ αὐτὸς τῆς ἴσης παρὰ τοῦ Θεοῦ τύχοι ἀμνηστίας ἐπὶ τῷ συμβεβηκότι αὐτῷ σφάλματι. Καὶ ταῦτα ἱκετεύσας ἐπιθειάζει τῷ ἁγίῳ καὶ προφητικῷ Πνεύματι λέγων ἑξῆς· «Ὁ πούς μου ἔστη ἐν εὐθύτητι, ἐν ἐκκλησίαις εὐλογήσω σε, Κύριε.» Προφητεύει γάρ, ὅτι, εἰ καί ποτε γέγονεν ἐν τοῖς ποσὶν αὐτοῦ σάλος καὶ κλόνος καὶ κίνησις· ἀλλ' οὐ πεσεῖται ἐπὶ τούτοις, στήσεται δὲ ἐν εὐθύτητι, μέλλων ἐν ἐκκλησίαις εὐλογεῖν τὸν Θεόν, τὴν διὰ πασῶν τῶν ἐκκλησιῶν τοῦ Θεοῦ μνήμην ἑαυτοῦ προαναφωνήσας· εἰς ἔτι γοῦν καὶ σήμερον καθ' ὅλης τῆς οἰκουμένης ἐν ταῖς Χριστοῦ ἐκκλησίαις ὁ Δαυῒδ εὐλογεῖ τὸν Κύριον.

ΤΩ ΔΑΥΙΔ ΚϚ'.

Στίχ. α', β'. «Κύριος φωτισμός μου, καὶ σωτήρ μου, τίνα φοβηθήσομαι; Κύριος ὑπερασπιστὴς τῆς ζωῆς μου, ἀπὸ τίνος δειλιάσω;»

Καὶ διὰ τοῦτο τί διδάσκει τὸ Πνεῦμα τὸ προφητικόν; Ὅπως προσήκει τὸν τῷ Θεῷ ἀνακείμενον εὐχαριστεῖν αὐτῷ, καὶ ὁποῖα παρὰ τοῦ Θεοῦ αἰτεῖν. Περιέχει δὲ ὁ λόγος εὐχαριστίαν. Εἰκότως τοίνυν οὔτε ψαλμός, οὔτε ᾠδή, οὔτε τι τῶν παραπλησίων ἐπιγέγραπται· «Κύριος φωτισμός μου καὶ σωτήρ μου, τίνα φοβηθήσομαι;» Ὁ μὲν τὴν ψυχὴν ἐν νυκτὶ καὶ σκότῳ καλινδούμενος, οὐκ εἰδὼς ὅποι φέρεται καὶ ὅπως προσκόπτει, μυρία κακὰ φοβηθήσεται, ὡς ἂν παντελῶς ἐπισπώμενος· ὅθεν πάντα φόβον ὑπιδόμενος καταπτήσσει, καὶ τῆς εἰς τὸν Θεὸν ὁμολογίας ἔξαρνος γίνεται. Ὁ δὲ τῆς ψυχῆς τοὺς ὀφθαλμοὺς ὑπὸ τῆς Κυρίου ἐλλάμψεως φωτισθεὶς πρῶτον μὲν ἁπάντων αὐτὸν τὸν αὐτοῦ πρόμαχον καὶ σωτῆρα ὁπόσος τίς ἐστι θεωρεῖ· εἶτ' ἔργῳ παραλαβών, ὡς ὁ τῶν ἁπάντων δεσπότης καὶ Κύριος, θυρεὸς αὐτοῦ καὶ ὅπλον ἄμαχον καὶ ὑπερασπιστὴς καθέστηκεν, ἀτρεμὴς γίνεται, καὶ ἅτε τοὺς ὀφθαλμοὺς τῆς ψυχῆς ἀτρεμεῖς ἔχων, καὶ πεφωτισμένους, πάντας τοὺς ἑαυτοῦ ἐχθρούς, εἴτε τοὺς τὸν Θεὸν ἀγνοοῦντας ἀνθρώ-

1. Ματθ. 7, 2.

πους, εἴτε τὰς ἀοράτους καὶ πονηρὰς δυνάμεις, ἐρήμους ὁρᾷ τοῦ τοσούτου σωτῆρος καὶ βοηθοῦ, καὶ ὡς ἤδη πεπτωκότας θεωρεῖ· διὸ πάσης αὐτῶν τῆς ἐπιβουλῆς καταγελᾷ θαρσῶν τῷ ἑαυτοῦ ὑπερμάχῳ· διό φησιν· Εἰ μὲν μή μοι ὁ τοσοῦτος παρῆν βοηθός, φωτίζων μου τὴν ψυχὴν καὶ ὑπερασπίζων μου τῆς ζωῆς, εἰκότως ἐφοβήθην ἂν «τὰς ἀρχὰς καὶ τὰς ἐξουσίας καὶ τοὺς κοσμοκράτορας τοῦ σκότους τούτου, καὶ τὰ πνευματικὰ τῆς πονηρίας[1]», τούς τε ὑπὸ τούτων ἐνεργουμένους, καὶ κατὰ τῶν τοῦ Θεοῦ ἀθλητῶν ἐπανισταμένους. Ἱκανοὶ γὰρ ἦσαν οὗτοι θορυβῆσαι τὴν ψυχήν μου μὴ πεφωτισμένην· ἐπεὶ δὲ αὐτὸς ὁ τῶν ὅλων δεσπότης, ὁ τοῦ Θεοῦ Υἱός, φωτισμὸς τυγχάνει, ὁ αὐτὸς δὲ καὶ σωτήρ μου ἐστίν, εἰκότως φήσαιμ' ἄν, «Τίνα φοβηθήσομαι;» Οὐδένα γὰρ ἐπιστραφήσομαι τῶν τοσούτων ἐχθρῶν, οὐδὲ ἀπό τινος τούτων δειλιάσω, θαρσῶν τῷ ὑπερασπιστῇ τῆς ζωῆς μου. Πάλιν δ' ἐνταῦθα τηρήσεις, ὡς τό, «Σωτήρ μου», ἐν τῷ Ἑβραϊκῷ, τὸ ὄνομα τοῦ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ αὐτοῖς χαρακτῆρσιν Ἑβραϊκοῖς περιέχει, ἐν οἷς ἄν τις τὸν «Ἰησοῦν» γράψειεν.

Ὁ δὲ ταῦτα λέγων διδάσκει ὁποίου πειραθεὶς τοῦ ἑαυτοῦ σωτῆρος, τῆς τῶν ἐχθρῶν ἐπιβουλῆς κατεγέλασε· διό φησιν· «Ἐν τῷ ἐγγίζειν ἐπ' ἐμὲ κακοῦντας, τοῦ φαγεῖν τὰς σάρκας μου, οἱ θλίβοντες καὶ οἱ ἐχθροί μου, αὐτοὶ ἠσθένησαν καὶ ἔπεσαν.» Οἱ μὲν ἐπίεσάν μοι θηρίων ἀτιθάσσων δίκην, μονονουχὶ καταπιεῖν με βουλόμενοι καὶ αὐτάς μου καταμασήσασθαι τὰς σάρκας. Διὸ λέλεκται παρὰ τῷ Συμμάχῳ· «Ἐν τῷ ἐγγίζειν ἐπ' ἐμὲ κακούργους εἰς τὸ καταφαγεῖν τὰς σάρκας μου.» Ἀλλ' οἱ ταῦτα κατ' ἐμοῦ διανοηθέντες, καὶ ἤδη πλησίον γενόμενοι τῶν ἐμῶν σαρκῶν, οὐκ οἶδ' ὅπως ἅπερ πρᾶξαι κατ' ἐμοῦ διενενόηντο, ταῦτα πεπόνθασιν· «Αὐτοὶ» γάρ, φησίν, «ἠσθένησαν, καὶ ἔπεσαν», οὐδὲν ἐμοῦ κατ' αὐτῶν ἐνηργηκότος· ἀλλὰ δηλαδὴ τοῦ ἐμοῦ φωτὸς καὶ τοῦ ἐμοῦ σωτῆρος ἀπορρήτῳ καὶ θεϊκῇ δυνάμει κατ' αὐτῶν στρατευσαμένου καὶ καταβαλόντος αὐτούς, ἵν' ἐγώ τε ῥυσθείην τῆς αὐτῶν ἐπιβουλῆς, καὶ μηδὲν βλαβείην, αὐτοί τε ὠφεληθεῖεν, τῆς ἑαυτῶν κακίας ἐξασθενήσαντες, κερδάναντες τῷ μὴ τὴν ἑαυτῶν αὐξῆσαι μοχθηρίαν διὰ τῆς κατ' ἐμοῦ βλάβης. Ἔν τισιν ἐπιγέγραπται, «Ψαλμὸς τοῦ Δαυῒδ πρὸ τοῦ χρισθῆναι.»

Στίχ. δ'. «Μίαν ᾐτησάμην παρὰ Κυρίου, ταύτην ἐκζητήσω· τοῦ κατοικεῖν με ἐν οἴκῳ Κυρίου πάσας τὰς ἡμέρας τῆς ζωῆς μου, τοῦ θεωρεῖν με τὴν τερπνότητα Κυρίου, καὶ ἐπισκέπτεσθαι τὸν ναὸν αὐτοῦ.»

Κάλλος Κυρίου καὶ εὐπρέπεια καὶ τερπνότης ἐν τῷ οἴκῳ τοῦ Θεοῦ θεωρεῖται, δηλαδὴ ἐν τῇ Ἐκκλησίᾳ αὐτοῦ, διὰ τῶν θεοπνεύστων καὶ ἱερῶν μαθημάτων, ἐν οἷς τὸ ἀληθινὸν τοῦ λόγου κάλλος, καὶ ἡ ἀληθὴς εὐπρέπεια, ᾗ καὶ αὐτὸς ἐπιτέρπεται ὁ Θεὸς καὶ ἐμπολι-

1. Ἐφ. 6, 12.

τεύεται. Οὐκ ἂν δὲ ἁμάρτοις εὐπρέπειαν λέγων καὶ τὸν σώφρονα καὶ σεμνὸν βίον καὶ πᾶσαν τὴν ἐνάρετον πολιτείαν τῶν ἐν θεοσεβείᾳ διαπρεπόντων.

Στίχ. ε'. «Ὅτι ἔκρυψέ με ἐν σκηνῇ· ἐν ἡμέρᾳ κακῶν ἐσκέπασέ με ἐν ἀποκρύφῳ τῆς σκηνῆς αὐτοῦ. Ἐν πέτρᾳ ὕψωσέ με.»

Ταῦτά μοι πάντα παρέσχεν ὁ Σωτήρ μου «ἐν τῷ ἐγγίζειν ἐπ' ἐμὲ κακοῦντας, τοῦ φαγεῖν τὰς σάρκας μου.» Οἱ μὲν γὰρ ἠσθένουν καὶ ἔπιπτον· ἐγὼ δὲ ὑπὸ τῆς αὐτοῦ δεξιᾶς ἐκρυπτόμην ἐν σκηνῇ κατοικῶν, διὰ τὸ ἐν ἐρημίαις τὰς διατριβὰς ποιεῖσθαι, καὶ μὴ ἔχειν τότε τὸν οἶκον τοῦ Θεοῦ, μηδὲ τὸν ναὸν αὐτοῦ. Ἀλλὰ καὶ ἐσκέπασέ με ἐν τῇ τῶν κακῶν ἡμέρᾳ, τουτέστιν ἐν καιρῷ τῶν διωγμῶν καὶ τῶν πειρατηρίων· οὐκ ἀλλαχοῦ που, ἀλλ' ἐν τῷ ἀποκρύφῳ τῆς σκηνῆς αὐτοῦ. Νοήσεις δὲ τὸ λελεγμένον ἀπὸ τῶν παρὰ Μωϋσεῖ περὶ τῆς σκηνῆς ἀναγεγραμμένων, καὶ περὶ τῶν ἐσωτάτω τῆς σκηνῆς τῶν τοῖς πᾶσιν ἀβάτων, ἅπερ ἐκάλουν Ἅγια ἁγίων. Ταῦτα γὰρ ἦν τὰ ἀπόκρυφα τῆς σκηνῆς. Οὕτω τοίνυν καὶ ἐν τῷ καιρῷ τῶν πειρατηρίων αὐτὸς ἐμὸς Κύριος καὶ Σωτὴρ ἐσκέπασε καὶ ἀπέκρυψέ με ἐν τῷ ἐσωτάτῳ τῆς αὐτοῦ σκηνῆς· οὐ πάντως ἐν τόπῳ τοίῳ δὴ καταστήσας, ἀλλ' ἐν ψυχῆς καταστάσει ἡγιασμένῃ καὶ τῆς τῶν πολλῶν κοινότητος ἀποκεχωρισμένῃ. Καὶ ταῦτα, φησί, περὶ ἐμὲ ἐγίνετο, μέχρι καιροῦ τῆς τῶν κακῶν ἡμέρας, κατὰ τὸ λελεγμένον ἐν ἑτέροις· «Βάδιζε, ὁ λαός μου, εἴσελθε εἰς τὰ ταμεῖά σου, ἀπόκλεισον τὴν θύραν σου, ἀποκρύβηθι μικρὸν ὅσον, ἕως ἂν παρέλθῃ ἡ ὀργὴ Κυρίου.[1]» Ἀλλ' οὐκ εἰς τὸ παντελὲς κρύπτεσθαί με βουληθείς, οὐδ' ἐν τῷ ἀποκρύφῳ τῆς σκηνῆς αὐτοῦ λανθάνειν, καὶ μόνον ὠφελεῖσθαι, χρήσιμον δὲ καὶ ἕτερον καταστῆναι κρίνας, ἐπὶ τέλει τῆς τῶν κακῶν ἡμέρας «ἐν πέτρᾳ ὕψωσέ με. Ἡ πέτρα δὲ ἦν», φησὶν ὁ Ἀπόστολος, «ὁ Χριστός.[2]» Ἐν γὰρ τῷ αὐτοῦ λόγῳ, καὶ τῇ αὐτοῦ σοφίᾳ, καὶ τῇ δυνάμει τῇ σωτηρίῳ ὕψωσέ με ὁ πάλαι ἀποκρύψας ἐν τῇ σκηνῇ αὐτοῦ, καὶ σκεπάσας ἐν ἀποκρύφῳ τῆς σκηνῆς αὐτοῦ ἐν ἡμέρᾳ κακῶν. Παραγαγὼν γὰρ τὰ κακὰ καὶ τὸν καιρὸν τῶν ἐχθρῶν καὶ τῶν θλιβόντων με πολεμίων, εἰς εὔδιον καὶ εἰρηναῖον λιμένα κατέστησεν, ἀγαγών τε εἰς τὸ ἐμφανὲς τὸν πάλαι κρυπταζόμενον, μετέωρον ἐπῆρε καὶ ὑψηλὸν ἔστησεν, ὡς πᾶσιν ὁρᾶσθαι καὶ παρὰ τοῖς πᾶσι δοξάζεσθαι, ἡδρασμένον καὶ τεθεμελιωμένον ἐν τῇ ἀρραγεῖ καὶ ἀσφαλεστάτῃ αὐτοῦ πέτρᾳ.

Στίχ. ς'. «Καὶ νῦν ὕψωσε κεφαλήν μου ἐπ' ἐχθρούς μου.»

Νοήσεις ἐπιστήσας ὅπως εἴρηται παρὰ τῷ Ἀποστόλῳ τό· «Ἕως οὗ τὸ σήμερον καλεῖται.[3]» Οὕτω γὰρ ἐρεῖς καὶ ἐπὶ τοῦ παρόντος τὸ διαρκὲς τοῦ χρόνου σημαίνεσθαι. Ὁ γὰρ τοῦ Θεοῦ ἄνθρωπος, τὰ νικητήρια κατὰ τῶν ἐχθρῶν εἰληφώς, ἀεὶ τῆς τῶν ἐχθρῶν κεφαλῆς ἀνώτερος γίνεται· οὕτως καὶ αὐτὸς ὁ Δαυΐδ μέχρι τοῦ παρόντος

1. Ἡσ. 26, 20. 2. Α' Κορ. 10, 4. 3. Ἑβρ. 3, 13.

χρόνου ἐπαίρεται καὶ ὑψοῦται, καθ' ὅλης τῆς οἰκουμένης ᾀδόμενος καὶ βοώμενος παρὰ πᾶσι τοῖς ἔθνεσι, καὶ ὕψωταί γε ἀληθῶς ἡ κεφαλὴ αὐτοῦ ἐπὶ τοὺς πάλαι γενομένους αὐτοῦ ἐχθρούς, τὰς ἀοράτους δυνάμεις. Ὁ δὲ τοῦ Θεοῦ ἄνθρωπος, τοῦτον ὑψωθεὶς τὸν τρόπον, οὐκ ἀργίᾳ ἑαυτὸν δίδωσιν, οὐδὲ ἀπραξίᾳ, πλείονα δὲ σπουδὴν περὶ τὴν τοῦ Θεοῦ λατρείαν εἰσφέρει. Διὸ ἐπιλέγει· «Ἐκύκλωσα καὶ ἔθυσα ἐν τῇ σκηνῇ αὐτοῦ θυσίαν ἀλαλαγμοῦ.» Αὗται δὲ ἦσαν αἱ διὰ φωνῆς καὶ θεολογίας ὕμνων τε καὶ εὐχαριστίας ἀναπεμπόμεναι. Ἐν μὲν οὖν τῷ πρὸ τούτου ψαλμῷ μελλητικῶς ἐδιδάσκετο λέγειν ὁ τὰ θεῖα παιδευόμενος· «Νίψομαι ἐν ἀθώοις τὰς χεῖράς μου, καὶ κυκλώσω τὸ θυσιαστήριόν σου, Κύριε·[1]» ἐνταῦθα δὲ ὡς ἤδη προκύψας καὶ τυχὼν τῆς εὐχῆς τὸ ἀποτέλεσμα τῆς ἐπαγγελίας, ἐπάγει λέγων· «Ἐκύκλωσα καὶ ἔθυσα ἐν τῇ σκηνῇ αὐτοῦ θυσίαν ἀλαλαγμοῦ·» καὶ ἐν μὲν τοῖς ἔμπροσθεν ἐλέγετο· «Τοῦ ἀκοῦσαι φωνὴν αἰνέσεως·[2]» ἐνταῦθα δέ· «Ἄσω καὶ ψαλῶ τῷ Κυρίῳ.»

Στίχ. ζ', η'. «Εἰσάκουσον, Κύριε, τῆς φωνῆς μου, ἧς ἐκέκραξα· Ἐλέησόν με καὶ εἰσάκουσόν μου. Σοὶ εἶπεν ἡ καρδία μου· Ἐζήτησέ σε τὸ πρόσωπόν μου· τὸ πρόσωπόν σου, Κύριε, ζητήσω.»

Ἀντὶ δὲ τοῦ· «Σοὶ εἶπεν ἡ καρδία μου, Ἐζήτησέ σε τὸ πρόσωπόν μου», ὁ Σύμμαχος σαφέστερον ἐξέδωκεν εἰπών· «Σοὶ προσελάλει ἡ καρδία μου· σὲ ἐζήτει τὸ πρόσωπόν μου.» Τὸ γὰρ τῆς ψυχῆς πρόσωπον τὴν ἁρμόττουσαν θέαν ἐπόθει. Τούτου δὲ καὶ Μωϋσῆς ποτε τυχεῖν ἠξίου λέγων τῷ Θεῷ· «Ἰδοὺ εὕρηκα χάριν ἐνώπιόν σου· ἐμφάνισόν μοι σεαυτόν· γνωστῶς ἴδω σε·[3]» ὅπως ἀνακεκαλυμμένῳ προσώπῳ τὴν δόξαν Κυρίου κατοπτρίζοιτο. Διό φησι· «Τὸ πρόσωπόν σου, Κύριε, ζητήσω· μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ.» Εἰ γὰρ εἰς ἄκρον τελειότης, καὶ ἡ κατὰ Θεὸν ὑστάτη προκοπὴ αὕτη ἂν γένοιτο, ἡ ἐπὶ τὸ πρόσωπον ἄγουσα τοῦ Θεοῦ, ὡς παρεστάναι αὐτῷ καὶ τῶν μαρμαρυγῶν τῆς αὐτοῦ θεότητος ἀπολαύειν.

Εἰδὼς δέ, ὅτι πολλάκις ἀπὸ τῶν μὴ χωρούντων τὸ αὐτοῦ πρόσωπον μηδὲ ἐξιων (sic) [ἐξ υἱῶν] αὐτοῦ ὄντων, ἀποστρέφει ἑαυτόν, τὰ νῶτα ἑαυτοῦ δεικνύς, ὥσπερ οὖν τῷ Μωυσεῖ ἔλεγεν· «Ὄψει τὰ ὀπίσω μου, τὸ δὲ πρόσωπόν μου οὐκ ὀφθήσεταί σοι·[4]» ἵν οὖν μὴ τοῦτο πάθοι ὁ διὰ τῶν προκειμένων δηλούμενος, ἱκετεύει καὶ δέεται λέγων· «Μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ· μὴ ἐκκλίνῃς ἐν ὀργῇ ἀπὸ τοῦ δούλου σου. Βοηθός μου γενοῦ, μὴ ἀποσκορακίσῃς με, καὶ μὴ ἐγκαταλίπῃς με, ὁ Θεὸς ὁ Σωτήρ μου. Ὅτι ὁ πατήρ μου καὶ ἡ μήτηρ μου ἐγκατέλιπέ με· ὁ δὲ Κύριος προσελάβετό μου.» Μή, ὅτι τοιαῦτα τετόλμηκα, ἀποστράφῃς με τὸν δοῦλόν σου. Οὐ γὰρ ἐφεῖται ἀνθρώπῳ σάρκα περιβεβλημένῳ τῶν τοιούτων ἀξιοῦσθαι· διὸ ἔλεγες τῷ Μωϋσεῖ· «Οὐδεὶς ὄψεται τὸ πρόσωπόν μου, καὶ ζήσεται.[5]» Ἀδυνατεῖ

1. Ψαλμ. 25, 6. 2. Ψαλμ. 25, 7. 3. Ἔξ. 33, 13. 4. Ἔξ. 33, 23. 5. Ἔξ. 33, 20.

γὰρ ἡ θνητὴ ζωὴ πρὸς τὴν θέαν τοῦ προσώπου σου· διὸ μᾶλλον «βοηθός μου γενοῦ» πρὸς τὸ τυχεῖν τῶν ἠτημένων. «Μὴ ἀποσκορακίσῃς με·» ἀνθ' οὗ ὁ Σύμμαχος, «Μὴ ἀπορρίψῃς με», ἐξέδωκεν· ὁ δὲ Ἀκύλας· «Μὴ ἐάσῃς με.» Εἶτ' ἐπιλέγει· «Καὶ μὴ ἐγκαταλίπῃς με, ὁ Θεὸς ὁ Σωτήρ μου.» Σοῦ γὰρ ἀντιλαμβανομένου, καὶ δεξιὰν ὀρέγοντος, πάντων ἐλπὶς τυχεῖν τῶν ἀγαθῶν. Ἐπεὶ μηδεὶς ἕτερός μοι πάρεστι βοηθός· τῶν γὰρ ἐν ἀνθρώποις ἀναγκῶν οὐδεὶς ἂν γένοιτο πατρὸς καὶ μητρὸς μᾶλλον προσφιλής· οὗτοι δὲ αὐτοὶ καταλελοίπασί με διὰ τὸ πάντων αὐτῶν ἀνακεχωρηκέναι, καὶ σοὶ μόνῳ σχολάζειν τῷ Θεῷ. Ὅθεν καὶ χάριν ὁμολογῶ, ὅτι πάντων ἔρημος καὶ καταλειφθεὶς ὑπὸ σοῦ προσελήφθην.

Στίχ. ια', ιβ'. «Νομοθέτησόν με ἐν τῇ ὁδῷ σου, καὶ ὁδήγησόν με ἐν τρίβῳ εὐθείᾳ ἕνεκα τῶν ἐχθρῶν μου. Μὴ παραδῷς με εἰς ψυχὰς θλιβόντων με, ὅτι ἐπανέστησάν μοι μάρτυρες ἄδικοι, καὶ ἐψεύσατο ἡ ἀδικία ἑαυτῇ.»

Πολλάκις περὶ ἑαυτοῦ ὁ θεῖος Ἀπόστολος διδάξας καὶ εἰπών· «Οὐδὲν γὰρ ὑστέρηκα τῶν ὑπὲρ λίαν ἀποστόλων·[1]» τούτοις ἐπῆγε λέγων· «Οὐχ ὅτι ἤδη ἔλαβον ἢ ἤδη τετελείωμαι· διώκω δὲ εἰ καὶ καταλάβω·[2]» καὶ πάλιν ἀλλαχοῦ· «Ὑπωπιάζω μου τὸ σῶμα, καὶ δουλαγωγῶ· μήπως, ἄλλοις κηρύξας, αὐτὸς ἀδόκιμος γένωμαι.[3]» Ὅσον μὲν γὰρ ὡς πρὸς ἀνθρώπων σύγκρισιν, συνῄδει ἑαυτῷ προκεκοφότι, καὶ τὴν ἐν ἀνθρώποις τελειότητα ἀνειληφότι· ὅσον δὲ ἐπὶ τῷ ἀληθεῖ, ἐν πολλοῖς ἑαυτῶν ὑστερεῖν ἐγίνωσκεν, ἀτελῆ τε εἶναι ἑαυτὸν δια τοῦθ' ὡμολόγει. Ταύτῃ μοι δοκεῖ τῇ διανοίᾳ καὶ ὁ τὰ προκείμενα διεξελθὼν περὶ μὲν τῶν παρῳχηκότων τὴν πρέπουσαν εὐχαριστίαν ἀποδεδωκέναι τῷ Θεῷ, οἷα δὲ ἄνθρωπος τὸν ὄλισθον τῆς ἀνθρωπίνης ἀσθενείας ὑφορᾶσθαι. Διὸ περὶ τοῦ μέλλοντος χρόνου παρεκάλει τὸν Θεόν, ὅπως αὐτὸς αὐτῷ γένοιτο νομοθέτης. Οὐ γὰρ ἀπαρκεῖ μοι, φησί, τὰ παρὰ Μωϋσεῖ νόμιμα· δικαίοις γὰρ ὁ νόμος ἐκεῖνος οὐ νενομοθέτητο, ἀλλ' ἀνόμοις καὶ ἀνυποτάκτοις, ἀσεβέσι καὶ ἁμαρτωλοῖς καὶ τοῖς παραπλησίοις. Τούτοις γὰρ ὁ Μωϋσῆς ἐνομοθέτει, κατὰ τὴν σκληροκαρδίαν αὐτῶν διαταττόμενος. Ἐγὼ δέ, φησίν, οὐ τῇ Μωϋσέως νομοθεσίᾳ ὑποβέβληκα ἐμαυτόν. Διὸ οὐδὲ τὴν διὰ ζῴων σφαγῆς θυσίαν ἐπηγγειλάμην, ἀλλὰ θυσίαν ἀλαλαγμοῦ, καινότερον τρόπον ἢ κατὰ τὰ Μωϋσέως νόμιμα. Διόπερ ἀξιῶ καινῆς νομοθεσίας παρὰ σοῦ τυχεῖν. Αὐτὸς οὖν τὴν σὴν ὁδὸν ἐπίδειξόν μοι· ἢ «φώτισον», κατὰ τὸν Ἀκύλαν. Μὴ μόνον δὲ ὑποδείξῃς μηδὲ νομοθετήσῃς μοι, ὦ Κύριε, ἀλλὰ καὶ ὁδήγησόν με ἐν τρίβῳ εὐθείᾳ, πρὸς τὸ μὴ προσκόψαι πρὸς λίθον τὸν πόδα μου, «ἕνεκεν τῶν ἐχθρῶν μου. Μὴ παραδῷς με εἰς ψυχὰς θλιβόντων με.» Δι' ὁμαλῆς γὰρ ὁδοῦ καὶ εἰρηνικῆς ὅπως διαγάγῃς με ἀξιῶ τὸν τῆς ζωῆς μου χρόνον. Οὐ γὰρ μόνον πολέμιοι τυγχάνουσιν, ἀλλὰ καὶ συκο-

1. Β' Κορ. 12, 11. 2. Φιλιπ. 3, 12. 3. Α' Κορ. 9, 27.

φάνται ἄδικοι καὶ ψευδομάρτυρες, καὶ πάντα τὰ ἐχθρῶν πράττοντες. Τότε δὲ ἀληθῶς ἑαυτῇ ψεύδεται ἡ ἀδικία, ὅταν μὴ κατὰ πραγμάτων φέρηται, μηδὲ κατισχύῃ τῶν ψευδομαρτυρουμένων.

Στίχ. ιγ΄. «Πιστεύω τοῦ ἰδεῖν τὰ ἀγαθὰ Κυρίου ἐν γῇ ζώντων.»

Μήποτε δὲ καὶ ἐπὶ τὴν ἀνωτέρω αἴτησιν ἀναπέμπει· ἀγαθὰ Κυρίου λέγων τὸ ἀνωτέρω εἰρημένον πρόσωπον αὐτοῦ, περὶ οὗ ἔφασκε· «Τὸ πρόσωπόν σου, Κύριε, ζητήσω. Μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ.» Διὸ κατὰ τὸν Ἀκύλαν εἴρηται· «Ἐπίστευσα τοῦ ἰδεῖν ἐν ἀγαθῷ Κυρίου·» κατὰ δὲ τὸν Σύμμαχον· «Ἐπίστευον ἰδεῖν τὴν ἀγαθοσύνην Κυρίου.» Ἀλλ' ὄψεταί γε τοῦ Κυρίου τὸ πρόσωπον καὶ τὰ ἀγαθὰ Κυρίου, οὐκ ἐν τῷ περιγείῳ τόπῳ, ἀλλ' οὐδὲ ἐν τῷ τῶν θνητῶν χωρίῳ, ἀλλ' ἐν γῇ ζώντων, ἣν καὶ ὁ Σωτὴρ ἐπηγγείλατο λέγων· «Μακάριοι οἱ πραεῖς, ὅτι αὐτοὶ κληρονομήσουσι τὴν γῆν.[1]»

ΤΩ ΔΑΥΙΔ ΚΖ΄.

Στίχ. α΄. «Πρός σέ, Κύριε, κεκράξομαι, ὁ Θεός μου, μὴ παρασιωπήσῃς ἀπ' ἐμοῦ, μήποτε παρασιωπήσῃς ἐπ' ἐμοί, καὶ ὁμοιωθήσομαι τοῖς καταβαίνουσιν εἰς λάκκον.»

Οὐκ ἐπιλελησμένοι τῶν ἔμπροσθεν ἡμῖν λελεγμένων περὶ τῶν ἄνευ τινὸς προσθήκης ἐπιγεγραμμένων «τῷ Δαυΐδ», ἢ «τοῦ Δαυΐδ», προσθήσομεν ἐκείνοις ἐπὶ τοῦ παρόντος τὴν εἰς ἡμᾶς ἐλθοῦσαν παράδοσιν. Φασὶ τοίνυν Ἑβραίων παῖδες ἐπὶ τῶν τοιαύτην ἐχόντων γραφήν, δεῖν ἀνατρέχειν ἐπὶ τοὺς ἀνωτέρω, καὶ σκοπεῖν ὁποῖος ἦν ὁ ἐν ἀρχῇ προτεταγμένος ψαλμὸς τῶν μετὰ ταῦτα, ἤτοι παντελῶς ἀνεπιγράφων, ἢ «τῷ Δαυΐδ» ἐπιγεγραμμένων· καὶ μαθόντες ἐξ ἐκείνου τὴν προγραφήν, ἐφαρμόζειν αὐτῇ καὶ τῶν μετὰ ταῦτα συνημμένων τὴν διάνοιαν. Ὁ μὲν οὖν μετὰ χεῖρας, κζ΄ ὤν, ταύτην ἔχει τὴν προγραφήν, καὶ ὁ κς΄ καὶ ὁ κε΄ καὶ ὁ κδ΄· ἀλλ' ὁ κγ΄ «ψαλμὸς» ἦν «τῷ Δαυΐδ», ὁμοίως δὲ καὶ ὁ κβ΄. Οὐκοῦν ἀκόλουθόν ἐστι, κατὰ τὴν Ἑβραϊκὴν παράδοσιν, καὶ τοὺς ἐφεξῆς πάντας ψαλμοὺς εἶναι ὑπολαμβάνειν, ὡς, κατὰ τοῦτον τὸν λόγον, καὶ τὸν μετὰ χεῖρας ἡγεῖσθαι εἶναι ψαλμόν, περιέχοντα δέησιν.

Τοῦτο γὰρ παρίστησιν αὐτὸς προϊὼν καὶ λέγων· «Εἰσάκουσον τῆς φωνῆς τῆς δεήσεώς μου ἐν τῷ δέεσθαί με πρὸς σέ.» Τίνα δὲ διάνοιαν περιέχει ὁ τῆς δεήσεως λόγος, φέρε κατανοήσωμεν. Βοᾶν φησὶ πρὸς Κύριον, ἐπικαλεῖσθαί τε αὐτὸν ὡς ἴδιον αὐτοῦ Θεόν. Σὺ γάρ, φησίν, ὁ καταξιώσας ἐμὸς χρηματίσαι Θεός, καθ' ἣν περιποιῆσαι πρὸς τοὺς ἁγίους ἐπαγγελίαν εἰπών· «Καὶ ἔσομαι αὐτῶν Θεός, καὶ αὐτοὶ ἔσονταί μοι λαός.[2] Παράδεξαί μου τὴν δέησιν. Καὶ μὴ παρασιωπήσῃς ἀπ' ἐμοῦ, μήποτε παρασιωπήσῃς ἀπ' ἐμοῦ, καὶ ὁμοιωθήσομαι τοῖς

1. Ματθ. 5, 4. 2. Ἱερ. 7, 23.

καταβαίνουσιν εἰς λάκκον.» Ταῦτα δ' ἔφασκεν ἐν ἀγωνίᾳ καθεστώς· μή πῃ ἄρα τοῖς μετὰ τὴν ἀνάλυσιν τοῦ θνητοῦ βίου καταβαίνουσιν εἰς τὸν τοῦ θανάτου λάκκον παρομοιωθείη. Εἰ γὰρ τὰ μάλιστα ἐν τῷ πρὸ τούτου ἔλεγε ψαλμῷ· «Πιστεύω τοῦ ἰδεῖν τὰ ἀγαθὰ Κυρίου ἐν γῇ ζώντων·[1]» ἀλλ' ὅμως ὡς ἄνθρωπος, ἔτι σάρκα περικείμενος, ἠγωνία διὰ τὸ σαθρὸν καὶ εὐμετάβολον τοῦ βίου. Ἐπεὶ καὶ ὁ Ἀπόστολος ἠγωνία, μήπως, ἄλλοις κηρύξας, αὐτὸς ἀδόκιμος γένηται. Λάκκον δὲ εἰώθασιν οἱ θεῖοι λόγοι ὀνομάζειν τὸ τῶν ψυχῶν οἰκητήριον τὸ ἐν τῷ καλουμένῳ ᾅδῃ· ὃ δὴ παρίστησιν αὐτὸς ὁ Δαυῒδ οὐκ εἰς μακρὰν ἐν τῷ κθ' ψαλμῷ λέγων· «Κύριε ὁ Θεός μου, ἐκέκραξα πρὸς σέ, καὶ ἰάσω με· Κύριε, ἀνήγαγες ἐξ ᾅδου τὴν ψυχήν μου· ἔσωσάς με ἀπὸ τῶν καταβαινόντων εἰς λάκκον.[2]» Ὁρᾷς ὅπως τὸν ᾅδην καὶ τὸν λάκκον ἐν ταὐτῷ διὰ τούτων συνῆψεν; Ἀλλ' ἐν μὲν τῷ μετὰ χεῖρας βοὰς πρὸς τὸν Θεὸν ἀφίησιν, παρακαλῶν μὴ ὁμοιωθῆναι τοῖς καταβαίνουσιν εἰς λάκκον· ἐν δὲ τῷ ἐνάτῳ καὶ εἰκοστῷ κατωρθῶσθαι αὐτῷ τὰ τῆς εὐχῆς διδάσκει λέγων· «Κύριε, ἐκέκραξα πρὸς σέ, καὶ ἰάσω με· ἔσωσάς με ἀπὸ τῶν καταβαινόντων εἰς λάκκον.» Προσφυῶς δὲ λάκκος ὠνόμασται τὸ ἐν τῷ ᾅδῃ τῶν ψυχῶν οἰκητήριον. Ὡς γὰρ ὁ λάκκος δοχεῖόν ἐστι τῶν ἄνωθεν καὶ ἐξ ὕψους εἰς αὐτὸν καταφερομένων ὑδάτων· τὸν αὐτὸν τρόπον καὶ ὁ τοῦ θανάτου χῶρος, ὁ καλούμενος ᾅδης τὰς ἄνωθεν ἀπὸ τοῦ τῶν ἀνθρώπων βίου εἰς αὐτὸν καταφερομένας ψυχὰς ὑποδεχόμενος, προσφυῶς λάκκος ὠνόμασται. Παρακαλεῖ τοίνυν μὴ συνελκυσθῆναι εἰς τὸν δεδηλωμένον λάκκον. Τοῦτο δέ, φησίν, ἔσται, εἰ ὅμοιος γενοίμην τοῖς λοιποῖς ἀνθρώποις τοῖς μὴ εἰσακουομένοις ὑπὸ σοῦ· ὃ δὴ σημεῖον τυγχάνει τῆς σῆς ἀποστροφῆς. Ἀντὶ δὲ τοῦ· «Μὴ παρασιωπήσῃς ἀπ' ἐμοῦ», ὁ Σύμμαχος, «μὴ σιγήσῃς ἐξ ἐμοῦ», φησί· μήποτε, ἡσυχάσαντός σου ἄποθέν μου, ὁμοιωθῶ τοῖς καταβαίνουσιν εἰς λάκκον.

Στίχ. ε'. «Ὅτι οὐ συνῆκαν εἰς τὰ ἔργα Κυρίου, καὶ εἰς τὰ ἔργα τῶν χειρῶν αὐτοῦ, καθελεῖς αὐτούς, καὶ οὐ μὴ οἰκοδομήσεις αὐτούς.»

Ἔργα δὲ Κυρίου εἴποις ἂν τὴν τῶν γενητῶν πάντων ὑπόστασιν, καθ' ἣν ἐξ οὐκ ὄντων εἰς τὸ εἶναι τὰ πάντα παρήγαγεν ὁ τῶν πάντων ποιητὴς Θεός· ἔργα δὲ χειρῶν αὐτοῦ τὴν τῶν γενομένων διοίκησιν, καθ' ἣν προνοεῖ καὶ διέπει ὡσπερεὶ χερσὶ ταῖς ἑαυτοῦ προνοητικαῖς δυνάμεσι διακυβερνῶν τὰ πάντα.

Στίχ. ς', ζ'. «Εὐλογητὸς ὁ Θεός, ὅτι εἰσήκουσε τῆς φωνῆς τῆς δεήσεώς μου. Κύριος βοηθός μου καὶ ὑπερασπιστής μου· ἐπ' αὐτῷ ἤλπισεν ἡ καρδία μου καὶ ἐβοηθήθην. Καὶ ἀνέθαλεν ἡ σάρξ μου, καὶ ἐκ θελήματός μου ἐξομολογήσομαι αὐτῷ.»

Ὁ ἀψευδὴς Θεός, πιστούμενος ἑαυτοῦ τὰς ὑποσχέσεις, δι' ὧν ἐπήγγελται λέγων· «Ἔτι λαλοῦντός σου ἐρῶ· Ἰδοὺ πάρειμι·[3]»

1. Ψαλμ. 26, 13. 2. Ψαλμ. 29, 4. 3. Ἡσ. 58, 9.

ὡς ἐγγὺς ἑστὼς τῶν καθαρῶς αὐτὸν ἐπικαλουμένων, καὶ ὡς οὐ πόρρω τυγχάνων τοῦ τὰ πραχθέντα [προλεχθέντα] δεηθέντος, ἐπήκοον ἑαυτὸν παρέσχε ταῖς προλεχθείσαις ἱκετηρίαις. Εἶθ' ὥσπερ σημεῖον δίδωσι διὰ τοῦ προφητικοῦ πνεύματος τῇ τοῦ δεηθέντος ψυχῇ, περὶ τοῦ εἰσηκοῦσθαι αὐτήν. Ἡ δέ, συναισθομένη, μεταβάλλει μὲν τὰς ἱκετηρίους φωνὰς εἰς εὐχαριστίαν, ἐγνωκέναι δὲ ὁμολογεῖ τὴν γενομένην αὐτῇ εὐεργεσίαν· διό φησιν· «Εὐλογητὸς Κύριος, ὅτι εἰσήκουσε τῆς φωνῆς τῆς δεήσεώς μου· Κύριος βοηθός μου καὶ ὑπερασπιστής μου, ἐπ' αὐτῷ ἤλπισεν ἡ καρδία μου, καὶ ἐβοηθήθην.» Συνῄσθετο γὰρ τῆς δεξιᾶς τοῦ Θεοῦ ἐκταθείσης μέχρις αὐτῆς καὶ ἀντιλαμβανομένης αὐτῆς πρὸς τὸ μὴ καθελκυσθῆναι εἰς τὸν δηλωθέντα λάκκον. Ἐξ ὑπερβαλλούσης δὲ χαρᾶς ὁ προφήτης οὐ τὴν ψυχὴν μόνον, ἀλλὰ καὶ τὴν σάρκα αὐτοῦ φησὶ γεγηθέναι καὶ ἀνανεῶσθαι διὰ τὴν καὶ αὐτῷ σώματι ἐπηγγελμένην ἀγαθὴν ἐλπίδα κατὰ τὴν τῶν νεκρῶν ἀνάστασιν· διὸ ἐπιλέγει· «Καὶ ἀνέθαλεν ἡ σάρξ μου·» οἷς ἐπισυνάπτει· «Καὶ ἐκ θελήματός μου ἐξομολογήσομαι αὐτῷ·» ὅπερ ὅμοιον εἶναί μοι δοκεῖ τῷ· «Ἑκουσίως θύσω σοι.[1]» Ἀντὶ δὲ τοῦ, «καὶ ἀνέθαλεν ἡ σάρξ μου», ὁ μὲν Σύμμαχος, «ἄνθησαι», φησίν, «ἡ καρδία μου·» ὁ δὲ Ἀκύλας, «ἐγαυριάσατο ἡ καρδία μου·» ὁ δὲ Θεοδοτίων, «καὶ ἀνέθαλεν ἡ καρδία μου·» ἡ δὲ πέμπτη ἔκδοσις, «ἐκρατύνθη ἡ καρδία μου.» Καὶ πάλιν ἀντὶ τοῦ, «ἐκ θελήματός μου ἐξομολογήσομαι αὐτῷ», ὁ μὲν Σύμμαχος· «Καὶ ἐν ᾠδαῖς μου ὑμνήσω αὐτόν», ἐξέδωκεν· ὁ δὲ Ἀκύλας, «καὶ ἀπὸ ᾄσματός μου ἐξομολογήσομαι αὐτῷ.»

Στίχ. η΄. «Κύριος κραταίωμα τοῦ λαοῦ αὐτοῦ, καὶ ὑπερασπιστὴς τῶν σωτηρίων τοῦ Χριστοῦ αὐτοῦ ἐστι.»

Σαφῶς οὖν ἐν τούτοις τοῦ Χριστοῦ καὶ τῶν ὑπ' αὐτοῦ σῳζομένων ἐμνημόνευσεν ἡ προφητεία, εὐκαίρως ἐξ ἑνὸς τοῦ Δαυῒδ τοὺς πάντας χαρακτηρίσασα. Ὥσπερ γάρ, φησίν, ἐκεῖνον δεηθέντα ἔσωσεν, οὕτως, φησίν, καὶ παντὸς τοῦ ἰδίου λαοῦ κραταίωμα ἔσται.

Στίχ. θ΄. «Σῶσον τὸν λαόν σου, καὶ εὐλόγησον τὴν κληρονομίαν σου, καὶ ποίμανον αὐτοὺς καὶ ἔπαρον αὐτοὺς ἕως τοῦ αἰῶνος.»

Ποία δὲ τοῦ Χριστοῦ ἡ κληρονομία δείκνυται ἐν τῷ δευτέρῳ ψαλμῷ· «Αἴτησαι» γάρ, φησίν, «καὶ δώσω σοι ἔθνη τὴν κληρονομίαν σου, καὶ τὴν κατάσχεσίν σου τὰ πέρατα τῆς γῆς.[2]» Οὐκ ἂν δὲ ἁμάρτοις καὶ τοὺς ἐν τῷ προτέρῳ λαῷ θεοφιλεῖς καὶ προφήτας καὶ δικαίους ἄνδρας τῆς τοῦ Χριστοῦ γεγονέναι κληρονομίας εἰπών, καὶ τῶν «σωτηρίων» αὐτοῦ μετεσχηκέναι. Οὐδὲ γὰρ τὰ πλήθη καὶ τοὺς ἀναξίως παραβαλόντας τῇ Ἐκκλησίᾳ τοῦ Θεοῦ προσήκει λαὸν ἀποφαίνειν αὐτοῦ, ἀλλ' ἢ μόνως τοὺς ἀρεσκόντως αὐτῷ βιοῦντας, περὶ ὧν εἴποι ἄν· «Καὶ ἔσομαι αὐτῶν Θεός, καὶ αὐτοὶ ἔσονταί μοι λαός.[3]» «Καὶ ποίμανον αὐτούς, καὶ ἔπαρον ἕως τοῦ αἰῶνος.» Ποιμαίνει

1. Ψαλμ. 53, 8. 2. Ψαλμ. 2, 8. 3. Ἱερ. 7, 23.

δὲ αὐτοὺς ἐνταῦθα, τὴν ψυχὴν αὐτοῦ τιθεὶς ὑπὲρ αὐτῶν, ὥς φησιν ἐν Εὐαγγελίοις· «Ὁ ποιμὴν ὁ καλὸς τὴν ψυχὴν αὐτοῦ τίθησιν ὑπὲρ τῶν προβάτων·[1]» καὶ πάλιν· «Τὰ ἐμὰ πρόβατα τῆς φωνῆς μου ἀκούει·[2]» καὶ πάλιν· «Ἔσομαι μεθ' ὑμῶν ἕως τῆς συντελείας τοῦ αἰῶνος·[3]» καιρῷ δὲ ἐπιτηδείῳ ἐπάρας αὐτοὺς εἰς ὕψος, τῆς οὐρανίου βασιλείας καταξιώσει.

ΨΑΛΜΟΣ ΤΩ ΔΑΥΙΔ ΚΗ'.

Ἐξοδίου σκηνῆς.

Στίχ. α', β'. «Ἐνέγκατε τῷ Κυρίῳ, υἱοὶ Θεοῦ, ἐνέγκατε τῷ Κυρίῳ υἱοὺς κριῶν. Ἐνέγκατε τῷ Κυρίῳ δόξαν καὶ τιμήν· Ἐνέγκατε τῷ Κυρίῳ δόξαν ὀνόματι αὐτοῦ. Προσκυνήσατε τῷ Κυρίῳ ἐν αὐλῇ ἁγίᾳ αὐτοῦ.»

Τούτοις ἰσοδυναμεῖν ἡγοῦμαι κατὰ τὴν διάνοιαν τὰ ἐν πέμπτῳ καὶ ἐνενηκοστῷ ψαλμῷ περὶ τῆς τῶν ἐθνῶν κλήσεως τοῦτον λελεγμένα τὸν τρόπον· «Ἄσατε τῷ Κυρίῳ ᾆσμα καινόν· ᾄσατε τῷ Κυρίῳ πᾶσα ἡ γῆ. Ἄσατε τῷ Κυρίῳ, εὐλογήσατε ὄνομα αὐτοῦ, εὐαγγελίσασθε ἡμέραν ἐξ ἡμέρας τὸ σωτήριον αὐτοῦ. Ἀναγγείλατε ἐν τοῖς ἔθνεσι τὴν δόξαν αὐτοῦ, ἐν πᾶσι τοῖς λαοῖς τὰ θαυμάσια αὐτοῦ. Ὅτι μέγας Κύριος καὶ αἰνετὸς σφόδρα, φοβερός ἐστιν ἐπὶ πάντας τοὺς θεούς·[4]» οἷς ἑξῆς ἐπιλέγεται· «Ἐνέγκατε τῷ Κυρίῳ δόξαν ὀνόματι αὐτοῦ. Ἄρατε θυσίας καὶ εἰσπορεύεσθε εἰς τὰς αὐλὰς αὐτοῦ. Προσκυνήσατε τῷ Κυρίῳ ἐν αὐλῇ ἁγίᾳ αὐτοῦ». Ἐν οἷς ὁ λόγος, τὴν εὐαγγελικὴν χάριν τὴν εἰς πάντα χυθεῖσαν τὰ καθ' ὅλης τῆς οἰκουμένης ἔθνη προευαγγελισάμενος, καὶ τοῦ καινοῦ ᾄσματος, δηλαδὴ τῆς καινῆς Διαθήκης μνημονεύσας, ἑξῆς προστάττει κομίζειν τῷ Κυρίῳ δόξαν καὶ τιμήν, καὶ τὰ ἑξῆς. Ταῦτά τε κομίζειν παρακελεύεται οὐκ Ἰουδαίοις, ἀλλὰ ταῖς πατριαῖς τῶν ἐθνῶν, ἢ κατὰ τοὺς λοιποὺς ἑρμηνευτάς, καὶ κατὰ τὴν Ἑβραϊκὴν ἀκρίβειαν, «ταῖς συγγενείαις τῶν λαῶν». Ταῦτα μὲν οὖν σαφῶς ἐν τῷ πέμπτῳ καὶ ἐνενηκοστῷ ψαλμῷ περὶ τῶν ἐθνῶν ἐθεσπίζετο· ἐν δὲ τῷ μετὰ χεῖρας ὁ λόγος τὰ αὐτὰ τῷ Κυρίῳ προσφέρειν τοῖς υἱοῖς τῶν κριῶν κελεύει· οὓς νομίζω μηδὲν διαφέρειν τῶν πατριῶν τῶν ἐθνῶν, ἢ τῶν συγγενειῶν τῶν λαῶν. Οὐ γὰρ αὐτοὶ οἱ κριοὶ προστάττονται προσφέρειν τὰ κεκελευσμένα, ἀλλ' οἱ υἱοὶ τῶν κριῶν. Καὶ ταῦτά φημι κατὰ τὴν Ἑβραίων ἀνάμνησιν, καθ' ἣν οὐκ ἐκφέρεται τό· «Ἐνέγκατε τῷ Κυρίῳ, υἱοὶ Θεοῦ.» Διὸ καὶ ὠβέλισται παρὰ τοῖς Ἑβδομήκοντα, ὡς μὴ κείμενον μήτε ἐν τῷ Ἑβραϊκῷ μήτε παρὰ τοῖς λοιποῖς ἑρμηνευταῖς. Εἰ δὲ χρὴ καὶ εἰς τὴν τῶν Ἑβδομήκοντα θεωρῆσαι ἔκδοσιν, φημὶ τὸν λόγον προστάττειν τοῖς υἱοῖς τοῦ φέρειν τῷ Κυρίῳ οὐ κριούς, ἀλλὰ υἱοὺς κριῶν· καὶ δό-

1. Ἰω. 10, 11. 2. Ἰω. 10, 27. 3. Ματθ. 28, 20. 4. Ψαλμ. 95, 1-4.

ξαν καὶ τιμὴν καὶ τὰ ἑξῆς ἐπιλεγόμενα· ἃ δὴ ἀπὸ τῆς παραθέσεως τοῦ πέμπτου καὶ ἐνενηκοστοῦ ψαλμοῦ περὶ τῆς τῶν ἐθνῶν ἐπιστροφῆς εἴποιμι ἂν προφητεύεσθαι.

Οὐκ ἂν δὲ ἁμάρτοιμεν τοὺς ἐνταῦθα υἱοὺς Θεοῦ λεγομένους τοὺς τοῦ Σωτῆρος ἡμῶν μαθητὰς καὶ ἀποστόλους καὶ εὐαγγελιστὰς εἶναι ἀποφηνάμενοι, δι' ὧν ἡ κλῆσις τῶν ἐθνῶν φαίνεται κατωρθωμένη· οἷς ὁ μετὰ χεῖρας λόγος προστάττει φέρειν τῷ Κυρίῳ πρῶτον μὲν ἁπάντων υἱοὺς κριῶν, ἀλλ' οὐ κριούς· ἐπειδήπερ πρὸς τὴν ἐξ ἐθνῶν Ἐκκλησίαν ἐλέγετο ἐν τῷ τεσσαρακοστῷ τετάρτῳ ψαλμῷ· «Ἀντὶ τῶν πατέρων σου ἐγενήθησαν υἱοί σου.[1]» Τῶν δὲ πατέρων λήθην ποιήσασθαι παρεκελεύσατο αὐτῇ ὁ λόγος εἰπών· «Ἄκουσον, θύγατερ, καὶ ἴδε, καὶ κλῖνον τὸ οὖς σου, καὶ ἐπιλάθου τοῦ λαοῦ σου, καὶ τοῦ οἴκου τοῦ πατρός σου· καὶ ἐπιθυμήσει ὁ βασιλεὺς τοῦ κάλλους σου· ὅτι αὐτός ἐστι Κύριός σου.[2]» Ταῦτα γὰρ οὐδὲ πρὸς ἄλλην ἢ πρὸς μόνην τὴν Ἐκκλησίαν τοῦ Χριστοῦ ἐλέγετο· παραινοῦντος αὐτῇ τοῦ θείου Πνεύματος λήθην ποιήσασθαι τοῦ προτέρου αὐτῆς λαοῦ, καὶ τοῦ οἴκου τοῦ πατρὸς αὐτῆς διὰ τὴν πολύθεον πλάνην, καὶ τὴν τῶν πατέρων αὐτῆς δεισιδαιμονίαν. Εἶτ' ἐπειδὴ τῶν πατέρων ἐπιλαθέσθαι αὐτῇ παρεκελεύσατο, ἀναγκαίως ἐπάγει λέγων· «Ἀντὶ τῶν πατέρων σου ἐγενήθησαν οἱ υἱοί σου.» Τούτους υἱοὺς κριῶν διὰ τὸ ἄλογον ἀποκαλεῖ. Εἶτ' ἐπιλέγει· «Ἐνέγκατε τῷ Κυρίῳ δόξαν καὶ τιμήν»· ὃ δὴ νοήσεις ἀπὸ τῆς τοῦ Σωτῆρος ἡμῶν πρὸς τοὺς μαθητὰς παρακελεύσεως, δι' ἧς παραινεῖ λέγων αὐτοῖς· «Λαμψάτω τὰ ἔργα ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων, ὅπως, βλέποντες τὰ καλὰ ὑμῶν ἔργα, δοξάσωσι τὸν Πατέρα ὑμῶν τὸν ἐν τοῖς οὐρανοῖς.[3]»

Καὶ τρίτον ἔτι πρὸς τούτοις, φέρειν τῷ Κυρίῳ προστάττει συμφώνως ὁ μετὰ χεῖρας ψαλμός, καὶ ὁ ἐνενηκοστὸς πέμπτος, δόξαν ὀνόματι αὐτοῦ. Αὐτῷ μὲν γὰρ προσφέρομεν δόξαν διὰ δογμάτων ἐρρωμένων· ἀλλὰ καὶ τιμὴν αὐτῷ προσφέρομεν, πειθαρχοῦντες προστάγματι λέγοντι· «Τίμα τὸν Κύριον ἀπὸ σῶν δικαίων πόνων, καὶ ἀπάρχου αὐτῷ ἀπὸ σῶν καρπῶν δικαιοσύνης.[4]» Τῷ δὲ ὀνόματι αὐτοῦ δόξαν περιάπτομεν, ἐπειδὰν λάμπῃ ἡμῶν τὰ ἔργα ἔμπροσθεν τῶν ἀνθρώπων· ὥστε ὁρῶντας αὐτοὺς δοξάζειν τὸν Πατέρα ἡμῶν τὸν ἐν τοῖς οὐρανοῖς. Ὅπως δὲ παρὰ τοῖς ἔθνεσι τὸ ὄνομα αὐτοῦ δοξάζεται, καὶ ὁ διὰ τοῦ προφήτου παρίστησι λόγος πρὸς τὸ Ἰουδαίων ἔθνος ἀποτεινόμενος καὶ λέγων· «Οὐκ ἔστι μου θέλημα ἐν ὑμῖν, λέγει Κύριος παντοκράτωρ, καὶ θυσίαν οὐ προσδέξομαι ἐκ τῶν χειρῶν ὑμῶν· διότι ἀπὸ ἀνατολῶν ἡλίου μέχρι δυσμῶν δεδόξασται τὸ ὄνομά μου ἐν τοῖς ἔθνεσι· καὶ ἐν παντὶ τόπῳ θυμίαμα προσφέρεται τῷ ὀνόματί μου καὶ θυσία καθαρά· διότι μέγα τὸ ὄνομά μου ἐν τοῖς ἔθνεσιν· ὑμεῖς δὲ

---

1. Ψαλμ. 44, 17. 2. Ψαλμ. 44, 11-12. 3. Ματθ. 5, 16. 4. Παρμ. 3, 9.

βεβηλοῦντες αὐτό.[1]» Πρὸς τούτοις ἅπασιν οἱ δηλωθέντες υἱοὶ τοῦ Θεοῦ, ἢ υἱοὶ τῶν κριῶν κελεύονται προσκυνεῖν τῷ Κυρίῳ ἐν αὐλῇ ἁγίᾳ αὐτοῦ. Οὐ γὰρ ἔξω τῆς αὐλῆς βούλεται, οὐδὲ ἀνακεχωρημένως ἰδιάζοντας προσκυνεῖν αὐτῷ, ἀλλ' ἀπαντῶντας εἰς τὴν Ἐκκλησίαν αὐτοῦ. Ἀντὶ δὲ τοῦ, «ἐν αὐλῇ ἁγίᾳ αὐτοῦ», ὁ μὲν Ἀκύλας, «ἐν διαπρεπείᾳ ἡγιασμένῃ», ἐξέδωκεν· ὁ δὲ Σύμμαχος, «ἐν διαπρεπείᾳ ἁγίᾳ». Βούλεται γὰρ ἡμᾶς ὁ λόγος μετὰ τοῦ πρέποντος κόσμου, καὶ τῆς τῷ Θεῷ προσφιλοῦς δικαιοσύνης τὴν προσκύνησιν ποιεῖσθαι, ὅλους αὐτοὺς ἐν ἁγιασμῷ γενομένους καὶ ἐν εὐπρεπείᾳ.

Στίχ. γ'. «Φωνὴ Κυρίου ἐπὶ τῶν ὑδάτων, ὁ Θεὸς τῆς δόξης ἐβρόντησε· Κύριος ἐπὶ ὑδάτων πολλῶν.»

Ὅτι, αἰθρίας οὔσης ἐπὶ τὴν κορυφὴν τοῦ Καρμήλου, ἤκουε φωνὴν ὑδάτων πολλῶν. Καὶ ὅλως, συναγαγών τις τὰ ἐν τῇ Παλαιᾷ περὶ ὑδάτων ἀναγεγραμμένα, καὶ ὡς τό, «Πνεῦμα τοῦ Θεοῦ ἐπεφέρετο ἐπάνω τοῦ ὕδατος·[2]» καὶ τό· «Ἐξαγαγέτω τὰ ὕδατα ἑρπετὰ ψυχῶν ζωσῶν καὶ πετεινὰ πετόμενα·[3]» τά τε ἐν τῷ κατακλυσμῷ, ὡς, ἁπάντων ὑποβρυχίων γινομένων, μόνος ὁ Νῶε καὶ οἱ σὺν αὐτῷ διεσῴζοντο ἐν τῇ κιβωτῷ· καὶ τὰ ἐπὶ τῆς Αἰγύπτου, καὶ τὰ ἐν τῇ Ἐρυθρᾷ θαλάσσῃ, καὶ τὰ ἐν τῷ Ἰορδάνῃ, ὅπως ἀβρόχῳ ποδὶ διεβίβασαν οἱ υἱοὶ Ἰσραήλ, ὄψεται.

Στίχ. δ'. «Φωνὴ Κυρίου ἐν ἰσχύϊ.»

Ὁ γὰρ πάντα ἰσχύων ἐν τῷ ἐνδυναμοῦντι αὐτὸν Χριστῷ, οὗτος ἀκούει τῶν ἐντολῶν Κυρίου, καὶ ποιεῖ. Φωνὴ οὖν Κυρίου οὐκ ἐν τῇ ἀσθενεῖ καὶ λελυμένῃ ψυχῇ, ἀλλ' ἐν τῇ εὐτόνῳ ἰσχυρῶς κατεργαζομένῃ τὸ ἀγαθόν. «Φωνὴ Κυρίου ἐν μεγαλοπρεπείᾳ». Οὐ διὰ μόνων, φησί, τῶν εἰρημένων ἡμῖν περὶ ὑδάτων ἡ φωνὴ παρίσταται τοῦ Κυρίου· ἀλλὰ καὶ διὰ τῆς ἰσχύος αὐτοῦ καὶ τῆς μεγαλοπρεπείας, ἣν ἔστιν ὀφθαλμοῖς κατανοῆσαι ἀθρόως τὸν σύμπαντα κόσμον ἀπείρατα, ἰδίως τε τὰ τούτου μέρη θεασάμενον, τά τε μεγέθη τὰ ἀνεκδιήγητα καὶ τὰ ἀνέκφραστα κάλλη, τήν τε ἐν αὐτοῖς ὁρωμένην πολυποίκιλον σοφίαν· ἃ δὴ τυγχάνει παραστατικὰ τῆς τοῦ συστησαμένου τὰ πάντα δυνάμεώς τε καὶ ἰσχύος. Ἔνθεν οἱ προφητικοὶ λόγοι τὴν θεολογίαν ἀπὸ τῆς μεγαλουργίας αὐτοῦ παρελάμβανον. Διὸ εἴρηται παρὰ τῷ Ἱερεμίᾳ· «Κύριος ὁ ποιήσας τὴν γῆν ἐν τῇ ἰσχύϊ αὐτοῦ[4]», καὶ τὰ ἑξῆς.

Στίχ. ε', ς'. «Φωνὴ Κυρίου συντρίβοντος κέδρους· συντρίψει Κύριος τὰς κέδρους τοῦ Λιβάνου· καὶ λεπτυνεῖ αὐτὰς ὡς τὸν μόσχον τοῦ Λιβάνου καὶ ὁ ἠγαπημένος ὡς υἱὸς μονοκερώτων.»

Ἢ καὶ οὕτως· Μόσχον ἔοικε Λιβάνου, τὸν υἱὸν μονοκερώτων, τὴν Ἱερουσαλὴμ λέγειν, καὶ τὸν πάλαι ἠγαπημένον υἱὸν μονοκερώτων. Ἐπεὶ πατέρων γεγόνασιν ἁγίων, οἵτινες ἐλέγοντο μονοκέρωτες, διὰ τὸ μόνῳ Θεῷ κέρατι κεχρῆσθαι, ὡς ἐπ' αὐτῷ σεμνύνεσθαι καὶ

1. Μαλ. 1, 10-12. 2. Γεν. 1, 2. 3. Γεν. 1, 20. 4. Ἱερ. 10, 12.

λέγειν· «Ἐν σοὶ τοὺς ἐχθροὺς ἡμῶν κερατιοῦμεν.[1]» Ὧν υἱοὶ γεγόνασιν οἱ ἡγούμενοι τῶν ἐκ περιτομῆς Σαρίων ἐνταῦθα κεκλημένοι κατὰ τὰς ἄλλας ἐκδόσεις, ὃ ἑρμηνεύεται «ἄρχοντες», οὓς ἀπειλῇ συνέτριψε μετὰ τῆς Ἱερουσαλήμ, ἣν μόσχον ἔφη καὶ Λίβανον. Σαφῶς γὰρ ὁ Ἰεζεκιὴλ ὁ προφήτης τοῦτο παρέστησε φήσας· «Τάδε λέγει· Ὁ ἀετὸς ὁ μέγας ὁ μεγαλοπτέρυγος, ὁ μακρὸς τῇ ἐκτάσει, πλήρης ὀνύχων ὃς ἔχει τὸ ἥγημα εἰσελθεῖν εἰς τὸν Λίβανον, καὶ ἔλαβε τὰ ἐπίλεκτα τῆς κέδρου, τὰ ἄκρα τῆς ἁπαλότητος, καὶ ἤνεγκεν αὐτὰ εἰς γῆν Χαλδαίων·[2]» ἃ καὶ διὰ τῶν ἑξῆς ἡρμήνευσε λέγων· «Ὅταν ἔλθῃ βασιλεὺς Βαβυλῶνος ἐπὶ Ἱερουσαλήμ, καὶ λήψεται τὸν βασιλέα αὐτῆς καὶ τὸν ἄρχοντα αὐτῆς.» Τούτους γὰρ «ἐπίλεκτα καὶ ἄκρα κέκληκεν ἁπαλότητος.[3]» Μόσχον δὲ αὐτῆς φησι τὸ θυσιαστήριον, ἐν ᾧ μόσχους καὶ θυσίας ἀνέφερον· ἃ δὴ πάντα συντέτριπται μετὰ Σαρίων, ὅ ἐστιν ἀρχόντων. Οὕτως οὖν φησι συντρίψει καὶ τοὺς ἐν τοῖς λοιποῖς ἔθνεσιν ἀσεβεῖς, τοὺς ἐπαιρομένους ὡς τὰς κέδρους τοῦ Λιβάνου.

Στίχ. η΄. «Φωνὴ Κυρίου συσσείοντος ἔρημον, συσσείσει Κύριος τὴν ἔρημον Κάδης.»

Ἀληθῶς γὰρ ἡ σύμπασα τῶν ἀνθρώπων οἰκουμένη, ἔρημος οὖσα πρότερον Θεοῦ γνώσεως καὶ εὐσεβείας, συνεσείσθη διὰ τοῦ εὐαγγελικοῦ κηρύγματος, ὡς μεταβαλεῖν αὐτὴν ἀπὸ κακίας εἰς ἀρετήν, καὶ ἀπὸ ἀγνοίας εἰς ἐπιστήμην θείαν. Γέγονεν οὖν ἐξ ἐρήμου οἰκουμένη.

Στίχ. θ΄. «Φωνὴ Κυρίου καταρτιζομένου ἐλάφους, καὶ ἀποκαλύψει δρυμούς, καὶ ἐν τῷ ναῷ αὐτοῦ πᾶς τις λέγει δόξαν.»

Ἐλάφους γάρ, φησίν, ὁ Κύριος καταρτισάμενος· ζῶον φιλέρημον ὀφιοκτόνον τε καὶ κερασφόρον, καὶ κατὰ τὸν νόμον καθαρόν, ὃν ἐξέκαμψεν εἰς τὴν προδηλωθεῖσαν ἔρημον. Οἱ δὲ ταύτην διαδραμόντες τοὺς ἐν αὐτῇ ὄφεις τοῖς ἑαυτῶν κατεπάτησαν ποσί, πάντα τε τὰ ἐν τῇ ἐρήμῳ ἰοβόλα θηρία μακρὰν ἀπήλασαν· ὧν ἐλαθέντων, ἀπεκαλύφθησαν οἱ δρυμοί· «Καὶ ἐν τῷ ναῷ πᾶς τις λέγει δόξαν.» Σφόδρα ἀκριβῶς εἴρηται· «Καὶ ἐν τῷ ναῷ αὐτοῦ πᾶς τις λέγει δόξαν·» οὐκέτι γὰρ Ἰουδαῖοι, οὐδὲ ὁ ἐκ περιτομῆς λαός, ἀλλὰ πᾶς τις ὁ ἐξ ἁπάντων τῶν ἐθνῶν ἐπιστραφείς. «Κύριος ἰσχὺν τῷ λαῷ αὐτοῦ δώσει· Κύριος εὐλογήσει τὸν λαὸν αὐτοῦ ἐν εἰρήνῃ.»

ΨΑΛΜΟΣ ᾨΔΗΣ ΤΟΥ ΕΓΚΑΙΝΙΣΜΟΥ ΤΟΥ ΟΙΚΟΥ ΤΟΥ ΔΑΥΙΔ ΚΘ΄.

Ἀλλ' εἴποι τις ἂν πρὸς τοῦτο, ὡς οὐδεμίαν οἰκοδομῆς οἴκου ἢ ναοῦ ποιεῖται μνήμην· οὐδέ τις λόγος ἐστὶν ἐν τῷ ψαλμῷ δυνάμενος ἁρμόζειν ἐγκαινίοις οἴκου, ὡς νομίσαι τινὰ ἐπὶ ἐγκαινισμῷ τοῦ ἐν

1. Ψαλμ. 43, 6. 2. Ἰεζ. 17, 3-4. 3. Ἰεζ. 17, 12.

Ἱεροσολύμοις νεὼ τὸν προκείμμενον ψαλμὸν εἰρῆσθαι. Ἀλλ' ἐπεὶ προγέγραπται, «Ὠδῆς ἐγκαινισμοῦ τοῦ οἴκου·» σκόπει μήποτε οἶκον ἐνταῦθα τὴν ἑαυτοῦ ψυχὴν αἰνίττεται· ἐν ᾗ τὸ θεῖον Πνεῦμα, ὡς ἐν ναῷ οἰκῆσάν ποτε, καιρῷ τινι ἔρημον αὐτὴν καταλέλοιπεν, ἀναχωρῆσαν διὰ τὴν πλημμεληθεῖσαν αὐτῷ κατὰ τὸν Οὐρίαν καὶ τὴν τούτου γυναῖκα πρᾶξιν· δι' ἣν καὶ μέχρι τοῦ θανάτου κατελήλυθε, τὰ πρὸ θάνατον ἁμαρτήσας· δυνάμει δὲ τότε καὶ εἰς τὸν λάκκον, καὶ εἰς τὸν ᾅδην κατηνέχθη, κατέβη τε ἀληθῶς εἰς διαφθοράν· ὡς διὰ ταῦτα θρήνοις αὐτὸν σχολάσαι, σάκκον τε ἀντὶ τῆς βασιλικῆς ἐσθῆτος περιβαλέσθαι. Ἀλλ' ἐπειδὴ ἀξιόλογον ἐνδειξάμενος μετάνοιαν, ἑαυτόν τε κολάσας καὶ τιμωρησάμενος, ἱκανῶς τε ἐγκαρτερήσας ταῖς ἐξομολογήσεσιν, ἐπαγγελίαν ἀφέσεως τῆς ἁμαρτίας εἴληφε, διὰ τοῦ ἐκ σπέρματος αὐτοῦ προελευσομένου Χριστοῦ, μέλλοντος καὶ μέχρις ᾅδου καταβήσεσθαι· εἰκότως τῆς κατηφείας μεταβαλών, καὶ τῆς ἐφ' οἷς ἐτόλμησεν ἐξομολογήσεως, εὐχαριστίαν ἀναπέμπει τῷ Θεῷ λέγων· «Κύριε, ἀνήγαγες ἐξ ᾅδου τὴν ψυχήν μου, ἔσωσάς με ἀπὸ τῶν καταβαινόντων εἰς λάκκον», μεταβεβλῆσθαί τε αὐτῷ τὰ τοῦ πένθους εἰς εὐφροσύνην σημαίνει καὶ δι' ὧν φησίν· «Ἔστρεψας τὸν κοπετόν εἰς χαρὰν ἐμοί· διέρρηξας τὸν σάκκον μου, καὶ περιέζωσάς με εὐφροσύνην.[1]» Δεδειγμένου τοίνυν τοῦ οἴκου τῆς τοῦ Δαυῒδ ψυχῆς, ἄρα τῷ ἐγκαινισμῷ τοῦ τοιούτου οἴκου ἐφαρμόζειν τὰ προκείμενα.

Στίχ. β'-δ'. «Ὑψώσω σε, Κύριε, ὅτι ὑπέλαβές με, καὶ οὐκ ηὔφρανας τοὺς ἐχθρούς μου ἐπ ἐμοί. Κύριε ὁ Θεός μου, ἐκέκραξα πρὸς σέ, καὶ ἰάσω μοι. Κύριε, ἀνήγαγες ἐξ ᾅδου τὴν ψυχήν μου, ἔσωσάς με ἀπὸ τῶν καταβαινόντων εἰς λάκκον.»

Ταῦτα μὲν ὁ Δαυῒδ διὰ τοῦ μετὰ χεῖρας ψαλμοῦ λέγει· ἐν δὲ τῷ εἰκοστῷ ἑβδόμῳ ψαλμῷ ὁ αὐτὸς ἐβόα λέγων· «Πρὸς σέ, Κύριε, κεκράξομαι, ὁ Θεός μου, μὴ παρασιωπήσῃς ἀπ' ἐμοῦ, μήποτε παρασιωπήσῃς ἀπ' ἐμοῦ, καὶ ὁμοιωθήσομαι τοῖς καταβαίνουσιν εἰς λάκκον». Ἀλλ' ἐπεὶ μὲν ταῦτα ηὔγετο· ἐνταῦθα δὲ εὐχαριστεῖ ὡς κατενεχθεὶς πρότερον καὶ καταπεσὼν εἰς τὸν λάκκον, ἀνενεχθεὶς δὲ πάλιν καὶ ἀνασωθεὶς ἐξ αὐτοῦ, καὶ μὴ ταῦτα παθὼν τοῖς καταβεβηκόσιν μὲν εἰς αὐτόν, μὴ ἀναβεβηκόσι δέ· προηγουμένως γὰρ μακάριον τὸ μὴ ἁμαρτεῖν· ἐπειδὴ ἡ ἀσθένεια τῆς ἀνθρωπίνης φύσεως τούτοις ὑπόκειται, δεύτερος, ὡς ἂν εἴποι τις, πλοῦς τὸ ἀναπαλέσαι (sic) καλόν, καὶ τὸ ἀναλαβεῖν ταὐτὸν μετὰ τὴν νόσον, καὶ τὴν κατὰ φύσιν ἀπολαβεῖν ὑγείαν.

Στίχ. ε', ς'. «Ψάλατε τῷ Κυρίῳ οἱ ὅσιοι αὐτοῦ, καὶ ἐξομολογεῖσθε τῇ μνήμῃ τῆς ἁγιωσύνης αὐτοῦ. Ὅτι ὀργὴ ἐν τῷ θυμῷ αὐτοῦ, καὶ ζωὴ ἐν τῷ θελήματι αὐτοῦ.»

Συγχαίρειν αὐτῷ μετανοήσαντι, καὶ ἐξομολογεῖσθαι, τουτέστιν εὐχαριστεῖν τῇ μνήμῃ τῆς ἁγιωσύνης αὐτοῦ· ἀντὶ τοῦ, τὴν μνήμην

1. Ψαλμ. 29, 12.

ἀναζωπυροῦντες, μηδ' ἐπιλανθανόμενοι τῶν παρὰ τοῦ Κυρίου χορηγουμένων ἀνθρώποις ἀγαθῶν. Μάλιστα δὲ προσήκει τὴν εὐχαριστίαν ἐπιτείνειν, μεμνημένους τῆς τοῦ Θεοῦ φιλανθρωπίας, ἥτις τοσαύτη τυγχάνει, ὡς μηδέποτε βούλεσθαί τι κακὸν ἀνθρώποις. Εἰ δὲ καί ποτέ τις διὰ τὴν οἰκείαν μοχθηρίαν ἐπιστροφῆς δεηθείη, αὐτὸς μὲν ἑαυτῷ κατασκευάζει θυμὸν ὀργῆς· τό γε μὴν θέλημα τοῦ Θεοῦ, μήποτε βούλεσθαι θάνατον ἀνθρώπῳ, ἀλλὰ ζωήν. Διὸ ἐν ἑτέροις λέγεται· «Ζῶ ἐγώ, λέγει Κύριος· οὐ βούλομαι τὸν θάνατον τοῦ ἁμαρτωλοῦ ὡς τὴν μετάνοιαν αὐτοῦ.[1]» Οὕτω γοῦν καὶ ἐνταῦθα λέλεκται· «Ζωὴ ἐν τῷ θελήματι αὐτοῦ·» οὐ γὰρ «ὀργὴ ἐν τῷ θελήματι αὐτοῦ». Παρὰ προαίρεσιν δὲ Θεοῦ καὶ παρὰ τὸ βούλημα αὐτοῦ τοῖς ἁμαρτάνουσι κατασκευάζεται θυμὸς καὶ ὀργή· ὃ δὴ παρίστησιν ὁ Ἀπόστολος φήσας· «Ἢ τοῦ πλούτου τῆς χρηστότητος αὐτοῦ, καὶ τῆς ἀνοχῆς καὶ τῆς μακροθυμίας καταφρονεῖς; ἀγνοῶν, ὅτι τὸ χρηστὸν τοῦ Θεοῦ εἰς μετάνοιάν σε ἄγει. Κατὰ δὲ τὴν σκληρότητά σου καὶ ἀμετανόητον καρδίαν, θησαυρίζεις σεαυτῷ ὀργὴν ἐν ἡμέρᾳ ὀργῆς καὶ ἀποκαλύψεως καὶ δικαιοκρισίας τοῦ Θεοῦ, ὃς ἀποδώσει ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ.[2]»

Στίχ. ζ'. «Ἐγὼ δὲ εἶπα ἐν τῇ εὐθηνίᾳ μου· Οὐ μὴ σαλευθῶ εἰς τὸν αἰῶνα.»

Δικαιοῖ τὴν κρίσιν τοῦ Κυρίου ὁμολογῶν πόθεν αὐτῷ συμβέβηκεν ἡ πτῶσις· δέον γὰρ ἑστῶτα ἐν τῇ παρὰ τῷ Θεῷ στάσει μεμνῆσθαι τοῦ φάσκοντος λόγου· «Ὁ δοκῶν ἑστάναι, βλεπέτω μὴ πέσῃ[3]», ὁμολογεῖν τε τῷ Θεῷ χάριν ὑπὲρ τῆς στάσεως. Ὁ δέ, οὐκ ὀρθῶς λογισάμενος, παρὰ τὴν αὐτοῦ ἀρετὴν ἐν τοῖς καλλίστοις ἑστάναι ἐνόμιζεν· ἀπέφαινέ τε ἑαυτὸν καὶ ἄτρεπτον καὶ ἀμετάβλητον.

Στίχ. η'. «Κύριε, ἐν τῷ θελήματί σου παρέσχου τῷ κάλλει μου δύναμιν.»

Ἐπεὶ ταῦτα τὰ προειρημένα οὐκ ὀρθῶς ἐλογίζετο, ἔγνω, ὅτι ἡ στάσις αὐτοῦ ἐκείνη, καὶ ἡ εὐθηνία καὶ τὸ προσὸν αὐτῷ τότε κάλλος οὐκ ἦν ἐξ αὐτοῦ, οὐδὲ παρὰ τὴν ἑαυτοῦ αἰτίαν ὑπῆρχεν αὐτῷ. Διὸ ἐξομολογούμενος ταῦτά φησιν ἔργῳ τὴν πεῖραν παραλαβὼν τῆς ἑαυτοῦ ἀσθενείας· «Ἀπέστρεψας δέ σου τὸ πρόσωπον, καὶ ἐγενήθην τεταραγμένος». Σὺ μὲν γὰρ οὐδὲν πλέον ἔπραξας, οὔτε ὦσας, οὔτε κατέβαλες· αὐτὸ δὲ τοῦτο διὰ τὴν ἐμὴν μεγαλαυχίαν μεμονωμένον με εἴασας, καὶ τῆς παρὰ σοῦ βοηθείας ἔρημον. «Ἀπέστρεψας τὸ πρόσωπόν σου·» ἐγὼ δὲ παραχρῆμα ἠλεγχόμην, «καὶ ἐγινόμην τεταραγμένος», ὑποπίπτων τοῖς ἐμοῖς ἁμαρτήμασι, καὶ τοῖς ἐμοῖς ἐχθροῖς.

Στίχ. ιθ', ι'. «Πρὸς σέ, Κύριε, κεκράξομαι, καὶ πρὸς τὸν Θεόν μου δεηθήσομαι. Τίς ὠφέλεια ἐν τῷ αἵματί μου, ἐν τῷ καταβῆναί με εἰς διαφθοράν;»

---

1. Ἰεζ. 18, 23. 2. Ῥωμ. 2, 4-6. 3. Α' Κορ. 10, 12.

Κατὰ δὲ τὸν Σύμμαχον· «Ἐν τοῖς κακοῖς γενόμενος ἔλεγον· Πρὸς σέ, Κύριε, βοήσω, καί σε τὸν δεσπότην μου ἱκετεύσω· τί κέρδος ἐν τῷ αἵματί μου, κατενεχθέντος μου εἰς διαφθοράν; Μὴ ἐξομολογήσεταί σοι κόνις, ἢ ἀπαγγελεῖ τὴν ἀλήθειάν σου;» Ταῦτα καὶ τὰ τούτοις παραπλήσια ἱκετεύω, κάτωθεν κραυγὰς ἀφιεὶς ἀπὸ τοῦ βαθυτάτου λάκκου, πυθόμενος ὡς παρὰ διδασκάλου μαθεῖν παρὰ σοῦ τοῦ Θεοῦ. Τίς ὠφέλεια γίνεται ἢ ἐμοὶ ἢ ἑτέροις ἐκ τοῦ ἐμοῦ αἵματος; Ἢ τί πλέον ἀνθρώποις ὑπάρξει ἐκ τοῦ ἐμὲ ἐλθεῖν εἰς διαφθοράν; Ἑτέρου μὲν γὰρ ἐν τῷ αἵματι ὑπάρξει πολλή τις καὶ μεγάλη ὠφέλεια τῷ παντὶ κόσμῳ· ἐπειδὰν «ὁ σὸς ἀμνὸς ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου[1]», «ὡς πρόβατον ἐπὶ σφαγὴν ἔλθοι, καὶ ὡς ἀμνὸς ἐναντίον τοῦ κείραντος ἄφωνος.[2]» Τούτου γὰρ τῷ αἵματι ἀπολύτρωσις καὶ κακῶν ἐλευθερία πᾶσι τοῖς δι' αὐτοῦ σωθησομένοις γενήσεται. Ἀλλὰ καὶ ἡ κατάβασις ἐκείνου ἡ μέχρι τῶν διαφθαρέντων, καὶ ἐν θανάτῳ γενομένων, πολλοῖς αἰτία σωτηρίας ἔσται. Πολλὸς γὰρ χοῦς καὶ πολλὴ κόνις τῶν πάλαι καὶ σαρκίνων καὶ χοϊκῶν ἀνθρώπων ἐξομολογήσεταί σοι· οἳ καὶ ἐπὶ τὸ κρεῖττον μεταβληθέντες, ἀπαγγελοῦσι τὴν ἀλήθειάν σου. Μήτι οὖν καὶ ἐν τῷ ἐμῷ αἵματι ἔσται τι τοιοῦτον ἀγαθὸν τῷ κόσμῳ; ἢ ὠφεληθήσεταί τις ἐμοῦ κατασυρέντος ὑπὸ τοῦ θανάτου; ἢ χοῦς καὶ ὁ ἀπὸ τοῦ χοῦ ληφθεὶς καὶ γεγονὼς ἄνθρωπος, μεταβληθεὶς ἀπὸ τοῦ χοϊκοῦ καὶ γενόμενος πνευματικός, ἀπαγγελεῖ τὴν ἀλήθειάν σου; Ἀλλὰ γὰρ οὐδὲν ἔσται ἐξ ἐμοῦ τοιοῦτον· διὸ ἱκετεύω μὴ ὁμοιωθῆναι τοῖς καταβαίνουσιν εἰς λάκκον.

Στίχ. ια'-ιγ'. «Ἤκουσε Κύριος, καὶ ἠλέησέ με· Κύριος ἐγενήθη βοηθός μου. Ἔστρεψας τὸν κοπετόν μου εἰς χαρὰν ἐμοί, διέρρηξας τὸν σάκκον μου, καὶ περιέζωσάς με εὐφροσύνην.»

Ταῦτα, φησί, δεηθέντος μου, ὁ μὴ μακρὰν ἀφεστὼς τῶν καθαρῶς καὶ πιστῶς ἐπικαλουμένων αὐτὸν Κύριος «ἤκουσε», περὶ οὗ εἴρηται· «Ἐγγὺς Κύριος πᾶσι τοῖς ἐπικαλουμένοις αὐτὸν ἐν ἀληθείᾳ·[3]» καὶ ἀκούσας «ἠλέησέ με», καὶ ἔργον ἐπεδείξατο τοῦ εἰς ἐμὲ οἴκτου· «ἐγενήθη» γὰρ «βοηθός μου.» Ταῦτα ὡς πρὸς ἡμᾶς διαλεχθείς, καὶ τὰ συμβεβηκότα αὐτῷ διδάξας ἡμᾶς, ἀποστρέφει πάλιν τὴν εὐχαριστίαν ἐπ' αὐτὸν Θεόν, τὰς εἰς αὐτὸν εὐεργεσίας διεξιών. Ἠλέησας γάρ με σύ, φησί, καὶ γέγονας βοηθός μου· οὕτω τε μετέβαλες τὰ παλαιά μου δάκρυα, καὶ τοὺς θρήνους καὶ τὸν κοπετὸν εἰς γέλωτα καὶ χαράν, καὶ ἀγαλλίασιν, ἐπαληθεύσας τὸν ὕστερόν ποτε λεχθέντα μακαρισμὸν περὶ τῶν κλαιόντων καὶ πενθούντων, κατὰ τό· «Μακάριοι οἱ κλαίοντες, ὅτι γελάσονται·[4] καὶ μακάριοι οἱ πενθοῦντες, ὅτι παρακληθήσονται.[5]» Τὰ σύμβολα γοῦν τοῦ πένθους ἀπέδυσάς με, τὸν σάκκον, ἐν ᾧ κακοπαθῶν ἐμαυτὸν ἐτιμωρούμην, καὶ ζώ-

---

1. Ἰω. 1, 29. 2. Ἡσ. 53, 7. 3. Ψαλμ. 144, 18. 4. Λουκ. 6, 21. 5. Ματθ. 5, 4.

σματι εὐφροσύνης περιέζωσάς με. Καὶ ταῦτα πάντα μοι παρέσχου, ἵνα μὴ ἀπομείνω κόνις καὶ χοῦς ὁ μὴ ἐξομολογούμενός σοι, ἀλλ' «ἵνα ψάλλῃ σοι ἡ δόξα μου.» Ἐν μὲν γὰρ τῷ καταβῆναί με εἰς διαφθορὰν οὐδεμία τις ἦν ὠφέλεια οὔτ' ἐμοὶ οὔτε ἑτέροις. Ἐγώ τε γὰρ ἀπεστερούμην τῆς παρὰ σοῦ ζωῆς, ἄλλοι τε οὐδαμῶς ἐτύγχανον τῆς δι' ἐμοῦ σωτηρίας.

Ἐν δὲ τῷ «μεταβάλλειν σε τὸν κοπετόν μου εἰς χαρὰν ἐμοί, καὶ ἐν τῷ «διαρρῆξαί σε τὸν σάκκον μου καὶ περιζῶσαι εὐφροσύνην», οὐχ ἡ τυχοῦσα γεγένηται ὠφέλεια· ἀπολαβὼν γὰρ τὴν προτέραν ἐμαυτοῦ δόξαν, διὰ ταύτης σοι ψαλῶ, καὶ ψαλῶ σοι οὐ μετά τινος φαύλης συνειδήσεως, ἀλλὰ μετὰ πεπαρρησιασμένης καὶ καθαρᾶς διανοίας. Διό φησιν· «Ὅπως ἂν ψάλλῃ σοι ἡ δόξα μου, καὶ οὐ μὴ κατανυγῶ.» Οὕτω τε διατελέσω εἰς τὸν σύμπαντα αἰῶνα, ἐξομολογούμενός σοι, καὶ τὰς σὰς διὰ παντὸς εὐεργεσίας τὰς εἰς ἐμὲ διεξιών. «Κύριος ἐγενήθη βοηθός μου.» Σημειωτέον, ὅτι τό, «ἐγενήθη», οὐκ ἀεὶ οὐσίωσιν σημαίνει· ἀλλ' ἔσθ' ὅτε καὶ πρός τινα σχέσιν. Εἴ ποτε οὖν καὶ ἐπὶ τοῦ Σωτῆρος τοιαύτη γένοιτο φωνή, σχέσιν πρός τι καὶ οὐχὶ οὐσίωσιν σημαίνει. «Ἔστρεψας τὸν κοπετόν μου εἰς χαρὰν ἐμοί.» Ἡ, «κοπετός», φωνή, τὴν συναίσθησιν σημαίνει, ὡς καὶ αὐτὴ ἡ πρᾶξις παρίστησι, τῶν χειρῶν τὸ στῆθος κοπτουσῶν. Ὁ οὖν ἐν συναισθήσει ἰδίων ἁμαρτημάτων γεγονώς, καὶ ἐνεργητικῶς διὰ χειρῶν πνευματικῶν τὴν αἴσθησιν αὐτοῦ διεγείρας, μεταβαλὼν ἀπὸ τοῦ ὀλοφύρεσθαι, χαρὰν τὸν καρπὸν τοῦ Πνεύματος ἀναλήψεται. Τό, «ἔστρεψας», δηλοῖ τὴν ἐκ τοῦ κόπτεσθαι καὶ λυπεῖσθαι εἰς χαρὰν μεταβολήν· τὸ δέ, «οὐ μὴ κατανυγῶ», οὐ μὴ μεταγνῶ, φησί. Δόξα δὲ ψάλλουσα τοῦ ταῦτα λέγοντος τῷ Θεῷ, ὀρθὴ πολιτεία καὶ γνῶσίς ἐστιν εἰλικρινής. «Κύριε ὁ Θεός μου, εἰς τὸν αἰῶνα ἐξομολογήσομαί σοι·» ἀντὶ τοῦ, ἐπὶ πᾶσι τοῖς συμβαίνουσιν, οὐ προσηνέσι μόνον, ἀλλὰ καὶ ἐπὶ πόνοις, εὐχαριστῶ σοι, Δέσποτα.

ΕΙΣ ΤΟ ΤΕΛΟΣ ΨΑΛΜΟΣ ΤΩ ΔΑΥΙΔ, ΕΚΣΤΑΣΕΩΣ Λ'.

Οὔτε ἐν τῇ Ἑβραίων Γραφῇ, οὔτε παρὰ τοῖς λοιποῖς ἑρμηνευταῖς ἡ προγραφὴ περιέχει, «ἐκστάσεως.» Μήποτε δὲ διὰ τὸ ἐκφέρεσθαι τῷ ψαλμῷ· «Ἐγὼ δὲ εἶπα ἐν τῇ ἐκστάσει μου· Ἀπέρριμμαι ἀπὸ προσώπου τῶν ὀφθαλμῶν σου[1]», τὴν προσθήκην τις ἐποιήσατο ἐν τῇ προγραφῇ εἰς τὸν καιρὸν καθ' ὃν ἐν ἐκστάσει γενόμενος εἶπεν· «Ἀπέρριμμαι ἀπὸ προσώπου τῶν ὀφθαλμῶν σου», ἀναπέμψας τὰ ἐμφερόμενα τῷ λόγῳ; Πλὴν ἀλλ' εἰς τὸ τέλος τοὺς ἐντυγχάνοντας παραπέμπει καὶ ἡ παροῦσα προγραφή, ἤτοι διὰ τὰ τελευταῖα, ἐν οἷς παραίνεσιν ἀναγκαιοτάτην περιέχει ἡ λέγουσα· «Ἀγαπήσατε τὸν

1. Ψαλμ. 30, 23.

Κύριον πάντες οἱ ὅσιοι αὐτοῦ, ὅτι ἀληθείας ἐκζητεῖται Κύριος[1]», καὶ τὰ ἑξῆς· ἢ διὰ τὸ προφητεύειν τινὰ περὶ τῶν κατὰ τὸ πάθος τοῦ Σωτῆρος πεπραγμένων· ἃ δὴ γίγνεσθαι ἤμελλεν ἐπὶ συντελείᾳ τοῦ αἰῶνος. Ἀλλ' ἐπεὶ καὶ τοῦ Δαυῒδ ἐλπίδας ὑπογράφει ἀγαθὰς ὁ λόγος, αἵτινες ἤμελλον αὐτῷ εἰς τὸν μέλλοντα χρόνον ἀποδίδοσθαι, εἰκότως εἰς τὸ τέλος ἀναπέμπει τὴν προγραφήν. Περιέχει δὲ ὁ πᾶς ἱκετηρίαν τοῦ Δαυΐδ, ὅλον ἑαυτὸν ἀναρτήσαντος τοῦ Θεοῦ, καὶ παρακαλεῖ μὴ ἐκπεσεῖν τῆς ἐλπίδος.

Στίχ. β'-δ'. «Ἐπὶ σοί, Κύριε ἤλπισα, μὴ καταισχυνθείην εἰς τὸν αἰῶνα· ἐν τῇ δικαιοσύνῃ σου ῥῦσαί με καὶ ἐξελοῦ με. Κλῖνον πρὸς μὲ τὸ οὖς σου, τάχυνον τοῦ ἐξελέσθαι με.»

Πολλῷ τε πλούτῳ περιρρεόμενος, εἰ καὶ νίκαις ταῖς κατ' ἐχθρῶν ἐκόμα, ἀλλὰ τούτων οὐδὲν πρὸς ἀσφάλειαν συμβαλεῖσθαι αὐτῷ ἐπέπειστο, μόνην δὲ τὴν ἐπὶ Κύριον ἐλπίδα· διὸ ἱκέτευε ταύτης μήποτε ἐκπεσεῖν· ἀλλὰ καὶ ἡμᾶς ἐδίδασκε τὰ ὅμοια αὐτῷ ζηλοῦντας καὶ φρονεῖν καὶ λέγειν. Ἀντὶ δέ, «ἐν τῇ δικαιοσύνῃ σου·» «ἐν τῇ ἐλεημοσύνῃ σου», ὁ Σύμμαχος ἐξέδωκε. «Γενοῦ μοι εἰς Θεὸν ὑπερασπιστήν, καὶ εἰς οἶκον καταφυγῆς τοῦ σῶσαί με. Ὅτι κραταίωμά μου καὶ καταφυγή μου εἶ σύ, καὶ ἕνεκεν τοῦ ὀνόματός σου ὁδηγήσεις με καὶ διαθρέψεις με.» Ταῦτα καὶ ἐν τῷ ἑπτακαιδεκάτῳ εἶπε ψαλμῷ.

Στίχ. ε', ς'. «Ἐξάξεις με ἐκ παγίδος ταύτης, ἧς ἔκρυψάν μοι, ὅτι σὺ εἶ ὁ ὑπερασπιστής μου, Κύριε. Εἰς χεῖράς σου παραθήσομαι τὸ πνεῦμά μου· ἐλυτρώσω με, Κύριε ὁ Θεὸς τῆς ἀληθείας.»

Ἐξ ὧν ἐπειράθην πάλαι πρότερον, πέπεισμαι, ὅτι καὶ νῦν ἐξάξεις με ἐκ πάσης παγίδος τῆς ὑπὸ τῶν ἐχθρῶν μοι κατασκευαζομένης. Ἕως γὰρ ἐν τῷ βίῳ τῷ θνητῷ τυγχάνω, οἶδα πολεμούμενος· καὶ μέχρις ἐσχάτης ἀναπνοῆς ἐν ἀγωνίᾳ κατέστην καὶ διὰ τὰς τῶν ἐχθρῶν ἐπιβουλάς. Ἀλλὰ πέπεισμαι, ὅτι ἐπὶ σοὶ ἀναρτήσας τὴν ἐμαυτοῦ ἐλπίδα, οὐ καταισχυνθήσομαι εἰς τὸν αἰῶνα. Θεὸν δὲ ἀληθείας εὐκαίρως καὶ καταλλήλως τοῖς λεγομένοις ὠνόμασεν· οὐ γάρ ἐστι διαψευσθῆναι τὸν ἐπὶ σὲ ἠλπικότα, οὐδὲ τὸν ἐπὶ ταῖς σαῖς ἐπαγγελίαις πεπιστευκότα.

Στίχ. ζ'. «Ἐμίσησας τοὺς διαφυλάσσοντας ματαιότητας διακενῆς. Ἐγὼ δὲ ἐπὶ τῷ Κυρίῳ ἤλπισα· ἀγαλλιάσομαι καὶ εὐφρανθήσομαι ἐπὶ τῷ ἐλέει σου·»

Εἰκότως χαίρεις μὲν τοῖς τῆς ἀληθείας ἐρασταῖς, καὶ τούτους προσίεσαι· διὸ λέλεκται· «Ἀληθείας ἐκζητεῖ Κύριος·» τοὺς δὲ τὴν ματαιότητα περιέποντας εἰκότως ἀποτρέπῃ καὶ μισεῖς, ὡς ἂν τὸ ψεῦδος μεταδιώκοντας. Ματαιότης γὰρ τὸ ψεύδους γέμον· διὸ παραινεῖς λέγων· «Υἱοὶ ἀνθρώπων, ἕως πότε βαρυκάρδιοι; ἵνα τί ἀγαπᾶτε ματαιότητα, καὶ ζητεῖσθε ψεῦδος;[2]» Ἐγὼ δέ, ἀποστραφεὶς τὰ μά-

1. Ψαλμ. 30, 23. 2. Ψαλμ. 4, 3.

ταια, ἐπὶ σὲ μόνον τὸν ἐμαυτοῦ Κύριον ἤλπισα· διὸ πέπεισμαι, οὐκ εἰκῇ σοι ἐμαυτὸν παρατεθεῖσθαι. Τὸ γὰρ τέλος τῆς εἰς σὲ ἐλπίδος χαρὰ καὶ εὐφροσύνη.

Στίχ. η'-θ'. «Ὅτι ἐπεῖδες τὴν ταπείνωσίν μου, ἔσωσας ἐκ τῶν ἀναγκῶν τὴν ψυχήν μου. Καὶ οὐ συνέκλεισάς με εἰς χεῖρας ἐχθρῶν· ἔστησας ἐν εὐρυχώρῳ τοὺς πόδας μου.»

Ἤδη καὶ ἄλλοτε ἐπεῖδες τὴν ταπείνωσίν μου· πολλάκις τε περιπεσούσης τῆς ἐμῆς ψυχῆς ἀνάγκαις ταῖς ὑπὸ τῶν ἐχθρῶν ἐπιτεθείσαις αὐτῇ, ἐμοῦ τε μηδὲν πλέον πράττοντος ἢ ταπεινοῦντος ἐμαυτὸν καὶ κακοῦντος διὰ τῶν πρὸς σὲ τὸν Θεὸν ἱκετηρίων, σὺ αὐτὸς ὁ ἐμὸς ὑπέρμαχος καὶ ὑπερασπιστής, μὴ ἀντιπαρελθών με, ἀποδεξάμενος δὲ τὴν ἐμὴν ταπείνωσιν, «ἔσωσας ἐκ τῶν ἀναγκῶν τὴν ψυχήν μου, καὶ οὐ συνέκλεισάς με εἰς χεῖρας ἐχθρῶν·» παραδόξως δέ με εἴσω δικτύων ἤδη γενόμενον, καὶ ταῖς χερσὶ τῶν ἐχθρῶν παραδεδομένον ἁρπάσας ἐλεύθερον ἀνῆκας, καὶ τοὺς πόδας μου ἐν πλατύτητι καὶ εὐρυχωρίᾳ κατέστησας, συγχωρήσας ἄφετόν με βαδίζειν ὅποι καὶ βούλομαι. Διδάσκει δὲ καὶ ἡ ἱστορία, ὅτι, πολλάκις καταληφθεὶς ὑπὸ τοῦ Σαούλ, καὶ μέντοι καὶ ἐν τῷ σπηλαίῳ καθειρχθείς, τὰς ἐκείνου χεῖρας διέφυγε, καὶ ἄλλοτε τοὺς Γετθαίους παραπληξίαν σχηματισάμενος.

Στίχ. ι'. «Ἐλέησόν με, Κύριε, ὅτι θλίβομαι· ἐταράχθη ἐν θυμῷ ὁ ὀφθαλμός μου, ἡ ψυχή μου, καὶ ἡ γαστήρ μου.»

Ἱκετεύω, φησί, καὶ δέομαι ἐλεηθῆναι, «ὅτι θλίβομαι·» ἀνθ' οὗ ὁ Ἀκύλας φησίν· «Ὅτι στενὸν ἐμοί.» Τὴν γὰρ στενὴν καὶ τεθλιμμένην ὁδεύω διὰ σέ, καὶ τὰς σὰς ἐπαγγελίας. Ἀλλὰ καὶ ὁ τῆς ψυχῆς μου ὀφθαλμός, αὐτὸς ὁ νοῦς καὶ τὸ ἐν ἐμοὶ λογιστικόν, ἐταράχθη ἐν θυμῷ· ἀνθ' οὗ ὁ μὲν Ἀκύλας φησίν· «Ηὐχμώθη ἐν παροργισμῷ ὁ ὀφθαλμός μου·» ὁ δὲ Σύμμαχος· «Ἐθολώθη διὰ παροργισμὸν ὀφθαλμός μου.» Ὅτε γὰρ παρώργισα, φησί, καὶ θυμὸν ἐμαυτῷ ἐπήγειρα, τολμήσας διαπράξασθαι τὰ θυμοῦ καὶ ὀργῆς ἄξια, τὸ τηνικαῦτα σύγχυσις καὶ θόλωσις καὶ αὐχμὸς τὸ λογιστικὸν τῆς ἐμῆς ψυχῆς κατείληφεν. Ἀλλὰ καὶ ἡ ψυχή μου, φησί, καὶ ἡ γαστήρ μου, καὶ αὐτὴ ἐθολώθη καὶ ἐταράχθη κατὰ τὸν καιρὸν τοῦ παροργισμοῦ μου. Ὥσπερ δὲ ὀφθαλμὸν ψυχῆς κατὰ μεταφορὰν τοῦ αἰσθητοῦ ὀφθαλμοῦ νενοήκαμεν, οὕτω καὶ τὴν γαστέρα αὐτῆς οὐκ ἂν ἁμάρτοις εἰπὼν τὴν δύναμιν τὴν μνημονικήν, ἐν ᾗ ὥσπερ ἐν κοιλίᾳ καὶ γαστρὶ πάσας τὰς διὰ λόγων τροφὰς ἐναποτίθεσθαι εἴωθε. Διὸ λέλεκταί που· «Εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον, καὶ πάντα τὰ ἐντός μου τὸ ὄνομα τὸ ἅγιον αὐτοῦ.[1]» Καὶ ὁ Σωτὴρ δέ· «Ὃς ἂν πίῃ ἐκ τοῦ ὕδατος, οὗ ἐγὼ δώσω αὐτῷ, ποταμοὶ ἐκ τῆς κοιλίας αὐτοῦ ῥεύσουσιν ὕδατος ζῶντος, ἁλλομένου εἰς ζωὴν αἰώνιον.[2]» Κἀνταῦθα τοίνυν τὴν μνημονικὴν δύναμιν, ἣ καὶ αὐτὸ

1. Ψαλμ. 102, 1. 2. Ἰω. 7, 38.

τὸ ἡγεμονικὸν τῆς ψυχῆς, κοιλίαν ὠνόμασεν ὁ Σωτήρ. Θολωθεὶς τοίνυν τὸν ὀφθαλμὸν τῆς ψυχῆς, καὶ τὴν γαστέρα τὴν παραδεδομένην, ἰατρείᾳ καὶ θεραπείᾳ ἐμαυτὸν παρεῖχον, ὀδύνῃ καὶ στεναγμοῖς, καὶ πτωχείᾳ παραδιδοὺς τὸν ἐμαυτοῦ βίον, ὥσπερ διά τινων κύκλων ἰατρευόμενος. Ἀντὶ δὲ τοῦ, «Ἐν πτωχείᾳ ἡ ἰσχύς μου, καὶ τὰ ὀστᾶ μου ἐταράχθησαν·» σαφέστερον ὁ Σύμμαχος ἡρμήνευσεν εἰπών· «Διὰ τὴν κάκωσίν μου ἡ ἰσχύς μου καὶ τὰ ὀστᾶ μου ηὐρωτίασαν.» Οὕτω γάρ, φησίν, ἐμαυτὸν ἐκάκουν, ὡς διὰ τὴν ὑπερβολὴν τῆς κακώσεως ἐξατονῆσαί μου καὶ ἐξασθενῆσαι τὴν ἰσχύν, καὶ αὐτὰ τὰ τῆς ψυχῆς μου ὀστέα, καὶ τὰς δυνάμεις ἐν αἷς πάλαι ἠνδριζόμην ηὐρωτίασαν· ἢ κατὰ τὸν Ἀκύλαν· «Καὶ τὰ ὀστᾶ μου ηὐχμώθη.» Ταῦτα δὲ ἀναγκαῖα πρὸς διδασκαλίαν καὶ ὑπογραμμὸν τῶν ἀφέσεως τυχεῖν βουλομένων τῶν οἰκείων πλημμελημάτων.

Στίχ. ιβ'-ιδ'. «Παρὰ πάντας τοὺς ἐχθρούς μου ἐγενήθην ὄνειδος, καὶ τοῖς γείτοσί μου σφόδρα, καὶ φόβος τοῖς γνωστοῖς μου. Οἱ θεωροῦντές με ἔξω ἔφυγον ἀπ' ἐμοῦ· ἐπελήσθην ὡσεὶ νεκρὸς ἀπὸ καρδίας· ἐγενήθην ὡσεὶ σκεῦος ἀπολωλός.»

Ταῦτα ἀναφέρομεν ἐπὶ τὸν καιρὸν τοῦ πάθους τοῦ Σωτῆρος ἡμῶν, ἁρμόζοι ἂν ὑπ' αὐτοῦ λέγεσθαι, ὅτε οἱ ἐχθροὶ ἀνηρτημένον ὁρῶντες αὐτὸν ἐπετώθαζον ὀνειδίζοντες, κατὰ τὰ γεγραμμένα ἐν τοῖς Εὐαγγελίοις· οἵ τε γνωστοί, καὶ οἱ μαθηταί, καὶ φίλοι, φόβῳ ὑποπεσόντες, ἀνεχώρουν καταλείποντες αὐτόν· ὅτε καὶ ὁ πρωτοστάτης τοῦ χοροῦ τῶν αὐτοῦ μαθητῶν ἤρνηται αὐτὸν τρίτον. Τότε δὲ καὶ ἀπελήσθη ὡσεὶ νεκρὸς ἀπὸ καρδίας· ἀλλὰ καὶ ἐνομίσθη γεγονέναι ὡς σκεῦος ἀπολωλός. Πλὴν ἀλλὰ καὶ ταῦτα ἐπὶ τὸν ἐν τῷ ψαλμῷ ἐξομολογούμενον ἀναφερόμενα ὑπερβάλλουσαν αὐτοῦ παρίστησι κάκωσιν. Οὕτω γὰρ ἑαυτὸν ἐξέτηκεν, ὡς ἐκλείπειν μὲν αὐτοῦ ἐν ὀδύνῃ τὴν ζωήν, καὶ ἔτη ἐν στεναγμοῖς, ἀσθενῆσαι δὲ ἐν πτωχείᾳ τὴν ἰσχύν, καὶ τὰ ὀστέα τῆς ψυχῆς αὐτοῦ ταραχθῆναι· ἐφ' οἷς καὶ ἐγελᾶτο ὑπὸ τῶν ἐχθρῶν, ὡς εἰκῇ καὶ μάτην ἑαυτὸν κατακόπτων. Οὐ μόνον δὲ παρὰ τοῖς ἐχθροῖς ἐγίνετο ὄνειδος, ἀλλὰ καὶ παρὰ τοῖς γείτοσιν αὐτοῦ τοῖς μάλιστα αὐτὸν εἰδόσι, διὰ τὸ ἔγγιστα οἰκεῖν. Οὗτοι γάρ, ὁρῶντες αὐτὸν κατατρύχοντα ἐν τῇ πρὸς τὸν Θεὸν ἐξομολογήσει, κατεγέλων αὐτοῦ καὶ ὠνείδιζον. Οἱ δὲ προσήκοντες αὐτῷ συγγενεῖς καὶ φίλοι καὶ ἐφοβοῦντο, ὡς μεμηνότα καὶ τὰς φρένας ἐξεστηκότα· ὥστε ἀναχωρεῖν καὶ φεύγειν ἐξ αὐτοῦ, ἀπογινώσκοντας αὐτοῦ τὴν σωτηρίαν, λήθην τε αὐτοῦ ποιεῖσθαι ὡσεὶ καὶ νεκροῦ ἤδη γενομένου, καὶ ὡς περὶ σκεύους ἀπολωλότος διακεῖσθαι. Ταῦτα πάντα πεπονθέναι ἔφασκεν, ἑαυτὸν κακῶν ἐξομολογήσει καὶ μετανοίᾳ. Ἀλλ' οἵδε μέν, φησί, τοιοῦτοι γεγόνασι περὶ ἐμέ. Ἐγὼ δὲ οὐκ ἄνευ λόγου οὕτως ἐμαυτὸν ἦγον, ἀλλ' ἐπειδήπερ ἤκουον ψόγον πολλῶν παροικούντων κυκλόθεν, οἱ τότε συναιρόμενοι ἐπὶ τὸ αὐτὸ λαβεῖν τὴν ψυχήν μου ἐνεθυμοῦντο· οἱ γὰρ ἀφανεῖς καὶ ἀόρατοι ἐχθροί, περιπεσόντος μου τῇ ἁμαρτίᾳ, συνετάσ-

σοντο πρὸς ἀλλήλους, ὅπως διαρπάσωσι τὴν ἐμὴν ψυχήν. Διόπερ ἐγώ, τῆς τούτων ἐπιβουλῆς συναισθόμενος, τῇ τοσαύτῃ ἐμαυτὸν ἐπεδίδουν τιμωρίᾳ, εἴ πως ἄρα ὁ Θεὸς διὰ τὴν τοσαύτην μου ταπείνωσιν ἐλεήσειέ με καὶ ῥύσαιτο τῆς τῶν ἐχθρῶν ἐπιβουλῆς.

Στίχ. ιε΄-ις΄. «Ἐγὼ δὲ ἐπὶ σοὶ ἤλπισα, Κύριε· εἶπα· Σὺ εἶ ὁ Θεός μου, ἐν ταῖς χερσί σου οἱ κλῆροί μου.»

Ταῦτα τῶν ἐχθρῶν μου, φησί, βουλευομένων κατ' ἐμοῦ, ἐπὶ σὲ ἤλπισα, Κύριε· ἔλεγόν τέ σε μόνον βοηθόν μοι ἀπαρκεῖν· «Θεὸς» γάρ «μου εἶ σύ, ἐν ταῖς χερσί σου οἱ κλῆροί μου·» ἀνθ' οὗ, «οἱ καιροί μου», ἡ Ἑβραϊκὴ ἀνάγνωσις καὶ οἱ λοιποὶ ἑρμηνευταὶ ἐκδεδώκασιν. Εἰ γὰρ καὶ τὰ μάλιστα νῦν οἱ ἐχθροὶ κατισχύουσιν, ὥσπερ καιρὸν ἔχοντες κατ' ἐμοῦ, ἀλλ' οἱ ἐμοὶ καιροὶ πεφυλαγμένοι εἰσὶν ἐν ταῖς σαῖς χερσίν· ἐν οἷς καιροῖς καὶ τοὺς ἐμαυτοῦ κλήρους οἶδα παρὰ σοὶ φυλάττεσθαι. Διὸ εἰκότως ἱκετεύω καὶ δέομαι ἐπὶ τοῦ παρόντος ῥυσθῆναι ἐκ τῶν ἐχθρῶν μου καὶ ἐκ τῶν καταδιωκόντων με.

Στίχ. ιζ΄, ιη΄. «Ἐπίφανον τὸ πρόσωπόν σου ἐπὶ τὸν δοῦλόν σου, σῶσόν με ἐν ἐλέει σου· Κύριε μὴ καταισχυνθείην, ὅτι ἐπεκαλεσάμην σε.»

Ὥσπερ ἡλίου ἀνατείλαντος λύεται τὸ σκότος· ὑπὸ γῆν δὲ γενομένου, νὺξ διαλαμβάνει τὸ πᾶν· προΐασί τε ἐκ τῶν οἰκείων καταδύσεων θῆρες ἄγριοι καὶ ἄνδρες κακουργίας ἐργάται· οὕτως, ἀποστρεφομένου μὲν τοῦ Θεοῦ, οἱ τῆς ψυχῆς ἐχθροὶ ἐπανίστανται καὶ κατατρέχουσιν αὐτῆς· ἐπιλάμψαντος δὲ αὐτοῦ τὸ φῶς τῆς αὐτοῦ θεότητος, ὅπερ πρόσωπον Θεοῦ ὀνομάζειν εἴωθεν ἡ Γραφή, ἀποτρέπονται μὲν καὶ ἀποφεύγουσι πάντες οἱ τὰ φίλα τοῦ σκότους ἔργα διαπραττόμενοι, διαλύεται δὲ πᾶν τὸ ἐναντίον τῷ Θεῷ. Διὸ παρακαλεῖ ὁ τὰ πρῶτα ἐξομολογησάμενος φάσκων· «Ἐπίφανον τὸ πρόσωπόν σου εἰς τὸν δοῦλόν σου·» καὶ πάλιν· Οὐ διὰ τὰς ἐμὰς πράξεις, φησί, διὰ δὲ τὸ σὸν ἔλεος σωθῆναι ἀξιῶ· καὶ αὖθις· Ἐπεὶ δέ σε ἐπεκαλεσάμην, φησί, μὴ καταισχυνθείην, ὅτι ἐπὶ σοὶ ἤλπισα. Τοῖς μὲν γὰρ ἀσεβέσι, τοῖς σὲ τὸν Θεὸν οὐκ ἐπισταμένοις, αἰσχύνη πρέπει· διό φησιν· «Αἰσχυνθείησαν ἀσεβεῖς καὶ καταχθείησαν εἰς ᾅδου·» ἢ κατὰ τὸν Ἀκύλαν καὶ τὸν Σύμμαχον· «Σιωπάτωσαν εἰς ᾅδην.» Νῦν μὲν γὰρ λαλοῦσι πολλὰ τολμῶντες· ἐπειδὰν δὲ καταχθῶσιν εἰς τὸ κατάλληλον αὐτοῖς χωρίον, τὸ τηνικαῦτα παύσονται τῆς μεγαλαυχίας· τότε δὲ καὶ ἄλαλα γενήσεται τὰ ἐπὶ τοῦ παρόντος πολλὰ κατὰ τοῦ δικαίου φθεγγόμενα χείλη μεθ' ὑπερηφανίας· τότε δὲ καὶ ἐκδικηθήσεται πᾶσα ἡ κατὰ τῶν δικαίων ἐξουδένωσις.

Στίχ. κ΄, κα΄. «Ὡς πολὺ τὸ πλῆθος τῆς χρηστότητός σου, Κύριε, ἧς ἔκρυψας τοῖς φοβουμένοις σε! Ἐξειργάσω τοῖς ἐλπίζουσιν ἐπὶ σὲ ἐναντίον τῶν υἱῶν τῶν ἀνθρώπων. Κατακρύψεις αὐτοὺς ἐν ἀποκρύφῳ τοῦ προσώπου σου ἀπὸ ταραχῆς ἀνθρώπων. Σκεπάσεις αὐτοὺς ἐν σκηνῇ ἀπὸ ἀντιλογίας γλωσσῶν.»

Ταῦτα, φησίν, ἱκέτευσα, ἐπιφάναι τὸ πρόσωπόν σου ἐπὶ τὸν δοῦλόν σου, καὶ σωθῆναι τῷ ἐλέει σου μὴ καταισχῦναι, ὅτι ἐπεκαλεσάμην σε, πεπεισμένος, ὡς ἡ σὴ χρηστότης πολλή τις καὶ ἄφατος τυγχάνει, πλούτου δὲ γέμει πολλοῦ. Διὸ καὶ παρὰ τῷ Ἀποστόλῳ εἴρηται· «Ἢ τοῦ πλούτου τῆς χρηστότητος αὐτοῦ καὶ τῆς ἀνοχῆς καὶ τῆς μακροθυμίας καταφρονεῖς;[1]» Ἀλλὰ νῦν μὲν οὐ τοῖς πᾶσι φανερὰν ποιεῖς τὴν χρηστότητά σου· κρύπτεις δὲ αὐτὴν καὶ ταμιεύῃ φυλάττων τοῖς φοβουμένοις σε. Ἐπεὶ καὶ ἐξειργάσω αὐτὴν εἰς αὐτὸ τοῦτο· λέγω δὲ εἰς τὸ τοῖς ἐλπίζουσιν ἐπὶ σὲ παρασχεῖν αὐτήν, καὶ παρέξεις γε αὐτὴν κατὰ καιρὸν πρὸ τῶν ὀφθαλμῶν τῶν υἱῶν τῶν ἀνθρώπων, ὥστε πάντας ἰδεῖν τὴν σὴν χρηστότητα, καιρῷ τῆς τῶν ἀγαθῶν ἀμοιβῆς διδομένην τοῖς ἀξίοις· διόπερ καὶ ἐν τῷ βίῳ τάς σοι ἀνακειμένας ψυχὰς κατὰ τοὺς τῶν πειρατηρίων καιροὺς τῆς παρὰ σαυτοῦ σκέπης καταξιῶν ἀποκρύπτεις, ῥυόμενος αὐτοὺς ἀπὸ ταραχῆς ἀνθρώπων, καὶ ὥσπερ ἐν σκέπῃ ὑπὸ τὴν σαυτοῦ χεῖρα σκεπάζων αὐτοὺς ἀπὸ ἀντιλογίας γλωσσῶν, πρὸς τὸ μηδὲν καταβλάπτεσθαι μήτε ὑπὸ τῶν λόγοις αὐτοὺς καταπολεμούντων, μήτε ὑπὸ τῶν δι' ἔργων τὰς κατ' αὐτῶν μηχανὰς συσκευαζομένων.

Στίχ. κβ'. «Εὐλογητὸς Κύριος, ὅτι ἐθαυμάστωσε τὸ ἔλεος αὐτοῦ ἐν πόλει περιοχῆς.»

Διὰ τοσούτων τὴν πρὸς τὸν Θεὸν ἔντευξιν πεποιημένος ὁ ἐξομολογούμενος, ἐπὶ χρηστὸν περιγράφει τέλος τὸν λόγον, εὐλογῶν τὸν Θεόν, «ὅτι ἐθαυμάστωσε τὸ ἔλεος αὐτοῦ ἐν πόλει περιοχῆς·» ὅπερ ὁ Σύμμαχος ἡρμήνευσεν οὕτως· «Εὐλογητὸς Κύριος ὁ παραδείξας τὸ ἔλεος αὐτοῦ ἐμοί, ὡς ἐν πόλει περιπεφραγμένῃ.» Δι' ἐμοῦ γάρ, φησίν, ὁ Θεὸς ἐδοξάσθη, ὅτι, μυρίων ἐπ' ἐμὲ πολεμίων συστάντων, καὶ δίκην μεγάλης πόλεως τὴν ἐμὴν ψυχὴν πολιορκεῖν πεπειραμένων, ὁ ἐμὸς φύλαξ, φραγμόν μοι περιβαλών, τὸ ἔλεος αὐτοῦ θαυμαστὸν ἔδειξεν, οὕτω με σώσας ὡσεὶ καὶ πόλιν τείχει περιβεβλημένην ὀχυρῷ. Τοιοῦτος δέ μοι γέγονας σὺ ὁ ἐμὸς Κύριος, ὁπηνίκα αὐτὸς ἐμαυτὸν ταπεινῶν ἐν τῇ γενομένῃ μοι ἐκστάσει, ἐν «ᾗ ἐταράχθη ἐν θυμῷ ὁ ὀφθαλμός μου καὶ ἡ ψυχή μου, καὶ ἡ γαστήρ μου.» Οὐκ ἐπετρίβην, ἀλλ' ἐταπείνουν ἐμαυτόν, ὡς ἀπορριφεὶς ἀπὸ τῶν σῶν ὀφθαλμῶν διὰ τὴν ἐμὴν ἁμαρτίαν. Ἀλλὰ ταῦτα ἐγὼ μὲν ἔλεγον ἐξομολογούμενος· σὺ δὲ φιλάνθρωπος καὶ ἀγαθὸς Θεός, οὐκ ἀπέρριψας τὸν σὸν οἰκέτην, ἀλλὰ κατὰ τὴν ἐπαγγελίαν τὴν φάσκουσαν· «Ὅταν ἀποστραφεὶς στενάξῃς, τότε σωθήσῃ·[2]» ταῦτα ἐμοῦ λέγοντος εἰσήκουσας, καὶ διὰ τοῦτο «ἐθαυμάστωσας τὸ ἔλεός σου ἐμοὶ ἐν πόλει περιοχῆς.»

---

1. Ῥωμ. 2, 4. 2. Ἡσ. 30, 15.

ΤΩ ΔΑΥΙΔ ΣΥΝΕΣΕΩΣ ΛΑ΄.

Στίχ. α΄. «Μακάριοι ὧν ἀφέθησαν αἱ ἀνομίαι, καὶ ὧν ἐπεκαλύφθησαν αἱ ἁμαρτίαι.»

Πολλὰ κακώσας ἑαυτὸν ἐπὶ τῷ συμβεβηκότι πλημμελήματι ὁ Δαυΐδ, καὶ τὰς διὰ τοῦ τριακοστοῦ φωνὰς προέμενος, φροντίζων καὶ ἀγωνιῶν τὴν τοῦ Θεοῦ κρίσιν, ἐφ᾽ οἷς αὐτὸς ἑαυτῷ συνεγνώκει· εἶτα τῷ Πνεύματι τῷ ἁγίῳ καὶ τῇ δυνάμει τῇ προφητικῇ τὴν διὰ τῆς σωτηρίου χάριτος μέλλουσαν ἔσεσθαι πᾶσιν ἀνθρώποις συγχώρησιν τῶν ἁμαρτημάτων ἐπιγνούς, καὶ ὡς οἱ ἐξ ἐθνῶν εἰδωλολάτραι καὶ ἄθεοι, μυρίοις κακοῖς ἐμπεπαρμένοι, ἀθρόας ποτὲ τεύξονται ἀφέσεως ἁμαρτιῶν διὰ λουτροῦ παλιγγενεσίας, τρισμακαρίους τούτους ἀποφαίνει διὰ τῶν προκειμένων. Ὀδυρμοῖς, φησίν, ἐγὼ καὶ δάκρυσι θαμινοῖς διὰ τὴν ἁμαρτίαν προστετηκώς, καὶ παντοδαπαῖς συμφοραῖς ταύτης χάριν περιπεσών, ζηλωτοὺς ἐκείνους καὶ μακαρίους ἀποκαλῶ, τοὺς ἀταλαιπώρως τῇ τοῦ Θεοῦ φιλανθρωπίᾳ τῶν ἁμαρτημάτων δεξαμένους τὴν ἄφεσιν. Τοσαύτη γὰρ περὶ αὐτοὺς χρῆται φιλοτιμίᾳ, ὡς μὴ μόνον ἀφεῖναι, ἀλλὰ καὶ καλύψαι τὰς ἁμαρτίας, καὶ μηδὲ ἴχνη τούτων καταλείπειν.

Στίχ. β΄. «Μακάριος ἀνὴρ ᾧ οὐ μὴ λογίσηται Κύριος ἁμαρτίαν, οὐδέ ἐστιν ἐν τῷ στόματι αὐτοῦ δόλος.»

Τὰ μὲν προλελεγμένα γενικῶς εἴρηται, καὶ καθόλου περὶ πάντων τῶν μελλόντων ἀφέσεως ἁμαρτιῶν διὰ τῆς χάριτος τυγχάνειν· τὰ δὲ προσκείμενα ὅπως ἡ ἄφεσις δίδοται παρίστησι διὰ τοῦ· «Οὗ μὴ λογίσηται Κύριος ἁμαρτίαν.» Ἅπαξ μὲν γὰρ γενομένην τὴν παραχθεῖσαν ἁμαρτίαν ἀγένητον μὴ δύνασθαι εἶναι δηλοῖ· τόν γε μὲν Κύριον τὸν ἐξουσίαν ἔχοντα ἐν τῷ λογοθεσίῳ λογίζεσθαι τῷ ἡμαρτηκότι, ἢ μὴ λογίζεσθαι τὸ πεπραγμένον, ἀλλὰ συγχωρεῖν ποιεῖσθαι τὴν ἄφεσιν. Καὶ ἐπειδήπερ ἕκαστος τῶν προσιόντων τῇ διὰ τοῦ βαπτίσματος δωρουμένῃ συγχωρήσει δι᾽ ὁμολογίας τῆς εἰς τὸν Σωτῆρα, τῆς γε εἰς τὸν τῶν ὅλων Θεὸν πίστεως, καὶ δι᾽ ἐξομολογήσεως εἰλικρινοῦς, τῆς ἀφέσεως τεύξεται· σφόδρα ἀκριβῶς ὁ λόγος προστίθησι τὴν φάσκουσαν προσθήκην· «Οὐδ᾽ ἔστιν ἐν τῷ στόματι αὐτοῦ δόλος», ἤ, «ἐν τῷ πνεύματι αὐτοῦ δόλος·» ἑκατέρως γὰρ φέρεται ἐν τῷ ἀναγνώσματι. Οὗτος γὰρ μακάριος, ὁ καθαρῷ πνεύματι τὴν ἐξομολόγησιν ποιούμενος, καὶ τὰς ἐν τῷ λουτρῷ τῆς παλιγγενεσίας φωνὰς προσφερόμενος. Εἰ δ᾽ εὑρεθείη ἐν τῷ στόματι αὐτοῦ δόλος, ἢ ἐν τῷ πνεύματι καὶ τῇ ψυχῇ, ὡς ἀπατήσας ἑαυτὸν πρὸς τὸ μὴ τυχεῖν τῆς ἀφέσεως, ἔτι καὶ αὐξήσει τὰ ἑαυτοῦ κακὰ ἐπισωρεύσας καθ᾽ ἑαυτοῦ πλείονα ὀργὴν ἐν ἡμέρᾳ ὀργῆς.

Στίχ. γ΄, δ΄. «Ὅτι ἐσίγησα, ἐπαλαιώθη τὰ ὀστᾶ μου, ἀπὸ τοῦ κράζειν με ὅλην τὴν ἡμέραν, κ.τ.λ.»

Ἐκεῖνοι μέν εἰσι μακάριοι, οὓς τῷ πνεύματι γνοὺς ἐμακάρισα·

ἐγὼ δὲ πολλὰ κοπιάσας ἐν ταῖς πρὸς τὸν Θεὸν βοαῖς καὶ ἐξομολογήσεσιν, ἀπέκαμον καὶ ἐσίγησα· ἀνθ' οὗ ὁ μὲν Σύμμαχος, «Ὅτι ἀπεσίγησα·» ὁ δὲ Θεοδοτίων, «Ὅτι ἐκοπίασα», ἡρμήνευσαν. Ἀντὶ δὲ τοῦ «ἀπὸ τοῦ κράζειν με», «Ἀπὸ τοῦ ὀδύρεσθαί με πᾶσαν ἡμέραν», ἐκδέδωκεν ὁ Σύμμαχος. Ἐπαλαιώθη δὲ αὐτοῦ τὰ ὀστᾶ συντριβόμενα ἐκ τῆς πολλῆς κακώσεως τῆς κατὰ τὴν ἐξομολόγησιν αὐτῷ γεγενημένης· ἐν ᾗ καὶ τὰς δυνάμεις τῆς ψυχῆς ὀστέα ὀνομαζομένας κατεπόνει. Διὸ κατὰ τὸν Ἀκύλαν εἴρηται· «Ὅτι ἐκώφευσα, κατετρίβη τὰ ὀστᾶ μου ἐν βρυχήματί μου·» κατὰ δὲ τὸν Σύμμαχον, «Ὅτι ἀπεσιώπησα, ἐπαλαιώθη τὰ ὀστᾶ μου, ἀπὸ τοῦ ὀδύρεσθαι πᾶσαν ἡμέραν.» Οὐδὲ μέχρι μηνός, ἀλλὰ πάσας τὰς ἡμέρας κατέτρυχεν ἑαυτὸν καὶ κατεπόνει.

Στίχ. ε'. «Τὴν ἁμαρτίαν μου ἐγνώρισα, καὶ τὴν ἀνομίαν μου οὐκ ἐκάλυψα. Εἶπα. Ἐξαγορεύσω κατ' ἐμοῦ τὴν ἀνομίαν μου τῷ Κυρίῳ, καὶ σὺ ἀφῆκας τὴν ἀσέβειαν τῆς καρδίας μου.»

Διάψαλμα.

Ἄλλοι δὲ οὔ, «τὴν ἀσέβειαν τῆς καρδίας», ἀλλά, «τὴν ἀσέβειαν τῆς ἁμαρτίας μου», ἐξέθεντο. Ἀντὶ δὲ τούτου ἀκριβέστερον ὁ Σύμμαχος ἡρμήνευσεν εἰπών· «Ἵνα σὺ ἀφέλῃς τὴν ἁμαρτίαν μου.» Τάδε γάρ, φησί, καὶ τάδε διεπραξάμην, ἵνα τάδε μοι γένωνται. Οὐκ ἤδη τετυχηκὼς τῆς ἀφέσεως, ἀλλ' ὡς πάντα πράττων, ἵνα αὐτῆς τύχῃ, ταῦτ' ἔλεγε κατὰ τὸν Σύμμαχον. Καὶ ἔχεταί γε λόγου ἡ τοιαύτη ἑρμηνεία· εἰ γὰρ ἑτέρους ἐμακάριζεν, ὧν ἀφέθησαν αἱ ἀνομίαι, ὡς μηδέπω αὐτὸς τετυχηκὼς τῆς ἀφέσεως, πῶς ἐνταῦθα ἐδύνατο λέγειν· «Καὶ σὺ ἀφῆκας τὴν ἀσέβειαν τῆς ἁμαρτίας μου;» Διόπερ κατὰ τὸν Σύμμαχον ἀκριβέστερον εἰρῆσθαί φημι τό, «Ἵνα σὺ ἀφέλῃς τὴν ἀσέβειαν τῆς ἁμαρτίας μου.»

Στίχ. ς'. «Ὑπὲρ ταύτης προσεύξεταί σοι πᾶς ὅσιος ἐν καιρῷ εὐθέτῳ. Πλὴν ἐν κατακλυσμῷ ὑδάτων πολλῶν πρὸς αὐτὸν οὐκ ἐγγιοῦσι.»

Διὰ τοῦτο πᾶς ὅσιος ὑπόδειγμα λαβὼν ἐκ τῶν κατ' ἐμὲ πεπραγμένων προθυμότατα καὶ εὐθαρσῶς «προσεύξεταί σοι», εἴ ποτε καιρὸς αὐτὸν καλῇ ἐπὶ τὴν ὁμοίαν ἐμοὶ προσευχὴν ἐλθεῖν. Προσευξαμένου δὲ αὐτοῦ κατὰ τὸ ὑπόδειγμα τὸ ἐμόν, καὶ αὐτοῦ ἐπακούσεις, παρέξεις τε αὐτῷ τὴν παρὰ σοῦ σωτηρίαν, ὥστε μηδὲν αὐτὸν βλαβῆναι, κἂν μυρία κατακλύζοντα ὕδατα κατ' αὐτοῦ φέρηται. Ὡς γὰρ ἐπὶ πέτραν οἰκοδομήσας αὐτοῦ τὴν οἰκίαν, καὶ ἐπὶ σὲ τὸν μέγαν Σωτῆρα ἀναρτήσας ἑαυτοῦ τὰς ἐλπίδας, ἄπτωτος καὶ ἑδραῖος μενεῖ· διὰ γὰρ τὴν σὴν φυλακὴν οὐδὲ πλησιάσαι αὐτῷ, οὐδὲ ἐγγὺς γενέσθαι δυνήσεται. Καὶ ταύτην γε τὴν διάνοιαν ἡ τοῦ Συμμάχου παρέστησεν ἑρμηνεία, φήσασα· «Περὶ τούτου προσεύξεται πᾶς ὅσιος», ἀντὶ τοῦ, Διὰ τοῦτο προσεύξεται πᾶς ὅσιός σοι καιρὸν εὑρών, ὥστε ἐπικλύζοντα ὕδατα πολλὰ πρὸς αὐτὸν μὴ ἐγγίσαι. Ἐὰν δὲ κατὰ τοὺς Ἑβδομήκοντα λέγηται· «Ὑπὲρ ταύτης προσεύξεται πᾶς ὅσιος», ἐροῦσιν, ὅτι, «ὑπὲρ

ταύτης», δηλαδὴ τῆς ἀφέσεως τῆς ἐμοὶ γενομένης. Διὰ γὰρ τὸν σὸν ἔλεον καὶ τὴν εἰς ἐμὲ γενομένην φιλανθρωπίαν πᾶς ὅσιος εὔελπις ἔσται, τῶν ὁμοίων παρὰ σοῦ τυχεῖν· εἴ ποτε αὐτῷ γένοιτο, ὡς ἀνθρώπῳ σάρκα περικειμένῳ, τοιοῦτό τι σφάλμα καὶ καιρὸς δεόμενος ὁμοίας ἐμοὶ ἐξομολογήσεως καὶ προσευχῆς.

Στίχ. η΄. «Συνετιῶ σε καὶ συμβιβῶ σε ἐν ὁδῷ ταύτῃ ᾗ πορεύσῃ· ἐπιστηριῶ ἐπὶ σὲ τοὺς ὀφθαλμούς μου.»

Τὸ λεγόμενον διὰ τοῦ προφήτου· «Ἔτι λαλοῦντός σου, ἐρῶ· Ἰδοὺ πάρειμι[1]», καὶ ἐπὶ τοῦ Δαυῒδ ἐπληροῦτο. Διότι εὐχομένου καὶ τὴν δέησιν ἀναπέμποντος, τὸ Πνεῦμα τὸ θεῖον ἀποκρίσεως αὐτὸν ἀξιοῖ, θαρσεῖν αὐτῷ παρακελευόμενον. Ἐγὼ γάρ «σε», φησίν, «συνετιῶ καὶ συμβιβῶ σε ·» ἀνθ' οὗ ὁ Ἀκύλας φησίν· «Ἐπιστημώσω σε καὶ φωτίσω σε ἐν ὁδῷ ταύτῃ ᾗ πορεύσῃ·» ὁ δὲ Σύμμαχος· «Συνετίσω σε καὶ ὑποδείξω σοι ὁδὸν ἣν ὁδεύσεις.» Ἐπαγγέλλεται γὰρ δεῖξαι αὐτῷ τὸν εἰπόντα· «Ἐγώ εἰμι ἡ ὁδός.[2]» Ἦν δὲ οὗτος ὁ τοῦ Θεοῦ Λόγος, ὁ τοὺς ὁδεύοντας ἄγων ἐπὶ τέλος τὸ τρισμακάριον, τὸν ἑαυτοῦ Πατέρα. Ἀντὶ δὲ τοῦ, «Ἐπιστηριῶ ἐπὶ σὲ τοὺς ὀφθαλμούς μου», ὁ Σύμμαχος, «Βουλεύσομαι», φησί, «περὶ σοῦ τῷ ὀφθαλμῷ μου.» Ἐπειδὴ γὰρ «ὀφθαλμοὶ Κυρίου ἐπὶ δικαίους, καὶ ὦτα αὐτοῦ εἰς δέησιν αὐτῶν·[3]» εἰκότως τὸν τοσαῦτα ηὐγμένον καταξιοῖ τοῦ ἰδίου ὀφθαλμοῦ, ὅπως, ἐκ τῶν φωτιστικῶν αὐτῶν τῶν ἐκ τοῦ θείου ὀφθαλμοῦ πεμπομένων φωτισθεὶς τὴν διάνοιαν, τὴν ὁδὸν θεάσηται τὴν ἐπηγγελμένην αὐτῷ. Διόπερ ὀφθαλμοὶ Κυρίου οὐκ ἐπὶ πάντας, ἀλλ' «ἐπὶ» μόνους «τοὺς δικαίους·» ἀπὸ γὰρ τῶν ἀσεβῶν ἀποστρέφει τοὺς ἑαυτοῦ ὀφθαλμούς.

Στίχ. ια΄. «Εὐφράνθητε ἐπὶ Κύριον καὶ ἀγαλλιᾶσθε, δίκαιοι, καὶ καυχᾶσθε, πάντες οἱ εὐθεῖς τῇ καρδίᾳ.»

Περιγράψας ὁ λόγος τὴν πρὸς τὸν εὐξάμενον ἀπόκρισιν, ἐπαγγειλάμενός τε αὐτῷ τὰ προλελεγμένα, μεταβαίνει ἐπὶ τὸ κοινὸν τῶν ἀνθρώπων γένος, δι' ὑπερβολὴν φιλανθρωπίας πάντας βουλόμενος σωθῆναι. Καὶ αὐτὸς δὲ ὁ Δαυῒδ, προσδιελθὼν τὴν ἑαυτοῦ ἐξομολόγησιν, αἰσίας τε ἀποκρίσεως καὶ ἐπαγγελίας καταξιωθείς, ἐξ ὑπερβαλλούσης χαρᾶς καὶ τοῖς λοιποῖς ἀνθρώποις προξενεῖ τὰ τῆς ὠφελείας. «Εὐφράνθητε ἐπὶ Κύριον καὶ ἀγαλλιᾶσθε, δίκαιοι, καὶ καυχᾶσθε πάντες οἱ εὐθεῖς τῇ καρδίᾳ.» Ὥσπερ τῷ ἀριστερῷ τάγματι τῶν ἁμαρτωλῶν τὰ κατάλληλα παρῄνεσεν, ἑαυτὸν ὑπόδειγμα παρασχὼν τοῖς ἐξ ἁμαρτιῶν ἐπιστρέφουσιν· οὕτω καὶ τοῖς δικαίοις τὰ οἰκεῖα καὶ αὐτοῖς ἁρμόδια εὐαγγελίζεται διὰ τῶν προκειμένων, παραινῶν αὐτοῖς ἐπὶ μηδενὶ μὲν τῶν κοσμικῶν εὐφραίνεσθαι, ἐπὶ δὲ τὸν Κύριον μέγα φρονεῖν, καὶ ἐπ' αὐτῷ μόνῳ εὐφραίνεσθαι, χαίρειν τε καὶ ἀγαλλιᾶν ἐπὶ τῷ τοσούτῳ ἀγαθῷ. Ἀλλὰ καὶ «ὁ καυχώμενος ἐν Κυρίῳ

1. Ἡσ. 58, 9. 2. Ἰω. 14, 6. 3. Ψαλμ. 33, 16.

καυχάσθω[1]», κατὰ τὸν Ἀπόστολον. Εἰκότως οὖν καὶ ἐνταῦθα τὸ συμπέρασμα τοῦ παντὸς λόγου ἐπισφραγίζεται λέγων· «Καὶ καυχᾶσθε ἐν αὐτῷ, πάντες οἱ εὐθεῖς τῇ καρδίᾳ·» μὴ γὰρ ἐφ' ἑαυτοῖς μέγα φρονεῖν, ἀλλ' ἐπ' αὐτῷ τῷ πάσης ὑμῖν ἀρετῆς αἰτίῳ γενομένῳ Κυρίῳ.

ΨΑΛΜΟΣ ΤΩ ΔΑΥΙΔ ΛΒ'.

Κατὰ τὴν Ἑβραϊκὴν ἀνάγνωσιν καὶ κατὰ τοὺς λοιποὺς ἑρμηνευτὰς ἀνεπίγραφός ἐστιν ὁ ψαλμός· πολλὴν δὲ σῴζει ἀκολουθίαν πρὸς τὸν πρὸ αὐτοῦ. Προειπὼν γὰρ κατὰ τὸ τέλος ἐκείνου· «Εὐφράνθητε ἐπὶ Κύριον καὶ ἀγαλλιᾶσθε, δίκαιοι», μονονουχὶ αὐτῆς ἤρξατο τῆς λέξεως τοῦ προκειμένου, φήσας·

Στίχ. α'. «Ἀγαλλιᾶσθε, δίκαιοι, ἐν Κυρίῳ.»

Καί μοι δοκεῖ προφητικῶς τὰ λεγόμενα διὰ τῶν προκειμένων εἰς πρόσωπον ἀναπέμπεσθαι τῶν ἐν τῷ πρὸ τούτου ψαλμῷ δηλωθέντων, κατὰ τό, «Μακάριοι ὧν ἀφέθησαν αἱ ἀνομίαι, καὶ ὧν ἐπεκαλύφθησαν αἱ ἁμαρτίαι.» Ὡς γὰρ πρὸς ἐκείνους τοὺς τετυχηκότας τῆς ἀφέσεως τῶν ἁμαρτημάτων διὰ τῆς σωτηρίου χάριτος ἀναφωνεῖται τό, «Ἀγαλλιᾶσθε, δίκαιοι, ἐν Κυρίῳ.» Μὴ γὰρ ἐφ' ἑαυτοῖς ἢ ἐπί τι τῶν κοσμικῶν, ἀλλ' ἐπὶ τῷ Κυρίῳ πεποιθότες, καὶ ἐπ' αὐτῷ σεμνυνόμενοι καὶ ἐν αὐτῷ καυχώμενοι, ἀγαλλιᾶσθε ὑμεῖς οἱ μακάριοι, ὧν ἀφέθησαν αἱ ἀνομίαι, καὶ ὧν ἐπεκαλύφθησαν αἱ ἁμαρτίαι. «Πρέπει», γάρ, φησί, πᾶσιν «τοῖς εὐθέσιν ἡ εἰς τὸν Θεὸν αἴνεσις.» Κατὰ δὲ τὸν Ἀκύλαν, «Τοῖς εὐθέσιν ὡραιοῦται ὕμνησις.» Ἐπεὶ γὰρ οὐχ ὡραῖος ὕμνος ἐν στόματι ἁμαρτωλοῦ, εἰκότως τοῖς καθαρὰς διανοίας καὶ καθαρὰ χείλη κεκτημένοις εὐπρέπει ἡ τοῦ Θεοῦ αἴνεσις.

Στίχ. β'. «Ἐξομολογεῖσθε τῷ Κυρίῳ ἐν κιθάρᾳ, ἐν ψαλτηρίῳ δεκαχόρδῳ ψάλατε αὐτῷ.»

Κατὰ πρώτην τοῦ νόμου παράδοσιν γεγραμμένα. Καὶ ὁ τὰς ἔσω δὲ καὶ τὰς ἔξω αἰσθήσεις καθαρὰς καὶ ἀμέμπτους φυλάττων ἐν δεκαχόρδῳ ψαλτηρίῳ ψάλλει τῷ Θεῷ· «Ἄσατε αὐτῷ ᾆσμα καινόν.» Τὸ μὲν παλαιὸν ᾆσμα διὰ παλαιᾶς κιθάρας καὶ παλαιοῦ ψαλτηρίου, τῶν ἀψύχων ὀργάνων, ὥσπερ διὰ συμβόλων καὶ εἰκόνων ἐσπουδάζετο τῷ προτέρῳ λαῷ· τὸ δὲ καινὸν ᾆσμα μεγαλοφυέστερον καὶ θεοπρεπέστερον διὰ κιθάρας ζώσης, καὶ διὰ τοῦ ἀποδοθέντος δεκαχόρδου ψαλτηρίου ἀναπέμπεται τῷ Θεῷ. «Καλῶς ψάλατε ἐν ἀλαλαγμῷ.» Οὗτος ὁ ἀλαλαγμός ἐστι μυστικός· διὸ εἴρηταί που· «Μακάριος ὁ λαὸς ὁ γινώσκων ἀλαλαγμόν.[2]» Ἀλλὰ καὶ ἀντὶ βοῶν καὶ μόσχων, καὶ τῶν δι' αἵματος θυσιῶν, θυσίας ἀλαλαγμοῦ κατατεθυκέναι φησὶν ὁ εἰπών· «Ἐκύκλωσα καὶ ἔθυσα ἐν τῇ σκηνῇ αὐτοῦ θυσίαν ἀλαλαγμοῦ.[3]»

1. Α' Κορ. 1, 31. 2. Ψαλμ. 88, 16. 3. Ψαλμ. 26, 6.

Στίχ. δ', ε'. «Ὅτι εὐθὺς ὁ λόγος τοῦ Κυρίου, καὶ πάντα τὰ ἔργα αὐτοῦ ἐν πίστει. Ἀγαπᾷ ἐλεημοσύνην καὶ κρίσιν· τοῦ ἐλέους Κυρίου πλήρης ἡ γῆ.»

Τὰ μὲν τῆς τῶν ὄντων καταλήψεως διὰ πίστεως ἡμῖν χωρείτω, τὰ δὲ τοῦ πρακτικοῦ βίου διὰ ἐλεημοσύνης καὶ κρίσεως. Ταῦτα γὰρ ἀγαπᾷ ὁ εὐθὺς τοῦ Κυρίου λόγος· ἅτε κριτικοὺς ἡμᾶς κατασκευάσας καὶ διακριτικοὺς τοῦ τε καλοῦ καὶ τοῦ ἐναντίου. Διὸ βούλεται ἡμᾶς μηδὲν ἀκρίτως πράττειν, μηδὲ ἀλόγως φέρεσθαι ταῖς ἐξ αὐτῶν ὁρμαῖς, κεκριμένως περὶ τῶν πρακτέων βουλεύεσθαι, καὶ πρός γε πάντων ἐλεημονικοὺς εἶναι, συγγνωμονικοὺς δὲ πρὸς τοὺς ἁμαρτάνοντας γιγνομένους, συμπαθεῖς δὲ καὶ φιλανθρώπους πρὸς τοὺς ἐλέου δεομένους.

Στίχ. ς'. «Τῷ λόγῳ τοῦ Κυρίου οἱ οὐρανοὶ ἐστερεώθησαν, καὶ τῷ πνεύματι τοῦ στόματος αὐτοῦ πᾶσα ἡ δύναμις αὐτῶν.»

Τῷ οὖν Πατρὶ πᾶσα ἡ δύναμις ἡ ὑπερουράνιος ἐστερεώθη· τουτέστι τὸ εὔτονον καὶ βέβαιον καὶ πάγιον ἐν ἁγιασμῷ, καὶ πάσῃ πρεπούσῃ ταῖς ἱεραῖς δυνάμεσιν ἀρετῇ, ἐκ τῆς τοῦ Πνεύματος ἐπικουρίας ἔχουσιν. Ἐνθάδε μὲν οὖν «πνεῦμα στόματος αὐτοῦ» ἀναγέγραπται. Εὑρήσομεν δὲ ἀλλαχοῦ καὶ λόγον στόματος αὐτοῦ εἰρημένον, ἵνα νοηθῇ ὁ Σωτὴρ καὶ τὸ ἅγιον αὐτοῦ Πνεῦμα. Ἀμφότερα δὲ συνήργησεν ἐν τῇ κτίσει τῶν οὐρανῶν καὶ τῶν ἐν αὐτοῖς δυνάμεων· διὰ τοῦτο εἴρηται· «Τῷ λόγῳ Κυρίου οἱ οὐρανοὶ ἐστερεώθησαν, καὶ τῷ πνεύματι τοῦ στόματος αὐτοῦ πᾶσα ἡ δύναμις αὐτῶν.» Οὐδὲν γὰρ ἁγιάζεται μὴ τῇ παρουσίᾳ τοῦ Πνεύματος. Ἀγγέλων γοῦν τὴν μὲν εἰς τὸ εἶναι πάροδον ὁ δημιουργὸς Λόγος, ὁ ποιητὴς τῶν ὅλων, παρείχετο· τὸν ἁγιασμὸν δὲ αὐτοῖς τὸ Πνεῦμα τὸ ἅγιον συνεπέφερεν· οὐ γὰρ νήπιοι κτισθέντες οἱ ἄγγελοι.

Στίχ. ζ'. «Φοβηθήτω τὸν Κύριον πᾶσα ἡ γῆ· ἀπ' αὐτοῦ δὲ σαλευθήτωσαν πάντες οἱ κατοικοῦντες τὴν οἰκουμένην.»

Σφόδρα δὲ ἀκολούθως τὰς τοῦ Θεοῦ μεγαλουργίας παραστήσας, καὶ μονονουχὶ ὀφθαλμοῖς ἐπιδείξας ὁπηλίκος ἐστὶν ὁ τῶν τοιούτων δημιουργὸς Κύριος, παρακελεύεται τοῦτον φοβεῖσθαι. Εὐαγγελίζεται δὲ εἰδώλοις μηκέτι προσέχειν τὸν νοῦν, μήτε δαίμονας σέβεσθαι, ἀλλὰ τὸν τοσούτων ποιητήν. Ἀντὶ δὲ τοῦ, «σαλευθήτωσαν», ὁ Σύμμαχος, «εὐλαβείσθωσαν», ἐξέδωκε. Νοήσεις ὅπως ἔμελλον σαλεύεσθαι ἀπ' αὐτοῦ πάντες οἱ κατοικοῦντες τὴν οἰκουμένην, ἐπιστήσας τὴν διάνοιαν, ὡς ἐπὶ τῷ κηρύγματι τῷ εὐαγγελικῷ καὶ τῇ σωτηρίῳ διδασκαλίᾳ καθ' ὅλης τῆς οἰκουμένης Ἐκκλησίαι τῷ Θεῷ συνέστησαν· πᾶσά τε ἀκοὴ ἐπληρώθη τοῦ λόγου, καὶ πάντες ἄνθρωποι ἐπὶ τῇ τοσαύτῃ δυνάμει κεκίνηνται, μεταβάλλοντες ἀπὸ τῆς προτέρας περὶ τὰ εἴδωλα πλάνης, καὶ εἰς ὑπόμνησιν ἐλθόντες τῆς ἀληθοῦς εὐσεβείας· «Ὅτι αὐτὸς εἶπε, καὶ ἐγενήθησαν· αὐτὸς ἐνετείλατο, καὶ ἐκτίσθησαν.»

Στίχ. ι΄. «Κύριος διασκεδάζει βουλὰς ἐθνῶν, ἀθετεῖ δὲ λογισμοὺς λαῶν, καὶ ἀθετεῖ βουλὰς ἀρχόντων.»

Ἐπεὶ συνεώρα τὸ προφητικὸν πνεῦμα μέλλοντας ἐξάπτεσθαι διωγμοὺς κατὰ τῶν ἀναχωρούντων μὲν τῆς προτέρας δεισιδαιμονίας καὶ ἀποστρεφομένων τὴν πολύθεον πλάνην, ἐπὶ δὲ τὸν τῶν ὅλων Κύριον ἐπιστρεφόντων, ἀναγκαίως τῶν ἐν ἀπιστίᾳ μεινάντων ἐθνῶν τοὺς φόβους καὶ τὰς ἀπειλὰς μὴ δεδιέναι παρακελεύεται τοῖς τῶν ὅλων ποιητὴν ἐπεγνωκόσιν. Κἂν γὰρ μυρία καθ' ὑμῶν ἐπιβουλεύσωνται· ἀλλ' οὐδέν, φησίν, ἰσχύσουσι καθ' ὑμῶν ἐνεργῆσαι. Αὐτὸς γὰρ ὁ πάντων δημιουργὸς καὶ Κύριος, ᾧ προσεφύγετε, τὰς καθ' ὑμῶν ἐπιβουλὰς τῶν ἐθνῶν καὶ τῶν ἀπίστων λαῶν, τοὺς καθ' ὑμῶν λογισμοὺς ἑνὶ νεύματι διασκεδάσει. Εἰ δὲ καὶ ἄρχοντές ποτε καὶ βασιλεῖς μέλλοιεν καθ' ὑμῶν ἐξάπτεσθαι, ἀλλὰ καὶ τούτων ἀθετήσει βουλάς· κρατήσει δὲ μόνη ἡ αὐτοῦ βουλὴ εἰς τὸν αἰῶνα. Ἀλλὰ καὶ τῆς σοφίας οἱ λογισμοὶ αὐτοῦ οὐχ ὁμοίως τοῖς λογισμοῖς τῶν ἀνθρώπων ἀθετήσονται· παραμένουσι δὲ ἑαυτοῦ κρίσεις εἰς γενεὰν καὶ γενεάν. Φυλάττει γὰρ τοὺς αὐτοῦ λογισμοὺς τοῖς ἑαυτοῦ ἀξίοις· καὶ ἐπειδήπερ καθ' ἑκάστην γενεὰν καὶ διαδοχὴν ἀνθρώπων εὑρίσκονταί τινες ἄξιοι, εἰκότως τούτοις αὐτοῖς διατηρῶν τοὺς αὐτοῦ λογισμούς, εἰς γενεὰν καὶ γενεὰν αὐτοὺς παρεκτείνει. Καὶ ταῦτα μὲν πάλαι προελέγετο προφητικῶς· ἔργοις δὲ αὐτοῖς τὴν ἔκβασιν τῶν λόγων ἡμεῖς παρειλήφαμεν. Ὅσα γὰρ ἐμηχανήσαντο κατὰ τῆς Ἐκκλησίας αὐτοῦ, καὶ ὁποίους καθ' ἡμῶν ἐπήγειραν διωγμούς, ὁποίας τε βουλὰς ἐβουλεύσαντο οἱ ἄρχοντες τοῦ αἰῶνος τούτου καθ' ἡμῶν, οὐκ ἔστιν ἐπαξίως διηγήσασθαι· καὶ ὡς ταῦτα πάντα Θεοῦ δυνάμει διεσκεδάννυντο· καὶ ὡς οὐκ ἐφ' ἡμῶν μόνον, ἀλλὰ καθ' ἑκάστην γενεὰν ἔργοις ταῦτα ἐπληροῦτο ἀπὸ τῶν χρόνων τῆς τοῦ Σωτῆρος θεοφανείας ἀρξάμενα.

Στίχ. ιβ΄-ιε΄. «Μακάριον τὸ ἔθνος οὗ ἐστιν ὁ Κύριος ὁ Θεὸς αὐτοῦ, λαὸς ὃν ἐξελέξατο εἰς κληρονομίαν ἑαυτῷ.»

Πάλαι μὲν γὰρ ἦν Ἰσραὴλ μερὶς καὶ κληρονομία αὐτοῦ· ἀλλ' ἐπεὶ ἠθέτησε μεταβέβληται ἡ χάρις ἐπὶ τὰ ἔθνη. «Ἐξ οὐρανοῦ ἐπέβλεψεν ὁ Κύριος, εἶδε πάντας τοὺς υἱοὺς τῶν ἀνθρώπων. Ἐξ ἑτοίμου κατοικητηρίου αὐτοῦ ἐπέβλεψεν ἐπὶ πάντας τοὺς κατοικοῦντας τὴν γῆν. Ὁ πλάσας καταμόνας τὰς καρδίας αὐτῶν, ὁ συνιεὶς ἐπὶ πάντα τὰ ἔργα αὐτῶν.» Ἵνα γνῶμεν πῶς ὑπέστη τὸ μακαριζόμενον ἔθνος, καὶ πόθεν εἴληφε τὴν σύστασιν ὁ λαὸς ὃν ἐξελέξατο εἰς κληρονομίαν ἑαυτῷ, ἀκολούθως διδάσκει, ὡς ἄρα αὐτὸς ὁ Κύριος πάντας τοὺς υἱοὺς τῶν ἀνθρώπων τοὺς κατοικοῦντας τὴν γῆν ἐπισκεψάμενος, ἐξ ἁπάντων τούτων συνεστήσατο τὸ προλεχθὲν ἔθνος, καὶ τὸν προειρημένον λαόν, οὐ διακόνοις ἑτέροις κεχρημένος. Ἀντὶ δὲ τοῦ· «Ἐξ ἑτοίμου κατοικητηρίου αὐτοῦ», ὁ μὲν Ἀκύλας, «ἀπὸ ἑδράσματος καθέδρας αὐτοῦ», ἡρμήνευσεν· ὁ δὲ Σύμμαχος, «ἀπὸ ἕδρας κατοικίας αὐτοῦ

ἐπέβλεψεν.» Ὁ δὲ Λόγος αὐτοῦ τὴν σωτηρίαν διεκονεῖτο τοῖς σῳζομένοις· «Ἀπέστειλε γὰρ τὸν λόγον αὐτοῦ καὶ ἰάσατο αὐτούς, καὶ ἐρρύσατο αὐτοὺς ἐκ τῶν διαφθορῶν αὐτῶν.[1]» Διὰ τί δὲ ἐξ οὐρανοῦ ἐπέβλεψε Κύριος, καὶ τί τὸ αἴτιον τοῦ καταξιῶσαι τῆς ἑαυτοῦ ἐπισκοπῆς πάντας τοὺς υἱοὺς τῶν ἀνθρώπων, παρίστησιν ἑξῆς λέγων· «Ὁ πλάσας καταμόνας τὰς καρδίας αὐτῶν·» ἀνθ' οὗ ὁ Σύμμαχός φησιν· «Ὁ πλάσσων καταμόνας ἑκάστην καρδίαν αὐτῶν.» Εἰ μὲν γὰρ ὁμοίως τοῖς ἀλόγοις ζῴοις καὶ τὸν ἀνθρώπινον νοῦν ὑφίστη, οὐδὲν ἦν ἀναγκαῖον ἐπιβλέπειν αὐτὸν ἐπὶ τοὺς υἱοὺς τῶν ἀνθρώπων· ἀπήρκει γὰρ ἡ καθ' ὅλου πρόνοια πάντων ἐξ ἴσου προνοουμένη· νυνὶ δέ, ἐπειδήπερ ἐξαίρετός τις οὐσία ἀνθρώπου ψυχή, ἐπεὶ περὶ μόνου ἀνθρώπου μεμαρτύρηται εἰρηκώς· «Ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν καὶ καθ' ὁμοίωσιν· καὶ ἐποίησεν ὁ Κύριος τὸν ἄνθρωπον· κατ' εἰκόνα Θεοῦ ἐποίησεν αὐτόν·[2]» εἰκότως, ὡς ἂν τῆς ἑαυτοῦ εἰκόνος προνοῶν, «ἐξ οὐρανοῦ ἐπέβλεψε καὶ εἶδε πάντας τοὺς υἱοὺς τῶν ἀνθρώπων.» Ὃ δὴ παριστὰς ὁ παρὼν λόγος φησίν· «Ὁ πλάσσων καταμόνας τὰς καρδίας αὐτῶν·» καταμόνας δὲ εἴρηται ἀντὶ τοῦ, ἀφωρισμένως παρὰ τὰ λοιπὰ ζῷα. Καρδίας δὲ λέγων τοὺς λογισμοὺς ἐδήλου, καὶ ὅτι ἀφωρισμένως ἕκαστος ἄνθρωπος ὥσπερ ταμιεῖον ἀποκεκλεισμένον ἔχει τὴν ἑαυτοῦ διάνοιαν, ὡς μηδένα δύνασθαι ἑτέρους καταλαμβάνειν λογισμούς. «Οὐδεὶς γοῦν οἶδεν ἀνθρώπων τὰ τοῦ ἀνθρώπου, εἰ μὴ τὸ πνεῦμα τοῦ ἀνθρώπου τὸ ἐν αὐτῷ.[3]» Διὸ περὶ μόνου τοῦ Σωτῆρος ἡμῶν εἰς παράστασιν τῆς αὐτοῦ θεότητος ἐλέγετο· «Αὐτὸς γὰρ ᾔδει τί ἦν ἐν τῷ ἀνθρώπῳ·[4]» καὶ πάλιν· «Εἰδὼς δὲ τοὺς διαλογισμοὺς αὐτῶν.[5]» Τοῦτο δὲ καὶ ἐν τοῖς προκειμένοις παρίσταται· μετὰ γὰρ τό· «Ὁ πλάσας καταμόνας τὰς καρδίας αὐτῶν», συνῆπται τό· «Ὁ συνιεὶς πάντα τὰ ἔργα αὐτῶν.» Μόνος γὰρ αὐτὸς συνίησιν ἐξ ὁποίας προαιρέσεως τὰ τῶν ἀνθρώπων ἔργα ἐπιτελεῖται, μηδενὸς ἄλλου δυναμένου συνιέναι ποίᾳ προθέσει καὶ ὁποίᾳ ὁρμῇ ἕκαστος τῶν ἀνθρώπων πράττει ἃ πράττει.

Στίχ. ις'-ιθ'. «Οὐ σῴζεται βασιλεὺς διὰ πολλὴν δύναμιν, καὶ γίγας οὐ σωθήσεται ἐν πλήθει ἰσχύος αὐτοῦ. Ψευδὴς ἵππος εἰς σωτηρίαν· ἐν δὲ πλήθει δυνάμεως αὐτοῦ οὐ σωθήσεται. Ἰδοὺ οἱ ὀφθαλμοὶ Κυρίου ἐπὶ τοὺς φοβουμένους αὐτόν, τοὺς ἐλπίζοντας ἐπὶ τὸ ἔλεος αὐτοῦ, ῥύσασθαι ἐκ θανάτου τὰς ψυχὰς αὐτῶν, καὶ διαθρέψαι αὐτοὺς ἐν λιμῷ.»

Ἔχεται τῆς τῶν προλελεγμένων διανοίας τὰ προκείμενα. Συγκαλέσας γὰρ ὁ λόγος πάντας τοὺς ἐπὶ γῆς ἀνθρώπους ἐπὶ τὸν φόβον τοῦ Θεοῦ διὰ τοῦ προειπεῖν· «Φοβηθήτω τὸν Κύριον πᾶσα ἡ γῆ·» εἶτα παραθαρρύνας μὴ ἀγωνιᾶν μηδὲ φοβεῖσθαι τοὺς μέλλοντας ἐπαν-

---

1. Ψαλμ. 106, 20. 2. Γεν. 1, 26, 27. 3. Α' Κορ. 2, 11. 4. Ἰω. 2, 25. 5. Λουκ. 6, 8.

ἵστασθαι αὐτοῖς διωγμούς, συνῆψε διὰ τῶν ἔμπροσθεν τό· «Κύριος διασκεδάζει βουλὰς ἐθνῶν», καὶ τὰ ἑξῆς. Τῆς οὖν αὐτῆς διανοίας ἐχόμενος καὶ διὰ τῶν προκειμένων φησί· Θαρσεῖτε, πάντες ὑμεῖς πρὸς οὓς ὁ λόγος. Εἰ γοῦν προσέλθοιτε τῷ αὐτοῦ φόβῳ, ἕξετε τοὺς αὐτοῦ ὀφθαλμοὺς καὶ τὴν διορατικὴν αὐτοῦ δύναμιν ἐπισκοποῦσαν ὑμᾶς, καὶ πάντων ἐχθρῶν καὶ ἐπιβούλων ῥυομένην. «Ἰδοὺ» γὰρ «οἱ ὀφθαλμοὶ Κυρίου ἐπὶ τοὺς φοβουμένους αὐτόν, τοὺς ἐλπίζοντας ἐπὶ τὸ ἔλεος αὐτοῦ, ῥύσασθαι ἐκ θανάτου τὰς ψυχὰς αὐτῶν.» Δίχα γὰρ αὐτῶν τῶν τοῦ Θεοῦ ὀφθαλμῶν οὐκ ἔστιν ἄλλη σωτηρίας ἐλπίς, οὔτε βασιλεῖ στρατιωτικῇ δυνάμει θαρροῦντι, οὔτε γίγαντι ἐπὶ πλήθει δυνάμεως καὶ ἰσχύος γαυρουμένῳ, οὔτε ἵππῳ ποδῶν ὠκύτητι θαρροῦντι. Πάντα γὰρ ταῦτα διαψεύδεται, σφάλλει καὶ πλανᾷ τοὺς ἐπ' αὐτοῖς ἠλπικότας. Ἀλλ' ὑμεῖς θαρσεῖτε, οἱ τὸν Κύριον ἐπικαλοῦντες, καὶ τὸν αὐτοῦ φόβον ἀνειληφότες. Καὶ μήτε βουλὰς ἐθνῶν φοβεῖσθε, ἃς ὁ Κύριος διασκεδάννυσι, μήτε λογισμοὺς λαῶν, οὓς ὁ Κύριος ἀθετεῖ, μήτε βουλὰς ἀρχόντων, ἃς αὐτὸς ἀνατρέπει. Ἀλλὰ μηδὲ βασιλέα πλήθει στρατιωτικῆς δυνάμεως πεποιθότα καταπλήττεσθε, μηδὲ γίγαντα ἰσχύϊ καὶ ἀλκῇ σώματος τυφούμενον. Ἔχοντες δὲ μέγα φυλακτήριον τοὺς τῆς προνοίας αὐτοῦ ὀφθαλμούς, ἐπ' αὐτὸν ἐλπίζετε μόνον καὶ ἐπὶ τὸ ἔλεος αὐτοῦ, «εἰς τὸ ῥύσασθαι ἐκ θανάτου τὰς ψυχὰς αὐτῶν.» Θάνατος δ' ἂν εἴη ψυχῆς ἡ ἄρνησις τοῦ Θεοῦ καὶ ἡ παντελὴς ἀποστασία, καὶ αἱ πρὸς θάνατον ἁμαρτίαι· ὥστε, κἂν συμβῇ ποτε τῶν ἐλπιζόντων ἐπὶ τὸν Κύριον τὰ σώματα θανάτῳ παραδίδοσθαι τῷ κοινῷ διὰ τὴν εἰς αὐτὸν μαρτυρίαν, ἀλλ' οἱ ὀφθαλμοὶ αὐτοῦ τοῦ κρείττονος ἐπιμεληθέντες τὰς ψυχὰς αὐτῶν ἐρρύσαντο ἐκ θανάτου. Οὐ μόνον δὲ τοῦτο ποιοῦσιν, ἀλλὰ καὶ τοῦ διαθρέψαι αὐτοὺς ἐν λιμῷ πρόνοιαν ποιοῦνται. Ἐν γὰρ τοῖς καιροῖς τῶν διωγμῶν, καθ' οὓς πολλάκις κεκώλυνται μὲν αἱ διδασκαλίαι καὶ τὰ τῶν θεοπνεύστων Γραφῶν ἀναγνώσματα, σπανίζει δὲ ὁ τὰς πνευματικὰς τροφὰς ταῖς τῶν ἀνθρώπων διαδιδοὺς ψυχαῖς, ὅμως οἱ ὀφθαλμοὶ τοῦ Κυρίου τῇ τοῦ θείου Πνεύματος ἐπιρροῇ, καὶ τούτων τὰς ψυχὰς διατρέφουσι θεοδιδάκτους αὐτοὺς ἀπεργαζόμενοι, ὡς καὶ ἄνευ τῆς ἀνθρώπων διδασκαλίας ἀπορρήτῳ δυνάμει τρέφεσθαι

ΕΙΣ ΤΟΝ ΨΑΛΜΟΝ ΤΩ ΔΑΥΙΔ ΛΓ'.

Ὁπότε ἠλλοίωσε τὸ πρόσωπον αὐτοῦ ἐνώπιον Ἀβιμέλεχ, καὶ ἀπέλυσεν αὐτὸν καὶ ἀπῆλθεν.

Ὑπέλαβόν τινες τὴν τοῦ προκειμένου ψαλμοῦ προγραφὴν ἐκείνην σημαίνειν τὴν ἱστορίαν, δι' ἧς, φεύγων Δαυῒδ ἀπὸ προσώπου Σαούλ, ἐληλυθέναι πρὸς Ἀγχοὺς βασιλέα Γὲθ ἀναγέγραπται· ὅτε μανίαν προσποιηθεὶς ἐτυμπάνιζεν ἐπὶ ταῖς θύραις τῆς πόλεως, καὶ παρε-

φέρετο, καὶ ἔπιπτε, καὶ κατέρρει τὰ σίελα αὐτοῦ ἐπὶ τὸν πώγωνα αὐτοῦ· ὥστ' εἰπεῖν τὸν 'Αγχοὺς πρὸς τοὺς παῖδας αὐτοῦ· Ἄνδρα ἐπίληπτον ἵνα τί εἰσηγάγετε πρὸς μέ; 'Αλλ' ὅτι μὲν ἠλλοίωσε τὸ πρόσωπον αὐτοῦ, ἤκουσαν οἱ τοιοῦτοι· ὅτι δ' ἑξῆς συνῆπται, «ἐναντίον 'Αβιμέλεχ», δοκοῦσί μοι παρεωρακέναι. Ὁ μὲν οὖν 'Αγχοὺς τῶν ἀλλοφύλων ἦν βασιλεὺς τῶν κατοικούντων τὴν Γέθ· ὁ δὲ 'Αβιμέλεχ ἱερεὺς τοῦ Θεοῦ μνημονεύεται· πρὸς ὃν καὶ αὐτὸν ἐληλυθὼς ὁ Δαυῒδ πρὸ τῆς παρουσίας τῆς πρὸς τὸν 'Αγχοὺς ἱστορεῖται· λέγει γὰρ ἡ Γραφή· «Καὶ ἔρχεται ὁ Δαυῒδ εἰς Νοβὰ πρὸς 'Αχιμέλεχ τὸν ἱερέα, καὶ ἐξέστη 'Αχιμέλεχ τῇ ἀπαντήσει αὐτοῦ· καὶ εἶπεν αὐτῷ· Τί ὅτι σὺ μόνος καὶ οὐδεὶς μετὰ σοῦ; Καὶ εἶπε Δαυῒδ τῷ ἱερεῖ· Ὁ βασιλεὺς ἐντέταλταί μοι ῥῆμα σήμερον καὶ εἶπέ μοι· Μηδεὶς γνώτω τὸ ῥῆμα περὶ οὗ ἐγὼ ἀποστέλλω σε, καὶ ὑπὲρ οὗ ἐντέταλμαί σοι, καὶ τοῖς παιδαρίοις διαμεμαρτύρημαι ἐν τῷ τόπῳ τῷ λεγομένῳ Θεοῦ πίστις. Καὶ νῦν εἴ εἰσιν ὑπὸ τὴν χεῖρά σου ἄρτοι, δὸς εἰς χεῖράς μου τὸ εὑρεθέν. Καὶ ἀπεκρίθη ὁ ἱερεὺς τῷ Δαυῒδ, καὶ εἶπεν· Οὐκ εἰσὶν ἄρτοι βέβηλοι ὑπὸ τὴν χεῖρά μου, ὅτι ἀλλ' ἢ ἄρτοι ἅγιοί εἰσιν· εἰ πεφυλαγμένα τὰ παιδάριά ἐστιν ἀπὸ γυναικός, καὶ φάγετε. Καὶ ἀπεκρίθη Δαυῒδ τῷ ἱερεῖ, καὶ εἶπεν αὐτῷ· 'Αλλ' ἀπὸ γυναικὸς ἀπεσχήμεθα ἐχθὲς καὶ τρίτην ἡμέραν· ἐν τῷ ἐξελθεῖν με εἰς ὁδὸν γέγονε τὰ παιδάρια ἡγνισμένα· καὶ αὕτη ἡ ὁδὸς βέβηλος· διότι σήμερον ἁγιασθήσεται διὰ τὰ σκεύη μου. Καὶ ἔδωκεν αὐτῷ 'Αχιμέλεχ ὁ ἱερεὺς τοὺς ἄρτους τῆς προθέσεως· ὅτι οὐκ ἦν ἄρτος, ἀλλ' ἢ ἄρτοι τοῦ προσώπου οἱ ἀφῃρημένοι ἐκ προσώπου Κυρίου τοῦ παρατεθῆναι ἄρτον θερμόν, ᾗ ἡμέρᾳ ἔλαβεν αὐτούς.[1]»

Ταῦτα μὲν οὖν ἡ περὶ τοῦ 'Αχιμέλεχ διήγησις περιέχει· ἑξῆς δὲ συνῆπται ὡς ἀνέστη Δαυῒδ καὶ ἔφυγεν ἐν τῇ ἡμέρᾳ ἐκείνῃ· τοῦ τε 'Αχιμέλεχ ἀναχωρήσας, ἦλθε πρὸς 'Αγχοὺς βασιλέα Γέθ. Ὁ μὲν οὖν τις ἐρεῖ, ἐπεὶ μὴ ἐμφέρεται ἐν τῇ ἱστορίᾳ τῇ κατὰ τὸν 'Αχιμέλεχ «ἀλλοιώσας τὸ πρόσωπον αὐτοῦ ὁ Δαυῒδ», κατὰ σφάλμα κεῖσθαι τὸ ὄνομα τοῦ 'Αβιμέλεχ ἀντὶ τοῦ ὀνόματος 'Αγχοὺς· σαφῶς γὰρ ἐπὶ τοῦ 'Αγχοὺς εἴρηται· «ἀλλοιώσας τὸ πρόσωπον αὐτοῦ», ὅτε καὶ τὰ σίελα αὐτοῦ κατέρρει καὶ ἐτυμπάνιζεν. Ἔργον δὲ θρασύν, καὶ προπετὲς εἶναι ἡγοῦμαι τὸ ἀποφήνασθαι τολμᾶν τὴν θείαν Γραφὴν ἡμαρτῆσθαι, καὶ τοσοῦτον περιέχειν σφάλμα, ὡς ἀντὶ ἀλλοφύλου ἀνδρὸς ἱερέα Θεοῦ παρενθεῖναι· μάλιστα ὅτε καὶ ἡ Ἑβραϊκὴ ἀνάγνωσις καὶ οἱ λοιποὶ ἑρμηνευταὶ πάντες τὸν 'Αχιμέλεχ περιέχουσιν. Οὐκοῦν ἀκόλουθον ἂν εἴη, ἀληθευούσης τῆς προγραφῆς, ἐπιζητεῖν πῶς καὶ πότε «ἠλλοίωσε τὸ πρόσωπον αὐτοῦ Δαυῒδ ἐναντίον 'Αβιμέλεχ, καὶ ἀπέλυσεν αὐτόν, καὶ ἀπῆλθε.» Δοκεῖ δή μοι ἐκ τῆς παραθέσεως τῶν λοιπῶν ἑρμηνευτῶν λύσεις εὑρίσκε-

1. Α' Βασ. 21, 1-6.

σθαι τοῦ ζητουμένου. Ὁ μὲν γὰρ Ἀκύλας καὶ ἡ πέμπτη ἔκδοσις τοῦτον ἡρμήνευσαν τὸν τρόπον· «Τοῦ Δαυῒδ ὅτε ἠλλοίωσε τὸ γεῦμα αὐτοῦ εἰς πρόσωπον Ἀβιμέλεχ, καὶ ἐξέβαλεν αὐτόν, καὶ ἀπῆλθε.» Μήποτε γὰρ διὰ τοὺς ἄρτους τῆς προθέσεως, οὓς λαβὼν παρὰ τοῦ Ἀβιμέλεχ, ἔφαγεν αὐτὸς καὶ τὰ παιδάρια τὰ μετ' αὐτοῦ, ἠλλοιωκέναι λέγεται τὸ γεῦμα αὐτοῦ εἰς πρόσωπον Ἀβιμέλεχ. Ἡγιασμένης γὰρ τροφῆς γευσάμενος, καὶ τῶν ἄρτων τῶν ἱερατικῶν, οἷς οὐκ ἐξῆν χρήσασθαι εἰ μὴ μόνοις τοῖς ἱερεῦσιν, ἠλλοίωσε τὸ γεῦμα αὐτοῦ. Ὁ δὲ Σύμμαχος εἰπών· «Τοῦ Δαυῒδ ὁπότε μετεμόρφωσε τὸν τρόπον τὸν ἑαυτοῦ ἔμπροσθεν Ἀβιμέλεχ», ἑτέραν διάνοιαν ὑποβέβληκε, τὸν τρόπον τοῦ Δαυῒδ ἠλλοιῶσθαι φήσας ἔμπροσθεν Ἀβιμέλεχ, διὰ τό, ἐρωτηθέντα τίς εἴη αὐτῷ ἡ αἰτία τῆς ὁδοῦ, ψεύσασθαι καὶ παραλογίσασθαι τὸν ἱερέα· ἀλλότριον γὰρ ἦν τοῦ τρόπου τοῦ Δαυῒδ τὸ ἀπάτῃ κεχρῆσθαι, ἢ κατ' ἐκεῖνον τὸν καιρὸν χρησάμενος, ἠλλοίωσε τὸν τρόπον αὐτοῦ, κατὰ τὸν Σύμμαχον. Ἐκ δὲ τῶν εἰρημένων καὶ τὴν τῶν Ἑβδομήκοντα ἑρμηνείαν ἐφαρμόσεις τῇ κατὰ τὸν Ἀβιμέλεχ ἱστορίᾳ, φησάσῃ ἠλλοιωκέναι τὸν Δαυῒδ τὸ πρόσωπον ἑαυτοῦ ἐνώπιον Ἀβιμέλεχ, διὰ τὸ μὴ ἀπαγγεῖλαι αὐτῷ τὸν ἀληθῆ λόγον τῆς ἑαυτοῦ φυγῆς, παραλογίσασθαι δὲ καὶ ἕτερα ἀνθ' ἑτέρων εἰπεῖν· ὡς καὶ τὴν ῥομφαίαν τοῦ Γολιὰθ παρ' αὐτοῦ δέξασθαι, γενέσθαι τε αὐτῷ αἴτιον ἀπωλείας. Μαθὼν γὰρ μετὰ ταῦτα Σαοὺλ τὰ πεπραγμένα, πέμψας ἀνεῖλεν αὐτόν τε τὸν Ἀβιμέλεχ καὶ πάντας τοὺς ἱερεῖς τοῦ Κυρίου καὶ τὴν Νοβὰν τὴν πόλιν τῶν ἱερέων ἐπάταξε. Καὶ ταῦτα πάντα πέπρακται, διότι ἠλλοίωσε Δαυῒδ τὸν τρόπον αὐτοῦ ἢ τὸ πρόσωπον αὐτοῦ ἐνώπιον Ἀβιμέλεχ. Ἡ τῶν Βασιλειῶν Γραφὴ «Ἀχιμέλεχ» περιέχει· ἐναλλαγῆς στοιχείου γενομένης, οὐδὲν δεῖ κινεῖσθαι· παρὰ γὰρ τὴν ὁμοιότητα τοῦ στοιχείου τοῦ «βὴθ» παρ' Ἑβραίοις καλουμένου καὶ τοῦ «χὰφ» διαφόρως ἐξεδόθη τοὔνομα· σχεδὸν γὰρ ἓν καὶ ταὐτόν ἐστι τὰ δύο στοιχεῖα, βραχυτάτης κεραίας μόνης ἐναλλαττούσης. Μέμνηται δὲ καὶ ὁ Σωτὴρ ἐν τοῖς Εὐαγγελίοις τῆς προκειμένης κατὰ τοῦ Δαυῒδ ἱστορίας λέγων· «Οὐκ ἀνέγνωτε τί ἐποίησε Δαυῒδ, ὅτε ἐπείνασε καὶ οἱ μετ' αὐτοῦ· ὡς εἰσῆλθεν εἰς τὸν οἶκον τοῦ Θεοῦ, καὶ τοὺς ἄρτους τῆς προθέσεως ἔφαγεν, οὓς οὐκ ἐξὸν ἦν φαγεῖν οὐδὲ τοῖς μετ' αὐτοῦ, εἰ μὴ μόνοις τοῖς ἱερεῦσι;[1]» Τοῦτο μὲν οὖν ἐν τῷ κατὰ Ματθαῖον Εὐαγγελίῳ εἴρηται. Ἐπεὶ δὲ ἐν τῷ κατὰ Μάρκον Εὐαγγελίῳ ἀναγέγραπται ὁ Σωτὴρ εἰρηκώς· «Οὐδέποτε ἀνέγνωτε τί ἐποίησε Δαυῒδ, ὅτε χρείαν ἔσχε, καὶ ἐπείνασεν αὐτὸς καὶ οἱ μετ' αὐτοῦ; πῶς εἰσῆλθεν εἰς τὸν οἶκον τοῦ Θεοῦ ἐπὶ Ἀβιάθαρ τοῦ ἀρχιερέως, καὶ τοὺς ἄρτους τῆς προθέσεως ἔφαγε;[2]» τίς οὐκ ἂν ἀπορήσειε, πῶς ὁ Σωτὴρ ἐνταῦθα οὐ τοῦ Ἀβιμέλεχ, ἀλλὰ τοῦ Ἀβιάθαρ μέμνηται; Πρὸς ὃ εἴποι τις ἂν διώνυμον γεγενῆσθαι τὸν

1. Ματθ. 12, 3-4. 2. Μάρκ. 2, 25-26.

Ἀβιμέλεχ, ὥστ' εἶναι τὸν αὐτὸν τῷ Ἀβιάθαρ. Αὐτίκα γοῦν καὶ υἱὸς αὐτῷ Ἀβιάθαρ κεκλημένος ἐμφέρεται τῇ Γραφῇ τῶν Βασιλειῶν· ὅς, διαφυγὼν ἀπὸ τῶν ἀναιρεθέντων ἱερέων μόνος, τῷ Δαυῒδ συνῆν. Ἄλλος δ' ἂν εἴποι τοῦ μὲν Ἀβιμέλεχ τὴν ἱστορίαν ὡς ἱερέως μνημονεύειν· ἐνταῦθα δὲ τὸν Σωτῆρα τὸν Ἀβιάθαρ ἀρχιερέα τυγχάνειν κατ' ἐκεῖνο καιροῦ φῆσαι. «Εἰσῆλθε» γάρ, φησίν, «Δαυῒδ εἰς τὸν οἶκον τοῦ Θεοῦ ἐπὶ Ἀβιάθαρ τοῦ ἀρχιερέως.» Καὶ φαίνεται ἡ τῶν ἱστοριῶν γραφή, τὸν Ἀχιμέλεχ καὶ τοὺς ἱερεῖς τοῦ Θεοῦ ἀνῃρῆσθαι φήσασα ὑπὸ τοῦ Σαούλ, ἀρχιερέα ἀνῃρημένον οὐχ ἱστορήσασα. Ταῦτα μὲν οὖν ἡμῖν εἰς τὴν τοῦ ψαλμοῦ προγραφὴν εἰρήσθω.

Στίχ. β'. «Εὐλογήσω τὸν Κύριον ἐν παντὶ καιρῷ, διὰ παντὸς ἡ αἴνεσις αὐτοῦ ἐν τῷ στόματί μου.»

Εὐχαριστῶν ὁ Δαυῒδ ἐφ' οἷς ἠξιώθη τροφῆς ἱερατικῆς, Οὐκ ἐπὶ τοῦ παρόντος, φησί, μόνον, ἀλλὰ καὶ διὰ πάσης τῆς ζωῆς χάριτας ὁμολογῶν καὶ εὐλογῶν αὐτὸν διατελέσω· οὐδὲ ἀπολειφθήσεταί ποτε τὸ στόμα μου τῆς εἰς αὐτὸν αἰνέσεως. Ἀντὶ γὰρ θυσίας καὶ ὁλοκαυτωμάτων πεπαίδευμαι τὴν διὰ χειλέων προσάγειν αὐτῷ θυσίαν.

Ἐπειδὴ γὰρ φεύγοντί μοι οὐδεὶς βοηθὸς πάρεστιν, οὐδέ τις καταφυγή, οὐδὲ ἀσφάλεια, μόνον δὲ τὸν Κύριον φυλακτήριον ἐπάγομαι τῆς ἐμαυτοῦ ψυχῆς, καὶ ἐπ' αὐτῷ, ἀλλ' οὐκ ἐπὶ ταῖς ἐμαῖς δικαιοπραγίαις ἡ ψυχή μου θαρρεῖ· εἰκότως, «ἐπὶ τῷ Κυρίῳ καυχήσεται ἡ ψυχή μου· ἀκουσάτωσαν πραεῖς καὶ εὐφρανθήτωσαν.» Ἐμὲ δὲ λαβόντες ὑπόδειγμα πάντες οἱ πρᾶοι καὶ ταπεινοὶ καὶ ἐπιεικεῖς διὰ τὴν εἰς τὸν Θεὸν εὐλάβειαν, θαρρείτωσαν καὶ πληρούσθωσαν εὐφροσύνης, τὰ ἴσα μοι προσδοκήσαντες, καὶ αὐτὸν ἐλπίδα τὸν Κύριον θέμενοι. Ἐπεὶ δὲ καὶ τὴν ῥομφαίαν Γολιὰθ τοῦ ἀλλοφύλου παρὰ τῷ Ἀβιμέλεχ λαβὼν ἀπῄει· Ἀλλ' οὐδ' ἐπὶ τούτῳ, φησί, καυχήσομαι, ἀλλ' ἐπὶ τῷ Κυρίῳ, δι' ὃν ταύτην ἐκτησάμην τὴν ῥομφαίαν· ὡς καὶ τὸν ἱερέα εἰπεῖν αὐτῷ· «Ἰδοὺ ἡ ῥομφαία Γολιὰθ τοῦ Φιλισταίου, ὃν ἐπάταξας ἐν τῇ κοιλάδι Ἠλᾶ, καὶ αὐτὴ ἐνειλημμένη ἱματίῳ. Εἰ ταύτην λήψῃ, σαυτῷ λάβε, ὅτι οὐκ ἔστιν ἑτέρα παρὲξ αὐτῆς.[1]» Ὥστε τούτων ἀκούσαντα τὸν Δαυῒδ εἰπεῖν· «Ἐν τῷ Κυρίῳ ἐπαινεθήσεται ἡ ψυχή μου.» Μεγάλην δόξαν ἔφερεν ἐκεῖνο τὸ δόρυ τῷ Δαυῒδ, παιδαρίῳ μὲν ὄντι, καὶ μηδὲ φέρειν ὅπλα πολεμικὰ ἐπισταμένῳ, πίστει δὲ τῇ εἰς Θεὸν καταγωνισαμένῳ τὸν Γολιάθ, ὡς διὰ τοῦτο ἀντὶ ἀναθήματος τὴν ῥομφαίαν μόνην ἐκείνην ἀνακεῖσθαι ἐν τῷ ἱερῷ· ὃ δὴ καὶ ἐπεσημήνατο φήσας ὁ ἱερεύς· «Καὶ οὐκ ἔστιν ἄλλη.» Οὐδὲ γὰρ ἐξῆν ἐν τῇ σκηνῇ τοῦ Θεοῦ ὅπλα πολεμικὰ ἀποτίθεσθαι· μόνη δὲ ἐκείνη εἰς μνήμην τοῦ Δαυῒδ τῆς κατὰ τοῦ ἀλλοφύλου νίκης ἀνέκειτο, ὡσανεὶ εὐχαριστήριον ἀποκειμένη τῷ τὴν νίκην αὐτῷ δεδωρημένῳ τῷ Θεῷ.

1. Α' Βασ. 21, 9.

Στίχ. δ'. «Μεγαλύνατε τὸν Κύριον σὺν ἐμοί, καὶ ὑψώσωμεν τὸ ὄνομα αὐτοῦ ἐπὶ τὸ αὐτό.»

Οἱ γὰρ δι' ἔργων καὶ βίου τοῦ κατ' ἀρετὴν τὴν ἐν ἑαυτοῖς εἰκόνα τοῦ Θεοῦ κοσμοῦντες, αὐτὸν δοξάζουσι καὶ ὑψοῦσιν. «Ἐξεζήτησα τὸν Κύριον καὶ ἐπήκουσέ μου.» Ἐπεὶ τῷ, «ἐξεζήτησα», τό, «ἐπήκουσέ μου», ἀνταπεδόθη.

Στίχ. ζ'. «Οὗτος ὁ πτωχὸς ἐκέκραξε, καὶ ὁ Κύριος εἰσήκουσεν αὐτοῦ, καὶ ἐκ πασῶν τῶν θλίψεων αὐτοῦ ἔσωσεν αὐτόν.»

Πάλιν ἑαυτόν, ὡς καὶ ἐν τοῖς ἔμπροσθεν, ὑπογραμμὸν παρέχει τῆς ἑτέρων διδασκαλίας. Πτωχὸν γὰρ ἑαυτὸν εἰπὼν διὰ τὴν τῆς ψυχῆς ἑαυτοῦ ταπείνωσιν καὶ μετριοσύνην, ὡς περὶ ἑτέρου περὶ ἑαυτοῦ διδάσκει λέγων· «Οὗτος ὁ πτωχὸς ἐκέκραξε καὶ ὁ Κύριος εἰσήκουσεν αὐτοῦ.» Ἀλλὰ μὴ ἐμέ, φησί, μόνον τετυχηκέναι νομίζετε, τὸν νομιζόμενον μὲν εἶναι βασιλέα καὶ ἄρχοντα τοῦ παντὸς ἔθνους, τῇ δὲ ψυχῇ πτωχεύοντα διὰ τὸν τοῦ Θεοῦ φόβον· ἀκριβῶς δὲ γινώσκεται, ὅτι ὁ αὐτὸς Κύριος καὶ παρὼν τῶν ὁμοίως ἐμοὶ πτωχῶν, λέγω δὲ τῶν φοβουμένων αὐτόν, εἰσακούσεται. «Γεύσασθε καὶ ἴδετε ὅτι χρηστὸς ὁ Κύριος· μακάριος ἀνὴρ ὃς ἐλπίζει ἐπ' αὐτόν.» Ὁ διὰ τὸ τελείως καὶ ἀνελλιπῶς ἐλπίζειν ἐπὶ Θεὸν ἀνὴρ ὑπάρχων μακάριός ἐστιν. Οὐκ ἀπεικότως ἄν τις ἐφαρμόσειεν τῇ κατὰ τὸν Ἀκύλαν ἑρμηνείᾳ τὴν προκειμένην λέξιν· ἐπείπερ ἐν τῇ προγραφῇ κατὰ τὸν Ἀκύλαν ἐλέγετο· «Τοῦ Δαυΐδ, ὅτε ἠλλοίωσε τὸ γεῦμα αὐτοῦ εἰς πρόσωπον Ἀβιμέλεχ.» Ἐπεὶ τοίνυν αὐτός, τῶν ἄρτων τῆς προθέσεως μεταλαβών, ἠλλοίωσε τὸ γεῦμα αὐτοῦ, εἶτ' ἀπὸ τῆς γεύσεως ᾔσθετο δυνάμεως θείας χορηγηθείσης αὐτῷ· τούτου χάριν κατὰ τό· «Ἀδόλως ἔλαβον, ἀφθόνως τε μεταδίδωμι[1]», παρακαλεῖ καὶ ἑτέρους σπεύδειν ἐπὶ τὴν ὁμοίαν αὐτῷ γεῦσιν, εὔξασθαί τε τραφῆναι τῷ ἄρτῳ τῆς ζωῆς· οὗ σύμβολον καὶ εἰκὼν ἐτύγχανον οἱ διὰ Μωϋσέως νενομοθετημένοι ἄρτοι τῆς προθέσεως. Διόπερ ὁ Δαυΐδ, νοήσας τίνος ἦν εἰκὼν ὁ τῆς προθέσεως ἄρτος, οὐκ ἐπὶ τὸν σωματικὸν σπεύδειν προτρέπει, ἀλλ' ἐπὶ τὸν δι' αὐτοῦ νοούμενον. Ἡμεῖς μὲν οὖν οἱ ἐπὶ γῆς ἐκ τοῦ οὐρανοῦ καταβεβηκότος τοῦ ἄρτου καὶ τοῦ Λόγου κενώσαντος ἑαυτὸν καὶ σμικρύναντος μεταλαμβάνομεν· οἱ δὲ ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν πλήρους αὐτοῦ καὶ τελείου μεταλαμβάνουσι, τρεφόμενοι αὐτοῦ τῇ θεότητι, καὶ τῶν τῆς σοφίας θεωρημάτων ἀπολαύοντες, ὧν καὶ ἡμᾶς καιρῷ ποτε μετασχεῖν ἐλπίζειν προσήκει, διὸ λέλεκται· «Μακάριος ἀνὴρ ὃς ἐλπίζει ἐπ' αὐτόν.»

Στίχ. ι'. «Φοβήθητε τὸν Κύριον, πάντες οἱ ἅγιοι αὐτοῦ, ὅτι οὐκ ἔστιν ὑστέρημα τοῖς φοβουμένοις αὐτόν.»

Πάντα ταῦτα γνωμικῶς ὁ Δαυΐδ εἰς τὴν ἑτέρων ὠφέλειαν προφέρεται, αὐτὸς πρότερον ἀπολαύσας αὐτῶν, ὅτε, ἐκζητήσας τὸν Κύριον,

1. Σοφ. Σολ. 7, 13.

ἐπηκόου αὐτοῦ τετύχηκε. Παρακελεύεται τοίνυν τὸν φόβον τοῦ Κυρίου πρὸ ὀφθαλμῶν τίθεσθαι τοὺς ἁγίους αὐτοῦ· ὑπὸ γὰρ αὐτοῦ τοῦ φόβου ἅγιοι ἀνατελοῦνται· διὸ λέλεκται ἐν ἑτέρῳ ψαλμῷ· «Ὁ φόβος Κυρίου ἁγνός [1]», ἀντὶ τοῦ, ἁγνοποιός. Διὸ καὶ ὁ θεῖος νόμος φησίν· «Ἅγιοι ἔσεσθε, ὅτι ἐγὼ Κύριος ὁ Θεὸς ὑμῶν ἅγιος.[2]» Καὶ σημεῖον τοῦ φοβεῖσθαι τὸν Κύριον τοῦτ' ἂν γένοιτο, τὸ καθαρεύειν μὲν πάσης ῥυπαρίας καὶ αἰσχρᾶς πράξεως, φυλάττειν δὲ αὐτοὺς ἁγίους καὶ σώματι καὶ πνεύματι. Τοῖς δὲ τὸν Κύριον φοβουμένοις, καὶ διὰ τὸν αὐτοῦ φόβον ἡγιασμένοις, οὐδὲν ἂν δεήσῃ ὡς ἂν μέγαν πλοῦτον καὶ θησαυρὸν ἀγαθὸν ἐν αὐτῷ τῷ φόβῳ Κυρίου εὑρηκόσιν.

ΤΟΥ ΔΑΥΙΔ ΛΔ'.

Στίχ. α'-γ'. «Δίκασον, Κύριε, τοὺς ἀδικοῦντάς με, πολέμησον τοὺς πολεμοῦντάς με. Ἐπιλαβοῦ ὅπλου καὶ θυρεοῦ· καὶ ἀνάστηθι εἰς βοήθειάν μοι. Ἔκχεον ῥομφαίαν, καὶ σύγκλεισον ἐξεναντίας τῶν καταδιωκόντων με.»

Ἐπεὶ καὶ ἐν τῷ Ἰεζεκιὴλ πολλὰ περὶ ῥομφαίας εἴρηται· «Ῥομφαία» γάρ, φησί, «ῥομφαία, ἐξεγέρθητι, καὶ φάγε αἷμα τραυματιῶν·[3]» καὶ πάλιν· «Γῆ ἐὰν ἁμάρτῃ μοι, καὶ ἀποστελῶ ῥομφαίαν ἐπ' αὐτήν·[4]» πάντα δὲ ταῦτα κατὰ τῆς ἐν ἀνθρώποις κακίας ἐπαφίησιν, ὡς ἀγαθός, πρὸς ὠφέλειαν τῶν ὑπ' αὐτῆς κεκρατημένων· ἐπεὶ καὶ πολέμων σῴζει, ὥσπερ ἰατρός, τέμνων καὶ καίων τὰ πεπονθότα τοῦ σώματος πρὸς θεραπείαν παντός· τούτοις ἐπιφέρει λέγων ἑξῆς· «Εἶπον τῇ ψυχῇ μου· Σωτηρία σου ἐγώ εἰμι·» πιστεύων καὶ ἀκριβῶς πεπεισμένος, ὅτι τὸ λεγόμενον ὑπὸ τοῦ Θεοῦ οὐκ ἀργῶς πρόεισιν, ἀλλ' εἰς ἔργον ἐκβαίνει πάντως τὸ λεγόμενον. Καὶ ἐν τούτῳ δὲ τὴν μὲν ἑαυτοῦ ἠρνεῖτο σωτηρίαν, καὶ τὴν ἑαυτοῦ παρῃτεῖτο ζωήν, τὴν δὲ τοῦ Κυρίου σωτηρίαν τῇ ἑαυτοῦ ψυχῇ χαρισθῆναι ηὔχετο, ὅπως καὶ αὐτὸς ἔχοι λέγειν· «Ζῶ δὲ οὐκέτι ἐγώ, ζῇ δὲ ἐν ἐμοὶ Χριστός.[5]» Αὐτὸς γάρ ἐστιν ἡ σωτηρία ἡμῶν· τοῦτο γοῦν αὐτὸ σημαίνει καὶ ἡ τοῦ Ἰησοῦ ὀνόματος ἑρμηνεία.

Στίχ. δ'-η'. «Αἰσχυνθήτωσαν καὶ ἐντραπήτωσαν οἱ ζητοῦντες τὴν ψυχήν μου.»

Τούτου γάρ, φησί, Κύριε, ὑπὸ σοῦ γενομένου, καὶ ἐπακούσαντός μου τῆς εὐχῆς, αἰσχυνθήσονται καὶ ἐντραπήσονται ὡς μάτην ἐπιχειρήσαντες· διὸ καὶ ἀπέτυχον τοῦ σπουδαζομένου. «Ἀποστραφήτωσαν εἰς τὰ ὀπίσω καὶ καταισχυνθήτωσαν οἱ λογιζόμενοί μοι κακά.» Οὐκέτι γὰρ στήσονται πρὸ προσώπου μου· νῶτα δὲ δόντες παραχωρήσουσί μοι τὰ νικητήρια. Φεύγοντας δὲ αὐτοὺς καὶ εἰς τὰ ὀπίσω

1. Ψαλμ. 18, 10. 2. Λευϊτ. 11, 45. 3. Ἰεζ. 21, 9. 4. Πρβλ. Ζαχ. 13, 7. 5. Γαλ. 2, 20.

χωροῦντας διασκορπισμὸς λήψεται. «Γενηθήτωσαν» γὰρ «ὡσεὶ χοῦς κατὰ πρόσωπον ἀνέμου καὶ ἄγγελος Κυρίου ἐκθλίβων αὐτούς», μηδὲ συναχθῆναι, μηδὲ παλινδρομῆσαι συγχωρῶν, ὁ δ' αὐτὸς ἐπιμενέτω ἐκθλίβων αὐτούς, τουτέστι κολάζων. «Γενηθήτω ἡ ὁδὸς αὐτῶν σκότος καὶ ὀλίσθημα, καὶ ἄγγελος Κυρίου καταδιώκων αὐτούς.» Ὁδὸν ἀσεβῶν τὸν μοχθηρὸν βίον ὀνομάζει, καθ' ὃν τὴν πορείαν ἐποιήσαντο.

«Ὅτι δωρεὰν ἔκρυψάν μοι διαφθορὰν παγίδος αὐτῶν.» Ἀνθ' οὗ ὁ Σύμμαχος ἐξέδωκεν οὕτως· «Ὅτι ἀναιτίως κατέκρυψάν μοι διαφθορὰν δικτύων αὐτῶν.» Μηδὲν γὰρ ὑπ' ἐμοῦ προπεπονθότες δωρεὰν καὶ ἀναιτίως ἐπεβούλευόν μοι κρύπτοντες παγίδα, δι' ἧς ἐμοὶ διαφθορὰν κατεσκεύαζον. Εἰ καὶ τὰ μάλιστα γὰρ ἐδόκουν δι' ἀνθρώπων με πολεμεῖν, ἤτοι διὰ τοῦ Σαούλ, ἢ καὶ δι' ἑτέρων, ἀλλ' οὐκ ἠγνόουν ἐγὼ τῆς τοῦ Σαοὺλ ζηλοτυπίας τοὺς αἰτίους καὶ τῶν λοιπῶν ἐχθρῶν τοὺς ὑποβολεῖς. Ἄλλοι γὰρ ἦσαν οἱ τὰς ἑαυτῶν παγίδας κρύπτοντες καὶ τὴν ψυχήν μου διαφθεῖραι πειρώμενοι, οἳ καὶ «μάτην ὠνείδισαν τὴν ψυχήν μου·» ἀνθ' οὗ ὁ Σύμμαχος ἐξέδωκεν· «Ἀναιτίως ὑπώρυξαν τὴν ψυχήν μου.» Πάντα γὰρ ἔπραττον, ἐκστῆσαι βουλόμενοι αὐτοῦ τὴν ψυχὴν τῆς ἐνυπαρχούσης αὐτῇ πραότητος καὶ ἀνεξικακίας, καὶ ὅπως, πληρωθεὶς θυμοῦ καὶ ὀργῆς, ἐπὶ τὴν ἄμυναν ἔλθοι, καὶ δράσῃ τι κακὸν τὸν Σαούλ. Ταῦτα μὲν οὖν περὶ τῶν πολλῶν ἐχθρῶν· περὶ δὲ τοῦ ἐν αὐτοῖς κορυφαίου ἐπιλέγει· «Ἐλθέτω αὐτῷ παγὶς ἣν οὐ γινώσκει, καὶ ἡ θήρα ἣν ἔκρυψε συλλαβέτω αὐτόν, καὶ ἐν τῇ παγίδι πεσεῖται ἐν αὐτῇ.» Ταῦτα δὲ ὥσπερ ἐν εὐχῇ τῷ Δαυῒδ εἰρημένα μελλόντων ἦν προαγορευτικά, καὶ συμβησομένων προφητικά. Οὕτω γοῦν καὶ ἀνωτέρω προφητικῶς ἐλέγετο· «Αἰσχυνθήτωσαν καὶ ἐντραπήτωσαν», ἀντὶ τοῦ, Αἰσχυνθήσονται καὶ ἐντραπήσονται· καὶ πάλιν· «Ἀποστραφήτωσαν καὶ καταισχυνθήτωσαν, καὶ γενηθήτωσαν ὡς χοῦς», ἀντὶ τοῦ· Ἀποστραφήσονται καὶ αἰσχυνθήσονται καὶ γενήσονται ὡς χοῦς. Τὰ γὰρ μέλλοντα συμβήσεσθαι τοῖς ἐχθροῖς αὐτοῦ προηγόρευσεν. Καὶ ὁ μὲν γὰρ ἡγήσεται περὶ τοῦ Σαοὺλ εἰρῆσθαι τὴν προκειμένην ῥῆσιν· ἐπεὶ καὶ πέπονθεν οὐκ εἰς μακρὰν ταῦτα· ἡμεῖς δέ, μεμνημένοι τῶν προλελεγμένων εἰς τὴν ἀρχὴν τοῦ ψαλμοῦ, καὶ ταῦτα εἰς ἕνα τινὰ τῶν νοητῶν ἐχθρῶν τὸν ὡς ἐν κακίᾳ δυνατώτερον, δηλαδὴ τὸν διάβολον, ἐκληψόμεθα.

Στίχ. ι'. «Πάντα τὰ ὀστᾶ μου ἐροῦσι· Κύριε, τίς ὅμοιός σοι; Ῥυόμενος πτωχὸν ἐκ χειρὸς στερεωτέρων αὐτοῦ, καὶ πτωχὸν καὶ πένητα ἀπὸ τῶν διαρπαζόντων αὐτόν.»

Ὀστᾶ ψυχῆς αἱ διανοητικαὶ αὐτῆς δυνάμεις ὡς ἔμπροσθεν εἴρηται· φωτιζόμεναι δὲ αὗται ἐκ τῆς αὐτοῦ παρουσίας, φήσουσι· «Κύριε, τίς ὅμοιός σοι;» Εἰ μὴ γὰρ σὺ παρῇς τῷ πτωχῷ, καὶ κατηξίωσας αὐτὸν τῆς παρὰ σοῦ βοηθείας, τίς ἂν καὶ πόσος μόνος αὐτὸς συγκρινόμενος τοῖς τοσούτοις καὶ τηλικούτοις αὐτοῦ ἐχθροῖς; Νοήσεις δὲ καὶ ἀπὸ ψιλῆς τῆς ἱστορίας τὸν λόγον, ἐν νῷ λαβών, ὡς φεύγων ὁ

Δαυΐδ εἰς τοσαύτην ἤλαυνε πτωχείαν, ὥστε ἄρτων καὶ τῆς ἀναγκαίας τροφῆς δεηθῆναι, εἰς ἀνάγκην τε ἐλθεῖν τοῦ τολμῆσαι τῶν ἄρτων τῆς προθέσεως μεταλαβεῖν. Οὐ γὰρ τρυφῶν ἐπὶ τοῦτ' ἤρχετο, οὐδ' ἐπαιρόμενος δικαιοσύνῃ, οὐδ' ἄλλως καταφρονῶν τοῦ νόμου, ἀλλ' ἐκ πολλῆς ἀσιτίας. Διό φησιν ὁ Σωτήρ· «Οὐκ ἀνέγνωτε τί ἐποίησε Δαυΐδ, ὅτε ἐπείνασε;[1]» Καὶ αὐτὸς μὲν ἦν πτωχὸς σὺν ὀλίγοις φεύγων· οἱ δ' ἐλαύνοντες αὐτὸν δυνατοί· βασιλεὺς γὰρ ἦν τοῦ παντὸς ἔθνους Σαούλ, καὶ οἱ μετ' αὐτοῦ ἄρχοντες· οἵ τε τῶν ἀλλοφύλων πολεμίων καθηγεμόνες στερεώτεροι ὄντες τοῦ Δαυΐδ, ὧν τὰς χεῖρας διαδιδράσκων, οὐκ ἠγνόει τὸν αὐτοῦ βοηθόν. Καὶ ταῦτα μὲν πρὸς τὴν ἱστορίαν· εἰ δὲ τοὺς ἀφανεῖς καὶ ἀοράτους ἐχθροὺς τῆς τοῦ δικαίου ψυχῆς νοήσειας, ὄψει, ὡς οὐδ' ἄλλου βοηθοῦ δεόμεθα καὶ Σωτῆρος ἢ τοῦ Χριστοῦ αὐτοῦ ἐν τῇ παρατάξει τῇ πρὸς τοὺς νοητοὺς πολεμίους, τοὺς τὴν ψυχὴν αὐτοῦ διαρπάζειν ἀεὶ πειρωμένους. Ἐπιστήσεις δὲ εἰ ἕτερός ἐστιν ὁ πτωχὸς παρὰ τὸν πένητα, καὶ πότερον τῇ ὑποτάσει, ἢ τῇ ἐπινοίᾳ τῷ ἐγχωρεῖν τὸν αὐτὸν καὶ πτωχὸν εἶναι πτωχεύσαντα τῷ ἀποπεπτωκέναι οὗ εἶχε πλούτου, καὶ πένητα τῷ μετὰ πόνον περιποιεῖν τὰ πρὸς τὸ διαζῆν.

Στίχ. ια'. «Ἀναστάντες μάρτυρες ἄδικοι ἃ οὐκ ἐγίγνωσκον ἠρώτων με.»

Οἱ μὴ δικαιοσύνης, ἀλλ' ἀδικίας μάρτυρες, δυναστάντες καὶ διεγείραντες αὐτούς, σοφιστικῶς ἐπερωτῶσιν ἃ οὐ γινώσκω. Οὐδὲν γὰρ τῶν φαύλων γινώσκει ὁ σπουδαῖος, τουτέστιν οὐδενὶ τῶν πονηρῶν ἀνακέκραται. Μαρτύριον δέ· «Ὁ φυλάσσων ἐντολὴν οὐ γνώσεται ῥῆμα πονηρόν.[2]» Καὶ ἐνταῦθα γὰρ τὸ «οὐ γνώσεται», οὐ πεποίηται οὐδὲ ἀνακέκραται κατὰ ῥῆμα πονηρόν· ψεῦδος γὰρ τὸ νομίζειν μὴ ἐπίστασθαι ῥῆμα πονηρὸν τὸν φυλάττοντα τὴν θείαν ἐντολήν. Διάκρισιν γὰρ ἔχων πονηροῦ καὶ ἀγαθοῦ, τἄλλα πάντα ἀποστραφεὶς ῥήματα, ἐπιτηρεῖν τὴν ἐντολὴν ἦλθεν. Ὃ οὖν λέγει τοιοῦτόν ἐστιν· Πεῖραν οὐκ ἔχοντα οὐδὲ γνῶσιν ἢ ἔννοιαν τῶν κακῶν, διερεθίζοντές με ἐπερώτων με περὶ αὐτῶν, ὥσπερ ἡ Αἰγυπτία τὸν Ἰωσήφ, καὶ οἱ πρεσβύτεροι τὴν Σουσάνναν.

Στίχ. ιβ'. «Ἀνταπεδίδοσάν μοι πονηρὰ ἀντὶ καλῶν καὶ ἀτεκνίαν τῇ ψυχῇ μου.»

Ἐμοῦ φιλοτιμουμένου τὰ πρὸς πάντας καθήκοντα ἀμέμπτως ἐπιτελεῖν βούλεσθαι, εἰ δυνατὸν μετὰ πάντων ἀνθρώπων εἰρηνεύειν, αὐτοὶ ἀντὶ τούτων καλῶν πονηρὰ ἀνταπεδίδουν μοι, ἐχθροὶ καὶ δυσμενεῖς διὰ πάντων ἀναφαινόμενοι· τὸ ὅσον δὲ ἐπ' αὐτοῖς τὴν ἐν καλοῖς εὐτεκνίαν τῆς ψυχῆς μου ἀναιρεῖν ἐπεχείρουν. Εἰ γοῦν, πεισθεὶς αὐτῶν ταῖς ἐρωτήσεσι τοιοῦτος ἐγεγόνειν οἷον ἤθελόν με ποιῆσαι, ἠτεκνώθη ἂν ἡ ψυχή μου, μηκέτι δεχομένη τὰς θείας τοῦ νυμφίου

1. Ματθ. 12, 3. 2. Ἐκκλ. 8, 5.

γονάς. Εἰ δὲ τέκνα λέγοιντο οἱ μαθηταὶ τοῦ διδάξαντος, καὶ ὄντως ἀτεκνοῦται ἡ ψυχὴ τοῦ διδασκάλου, σφάλμασι περιπεσοῦσα τῷ ἑαυτῆς σκανδάλῳ, ἀναιροῦσα τοὺς ἐξ αὐτῆς γενομένους διὰ μαθητείας. Ἀντὶ δὲ τοῦ «ἀτεκνίαν τῇ ψυχῇ μου», «Ἀνεστραμμένα κατὰ τῆς ψυχῆς μου», ὁ Σύμμαχος ἐξέδωκεν.

Ἐπειδὴ τὰ προκείμενα συνῆπται τοῖς ἐν τῷ τριακοστῷ τρίτῳ ψαλμῷ προλελεγμένοις· ἐκεῖνα δὲ τῆς ἱστορίας ἐμνημόνευε τῆς κατὰ τὸν Ἀβιμέλεχ, ἐφ' οὗ ἠλλοίωσε τὸ πρόσωπον αὐτοῦ, κατὰ τὰ ἀποδεδομένα· τάχα που δύναται καὶ τὰ μετὰ χεῖρας ἐπ' ἐκεῖνα ἀναφέρεσθαι. Μαθὼν γὰρ ὁ Σαοὺλ παρὰ Δωήκ, ὡς ἀφῖκται Δαυῒδ πρὸς Ἀβιμέλεχ, ἄρτους τε εἰληφὼς διασέσωσται, πάντας ἀνεῖλε τοὺς ἱερεῖς τοῦ Κυρίου, αὐτόν τε τὸν Ἀβιμέλεχ παγγενεί. Δύναται οὖν ταῦτα ὁ Δαυῒδ εἰς πρόσωπον τοῦ Σαοὺλ εἰρηκέναι, ὡς καὶ πάντα τὸν ψαλμὸν εἰς ἐκεῖνον ἀναφέρεσθαι τὸν καιρόν, καθ' ὃν Δωὴκ ἐψευδομαρτύρησε τοῦ Ἀβιμέλεχ παρὰ τοῦ Σαούλ· καὶ τάχα τὸ Πνεῦμα τὸ ἅγιον, τὰ πάθη τῶν ἱερέων ὑπογράφον, τὰ προκείμενα ἀνεφώνει λέγων· «Δίκασον, Κύριε, τοὺς ἀδικοῦντάς με», καὶ τὰ ἑξῆς. Τὰ δὲ μονοτρόπως εἰρημένα περὶ ἑνός τινος ἐν τῷ, «Ἐλθέτω αὐτῷ παγὶς ἣν οὐ γινώσκει, καὶ ἡ θήρα ἣν ἔκρυψε συλλαβέτω αὐτόν, καὶ ἐν τῇ παγίδι πεσεῖται ἐν αὐτῇ», δύναται τῷ Δωὴκ ἐφαρμόζειν. Καὶ τό, «Ἀναστάντες μάρτυρες ἄδικοι, ἃ οὐκ ἐγίνωσκον ἠρώτων με· ἀνταπεδίδοσάν μοι πονηρὰ ἀντὶ ἀγαθῶν, καὶ ἀτεκνίαν τῇ ψυχῇ μου», ἐκ προσώπου λεχθείη ἂν τοῦ Ἀβιμέλεχ. Καὶ ταῦτα δὲ εἰκὸς εἰρηκέναι τὸν Δαυῒδ· αὐτοῦ γὰρ ἐπιγέγραπται ὁ ψαλμός, ἀποστολικῇ διαθέσει λέξοντος ἄν· «Τίς ἀσθενεῖ, καὶ οὐκ ἀσθενῶ; τίς σκανδαλίζεται, καὶ οὐκ ἐγὼ πυροῦμαι;[1]» καί, «Παθόντος ἑνὸς μέλους, συμπάσχει πάντα τὰ μέλη.[2]» Καὶ ἄλλος δὲ παρὰ ταῦτα μάρτυρας μὲν ἀδίκους εἴποι ἄν τις πάντας τοὺς ἐνδιαβάλλοντας τὸν Δαυῒδ παρὰ τοῦ Σαούλ· τότε μὲν γὰρ οἱ Ζιφαῖοι ἔλεγον ἐλθόντες· «Ἰδοὺ Δαυῒδ κέκρυπται παρ' ἡμῖν[3]», καὶ ἄλλοτε ἄλλους εἰκός, κεχαρισμένα τῷ βασιλεῖ πράττοντας, πολλὰ κατ' αὐτοῦ ψευδομαρτυρεῖν, καὶ ἃ μὴ ἐγίνωσκεν μηδὲ διενοεῖτο, ταῦτα κατ' αὐτοῦ λέγειν. Τὸ δ', «Ἀνταπεδίδοσάν μοι πονηρὰ ἀντὶ ἀγαθῶν», δύναται εἰς αὐτὸν ἀναφέρεσθαι. Ἐπειδὴ πολλάκις εὖ παθὼν ὑπὸ τοῦ Δαυῒδ ὁ Σαούλ, τοῖς ἐναντίοις αὐτὸν ἠμείβετο, δεινὰ κατὰ τῆς ψυχῆς αὐτοῦ μηχανώμενος, καὶ ἀτεκνίαν ἐμποιῶν τῇ ψυχῇ αὐτοῦ. Ἀτεκνία δὲ ψυχῆς ἐστιν, ὅταν τὰ ἑαυτῆς σπέρματα, ἃ καταβάλλεται δι' εὐποιιῶν εἰς ἑτέρους, ἢ καὶ διὰ διδασκαλίας μὴ φέρει καρπόν. Οὕτω γοῦν, πολλὰ γεννῶντος ἀγαθὰ τοῦ Δαυῒδ εἰς τὸν Σαούλ, ἀτεκνίαν αὐτῷ ὁ Σαοὺλ εἰργάζετο, μὴ ἀξίους προφέρων καρποὺς τῶν εἰς αὐτὸν ἐσπαρμένων.

Στίχ. ιγ'. «Ἐγὼ δέ, ἐν τῷ αὐτοὺς παρενοχλεῖν μοι, ἐνεδυόμην

---

1. Β' Κορ. 11, 29. 2. Α' Κορ. 12, 26. 3. Α' Βασ. 23, 19.

σάκκον, καὶ ἐταπείνουν ἐν νηστείᾳ τὴν ψυχήν μου, καὶ ἡ προσευχή μου εἰς κόλπον μου ἀποστραφήσεται.»

Πρὸς τοῖς ἀποδοθεῖσιν ἐπίσκεψαι, μήποτε τὰ προκείμενα ἐφαρμόζειν δύναται τῷ προσώπῳ τοῦ Σωτῆρος ἡμῶν, προφητικῶς ἐξ αὐτοῦ τεθεσπισμένα. Ὅρα δ' οὖν εἰ μὴ καὶ οὕτως ἐξομαλίζεται ἡ διάνοια κατ' οὐδένα τρόπον ἐμποδιζομένη. Ἔστω γὰρ ὁ Σωτὴρ ἡμῶν λέγων κατὰ τὸ ἀνθρώπινον πρὸς τὸν ἑαυτοῦ Πατέρα τὴν ἀρχὴν τοῦ ψαλμοῦ ἕως, «Καὶ σύγκλεισον ἐξ ἐναντίας τῶν διωκόντων με·» καὶ ἐν εἰκοστῷ δὲ καὶ πρώτῳ ψαλμῷ, σαφῶς ὑπ' αὐτοῦ λεγομένῳ, εἴρηται· «Εἰς τὴν βοήθειάν μου πρόσχες·» ἀλλὰ καὶ ἐν τοῖς Εὐαγγελίοις τῇ προσευχῇ σχολάζων ἱστορεῖται. Ναὶ μὴν καὶ δι' ἔργων ἐπλήρου τὰ ἀναγεγραμμένα μετὰ τὴν κατ' αὐτοῦ τῶν Ἰουδαίων τόλμαν. Ῥομφαία γὰρ στρατιωτικὴ καὶ πόλεμος Ῥωμαϊκὸς οὐκ εἰς μακρὰν μετῆλθεν αὐτούς, οὐκ ἄνευ τῆς τοῦ Θεοῦ κρίσεως. Θεὸς γὰρ ἦν ὁ πολεμῶν αὐτοὺς διὰ τοῦ τῶν πολεμίων στρατοῦ. Τοῦτο καὶ αὐτὸς ὁ Σωτὴρ διὰ παραβολῆς παρίστησι τοῖς παρῃτημένοις τὴν κλῆσιν τοῦ γάμου, καὶ τοὺς κλήτορας φονεύσασι· πέμψαι φήσας τὸν βασιλέα τὰ στρατιωτικὰ αὐτοῦ καὶ τὴν πόλιν αὐτῶν ἐμπρῆσαι. Οὕτω τοίνυν καὶ τὰ μετὰ χεῖρας ἐπληροῦτο. Ἐπειδὴ γὰρ αὐτοὶ ἠδίκουν τὸν Υἱὸν τοῦ Θεοῦ, ἐδικάσθησαν, ἐκδικουμένου τοῦ αἵματος αὐτοῦ. Καὶ ἐπειδὴ πολεμίους αὐτοὺς κατέστησαν τοῦ Χριστοῦ, ἐπολεμήθησαν ὑπὸ τοῦ Θεοῦ μετελθόντος ὅπλῳ καὶ θυρεῷ καὶ ῥομφαίᾳ. Οὐ γὰρ ἀφανῶς αὐτοὺς ἡ θεία μετῄει δίκη, ἀλλὰ διὰ τῶν ἐν ἀνθρώποις πολεμίων. Θαυμάσαι δ' ἔστιν ὅπως εἴρηται τό· «Ἔκχεον ῥομφαίαν·» οὐκέτι γὰρ κατὰ τὸ παλαιὸν μερικῶς αὐτοὺς ὁ πόλεμος μετῄει· ἀλλ' ἐξεχύθη κατ' αὐτῶν πολεμικὴ ῥομφαία· διὸ λέλεκται· «Ἔφθασε δ' ἐπ' αὐτοὺς ἡ ὀργὴ εἰς τέλος·[1]» καὶ ἀλλαχοῦ· «Ἔκχεον ἐπ' αὐτοὺς τὴν ὀργήν σου.[2]» Τίς δέ, διελθὼν τὰς Φλαυΐου Ἰωσήπου Ἱστορίας, μαθών τε ἐξ αὐτῶν ὅπως, ἐν συγκλεισμῷ ἀποληφθέντες, λιμῷ καὶ στάσει διεφθάρησαν, οὐ θαυμάσει τὴν ἐνταῦθα λέγουσαν φωνήν· «Καὶ σύγκλεισον ἐξ ἐναντίας τῶν καταδιωκόντων με;» Ἑξῆς δὲ τούτοις μόνῳ τῷ Σωτῆρι πρέπει ἂν λέγειν τῷ ἑαυτοῦ Πατρὶ κατὰ τὸ ἀνθρώπινον· «Εἶπον τῇ ψυχῇ μου· Σωτηρία σου εἰμὶ ἐγώ», καὶ τὰ ἑξῆς, ἕως τοῦ, «Καὶ ἄγγελος Κυρίου ἐκθλίβων αὐτούς.» Καὶ ταῦτα δὲ ἐπληροῦτο, ὅτε τῆς μὲν ἑαυτῶν μητροπόλεως ἠλαύνοντο, διεσκορπίζοντο δὲ εἰς πάντα τὰ ἔθνη. Εἶτα λέλεκται· «Γενηθήτω ἡ ὁδὸς αὐτῶν σκότος καὶ ὀλίσθημα.» Ὁδὸς δὲ αὐτῶν ἣν ὥδευον πάλαι ἡ σωματικὴ ἐτύγχανε λατρεία, ἥτις αὐτοῖς γέγονε σκότος καὶ ὀλίσθημα· ἀλλὰ καί, «Ἄγγελος Κυρίου καταδιώκων αὐτούς.» Ταῦτα μὲν οὖν τἀπίχειρα ὧν κατ' αὐτοῦ τετολμήκασιν. Ἀκούσῃ δὲ τῶν εἰρημένων, οὐχ ὡς τοῦ Σωτῆρος κατευχομένου τῶν ἑαυτοῦ ἐχθρῶν τοῦ τοῖς ἑαυτοῦ μαθηταῖς παρηγγελκότος, «Προσεύχε-

---

1. Α' Θεσσ. 2, 16. 2. Ψαλμ. 68, 25.

σθε ὑπὲρ τῶν ἐπηρεαζόντων καὶ ἀδικούντων αὐτούς·[1]» ἀλλὰ γὰρ τούτων ἄκουε ὡς προφητικῶς εἰρημένων, καὶ τὰ μέλλοντα αὐτοῖς συμβήσεσθαι προαναφωνούντων. Ταῦτα δὲ αὐτοῖς ἔσεσθαι θεσπίζει διὰ ποίαν αἰτίαν, ἑξῆς διδάσκει λέγων· «Ὅτι δωρεὰν ἔκρυψάν μοι διαφθορὰν παγίδος αὐτῶν, μάτην ὠνείδισαν τὴν ψυχήν μου.»

Καὶ ταῦτα μὲν περὶ τοῦ πλήθους τῶν κατ' αὐτοῦ συνελθόντων· τὰ δὲ ἑξῆς οὐκέτι περὶ πολλῶν, περὶ δ' ἑνὸς λελεγμένα, δύναται προσαγορεύεσθαι περὶ τοῦ Ἰούδα, ὃς κρύπτων τὴν κατ' αὐτοῦ συσκευήν, φιλίαν τε καθυποκρινόμενος, φιλήματι παρεδίδου τὸν Διδάσκαλον. Διὸ περὶ αὐτοῦ λέγοι ἂν τό, «Ἐλθέτω αὐτῷ παγίς, ἣν οὐ γινώσκει, καὶ ἡ θήρα ἣν ἔκρυψε συλλαβέτω αὐτόν, καὶ ἐν τῇ παγίδι πεσεῖται ἐν αὐτῇ.» Καὶ ταῦτα μὲν περὶ τούτων.

Εὖ δὲ εἰδὼς εἰς οἷον ἀγαθὸν τέλος ἡ κατ' αὐτοῦ παραστήσεται ἐπιβουλή, καὶ τοῦτο παρίστησι λέγων· «Ἡ δὲ ψυχή μου ἀγαλλιάσεται ἐπὶ τῷ Κυρίῳ, τερφθήσεται τῷ σωτηρίῳ αὐτοῦ. Πάντα τὰ ὀστᾶ μου ἐροῦσι· Κύριε, τίς ὅμοιός σοι; ῥυόμενος πτωχὸν ἀπὸ τῶν διαρπαζόντων αὐτόν.» Ἐν μὲν οὖν τῷ κα' ψαλμῷ, σαφῶς ἐκ προσώπου τοῦ Σωτῆρος λελεγμένῳ, εἴρητο· «Ὡσεὶ ὕδωρ ἐξεχύθην, καὶ διεσκορπίσθη πάντα τὰ ὀστᾶ μου·[2]» τοῦ λόγου σημαίνοντος τῶν ἀποστόλων αὐτοῦ τὸν διασκορπισμὸν καὶ τὴν φυγήν, ἣν ὑπέμειναν κατὰ τὸν καιρὸν τοῦ πάθους αὐτοῦ, ὅτε ἐπληροῦτο τό· «Πατάξω τὸν ποιμένα, καὶ διασκορπισθήσεται τὰ πρόβατα τῆς ποίμνης.[3]» Ὀστᾶ γὰρ ἦσαν τοῦ σώματος αὐτοῦ οἱ πρῶτοι αὐτοῦ μαθηταί, οἳ τότε μὲν διεσκορπίσθησαν σκανδαλισθέντες ἐπ' αὐτῷ, ὥσπερ οὖν καὶ αὐτὸς ἐδήλου λέγων· «Πάντες ὑμεῖς σκανδαλισθήσεσθε ἐν ἐμοὶ ἐν τῇ νυκτὶ ταύτῃ.[4]» Μετὰ δὲ τὴν ἀνάστασιν, θεασάμενοι, αὐτόν, ἐπληρώθησαν χαρᾶς καὶ ἀγαλιάσεως. Καὶ ἐν τοῖς μετὰ χεῖρας δὲ περὶ τῶν αὐτῶν λέλεκται· «Πάντα τὰ ὀστᾶ μου ἐροῦσι· Κύριε, τίς ὅμοιός σοι;» Σφόδρα δὲ κατάλληλα τῷ τοῦ Σωτῆρος ἡμῶν προσώπῳ καὶ τὰ τούτοις συνημμένα τυγχάνει, δι' ὧν εἴρηται· «Ἀναστάντες μάρτυρες ἄδικοι ἃ οὐκ ἐγίνωσκον ἠρώτων με. Ἀνταπεδίδοσάν μοι πονηρὰ ἀντὶ ἀγαθῶν, καὶ ἀτεκνίαν τῇ ψυχῇ μου.» Τούτοις ὅμοια καὶ ἐν ρη' ψαλμῷ εὑρήσεις ἐν οἷς εἴρηται· «Καὶ ἐπολέμησάν με δωρεάν· ἀντὶ τοῦ ἀγαπᾶν με ἐνδιέβαλλόν με· καὶ ἔθεντο κατ' ἐμοῦ κακὰ ἀντὶ ἀγαθῶν, καὶ μῖσος ἀντὶ τῆς ἀγαπήσεώς μου.[5]» Ἀτεκνίαν δὲ αὐτῷ εἰργάσαντο πάντα πράττοντι ἐπὶ τὸ συναγαγεῖν αὐτοὺς καὶ ἀναγεννῆσαι ἑαυτῷ· ὃ δὴ καὶ ἐδήλου λέγων· «Ποσάκις ἠθέλησα ἐπισυναγαγεῖν τὰ τέκνα σου ὃν τρόπον ὄρνις ἐπισυνάγει τὰ νοσσία ὑπὸ τὰς πτέρυγας, καὶ οὐκ ἠθελήσατε;[6]» Οὕτω γοῦν ἀνταπεδίδοσαν αὐτῷ πονηρὰ ἀντὶ ἀγαθῶν, καὶ ἀτεκνίαν τῇ ψυχῇ αὐτοῦ.

Ἀλλὰ γὰρ ἐν τούτοις ταῦτα θεσπίσας, διὰ τῶν ἑξῆς τὸ αὐτοῦ

1. Λουκ. 6, 28. 2. Ψαλμ. 21, 15. 3. Ζαχ. 13, 7. 4. Ματθ. 26, 31. 5. Ψαλμ. 108, 5. 6. Ματθ. 23, 37.

φιλάνθρωπον καὶ ἀνεξίκακον παρίστησι λέγων· «Ἐγὼ δ' ἐν τῷ αὐτούς παρενοχλεῖν μοι, ἐνεδυόμην σάκκῳ.» Ἀντὶ δὲ τοῦ, «Ἐν τῷ αὐτούς παρενοχλεῖν μοι», σφόδρα θαυμαστῶς ὁ μὲν Ἀκύλας φησί· «Καὶ ἐγὼ ἐν ἀρρωστίᾳ αὐτῶν ἔνδυσίς μου σάκκος·» ὁ δὲ Σύμμαχος· «Ἐμοῦ ἐν ταῖς ἀρρωστίαις αὐτῶν τὸ ἔνδυμα σάκκος·» καὶ ὁ Θεοδοτίων δὲ καὶ ἡ πέμπτη ἔκδοσις· «Ἐγὼ δὲ ἐν τῷ παρενοχλεῖσθαι αὐτούς», εἰρήκασιν. Ἐπεὶ γὰρ τοῖς ἐκείνων κακοῖς καὶ ταῖς ἀρρωστίαις τῆς αὐτῶν ψυχῆς συμπάσχων ὁ Σωτὴρ πένθους καὶ ὀδυρμῶν σύμβολα ποιεῖ, σάκκον περιβαλλόμενος ὑπὲρ αὐτῶν, ἀλλὰ καὶ ἐταπείνου ἐν νηστείᾳ τὴν ψυχὴν αὐτοῦ. Διὸ καὶ ἐδίδασκε λέγων· «Περίλυπός ἐστιν ἡ ψυχή μου ἕως θανάτου·[1]» καί, «Νῦν ἡ ψυχή μου τετάρακται.[2]» Ταῦτα γὰρ ὑπερβολῇ φιλανθρωπίας ὑπέμεινεν ὑπερπάσχων καὶ ὑπεραλγῶν, οἷα πατὴρ ἐφ' υἱοὺς ἀπολλυμένους. Διὸ ἔλεγεν ἐν προφήταις περὶ αὐτοῦ· Ἄνθρωπος ἐν πληγῇ ὤν, καὶ εἰδὼς φέρειν μαλακίαν·[3]» καὶ πάλιν· «Οὗτος τὰς ἁμαρτίας ἡμῶν φέρει, καὶ περὶ ἡμῶν ὀδυνᾶται·[4]» καὶ αὖθις· «Αὐτὸς δ' ἐτραυματίσθη διὰ τὰς ἁμαρτίας ἡμῶν, καὶ τῷ μώλωπι αὐτοῦ ἡμεῖς ἰάθημεν.[5]» Διὸ καὶ ἐν ταῖς ἀρρωστίαις αὐτῶν καὶ ἐν τῷ παρενοχλεῖσθαι αὐτούς, ἐκείνους θεωρῶν ὁ Σωτὴρ τὸν καταληψόμενον αὐτοὺς ὄλεθρον, καὶ τὴν ἐσχάτην ἀπώλειαν, ὑπὲρ αὐτῶν ἐνεδύετο σάκκον, καὶ ἐταπείνου ἐν νηστείᾳ τὴν ψυχὴν αὐτοῦ. Οἱ δὲ τοιαῦτα ἔπραττον, ὡς τὴν εὐχὴν αὐτοῦ τὴν ὑπὲρ αὐτῶν μὴ παραπέμπεσθαι εἰς τὰ ὦτα τοῦ Πατρός· ἀλλ' ὥσπερ ἀντικρουομένην ὑπὸ τοῦ μεγέθους τῆς αὐτῶν δυσσεβείας, καθέλκεσθαι καὶ ἐπαναστρέφειν πρὸς αὐτόν· διὸ ἔλεγε· «Καὶ ἡ προσευχή μου εἰς κόλπον μου ἀποστραφήσεται.» Εἰ γὰρ σῴζεσθαι ἔμελλον καὶ μεταβάλλειν τῶν ἀσεβημάτων, εὐθυδρομοῦσα ἡ προσευχὴ τοῦ Σωτῆρος, ἀκωλύτως καὶ ἀπαραποδίστως ἐπὶ τὰ ὦτα τὰ πατρικὰ παρήει. Καὶ ταῦτα δέ μοι πᾶσαν ψηλαφῶντι διάνοιαν, εἰς τοὺς τόπους ἀναγκαίως τεθεωρήσθω.

Στίχ. ιε'. «Καὶ κατ' ἐμοῦ ηὐφράνθησαν, καὶ συνήχθησαν· συνήχθησαν ἐπ' ἐμὲ μάστιγες, καὶ οὐκ ἔγνων. Διεσχίσθησαν, καὶ οὐ κατενύγησαν.»

Ταῦτα ἐκληπτέον διχῶς, ὡς καὶ ἤδη ἔφαμεν. Ἢ γὰρ ὁ Δαυὶδ ταῦτα περὶ ἑαυτοῦ διεξήει ὑπὸ τοῦ Σαοὺλ διωκόμενος· ἢ περὶ τοῦ Σωτῆρος προφητικῶς ὑπὸ τοῦ ἁγίου Πνεύματος λέγεται. Ἀντὶ δὲ τοῦ· «Κατ' ἐμοῦ ηὐφράνθησαν», ὁ Ἀκύλας δουλεύων τῇ Ἑβραϊκῇ λέξει φησί· «Καὶ ἐν σκασμῷ μου ηὐφράνθησαν, καὶ συνελέγησαν·» ὁ δὲ Σύμμαχος· «Σκάζοντος δέ μου ηὐφραίνοντο καὶ ἠθροίζοντο·» ἡ δὲ πέμπτη ἔκδοσις· «Καὶ ἐν τῇ ἀσθενείᾳ μου ηὐφράνθησαν.» Δι' ὧν ἡγοῦμαι δηλοῦσθαι τὸν καιρὸν τοῦ πάθους, ἐν ᾧ κατὰ τὸν Ἀπόστολον, «ἐσταυρώθη ἐξ ἀσθενείας, ἀλλὰ ζῇ ἐκ δυνάμεως Θεοῦ.[6]»

---

1. Ματθ. 26, 38. 2. Ἰω. 12, 27. 3. Ἡσ. 53, 3. 4. Ἡσ. 53, 4. 5. Ἡσ. 53, 5. 6. Β' Κορ. 13, 4.

Ὑπέμεινε δὲ καὶ σκασμὸν δι' ἡμᾶς, ἑκὼν ὑπομείνας τὴν ὑπὲρ ἡμῶν ἀσθένειαν. Αὐτὸς γὰρ ἑαυτὸν ἀσθενῆ πεποίηκεν, οὐ νικηθεὶς ὑφ' ἑτέρου, ἀλλ' ὑπερβαλλούσῃ δυνάμει κενώσας ἑαυτὸν καὶ μορφὴν δούλου λαβών, ἐπικρύψας τε καὶ ταπεινώσας ἑαυτὸν καὶ ἀσθενῆ ποιήσας μέχρι θανάτου. Ἐν τοίνυν τῷ σκασμῷ καὶ ἀσθενείᾳ συνήχθησαν· ἀλλὰ καὶ μάστιγας αὐτῷ ἐπιτεθείκασι· ὃ δὴ καὶ ἐν ἑτέρῳ ἐδήλου προφήτῃ φάσκοντι ἐξ αὐτοῦ προσώπου· «Τὸν νῶτόν μου ἔδωκα εἰς μάστιγας, τὰς δὲ σιαγόνας μου εἰς ῥαπίσματα. Τὸ δὲ πρόσωπόν μου οὐκ ἀπέστρεψα ἀπὸ αἰσχύνης ἐμπτυσμάτων.[1]» Ἐπληροῦτο δὲ ταῦτα κατὰ τὸν τοῦ πάθους αὐτοῦ καιρόν. Ὁ δὲ Σύμμαχός φησι· «Καὶ ἀπορρήσσοντες οὐκ ἠρέμουν.» Οὐκ ἔγνων δέ, φησί, τὴν αἰτίαν δι' ἣν ἐμάστιζον· οὐ γὰρ εἶχόν τινα εὔλογον πρόφασιν ὧν ἐπετίθεσάν μοι πληγῶν. Ἀντὶ δὲ τοῦ· «Ἐπείρασάν με μυκτηρισμῷ», ὁ Σύμμαχός φησιν· «Ἐν ὑποκρίσει φθέγμασι πεπλασμένοις, ἔπριον κατ' ἐμοῦ ὀδόντας αὐτῶν.» Πολλὰ δ' ἂν εὕροις ἐν τοῖς Εὐαγγελίοις τούτων παραστατικά· καὶ ὡς προσῄεσαν πειράζοντες αὐτὸν οἱ Φαρισαῖοι, ἄλλοτε δὲ ἐμυκτήριζον, καὶ ὡς ἔβρυχον κατ' αὐτοῦ τοὺς ὀδόντας αὐτῶν διαπριόμενοι ἐπὶ τῷ πλήθει τῶν μαθητευομένων αὐτῷ.

Στίχ. ιζ'. «Κύριε, πότε ἐπόψῃ; ἀποκατάστησον τὴν ψυχήν μου ἀπὸ τῆς κακουργίας αὐτῶν, ἀπὸ λεόντων τὴν μονογενῆ μου.»

Ἀντὶ τοῦ· «Πότε ἐπόψῃ;» συμφώνως οἱ λοιποὶ πάντες ἑρμηνευταί, «Κύριε, πόσα ὄψῃ;» εἰρήκασιν. Ἀποθαυμάζει ὁ Σωτὴρ τοῦ Πατρὸς τὴν μακροθυμίαν, καὶ τὴν ὑπερβάλλουσαν ἀνοχήν. Διό φησι· «Πόσα ὄψῃ;» Εἶτα παρακαλεῖ λέγων· «Ἀποκατάστησον τὴν ψυχήν μου.» Ὅμοιον δ' ἂν εἴη τοῦτο τῷ· «Πάτερ, δόξασόν με τῇ δόξῃ ᾗ εἶχον πρὸ τοῦ τὸν κόσμον εἶναι παρά σοί.[2]» Ἑξῆς παρακαλεῖ ῥυσθῆναι τὴν μονογενῆ αὐτοῦ ἀπὸ λεόντων. Συγγενὴς δὲ ὢν τῷ μετὰ χεῖρας ψαλμῷ καὶ ὁ καί, κατὰ τὰ ἤδη πρότερον ἀποδεδειγμένα, τὰ ὅμοια τούτοις περιέχων, φάσκων· «Σῶσόν με ἐκ στόματος λέοντος καὶ ἐκ χειρὸς κυνὸς τὴν μονογενῆ μου.[3]» Κἀκεῖ γὰρ «μονογενοῦς» ἐμνημόνευσε καὶ κυνὸς καὶ λέοντος· οὐ μόνον, ἀλλὰ καὶ μονοκερώτων, λέγων· «Καὶ ἀπὸ κεράτων μονοκερώτων τὴν ταπείνωσίν μου·[4]» δι' ὧν σημαίνειν αὐτὸν ἡγοῦμαι τὰς ἀντικειμένας δυνάμεις, τὰς κατὰ τὸν καιρὸν τοῦ πάθους τῇ μονογενεῖ αὐτοῦ ψυχῇ ἐπιβεβουλευκυίας. Ἀντὶ δὲ τοῦ, «τὴν μονογενῆ μου·» ὁ μὲν Ἀκύλας, «τὴν μοναχήν μου·» ὁ δὲ Σύμμαχος, «τὴν μονότητά μου», ἡρμήνευσεν. Εἰ δὲ ὁ Δαυῒδ ταῦτα λέγει, οὐδὲ χαλεπὸν καὶ εἰς αὐτὸν τὰ τῆς διανοίας ἐφαρμόσαι.

Στίχ. ιη'. «Ἐξομολογήσομαί σοι ἐν ἐκκλησίᾳ πολλῇ.»

Καὶ ὁ κα' ἐκ προσώπου τοῦ Σωτῆρος ἡμῶν λελεγμένος, μετὰ τὰς προφητείας τὰς περὶ τοῦ πάθους αὐτοῦ, τῆς Ἐκκλησίας αὐτοῦ ἐμέ-

1. Ἡσ. 50, 6. 2. Ἰω. 17, 5. 3. Ψαλμ. 21, 21. 4. Ψαλμ. 21, 22.

μνητο δι' ὧν ἔφη· «Ἐν μέσῳ Ἐκκλησίας ὑμνήσω σε.[1]» Ταῦτα δὲ ἐκεῖ ἐλέγετο μετὰ τό· «Ῥῦσαι ἀπὸ ῥομφαίας τὴν ψυχήν μου, καὶ ἐκ χειρὸς κυνὸς τὴν μονογενῆ μου. Σῶσόν με ἐκ στόματος λέοντος, καὶ ἀπὸ κεράτων μονοκερώτων τὴν ταπείνωσίν μου.» Συνῆπτο γοῦν τούτοις τό· «Διηγήσομαι τὸ ὄνομά σου τοῖς ἀδελφοῖς μου, ἐν μέσῳ Ἐκκλησίας ὑμνήσω σε.[2]» Καὶ ἐν τοῖς προκειμένοις παραπλησίως προειπών· «Ἀποκατάστησον τὴν ψυχήν μου ἀπὸ τῆς κακουργίας αὐτῶν, ἀπὸ λεόντων τὴν μονογενῆ μου», ἐπιλέγει· «Ἐξομολογήσομαί σοι ἐν ἐκκλησίᾳ πολλῇ, ἐν λαῷ βαρεῖ αἰνέσω σε.» Ἀντὶ δὲ τοῦ, «βαρεῖ», ὁ Ἀκύλας ἐξέδωκεν «ὀστεΐνῳ», τουτέστιν, ἰσχυρῷ, ἐπεὶ τοῦ παντὸς σώματος τὰ δυνατώτατα καὶ ἰσχυρότατα ὀστᾶ τυγχάνει. Βαρὺς οὖν ὁ ἐπὶ τὴν πέτραν τεθεμελιωμένος, ὁ ἀσάλευτος καὶ ἀρραγής. Τῷ τοίνυν Πατρὶ ἐξομολογεῖται, εὐχαριστῶν ἐπὶ τῇ Ἐκκλησίᾳ αὐτοῦ τῇ πολλῇ. Πολλὴ γὰρ ὡς ἀληθῶς αὕτη ἡ Ἐκκλησία· ἣν ἐν τῷ εἰκοστῷ πρώτῳ μεγάλην ὠνόμασεν εἰπών· «Παρὰ σοῦ ὁ ἔπαινός μου ἐν ἐκκλησίᾳ μεγάλῃ.» Ὁ μὲν οὖν Πατὴρ ἔπαινον τῷ Υἱῷ κατεργάζεται ἐν Ἐκκλησίᾳ μεγάλῃ· ὁ δὲ Υἱὸς ἐξομολογεῖται τῷ Πατρὶ ἐν Ἐκκλησίᾳ πολλῇ, τῇ καθ' ὅλης τῆς Ἐκκλησίας ἱδρυμένῃ.

Στίχ. ιθ'-κα'. «Μὴ ἐπιχαρείησάν μοι οἱ ἐχθραίνοντές μοι ἀδίκως, οἱ μισοῦντές με δωρεὰν καὶ διανεύοντες ὀφθαλμοῖς. Ὅτι ἐμοὶ μὲν εἰρηνικὰ ἐλάλουν, καὶ ἐπ' ὀργῇ δόλους διελογίζοντο. Καὶ ἐπλάτυναν ἐπ' ἐμὲ τὸ στόμα αὐτῶν· εἶπον· Εὖγε, εὖγε, εἶδον οἱ ὀφθαλμοὶ ἡμῶν.»

Εἰ μὴ τὰ τέλη αἴσια τὰ μετὰ τοῦ πάθους τοῦ Σωτῆρος ἡμῶν ἑωρᾶτο, τάχα που χώραν εἶχον καταχαρῆναι αὐτοῦ οἱ τὴν κατ' αὐτοῦ συσκευὴν μεμηχανημένοι, ὡς ἀφανισθέντος καὶ μηδὲν δεδυνημένου· ἐπεὶ δὲ ἡ Ἐκκλησία αὐτοῦ ἡ πολλὴ καὶ μεγάλη διαλάμπει καθ' ὅλης τῆς οἰκουμένης· αὐτός τε εἰσέτι καὶ νῦν ἐν μέσῳ ἑστὼς συγκροτεῖ τὸν βαρὺν καὶ δυνατὸν αὐτοῦ λαόν, καὶ ἐξομολογεῖται δι' αὐτῶν τῷ ἑαυτοῦ Πατρί· «Ὅπου γὰρ δύο ἢ τρεῖς συνηγμένοι εἰς τὸ αὐτοῦ ὄνομα, ἐκεῖ εἰμὶ ἐν μέσῳ αὐτῶν·[3]» εἰκότως οἱ ἐπιχαιρεσίκακοι, αἰσχύνην καταχεάμενοι, ἀπεστράφησαν εἰς τὰ ὀπίσω. Τί γὰρ καὶ ἄξιον ἔχθρας παθόντες τὸ πρὸς αὐτὸν ἤραντο μῖσος; διόπερ ὁ Ἀκύλας, «ἀναιτίως», ἡρμήνευσε. Διένευον δὲ ὀφθαλμοῖς χλευάζοντες αὐτόν, καὶ διασύροντες τὰ τῆς σοφίας μου παιδεύματα. Εἶτα, «Ἐμοὶ μέν», φησίν, «εἰρηνικὰ ἐλάλουν», ἐν δὲ τῇ καρδίᾳ αὐτῶν δόλους καὶ ὀργὴν διελογίζοντο. Ἐπληροῦτο δὲ καὶ ταῦτα, ὅτε λαβὰς θηρώμενοι ἔλεγον πρὸς αὐτὸν οἱ Φαρισαῖοι· «Διδάσκαλε, οἴδαμεν, ὅτι ἀληθὴς εἶ, καὶ τὸν λόγον τοῦ Θεοῦ ἐπ' ἀληθείας διδάσκεις, καὶ οὐ μέλει σοι περὶ οὐδενός· οὐ γὰρ βλέπεις εἰς πρόσωπον· εἰπὲ οὖν ἡμῖν· Ἔξεστι δοῦναι κῆνσον Καίσαρι ἢ οὔ;[4]» Ταύτας γὰρ δολίως προέφερον τὰς

1. Ψαλμ. 21, 23. 2. Ψαλμ. 22, 23. 3. Ματθ. 18, 20. 4. Ματθ. 22, 16-17.

φωνάς· διὸ προλαβὼν ταῦτ' ἠνίττετο φάσκων· «Ἐμοὶ μὲν εἰρηνικὰ ἐλάλουν, καὶ ἐπ' ὀργῇ δόλους διελογίζοντο.» Ἀλλ' ἐνταῦθα μὲν δολίως τὰς πρὸς αὐτὸν ἐποιοῦντο ὁμιλίας· ἐν τέλει γε μὴν κατὰ τὸν καιρὸν τοῦ πάθους ὅλῳ τῷ στόματι ἐβόων αἰτοῦντες αὐτοῦ τὸ αἷμα καθ' ἑαυτῶν καὶ κατὰ τῶν τέκνων αὐτῶν· ὃ δὴ καὶ αὐτῷ παρίστησι διὰ τῶν προκειμένων λέγων· «Ἐπλάτυναν ἐπ' ἐμὲ τὸ στόμα αὐτῶν.» Εἶτ' ἐπειδὴ παρεδόθη αὐτοῖς ὡς πρόβατον ἐπὶ σφαγήν, καὶ ὡς ἀμνὸς ἄκακος ἐναντίον τοῦ κείραντος ἄφωνος, ὁρῶντες αὐτοῦ τὸ πάθος ἐπεφώνουν· «Εὖγε, εὖγε, εἶδον οἱ ὀφθαλμοὶ ἡμῶν.»

Στίχ. κγ'-κς'. «Εἶδες, Κύριε, μὴ παρασιωπήσῃς.»

Καὶ ἄνωθεν εἶπε· «Πότε ἐπόψῃ;» καὶ διὰ τῶν προκειμένων· «Εἶδες, Κύριε.» Τί δὲ εἶδεν; Ὡς δολίως αὐτῷ προσῄεσαν, καὶ ὡς ἐπλάτυναν κατ' αὐτοῦ τὸ στόμα αὐτῶν, καὶ ὡς κατ' εὐχὰς πράξαντες ἐπεβόων· «Εὖγε, εὖγε, εἶδον οἱ ὀφθαλμοὶ ἡμῶν.» Σὺ δέ, Κύριε, ταῦτα θεασάμενος, ἀνασχόμενός τε καὶ μακροθυμήσας, «μὴ παρασιωπήσῃς·» ἀλλ' ἀναλαβὼν τὸ τῆς δικαιοσύνης σου κριτήριον λέγε· «Ταῦτα ἐποίησας, καὶ ἐσίγησα·[1]» καὶ πάλιν· «Ἐσιώπησα, μὴ καὶ ἀεὶ σιωπήσομαι;[2]» Ἀνθρωπίνως δὲ ἱκετεύει λέγων πρὸς τὸν ἑαυτοῦ Πατέρα· «Μὴ ἀποστῇς ἀπ' ἐμοῦ·» καί, «Ἐξεγέρθητι καὶ πρόσχες τῇ κρίσει, ὁ Θεός μου καὶ ὁ Κύριός μου εἰς τὴν δίκην μου». Κατὰ γὰρ τὸν καιρὸν τοῦ ὑπὲρ ἡμῶν πάθους τοιαύτας ἠφίει φωνάς, ἵνα πιστευθῇ ἄνθρωπος ἀτρεκέως κατὰ ἀλήθειαν γεγονώς, καὶ τὸν ὑπὲρ ἡμῶν θάνατον ἑκουσίως καταδεχόμενος. «Καὶ μὴ ἐπιχαρείησάν μοι, μὴ εἴποισαν ἐν καρδίαις αὐτῶν· Εὖγε, εὖγε, ἡ ψυχὴ ἡμῶν! μηδὲ εἴποισαν· Κατεπίομεν αὐτόν.» Σοῦ γάρ, φησίν, ἐπεξελθόντες τοῖς τετολμημένοις, καὶ κρίναντος κατὰ τὴν δικαιοσύνην σου, οὐκ ἐπιχαρήσονται, οὐδ' ἐροῦσιν ἐν ταῖς καρδίαις αὐτῶν· «Εὖγε, εὖγε», ἴσχυσεν ἡ ψυχὴ ἡμῶν. Εἰ γὰρ καὶ τῷ στόματι αὐτῶν ποτε τοῦτο εἰρήκασιν, ἀλλ' οὐ καὶ ταῖς καρδίαις αὐτῶν ἐροῦσιν· οὐδὲ φήσουσι· «Κατεπίομεν αὐτόν», τὴν ἀνάστασίν μου καὶ τῆς Ἐκκλησίας τῆς ἐμῆς τῆς καθ' ὅλης τῆς οἰκουμένης ἵδρυσιν θεώμενοι. Καταπίνεται μὲν γὰρ ὁ ἅπαξ εἰς βυθὸν χωρήσας καὶ μηκέτ' ἀναβεβηκώς· οὕτω γάρ ποτε κατέπιεν ὁ θάνατος ἰσχύσας. Ἀλλὰ κἀκεῖ οἱ καταποθέντες ἐπαλινδρόμησαν, διὸ λέλεκται· «Καὶ πάλιν ἀφεῖλεν ὁ Θεὸς πᾶν δάκρυον ἀπὸ παντὸς προσώπου.[3]»

Καὶ ἐνταῦθα τοίνυν, εἰ καὶ πρὸς καιρόν τινα ἔδοξαν αὐτὸν καταπίνειν, ἀλλ' οὐκ εἰς τέλος, φησίν, ἐροῦσι, προφητικῶς κατ' αὐτὰ θεσπίζων· «Αἰσχυνθείησαν καὶ ἐντραπείησαν ἅμα οἱ ἐπιχαίροντες τοῖς κακοῖς μου· ἐνδυσάσθωσαν αἰσχύνην καὶ ἐντροπὴν οἱ μεγαλορρημονοῦντες ἐπ' ἐμέ.» Καὶ ταῦτα δὲ ὅπως τέλους ἔτυχεν ἀναφερόμενα ἐπὶ τὸ τοῦ Σωτῆρος ἡμῶν πρόσωπον, ῥᾴδιον δὴ ἰδεῖν. Ἐκ ἐκεί-

1. Ψαλμ. 49, 21. 2. Ἠσ. 42, 14. 3. Ἠσ. 25, 8.

νου γάρ, καὶ εἰς δεῦρο τοῦ χρόνου ἀπερριμμένοι καὶ ἀπόβλητοι τυγχάνουσι πάλαι κομῶντες ἐπὶ πολλοῖς χαρίσμασιν. Οἱ δ' ἐξ ἁπάντων τῶν ἐθνῶν τὸν ὑπ' αὐτῶν ἀνῃρημένον παραδεδεγμένοι τῆς μὲν πολυθέου πλάνης ἠλευθέρωνται, τὸν δ' ἐπὶ πάντων Θεὸν εὐσεβοῦντες διατελοῦσιν. Εἶθ' οἱ μὲν αἰσχύνην καταχεάμενοι ἐφ' οἷς ἔδρασαν, ἐνετράπησαν, οἱ δὲ χαρᾷ καὶ παρρησίας ὁσημέραι πληροῦνται· ὡς πληροῦσθαι τὸ παρὰ Μωϋσεῖ λόγιον φῆσαν πρὸς τὸν Ἰουδαίων λαόν· «Ὁ προσήλυτος ὁ ἐν ὑμῖν ἔσται ἄνω ἄνω· σὺ δὲ ἔσῃ κάτω κάτω· αὐτός σου ἔσται κεφαλή, σὺ δὲ ἔσῃ οὐρά.[1]»

Στίχ. κζ', κη'. «Ἀγαλλιάσαιντο καὶ εὐφρανθείησαν οἱ θέλοντες τὴν δικαιοσύνην μου καὶ εἰπάτωσαν διὰ παντός· Μεγαλυνθήτω ὁ Κύριος, οἱ θέλοντες τὴν εἰρήνην τοῦ δούλου αὐτοῦ. Καὶ ἡ γλῶσσά μου μελετήσει τὴν δικαιοσύνην σου, ὅλην τὴν ἡμέραν τὸν ἔπαινόν σου.»

Ἡ μὲν ἀρχὴ τῆς προφητείας δίκην καὶ πόλεμον ἐπελεύσεσθαι ἠπείλει κατὰ τῶν ἀδικησάντων καὶ πολεμησάντων τὸν προφητευόμενον· τὰ δὲ μέσα τὸν τρόπον αὐτῶν διέβαλλε· τὰ δὲ ἐπὶ τέλει τὴν καταλαβοῦσαν αὐτοὺς διέγραφεν αἰσχύνην καὶ ἐντροπήν. Ἡ δὲ τῆς ὅλης προφητείας περιγραφὴ ἀγαλλίασιν καὶ εὐφροσύνην, καὶ ἀγαθὰ πάντας εὐαγγελίζεται τοὺς τὴν δικαιοσύνην αὐτοῦ θέλοντας. Νοήσεις δὲ τὴν αὐτοῦ δικαιοσύνην, θεότητα αὐτοῦ ἐκλαβών· ἐπειδὴ αὐτὸς «ἐγενήθη ἡμῖν σοφία ἀπὸ Θεοῦ, δικαιοσύνη τε καὶ ἁγιασμὸς καὶ ἀπολύτρωσις.[2]» Οἱ γοῦν ταύτην νοήσαντες ἀγαλλιάσαιντο, φησί, καὶ εὐφρανθείησαν· τούτους δὲ καὶ διδάσκει λέγειν ἀεί, «Μεγαλυνθήτω ὁ Κύριος», εἰ δὴ ἀσπάζοιντο τὴν πρὸς τὸν προφητευόμενον εἰρήνην· ἐπεὶ οἱ ἀράμενοι πρὸς αὐτὸν ἔχθραν, δίκην δεδώκασιν τὴν ἀξίαν. Εἴη δ' ἂν αὕτη ἡ εἰρήνη αὐτοῦ, ἣν ἐχαρίζετο τοῖς ἑαυτοῦ μαθηταῖς λέγων· «Εἰρήνην τὴν ἐμὴν δίδωμι ὑμῖν, εἰρήνην τὴν ἐμὴν ἀφίημι ὑμῖν.[3]» Καὶ ταῦτα μὲν περὶ τῶν ἐθελόντων καὶ ἀγαπώντων τὴν εἰρήνην αὐτοῦ, τήν τε δικαιοσύνην αὐτοῦ τιμώντων. Λοιπὸν δὲ αὐτὸς περὶ ἑαυτοῦ τὸ τέλος τοῦ παντὸς λόγου ἐπισφραγίζεται φάσκων· «Καὶ ἡ γλῶσσά μου μελετήσει τὴν δικαιοσύνην σου, ὅλην τὴν ἡμέραν τὸν ἔπαινόν σου;» Τούτων, φησί, γενομένων ἐπί τε τοὺς ἀγαπῶντάς με καὶ μισοῦντάς με, οὐ παύσομαι μελετῶν τὴν δικαιοσύνην σου, καὶ ὅλην τὴν ἡμέραν τὸν ἔπαινόν σου, οὐχὶ πάσας τὰς ἡμέρας, ἀλλὰ μίαν μόνην τὴν ἄπειρον καὶ διηνεκῆ. Ἡ γὰρ παρὰ σοὶ μονὴ καὶ διατριβὴ ἡμέρα αἰώνιος τυγχάνει. Μελετήσω δὲ αὐτὴν ἀνυμνῶν, καθ' ἣν τὰ δίκαια κρίνας, οὐχ ἓν ἔθνος, ἀλλὰ πάντα τὰ καθ' ὅλης τῆς οἰκουμένης τῆς σῆς χάριτος καὶ κλήσεως κατηξίωσας. Καθ' ἑτέραν δὲ διάνοιαν, ἐπεὶ «σῶμά ἐσμεν Χριστοῦ, καὶ μέλη ἐκ μέρους[4]», οἱ ἀσκηταὶ τῶν θείων μαθημάτων, λέγοιντο ἂν αὐτοῦ γλῶσσα, ὡς δύνασθαι καὶ εἰς αὐτοὺς ἀναφέρεσθαι τὰ προκείμενα.

1. Δευτ. 28, 43-44. 2. Α' Κορ. 1, 30. 3. Ἰω. 14, 27. 4. Α' Κορ. 12, 27.

ΕΙΣ ΤΟ ΤΕΛΟΣ, ΤΩ ΔΟΥΛΩ ΚΥΡΙΟΥ ΤΩ ΔΑΥΙΔ ΛΕ'.

Οὔτε «ψαλμός», οὔτε «ᾠδή», οὔτε τι τοιοῦτον ἐπιγέγραπται· διδασκαλίαν δὲ περιέχει κατὰ μὲν τὴν ἀρχὴν ἐλέγχουσαν πάντα τὸν ἄφοβον καὶ ἀνευλαβῆ, καὶ διὰ τοῦτο πάσαις παρανομίαις ἐκδεδομένον, κατὰ δὲ τὸ συμπέρασμα τὸ τῶν τοιούτων τέλος. Εἰπὼν γοῦν ἐν ἀρχῇ· «Φησὶν ὁ παράνομος τοῦ ἁμαρτάνειν ἐν ἑαυτῷ», πρὸς τῷ τέλει, «Ἐκεῖ ἔπεσαν πάντες οἱ ἐργαζόμενοι τὴν ἀνομίαν, ἐξώσθησαν καὶ οὐ δυνήσονται στῆναι.» Κατὰ δὲ τὰ μέσα θεολογίαν περιέχει καὶ τῶν θεοφιλῶν ἀνδρῶν ἀγαθὰς ἐλπίδας. Λέλεκται δὲ ταῦτα τῷ δούλῳ Κυρίου τῷ Δαυΐδ. Τοῦτο γὰρ ἡ προγραφὴ σημαίνει· ὅς, ἀφορίσας ἑαυτὸν τῆς τῶν παρανόμων τάξεως, συνῆψε τῇ τοῦ Θεοῦ ἱκετείᾳ, τῷ νόμῳ καὶ ταῖς τοῦ Θεοῦ διαταγαῖς ἑαυτὸν καταδουλώσας. Διδάσκει δὲ καὶ τοὺς λοιποὺς ἀνθρώπους τὰ ὅμοια αὐτῷ πράττειν, καὶ μὴ συναπάγεσθαι τοῖς παρανόμοις.

Στίχ. β'-ε'. «Φησὶν ὁ παράνομος τοῦ ἁμαρτάνειν ἐν ἑαυτῷ· οὐκ ἔστι φόβος Θεοῦ ἀπέναντι τῶν ὀφθαλμῶν αὐτοῦ. Ὅτι ἐδόλωσεν ἐνώπιον αὐτοῦ, τοῦ εὑρεῖν τὴν ἀνομίαν αὐτοῦ καὶ μισῆσαι.»

Σαφέστερον δὲ τὰ προκείμενα ἡρμήνευσεν ὁ Σύμμαχος, τοῦτον ἀποδοὺς τὸν τρόπον· «Φησὶν περὶ ἀσυνθεσίας τοῦ ἀσεβοῦς ἔνδοθεν ἡ καρδία μου· Οὐ πρόκειται ὁ φόβος Θεοῦ ἄντικρυς τῶν ὀφθαλμῶν αὐτοῦ. Ὅτι ἐξολισθαίνειν τὰ περὶ αὐτοῦ δοκεῖ, τοῦ εὑρεθῆναι τὴν ἀδικίαν αὐτοῦ εἰς τὸ μισηθῆναι αὐτήν.» Διὰ τούτων γὰρ αὐτὸς ὁ Δαυΐδ, Ἐμοῦ, φησίν, ἡ καρδία καὶ ὁ ἐμὸς λογισμὸς ταῦτα περὶ τοῦ ἀσεβοῦς ἀνδρὸς ἐνενόησε. Τὴν γὰρ θεωρητικὴν αὐτοῦ δύναμιν, δι' ἧς ἐδύνατο γνῶναι τὸν φόβον τοῦ Θεοῦ, ἐδόλωσεν αὐτοὺς (sic) ἑαυτὸν τῆς διανοίας αὐτοῦ τοὺς ὀφθαλμοὺς διαστρέψας. Διὸ κατὰ τὴν Ἑβραϊκὴν ἀνάγνωσιν· «Ἐν ὀφθαλμοῖς αὐτοῦ» εἴρηται «δεδολωκέναι, τοῦ εὑρεῖν τὴν ἀνομίαν αὐτοῦ, καὶ μισῆσαι.» Οὕτω, φησίν, ἑαυτὸν διέστρεψε, καὶ τὸν φόβον τοῦ Θεοῦ τῶν ἑαυτοῦ ἀπέρριψεν ὀφθαλμῶν, ὡς τὴν ἀνομίαν αὐτοῦ προφανῆ τυγχάνειν, καὶ πάλιν ὁρᾶσθαι καὶ «εὑρίσκεσθαι.» καὶ διὰ τοῦτο μίσους ἀξίαν εἶναι. Ἀκαλύπτως δὲ ὁ τοιοῦτος ἐξέδωκεν ἑαυτὸν τῇ ἁμαρτίᾳ, ὡς καὶ τὰ ῥήματα τοῦ στόματος αὐτοῦ ἀνομίαν εἶναι καὶ δόλον. Πάνυ δὲ ταῦτα ἑκὼν εἵλετο, ἅτε δὴ αὐτεξούσιος ὤν, καὶ δυνάμενος μὲν τὴν ἀγαθὴν μετελθεῖν ὁδόν, μὴ βουληθεὶς δέ· διὸ λέλεκται· «Οὐκ ἐβουλήθη συνιέναι τοῦ ἀγαθῦναι· ἀνομίαν» δὲ «διελογίσατο ἐπὶ τῆς κοίτης αὐτοῦ.» Οὐδὲ γάρ, κατὰ τὸν καιρὸν τῆς ἡσυχίας ἐν ᾧ μετὰ τὰς μεθημερινὰς πράξεις ἑαυτοὺς ἐπιδιδόασιν ἄνθρωποι ἠρεμίᾳ καὶ εὐσταθείᾳ καὶ ὕπνῳ, ἐν καταστάσει γαλήνῃ γέγονεν ὁ τοιοῦτος· ἀλλὰ καὶ ἐν τούτῳ τῷ καιρῷ «ἀνομίαν διελογίσατο ἐπὶ τῆς κοίτης αὐτοῦ.»

Στίχ. ς', ζ'. «Κύριε, ἐν τῷ οὐρανῷ τὸ ἔλεός σου.»

Σφόδρα ἀκολούθως μετὰ τὴν ὑπογραφὴν τῆς τοῦ παρανόμου

κακίας τὸν ὑπερβάλλοντα πλοῦτον τῆς τοῦ Θεοῦ μακροθυμίας παρίστησιν, δι' ἧς καὶ τῶν παρανόμων καὶ ἀσεβῶν ἀνδρῶν ἀνέχεται· διδάσκων, ὅτι «ὁ πλοῦτος τῆς χρηστότητος αὐτοῦ καὶ τῆς ἀνοχῆς καὶ τῆς μακροθυμίας[1]» ἐλέου πεπλήρωται μεγάλου. Καὶ τοῦτο τὸ ἔλεος τοῦ Θεοῦ αἴτιον τυγχάνει τῆς τῶν ἁμαρτωλῶν καὶ ἀσεβῶν ἀνδρῶν ζωῆς τε καὶ εὐθυμίας. Τὸν μὲν οὖν θησαυρὸν τοῦ ἐλέους αὐτοῦ τεταμιεῦσθαί φησιν ἐν τῷ οὐρανῷ ἀλλὰ καὶ τὴν ἀλήθειαν αὐτοῦ εἶναι παρ' αὐτῷ, πληροῦντες πάντα τὰ ὑπερουράνια· ὅμως δὲ καὶ «μέχρι τῶν νεφελῶν», ἢ «μέχρι τῶν αἰθέρων», κατὰ τὸν Σύμμαχον, διήκειν. Οὕτω γοῦν καὶ ἐν ἑτέρῳ λέλεκται· «Ἐν τῷ οὐρανῷ ἑτοιμασθήσεται ἡ ἀλήθειά σου.[2]» Ἔστι μὲν οὖν ἡ ἀλήθεια τοῦ Θεοῦ ἐν τῷ οὐρανῷ, δίκην δὲ ὑετοῦ φερομένου διὰ νεφῶν καὶ μέχρι τῆς γῆς ἐπιστάζει. Διὸ εἴρηται· «Καὶ ἡ ἀλήθειά σου ἕως τῶν νεφελῶν.» Ἐκ δὲ τῶν λεγομένων νεφελῶν καὶ εἰς ἀνθρώπους προχέεται ἡ τοῦ Θεοῦ ἀλήθεια· νεφέλας δὲ τοὺς προφήτας ἢ τὰς ἀγγελικὰς δυνάμεις, δι' ὧν ἡ ἀλήθεια τοῦ Θεοῦ καὶ εἰς ἀνθρώπους κατελήλυθεν, εἴωθεν ὁ λόγος ὀνομάζειν. Οὕτω λέλεκται ἐν Ἡσαΐᾳ· «Καὶ ταῖς νεφέλαις ἐντελοῦμαι τοῦ μὴ βρέξαι εἰς αὐτὸν ὑετόν[3]», δηλαδὴ εἰς τὸν Ἰουδαίων λαόν, ἀμπελῶνα τροπικῶς ὠνομασμένον.

Ἔτι πρὸς τούτοις, ἡ δικαιοσύνη σου, φησίν, ὦ Κύριε, μεγάλη τυγχάνει καὶ ὑψηλή, ὄρεσι παραβαλλομένη, καὶ ὄρεσι Θεοῦ, καὶ πρὸς τούτοις τὰ κρίματά σου ἀκατάληπτα. Ὡς γὰρ ἡ καλουμένη ἄβυσσος ἄπειρός ἐστιν ἀνθρώποις καὶ ἀκατάληπτος· ὃ δὴ σημαίνει ὁ φήσας λόγος· «Τιθεὶς ἐν θησαυροῖς ἀβύσσους·» οὕτως καὶ τὰ σὰ κρίματα, ὦ Κύριε, τὰ ἐκ τῆς σῆς δικαιοσύνης φερόμενα, ὡς «ἡ ἄβυσσός» ἐστι «πολλή.» Ἀντὶ δὲ τοῦ, «Ἡ δικαιοσύνη σου ὡς ὄρη Θεοῦ», ὁ Ἀκύλας, «Δικαιοσύνη σου ὡς ὄρη ἰσχυρά», ἡρμήνευσε. Τούτων δὲ πάντων εὐκαίρως ἐμνημόνευσεν ὁ λόγος· δεικνύς, ὅτι διὰ τὸ ἔλεός σου τοῦ Θεοῦ τὸ ἐν τῷ οὐρανῷ, καὶ διὰ τὴν ἀλήθειαν αὐτοῦ καὶ διὰ τὴν δικαιοσύνην αὐτοῦ, καὶ διὰ τό· Ὡς ἄβυσσος πολλὴ ἀκατάληπτα τὰ κρίματα αὐτοῦ, καὶ ἀσεβεῖς καὶ ἄθεοι καὶ ἁμαρτωλοὶ οὐ μόνον ζωῆς ἀπολαύουσιν, ἀλλὰ καὶ τῶν λοιπῶν τῶν ἀπὸ τῆς φιλανθρωπίας αὐτοῦ χορηγουμένων.

Στίχ. η'. Διὸ ἐπιλέγεται· «Ἀνθρώπους καὶ κτήνη σώσεις, Κύριε, ὡς ἐπλήθυνας τὸ ἔλεός σου, ὁ Θεός.»

Διὰ γὰρ τὰ κρίματά σου τὰ ὡς ἄβυσσος πολλή, καὶ διὰ τὴν δικαιοσύνην σου καὶ τὴν ἀλήθειάν σου τὴν ἐν τῷ οὐρανῷ, ἄνθρωποι καὶ κτήνη κατὰ τὸ αὐτὸ σῴζονται· οὕτως «ἐπλήθυνας τὸ ἔλεός σου, Θεός», ὡς μὴ μόνον τοὺς ἀξίους τῆς ἐκ σοῦ ζωῆς μεταλαμβάνειν, ἀλλὰ καὶ τοὺς κτηνώδεις καὶ ἀνοήτους τῶν ἀνθρώπων. Ἐπειδὴ γὰρ πολλοὶ μέμφονται καὶ καταιτιῶνται· Ἵνα τί ἀσεβεῖς εὐθηνοῦσι, καὶ τῶν τοῦ Θεοῦ ἀγαθῶν ἀπολαύουσιν; ἀναγκαίως δι-

1. Ῥωμ. 2, 4. 2. Ψαλμ. 88, 3. 3. Ἡσ. 5, 6.

δάσκει, ὅτι πολυέλεός ἐστιν. Ἀλλ' εἰ μὲν ἦν ἔλεος μόνον καὶ φιλανθρωπία, οὐδὲν ἐκώλυεν τὸν τῶν ἁμαρτωλῶν μετέρχεσθαι βίον· διδάσκει δέ, ὅτι σὺν τῷ ἐλέῳ ἀνακέκραται ἀλήθεια καὶ δικαιοσύνη, ὡς τῆς δικαιοσύνης καὶ τῆς ἀληθείας διαληψομένης τοὺς ἁμαρτωλοὺς μετὰ τὸ ἔλεος. Εἰ γὰρ μὴ ὠφελοῖντο τῷ ἐλέῳ καὶ τῇ μακροθυμίᾳ τοῦ Θεοῦ, ἡ δικαιοσύνη αὐτοῦ καὶ ἡ ἀλήθεια μετελεύσεται αὐτούς· ὑποβληθήσονται γὰρ κρίσει δικαίᾳ. Ἔστι γάρ, ἔστιν ἀπόρρητα τὰ κρίματα τοῦ Θεοῦ· πολύς τε καὶ ἄπειρος βυθός, ἤ, καθὼς ἡ Γραφή φησιν, «ἄβυσσος πολλὴ» ἐν τῷ λόγῳ τῶν κριμάτων αὐτοῦ περιέχεται. Ταῦτα τοίνυν μένει τοὺς ἀσεβεῖς.

Στίχ. η', θ', ι'. «Οἱ δὲ υἱοὶ τῶν ἀνθρώπων ἐν σκέπῃ τῶν πτερύγων σου ἐλπιοῦσι. Μεθυσθήσονται ἀπὸ πιότητος οἴκου σου, καὶ τὸν χειμάρρουν τῆς τρυφῆς σου ποτιεῖς αὐτούς. Ὅτι παρὰ σοὶ πηγὴ ζωῆς, ἐν τῷ φωτί σου ὀψόμεθα φῶς.»

Ἐπειδὴ τὰ κρίματά σου ἄβυσσος πολλή, εἰκότως οὐ μόνον ἀνθρώπων, ἀλλὰ καὶ κτηνῶν προνοεῖς· οὕτως «ἐπλήθυνας τὸ ἔλεός σου, ὁ Θεός.» Ἔστι δ' ἔτι παρὰ ταῦτα ἐξαίρετον τάγμα τῶν μετὰ τὰ προλεχθέντα ὀνομαζομένων υἱῶν ἀνθρώπων· οἵτινες, πλέον τι ἔχοντες τῶν ἀνθρώπων καὶ τῶν κτηνῶν τῶν ὑπὸ σοῦ σῳζομένων, κατηξίωνται ἐν σκέπῃ τῶν πτερύγων σου ἐλπίζειν· ἢ κατὰ τὸν Σύμμαχον, «Ὑπὸ σκιὰν τῶν πτερύγων σου ἀμεριμνοῦσι.» Τοὺς γὰρ ἐπὶ σὲ ἠλπικότας, καὶ ἀφωρισμένους τοῦ τάγματος τῶν διαβεβλημένων, σὺ αὐτὸς ὁ Θεὸς ταῖς ἑαυτοῦ πτέρυξι περιέπεις καὶ σκέπεις. Καὶ ἐπεὶ ἤλπισαν οὗτοι ἀγαθὴν ἐλπίδα, «Ἡ δὲ ἐλπὶς οὐ καταισχύνει·[1] μεθυσθήσονται ἀπὸ πιότητος οἴκου σου, καὶ τὸν χειμάρρουν τῆς τρυφῆς σου ποτιεῖς αὐτούς.» Οἶκος μὲν τοῦ Θεοῦ ἐστιν ἡ Ἐκκλησία αὐτοῦ· πιότης δὲ τοῦ οἴκου τὰ θεόπνευστα ἀναγνώσματα· μέθη δὲ σώφρων καὶ νηφάλιος ἡ ἀπὸ τῶν ἀναγνωσμάτων ὠφέλεια· χείμαρρος δὲ τρυφῆς, ἐξ οὗ ποτίζονται οἱ ἐπὶ σκέπῃ τῶν πτερύγων αὐτοῦ ἠλπικότες, ὁ ἐν Ἐκκλησίᾳ τοῦ Θεοῦ ποταμός, περὶ οὗ λέλεκται· «Τοῦ ποταμοῦ τὰ ὁρμήματα εὐφραίνουσι τὴν πόλιν τοῦ Θεοῦ·[2]» καί, «Ὁ ποταμὸς τοῦ Θεοῦ ἐπληρώθη ὑδάτων.[3]» Χείμαρρος δὲ τρυφῆς ὁ Χριστὸς διὰ τὸ πρόσκαιρον τῆς ἐν ἀνθρώποις ἐπιφανείας αὐτοῦ. «Ὅτι παρὰ σοὶ πηγὴ ζωῆς.» Ζωὴν δὲ ὄντα ἔγνωμεν τὸν Χριστὸν ἐκ τῆς εὐαγγελικῆς διδασκαλίας, δι' ἧς αὐτὸς ὁ Σωτὴρ διδάσκει λέγων· «Ἐγώ εἰμι τὸ φῶς καὶ ἡ ἀλήθεια καὶ ἡ ζωή.[4]» Ἀλλὰ καί, «ὃ γέγονεν ἐν αὐτῷ ζωὴ ἦν, καὶ ἡ ζωὴ ἦν τὸ φῶς τῶν ἀνθρώπων.[5]» Διὸ καὶ ἐνταῦθα τῇ ζωῇ συνῆπται τὸ φῶς συμφώνως τῷ Εὐαγγελίῳ· μετὰ γὰρ φάναι· «Ὅτι παρὰ σοὶ πηγὴ ζωῆς», ἐπιλέγεται· «Ἐν τῷ φωτί σου ὀψόμεθα φῶς.» Φωτὸς γὰρ λογικοῦ χορηγητικὴ τυγχάνει αὕτη ἡ ζωή· διὸ λέγεται·

1. Ῥωμ. 5, 5. 2. Ψαλμ. 45, 5. 3. Ψαλμ. 64, 10. 4. Ἰω. 14, 6. 5. Ἰω. 1, 3.

«Καὶ ἡ ζωὴ ἦν τὸ φῶς τῶν ἀνθρώπων.» Οἱ δὲ τούτων μεταλαβόντες τέλος ἕξουσι τοῦ φωτὸς τὴν θέαν.

Στίχ. ια΄-ιγ΄. «Παράτεινον τὸ ἔλεός σου τοῖς γινώσκουσί σε, καὶ τὴν δικαιοσύνην σου τοῖς εὐθέσι τῇ καρδίᾳ.»

Τοῖς μὴ γινώσκουσιν αὐτὸν πρόσκαιρον ἔσται τὸ ἔλεος· τοῖς δὲ γινώσκουσί σε, Σῶτερ, παράτεινον τὸ ἔλεός σου καὶ τὴν δικαιοσύνην σου· ἐν ᾗ κατ' ἀξίαν κρίνων τοῖς μὲν ἀποδώσεις κατὰ τὰ ἔργα αὐτῶν, τοῖς δὲ πιστώσεις τὰς σὰς ἐπαγγελίας. Ἀντὶ δὲ τοῦ, «Καὶ τὴν δικαιοσύνην σου τοῖς εὐθέσι τῇ καρδίᾳ», ὁ Σύμμαχος, «Καὶ τὴν ἐλεημοσύνην σου τοῖς ἁπλοῖς τὴν καρδίαν», ἐξέδωκε. «Μὴ ἐλθέτω μοι ποὺς ὑπερηφανίας, καὶ χεὶρ ἁμαρτωλῶν μὴ σαλεῦσαί με. Ἐκεῖ ἔπεσον οἱ ἐργαζόμενοι τὴν ἀνομίαν. Ἐξώσθησαν καὶ οὐ μὴ δυνήσονται στῆναι.» Μηδὲ κτησαίμην χεῖρα καὶ πράξεις ἁμαρτωλῶν· ταῦτα γὰρ σαλεύειν εἴωθε καὶ μετακινεῖν τῆς παρὰ σοὶ τῷ Θεῷ στάσεως τοὺς εἰς τὸ σκότος τὸ ἐξώτερον ἐξωσθησομένους. Ἀντὶ δὲ τοῦ· «Ἐκεῖ ἔπεσον», ὁ Σύμμαχος, «ὅπου πίπτουσιν οἱ ἐργαζόμενοι τὴν ἀδικίαν», ἐξέδωκε. Μὴ γὰρ γενοίμην, φησίν, ἐκεῖ, ἔνθα οἱ σαλευθέντες πίπτουσι, καὶ πεσόντες ἐξωθοῦνται, καὶ ἐξωσθέντες οὐκέτι ἐπανελθεῖν δυνήσονται. Ἀκολούθως δὲ αὐτὰ ἔφη, μετὰ τὸ ὑπογράψαι ὁποῖον ἔσται τὸ τέλος τῶν ἐν τῇ σκέπῃ τοῦ Θεοῦ ἠλπικότων ἐπαναλαμβάνων τὴν μνήμην τοῦ κατ' ἀρχὰς παρανόμου, ὃς ἔφασκεν «ἐν ἑαυτῷ τοῦ ἁμαρτάνειν», καὶ τῶν ἐκείνῳ παραπλησίων.

ΤΟΥ ΔΑΥΙΔ ΛϚ΄.

Στίχ. α΄. «Μὴ παραζήλου ἐν πονηρευομένοις, μηδὲ ζήλου τοὺς ποιοῦντας τὴν ἀνομίαν.»

Ἐπειδὴ γὰρ ἐν ἐκείνῳ εἰσῆγε τὸν παράνομον παρορμῶντα ἑαυτὸν εἰς ἁμαρτίας, τόν τε βίον ὑπέγραφε τοῦ τοιούτου καὶ τὸ τέλος τῆς καταστροφῆς αὐτοῦ· ἀκολούθως ἐπὶ τοῦ παρόντος παραινεῖ φεύγειν τοὺς τῶν παρανόμων τρόπους, μηδὲ τὰς ὁμοίους αὐτῶν πράξεις ζηλοῦν. Ἐπεὶ δ' ἕτερόν ἐστι τοῦ ζηλοῦν τὸ παραζηλοῦν, ἐρεῖς, ὅτι τὸ ἐρεθίζειν καὶ εἰς ζηλοτυπίαν ἐγείρειν, τοῦτό ἐστι τὸ παραζηλοῦν. Ὅθεν ὁ μὲν Ἀκύλας ἡρμήνευσεν· «Μὴ διαμάχου ἐν πονηρευομένοις·» ὁ δὲ Σύμμαχος· «Μὴ φιλονείκει κακούργοις.» Νοήσεις δὲ τὸ εἰρημένον καὶ ἀπὸ τοῦ· «Αὐτοὶ παρεζήλωσάν με ἐπ' οὐ Θεῷ, παρώργισάν με ἐν τοῖς εἰδώλοις αὐτῶν· κἀγὼ παραζηλώσω αὐτοὺς ἐπ' οὐκ ἔθνει· ἐπ' ἔθνει ἀσυνέτῳ παροργιῶ αὐτούς.[1]» Οὕτω καὶ ὁ Ἀπόστολος γράφων Κορινθίοις ἔλεγεν· «Ἢ παραζηλοῦμεν τὸν Κύριον; Μὴ ἰσχυρότεροι αὐτοῦ ἐσμεν; [2]» Τὸ δὲ ζηλοῦν τοῦ βούλεσθαι καὶ ἑαυτῷ ὑπάρχειν ὃ νομίζει τῷ πέλας παρεῖναι, ἀγαθόν. Καὶ ἔστι τὸ ζηλοῦν μέσον· πολλάκις

---

1. Δευτ. 32, 21. 2. Α΄ Κορ. 10, 22.

γὰρ ὁ ζῆλος περὶ οὗ ὁ αὐτός φησιν· «Ζηλοῦσιν ὑμᾶς οὐ καλῶς, ἀλλ' ἐκκλεῖσαι ὑμᾶς θέλουσιν.[1]» Φθόνος μὲν οὖν οὐκ ἂν γένοιτό ποτε ἀγαθός· λύπη γάρ ἐστιν ἐπὶ τῇ τοῦ πέλας εὐπραγίᾳ· ζῆλος δέ ἐστιν ὅτε γίνεται ἀγαθὸς καθὼς ἀποδεδώκαμεν. Ἐνταῦθα δὲ ὁ λόγος κατὰ μὲν τὸν Ἀκύλαν μὴ διαμάχεσθαι ἐν πονηρευομένοις παραινεῖ, κατὰ δὲ Σύμμαχον, μὴ φιλονεικεῖν ἐν κακούργοις, κατὰ δὲ τὴν πέμπτην ἔκδοσιν, μὴ ἐρεθίζεσθαι ἐν πονηρευομένοις· κατὰ δὲ τοὺς Ἑβδομήκοντα· Μὴ παροξύνου, φησί, μηδὲ ἐρεθίζου ὁρῶν ἑτέρους πονηρευομένους· μηδέ σε ἐγειρέτωσαν εὐθηνούμενοι κακοὶ ἐπὶ τὸ καὶ ἐθέλειν ὁμοίως αὐτοῖς εὐπραγεῖν. Ἐκεῖνοι μὲν γὰρ εὐθηνούμενοι καὶ τρυφῶντες παραζηλοῦσί σε· σὺ δὲ μὴ παραζήλου μηδὲ παροξύνου· ἀλλὰ μηδὲ ζήλου τοὺς ποιοῦντας ἀνομίαν, μηδὲ μακάριζε αὐτούς, καὶ ἐν ἀγαθοῖς εἶναι νόμιζε· μηδ' εὔχου καὶ σαυτὸν ὁμοίως αὐτοῖς πράττειν.

Στίχ. β'-θ'. «Ὅτι ὡσεὶ χόρτος ταχὺ ἀποξηρανθήσονται.»

Εἶτα τὴν αἰτίαν διδάσκει, λέγων, ὅτι τὸ τέλος αὐτῶν τοιοῦτόν ἐστιν, ὁποῖον τὸ τοῦ χόρτου· ὃς πρὸς ὀλίγον ἀνθήσας, ταχὺ ἀποξηραίνεται. «Πᾶσα» γὰρ «σὰρξ χόρτος, καὶ πᾶσα δόξα αὐτῆς ὡς ἄνθος χόρτου. Ἐξηράνθη ὁ χόρτος, καὶ τὸ ἄνθος ἐξέπεσεν.[2]» Ἀλλὰ καί, «ὡσεὶ λάχανα χλόης ταχὺ ἀποπεσοῦνται·» οὐδὲ γεωργουμένοις λαχάνοις ἄξιοί εἰσι παραβάλλεσθαι. Τί οὖν ἄξιον ζηλοῦν τούτους, οἳ πρὸς ὀλίγον ἀνθήσαντες, αὔριον εἰς κλίβανον βάλλονται, ὡς ἐδίδαξεν ὁ Σωτήρ;[3] «Ἔλπισον ἐπὶ Κύριον, καὶ ποίει χρηστότητα, καὶ κατασκήνου τὴν γῆν, καὶ ποιμανθήσῃ ἐπὶ τῷ πλούτῳ αὐτῆς. Κατατρύφησον τοῦ Κυρίου, καὶ δώῃ σοι πάντα τὰ αἰτήματα τῆς καρδίας σου». Ἀποστρέψας τοῦ ζήλου τῶν πονηρῶν διὰ τῶν πρώτων, εὐθὺς ἐκ παραλλήλου τὴν ὀρθὴν καὶ βασιλικὴν ὁδὸν τίθησι, δεικνὺς ὁποίαν χρὴ βαδίζειν. Διό φησιν· Ἄνω βλέπε, ὦ οὗτος, ἀφορῶν εἰς τὸν τῶν ὅλων κυβερνήτην, καὶ αὐτὸν σεαυτοῦ ἐλπίδα θέμενος· θάρσει ὡς ἐπὶ μεγάλην ἄγκυραν ἡδρασμένος. Καὶ τὰ μὲν τῆς διανοίας σου ταύτην ἐχέτω τὴν ἐλπίδα· ταῖς δὲ πράξεσιν ἐργάζου «καὶ ποίει χρηστότητα», ὡσανεὶ σπόρους σαυτῷ βαλλόμενος ἐπ' ἀγαθῇ καρπῶν συγκομιδῇ. Ταῦτα δὲ τὰ δύο κτησάμενος, μηκέτι περί τινος ἀγωνία. «Κατασκήνου τὴν γῆν» ἀμερίμνως, καὶ τὴν πρόσκαιρον ταυτηνὶ ζωήν, ὥσπερ ἐν σκηνῇ, πρὸς ὀλίγον ἑστὼς δίαγε. Ποιμανθήσῃ γὰρ δίκην θρέμματος ἀγαθοῦ ὑπὸ ποιμένι καλῷ ποιμαινόμενος. Εἰ γάρ τίς ἐστιν ἐν ἀνθρώποις ἀληθινὸς ψυχῆς πλοῦτος, ὁ ἐν θείοις δόγμασι καὶ τοῖς τῶν θείων ἀναγνωσμάτων μαθήμασι, τούτων ἀπολαύσεις, ὥστε λέγειν· «Κύριος ποιμαίνει με, καὶ οὐδέν με ὑστερήσει.[4]» Οὐδὲν γάρ σε ὑστερήσει ποιμαινόμενον ἐν τῷ πλούτῳ τοῦ καλοῦ ποιμένος, τῷ δεδωρημένῳ τοῖς ἔτι ἐπὶ γῆς ποιμαινομένοις ἀνθρώποις. Ἀντὶ δὲ τοῦ, «Καὶ ποιμανθήσῃ ἐπὶ τῷ πλούτῳ αὐτῆς», ὁ Σύμμαχος, «Καὶ ποιμαίνου διηνεκῶς», ἐξέδωκεν·

---

1. Γαλ. 4, 17. 2. Ἡσ. 40, 6. 3. Ματθ. 6, 30. 4. Ψαλμ. 22, 1.

ὁ δὲ Ἀκύλας, «Καὶ νέμου πίστιν.» Εἶθ' ὥσπερ τῶν πονηρευομένων καὶ τῶν ποιούντων τὴν ἀνομίαν ὑπέγραψε τὸ τέλος, οὕτως καὶ σοὶ τῷ ἐλπίζοντι ἐπὶ τὸν Κύριον καὶ ποιοῦντι χρηστότητα ὁπόσα ὑπάρξει ἀγαθὰ καταριθμεῖται. Πρῶτον μὲν γὰρ ποιμανθήσῃ ἐπὶ τῷ πλούτῳ τῷ ἀληθινῷ τοῦ καλοῦ ποιμένος· δεύτερον, κατατρυφήσεις τοῦ Κυρίου· καὶ τρίτον, δώσει σοι τὰ αἰτήματα τῆς καρδίας σου. Κατατρυφᾶν δὲ τοῦ Κυρίου δυνήσεται ὁ τῆς ψυχῆς τὰ αἰσθητήρια κεκαθαρισμένος, ὡς δύνασθαι ἐσθίειν τὸν ζῶντα ἄρτον καὶ τὰς ζωοποιοὺς αὐτοῦ σάρκας, πίνειν τε τὸ σωτήριον αὐτοῦ αἷμα. Τούτοις τρεφόμενος καὶ πιαινόμενος, τῆς ἐνθέου μέθης ἀπολαύων· «Κατατρύφησον τοῦ Κυρίου, καὶ δώσει σοι τὰ αἰτήματα τῆς καρδίας σου.» Ἤδη μὲν γὰρ ἐντεῦθεν κατατρυφήσει, ἐθελήσας σε αὐτὸν ἐπιδοῦναι αὐτῷ. Αἴτει δὲ αὐτὸν καὶ τὰ μέλλοντα, ὧν προσδοκᾷς τὴν λῆψιν. Ὁ γὰρ τὰ παρόντα δεδωκὼς ἀφθόνως δωρήσεται καὶ ἃ «ὀφθαλμὸς οὐκ εἶδεν, οὐδὲ οὖς ἤκουσεν, οὐδ' ἐπὶ καρδίαν ἀνθρώπου ἀνέβη.[1]»

Ἀντὶ δὲ τοῦ, «Ὑποτάγηθι τῷ Κυρίῳ, καὶ ἱκέτευσον αὐτόν», ὁ Ἀκύλας φησί· «Σίγησον τῷ Κυρίῳ, καὶ ἀποκαραδόκει αὐτόν·» ὁ δὲ Σύμμαχος· «Ἡσύχαζε τῷ Κυρίῳ, καὶ ἱκέτευε αὐτῷ.» Τὰ γὰρ προλεχθέντα πράττοντα, καὶ ἐπὶ τοῖς εἰρημένοις ἐλπίζοντα, ἡσυχάζειν προσήκει τέως ἐν τῷ παρόντι, καὶ μετὰ σιωπῆς προσδοκᾶν τὰ ἐπηγγελμένα. «Μὴ παραζήλου ἐν τῷ κατευοδουμένῳ ἐν τῇ ὁδῷ αὐτοῦ, ἐν ἀνθρώπῳ ποιοῦντι παρανομίας. Παῦσαι ἀπὸ ὀργῆς καὶ ἐγκατάλειπε θυμόν, μὴ παραζήλου ὥστε πονηρεύεσθαι. Ὅτι οἱ πονηρευόμενοι ἐξολοθρευθήσονται, οἱ δὲ ὑπομένοντες τὸν Κύριον, αὐτοὶ κληρονομήσουσι γῆν.» Ἐπαναλαμβάνει τὸν λόγον ἀναγκαίως. Ἐπεὶ γὰρ ἔγνως, φησίν, ὁποῖός σοι πλοῦτος τεταμίευται, μὴ παραζήλου ἐν τῷ νομιζομένῳ κατὰ τὸν παρόντα βίον κατευοδοῦσθαι ἀνθρώπῳ ποιοῦντι παρανομίας· μὴ γὰρ παροξύνου, μηδὲ μακάριζε τὸν τοιοῦτον, ἀκριβῶς εἰδώς, ὅτι μένει αὐτὸν ὀργὴ ἐν ἡμέρᾳ ὀργῆς καὶ δικαιοκρισίας τοῦ Θεοῦ. Διὸ σὺ μὴ ὀργίζου, μηδὲ θυμοῦ κατὰ τοῦ νομιζομένου εὐθηνεῖν ἀσεβοῦς, μηδὲ ζήλου αὐτὸν ὡς καὶ θέλειν τὰ ὅμοια αὐτῷ πονηρεύεσθαι· εὖ γὰρ ἴσθι καὶ πέπεισο ἀκριβῶς, ὅτι τὸ τέλος τῶν πονηρευομένων ὀλέθριον τυγχάνει. «Οἱ γὰρ πονηρευόμενοι ἐξολοθρευθήσονται», μόνοι δὲ οἱ μακρόθυμοι καὶ «ὑπομένοντες τὸν Κύριον, αὐτοὶ κληρονομήσουσι τὴν γῆν.» Εἴ τις γάρ ἐστι γῆ ἀγαθὴ τοῖς ἁγίοις ἐπηγγελμένη, ταύτην κληρονομήσουσιν οἱ ὑπομένοντες τὸν Κύριον· μετὰ γὰρ τῶν ἄλλων τῶν κατηριθμημένων ἀγαθῶν, καὶ αὐτὸς αὐτοῖς δοθήσεται ὁ κλῆρος. Εἰ δ' ἔστιν ἐν οὐρανοῖς Ἱερουσαλὴμ καὶ Σιὼν ὄρος τοῦ Θεοῦ τὸ ἐπουράνιον, ἀκόλουθόν ἐστι καὶ γῆν ἐπουράνιον νοεῖν τὴν ἐπηγγελμένην τοῖς ἀξίοις.

Στίχ. ι', ια'. «Καὶ ἔτι ὀλίγον, καὶ οὐ μὴ ὑπάρξῃ ἁμαρτωλός.»

---

1. Α' Κορ. 2, 9.

Διερμηνεύει τὰ ἀνωτέρω λελεγμένα, τὸ μέν, «Ὅτι ὡσεὶ χόρτος ταχὺ ἀποξηρανθήσονται, καὶ ὡσεὶ λάχανα χλόης ταχὺ ἀποπεσοῦνται», διὰ τοῦ, «Ἔτι ὀλίγον, καὶ οὐ μὴ ὑπάρξῃ ὁ ἁμαρτωλός· καὶ ζητήσεις τὸν τόπον αὐτοῦ καὶ οὐ μὴ εὕρῃς·» τὸ δέ, «Κατατρύφησον τοῦ Κυρίου, καὶ δώσει σοι τὰ αἰτήματα τῆς καρδίας σου», σαφέστερον ἀποδίδωσι διὰ τοῦ, «Οἱ δὲ πραεῖς κληρονομήσουσι τὴν γῆν, καὶ κατατρυφήσουσιν ἐπὶ πλήθει εἰρήνης.» Πῶς γάρ τις κατατρυφήσει τοῦ Κυρίου παρίστησι, πλῆθος εἰρήνης παρ᾽ αὐτῷ εἶναι λέγων· οὗ πλήθους εἰρήνης ἀπολαύσουσιν οἱ τοῦ Κυρίου κατατρυφήσαντες. Διὰ τούτων δὲ ὁ λόγος σαφῶς ἑτέραν τινὰ γῆν ἀγαθὴν τὴν τοῖς πραέσι δοθησομένην διδάσκει, καὶ τρυφὴν καὶ πλῆθος εἰρήνης εἰς μέλλουσαν ἀναπέμπει ζωήν. Οὐ γὰρ ἠγνόει, ὅτι ὁμοίως τοῖς ἁμαρτωλοῖς κατὰ τὸν παρόντα βίον καὶ οἱ δίκαιοι τελευτήσουσιν, ὡς δύνασθαι καὶ περὶ αὐτῶν λέγεσθαι τό· Ἔτι ὀλίγον, καὶ οὐ μὴ ὑπάρξῃ ὁ δίκαιος, καὶ ζητήσεις τὸν τόπον αὐτοῦ, καὶ οὐ μὴ εὕρῃς· τελευτῶσι γὰρ ὁμοίως τοῖς ἁμαρτωλοῖς καὶ αὐτοί. Οὐκ ἂν δὲ εἶπε περὶ τῆς παρούσης γῆς τόδε· «Οἱ πραεῖς κληρονομήσουσι τὴν γῆν», σαφῶς ὁρῶν τῶν πάντων πραότατον Μωϋσέα, πάλαι ἐξ ἀνθρώπων γενόμενον καὶ τῆς παρούσης γῆς ἀπηλλαγμένον.

Στίχ. ιβ΄. «Παρατηρήσεται ὁ ἁμαρτωλὸς τὸν δίκαιον, καὶ βρύξει ἐπ᾽ αὐτὸν τοὺς ὀδόντας αὐτοῦ.»

Τῶν τε ἀσεβῶν τὰς κατὰ τῶν δικαίων ἐπαναστάσεις, καὶ ἀμφοτέρων τῶν ταγμάτων τὰ τέλη. Μὴ γὰρ ἀρκούμενος, φησί, τοῖς ἑαυτοῦ πλημμελήμασιν ὁ ἁμαρτωλός, οὐ φέρει βλέπων τὸν δίκαιον θεοσεβοῦντα· ἔλεγχον γὰρ τὸν ἐκείνου βίον τῆς ἑαυτοῦ μοχθηρίας ἡγεῖται· διὸ λέγει· Βαρὺς ἡμῖν ἐστι καὶ βλεπόμενος· ὅθεν ἐπιτηρεῖ ὅπως αὐτὸν καταβάλῃ. Ἀλλ᾽ ὁ μὲν δίκαιος οὐ προσποιεῖται, οὐδὲ γινώσκει τὰ λαθραίως κατ᾽ αὐτοῦ μηχανώμενα· ὁ δὲ παντεπόπτης Κύριος, προορῶν τὴν τοῦ ταῦτα διανοουμένου πτῶσιν, τῶν λογισμῶν αὐτοῦ καταγελᾷ. Καὶ τέως μὲν πλέον οὐδὲν ἢ γελᾷ ἐπ᾽ αὐτῷ μάτην τοιαῦτα λογιζομένῳ· ἐπειδὰν δ᾽ ἐπὶ τὰ ἔργα χωρῇ, ἀκονήσας ἑαυτοῦ τὰ ξίφη ὡς μέχρι θανάτου ἐπιβουλεῦσαι τῷ τὴν διὰ Θεὸν πτωχείαν καὶ πενίαν ἀνειληφότι, καὶ τὴν ἄκραν κατορθοῦντι φιλοσοφίαν, τὸ τηνικαῦτα στρέφει τὴν αὐτῶν ῥομφαίαν κατὰ τῆς αὐτῶν καρδίας ὁ πάλαι καταγελῶν αὐτῶν Κύριος, καὶ τὰ κατὰ τοῦ δικαίου τόξα τῶν ἀσεβῶν συντρίβει. Μετελεύσεται γὰρ αὐτούς· οὐδὲ ἔτι γελῶν ἐφ᾽ οἷς διανοοῦνται, ἀλλὰ τῇ δίκῃ τῇ προσηκούσῃ κατ᾽ αὐτῶν χρώμενος. Ταῦτα δέ, ὅτι μὴ λόγοι τυγχάνουσιν, ἀλλ᾽ ἔργα ἀληθῆ μαρτυρούμενα ὑπ᾽ αὐτῆς ἐνεργείας, καὶ ἡμῖν αὐτοῖς τοῖς ταῦτα νυνὶ διεξιοῦσιν ἡ πεῖρα τῶν ἔργων ἐπιστώσατο. Ὀφθαλμοῖς γοῦν παρειλήφαμεν, ὡς οἱ ἁμαρτωλοὶ ἐν τοῖς καθ᾽ ἡμῶν διωγμοῖς ῥομφαίαν ἐσπάσαντο κατὰ τῶν δικαίων, καὶ ὡς ἐνέτειναν τὰ τόξα αὐτῶν τοῦ καταβαλεῖν πένητα καὶ πτωχόν, καὶ τοῦ σφάξαι τοὺς εὐθεῖς τῇ καρδίᾳ, καὶ ὡς ἔπραξαν καὶ κατέβαλον

καὶ ἀνεῖλον ποικίλοις τρόποις θανάτων τοὺς κατὰ Θεὸν ἀνδρισαμένους ἁγίους μάρτυρας. Ὥσπερ δὲ ταῦτα ἱστορησάμενοι, οὕτω καὶ τὴν μετελθοῦσαν αὐτοὺς τοῦ Θεοῦ δίκην τεθεάμεθα, τοιαύτην γενομένην, ὡς μὴ ἁμαρτεῖν τὸν φήσαντα ἀληθῶς, τὴν ῥομφαίαν αὐτῶν εἰσεληλυθέναι εἰς τὴν καρδίαν αὐτῶν καὶ τὰ τόξα αὐτῶν συντετρῖφθαι.

Στίχ. ις'. «Κρεῖσσον ὀλίγον τῷ δικαίῳ.»

Οὐ προείρηται μόνον, ἀλλὰ δι' ἔργων ἀποπεπλήρωται, καὶ τὸν ἄλλον δὲ χρόνον. Ὁ μὲν δίκαιος πτωχεύων, ἀρκεῖται τῷ ὀλίγῳ, δεδιδαγμένος ἐν προσευχῇ λέγειν· «Τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον·[1]» ὁ δὲ ἁμαρτωλός, πλούτῳ περιρρεόμενος, ἀγαθοῦ τινος ἀπόλαυσιν νομίζει. Ἀλλ' ἐγώ, φησίν, εὖ οἶδα, διδάσκω δὲ καὶ ἑτέρους· ὅτι πολλῷ βελτίων ἐστὶν ὁ δίκαιος τὸν ἐφήμερον ἄρτον παρὰ τοῦ Θεοῦ λαμβάνων τοῦ τῶν ἁμαρτωλῶν πλούτου. Εἰ δ' ἐρωτᾷς, τὴν αἰτίαν μάνθανε· ὅτι ὁ μὲν ὀλίγῳ ἀρκούμενος ἔχει τὸν Κύριον ὑποστηρίζοντα αὐτοῦ τὴν ψυχὴν καὶ τὴν ζωὴν καὶ τὸν βίον, ὑπὲρ πάντα τε πλοῦτον ἐπαρκοῦντα αὐτῷ· οἱ δὲ τῶν ἁμαρτωλῶν βραχίονες οὐ διαμένουσιν ἰσχυροί, οὐδὲ ὁ πλοῦτος αὐτῶν βέβαιος· συντριβήσονται γὰρ ὅσον οὐδέπω γενόμενοι ὡσεὶ λάχανα χλόης καὶ ὡσεὶ χόρτος ἀποξηραινόμενοι.

Στίχ. ιη'-κ'. «Γινώσκει Κύριος τὰς ὁδοὺς τῶν ἀμώμων, καὶ ἡ κληρονομία αὐτῶν εἰς τὸν αἰῶνα ἔσται. Οὐ καταισχυνθήσονται ἐν καιρῷ πονηρῷ, καὶ ἐν ἡμέραις λιμοῦ χορτασθήσονται, ὅτι οἱ ἁμαρτωλοὶ ἀπολοῦνται.»

Ὅτι τοῦ δεξιοῦ τάγματος, λέγω δὲ τῶν δικαίων, οὐ μόνον ὑποστηρίζει ὁ Θεὸς τὴν ζωήν, ἀλλὰ καὶ τὰς περιμενούσας αὐτοὺς ἐν τῷ μέλλοντι αἰῶνι ἡμέρας ἀκριβῶς οἶδε, τήν τε ἡτοιμασμένην αὐτοῖς κληρονομίαν, περὶ ἧς ἀνωτέρω ἐλέχθη. Διὸ οὐδὲν αὐτοὺς καταβλάψει τὸ βραχύ, καὶ λυπηρὸν τοῦ παρόντος βίου, καὶ τὸ πένεσθαι καὶ πτωχεύειν διὰ τὸν Κύριον. Γυμνάσιον γὰρ αὐτῶν ἔστι τῆς προαιρέσεως ἡ καρτερία, δι' ἧς τὴν στενὴν καὶ τεθλιμμένην ὁδεύοντες, τεύξονται τῶν ἐπηγγελμένων. Ἀντὶ δὲ τοῦ, «γινώσκει», ὁ Σύμμαχος, «Προοῖδεν ὁ Κύριος τὰς ἡμέρας τῶν ἀμώμων», ἐξέδωκεν. Καὶ ἄλλο δὲ μέγα ὑπάρξει τούτοις· «ἐν» γὰρ «καιρῷ πονηρῷ οὐ καταισχυνθήσονται, καὶ ἐν ἡμέραις λιμοῦ χορτασθήσονται.» Καιρὸς δὲ πονηρός ἐστιν ὁ τῆς κατὰ τῶν ἀσεβῶν ὀργῆς, ἐν ᾧ οἱ μὲν τῆς δικαιοκρισίας τοῦ Θεοῦ πειρασθήσονται, οἱ δὲ τοῦ δεξιοῦ τάγματος ἀπολείψονται δόξαν καὶ τιμὴν καὶ ἀφθαρσίαν, ζητοῦντες ζωὴν αἰώνιον. Οὐ μὴν ἀλλὰ καὶ κατὰ τὸν ἐστῶτα καιρόν, οἱ μὲν δίκαιοι τῆς ἐνθέου τροφῆς ἀπολαύοντες χορτασθήσονται· οἱ δὲ ἁμαρτωλοὶ λιμῷ καὶ ἐνδείᾳ λογικῆς τροφῆς ἀπολοῦνται. Τίς δὲ ὀφθαλμοῖς παραλαβὼν τοὺς καθ' ἡμᾶς ἀσεβεῖς πλούτῳ καὶ δόξῃ καὶ ἀξιώμασι θαυμασθέντας, μεγάλων τε ἐθνῶν ἄρξαντας,

1. Λουκ. 11, 3.

ἀθρόως ἐκπεσόντας τοῦ ὑψώματος, οὐκ ἂν ὁμολογήσειεν ἀληθῆ τυγχάνειν τὸ φῆσαν λόγιον· «Οἱ δ' ἐχθροὶ τοῦ Θεοῦ ἅμα τῷ δοξασθῆναι αὐτοὺς καὶ ἐπαρθῆναι ἐκλιπόντες ὡσεὶ καπνὸς ἐξέλιπον.» Καπνὸς δὲ πυρὸς σβεσθέντος σημεῖον· διὸ καὶ τούτους καιρῷ φλέξαντας πυρὸς δίκην, κἄπειτα ἀποσβεσθέντας, ὁμοίως ἐν τῷ παραδείγματι.

Στίχ. κα', κβ'. «Δανείζεται ὁ ἁμαρτωλός, καὶ οὐκ ἀποτίσει· ὁ δὲ δίκαιος οἰκτείρει καὶ διδοῖ.»

Μηδὲν κεκτημένος, παρὰ τοῦ δικαίου πολλάκις δανειζόμενος λόγους ὠφελίμους καὶ σωτηρίους, ἢ παρὰ τοῦ Θεοῦ εὐεργεσίας τυγχάνων, οὐκ ἀποτίννυσι τὴν ὀφειλήν. Δέον γὰρ ὠφεληθέντα, ἔργα καὶ πράξεις παρασχεῖν ἀξίας ὧν εἴληφεν. Ὁ δὲ οὐκ ἀποτίννυσιν, μένει δὲ ἄκαρπος τῶν τῆς δικαιοσύνης ἔργων. Ὁ δὲ δίκαιος, πλουτῶν ἐν τῷ κατὰ Θεὸν πλούτῳ, οἰκτείρει καὶ παρέχει τοῖς δεομένοις. Ἀλλὰ καὶ οἱ τὸν δίκαιον εὐλογοῦντες συγκληρονόμοι αὐτοῦ γενήσονται. Ἣν γὰρ ἐπηγγείλατο ἀνωτέραν τοῖς δικαίοις κληρονομίαν ὁ λόγος, ταύτην αὐτὴν καὶ τοῖς εὐλογοῦσι τὸν δίκαιον ὑπισχνεῖται, ἀκολούθως τῷ πρὸς τὸν Ἀβραὰμ χρησμῷ φήσαντι· «Καὶ εὐλογήσω τοὺς εὐλογοῦντάς σε.[1]» Τὸ δέ, «Καὶ οἱ καταρώμενοι αὐτὸν ἐξολοθρευθήσονται», ὅμοιον ἂν εἴη τῷ λελεγμένῳ πρὸς τὸν Ἀβραάμ· «Καὶ τοὺς καταρωμένους σε καταράσομαι.[2]» Ὥσπερ γὰρ ὁ βάλλων λίθον εἰς ὕψος ἐπὶ τὴν κεφαλὴν ἑαυτοῦ βάλλει, οὕτως ὁ κατάραις βάλλων τὸν δίκαιον, διὰ τὸ μὴ δύνασθαι κατάραν ἵστασθαι κατ' αὐτοῦ, ἀντιστρέφουσαν αὐτὴν εἰς ἑαυτὸν λήψεται.

Στίχ. κγ', κδ'. «Παρὰ Κυρίου τὰ διαβήματα ἀνθρώπου κατευθύνεται.»

Πρὸς τοῖς εἰρημένοις καὶ ταῦτα ὑπάρχει τῷ τοῦ Θεοῦ ἀνθρώπῳ· τὰς ὁδοὺς αὐτοῦ ἐξομαλίζει ὁ Θεός, ὥστε εὐροεῖν αὐτοῦ τὸν βίον, καὶ ἀπαραποδίστως θεοσεβεῖν, μηδενὸς ὑποσκελίζοντος διὰ τὸν κατευθύνοντα αὐτοῦ τὰ διαβήματα, «καὶ τὴν ὁδὸν αὐτοῦ θελήσει», ἀποδοχῆς ἀξίαν ποιοῦντα· ὥστε λέγεσθαι, «Καὶ τὴν ὁδὸν αὐτοῦ θελήσει. Ὅταν πέσῃ οὐ καταρραχθήσεται, ὅτι Κύριος ἀντιστηρίζει χεῖρα αὐτοῦ.» Εἰ δὲ καὶ πεσεῖν αὐτόν ποτε ὀλισθήσαντα συμβῇ, καὶ ἐν πειρασμῷ γενόμενος ὀλισθήσειεν, ὀκλάσας τε ὑποπέσοι τινὶ ἁμαρτήματι, ἀλλ' οὐ καταρραχθήσεται· οἷα δὲ γενναῖος ἀθλητὴς ἐκβιασθεὶς καὶ πρὸς ὀλίγον ἐνδούς, παραχρῆμα ἑαυτὸν ἀναλήψεται.

Στίχ. κε', κς'. «Νεώτερος ἐγενόμην, καὶ γὰρ ἐγήρασα, καὶ οὐκ εἶδον δίκαιον ἐγκαταλελειμμένον, οὐδὲ τὸ σπέρμα αὐτοῦ ζητοῦν ἄρτους.»

Ἀλλ' ἐκ παίδων μέχρι γήρως τὸν τοῦ δικαίου περιεργασάμενος βίον. Ὅτι οὐδὲ εἷς γέγονε καιρὸς καθ' ὃν ἔρημος καταλέλειπται ὁ δίκαιος, ἀεὶ δὲ πάρεδρον καὶ βοηθὸν κέκτηται τὸν ἑαυτοῦ Κύριον.

1. Γεν. 12, 3. 2. Γεν. 12, 3.

Διό φησιν· «Νεώτερος ἐγενόμην», ἢ κατὰ τὸν Σύμμαχον, «νέος ἐγενόμην, ἀλλὰ καὶ ἐγήρασα, καὶ οὐκ εἶδον δίκαιον ἐγκαταλελειμμένον, οὐδὲ τὸ σπέρμα αὐτοῦ ζητοῦν ἄρτους.» Καὶ πῶς γὰρ οἷόν τε ἦν τὸ σπέρμα τοῦ δικαίου ἐνδεὲς ἄρτων γενέσθαι, ὁπότε αὐτὸς διὰ τὸν παρὰ τοῦ Θεοῦ χορηγούμενον αὐτῷ πλοῦτον «ὅλην τὴν ἡμέραν ἐλεεῖ καὶ δανείζει;» Νοήσεις δὲ τοῦτο κατὰ μὲν τὴν διάνοιαν μαθών, ὅτι, τάλαντα λαβὼν παρὰ τοῦ οἰκοδεσπότου καὶ τὴν μνᾶν τὴν παρὰ τοῦ Κυρίου, τῇ τούτων χρῆται πραγματείᾳ πειθαρχῶν τῷ φήσαντι· «Ἔδει σε τὸ ἀργύριόν μου βαλεῖν εἰς τράπεζαν.[1] Τὰ λόγια Κυρίου λόγια ἁγνά, ἀργύριον πεπυρωμένον, δοκίμιον τῇ γῇ.[2]» Ὁ τοίνυν ἀνακείμενος τῇ τῶν θείων ἀσκήσει λόγων, καὶ πολλὰ λογικὰ χρήματα συναγαγών, οὐδὲν ἕτερον οἶδε πράττειν, ἢ διὰ πάσης ἡμέρας ἐλεεῖν καὶ δανείζειν. Κατὰ δὲ τὸν Ἀκύλαν, «ὅλην τὴν ἡμέραν δωρεῖται καὶ δανείζει·» τοῖς μὲν δωρεῖται, τοῖς δὲ δανείζει· τὰ μὲν δόγματα θεωρήματα δωρεῖται ταῖς τῶν χωρούντων ψυχαῖς· τὰ δ' ἐν ἠθικαῖς ἐντολαῖς δανείζει, ἐπὶ τῷ τοὺς εἰληφότας δι' ἔργων τὸν καρπὸν ἀποδοῦναι τοῦ δάνους. Οὕτως ἀκούσῃ καὶ Μωϋσέως ἐπαγγελλομένου τοῖς τῶν θείων νόμων φύλαξιν· τό, «Δανιεῖς ἔθνεσι πολλοῖς, σὺ δὲ οὐ δανιεῖ.[3]» Καὶ τοῦτόν γε τὸν τρόπον οἱ θεῖοι ἀπόστολοι ἐδάνειζον ἔθνεσι πολλοῖς, καὶ μάλιστά γε ὁ Παῦλος· καὶ διὰ τοῦτο οἱ μαθητευόμενοι αὐτοῖς, σπέρμα ὄντες αὐτῶν, οὐδεπώποτε ἐνδεεῖς ἦσαν ἄρτων· ἅτε δὴ ἔχοντες τοὺς χορηγοῦντας αὐτοῖς τὴν λογικὴν τροφήν, ἧς μεταλαμβάνοντες, εὐλογίαις ἐπληροῦντο. Διὸ λέλεκται· «Καὶ τὸ σπέρμα αὐτοῦ εἰς εὐλογίαν ἔσται.» Καὶ κατὰ ψιλὴν δὲ τὴν λέξιν, εἴ τις λογίσαιτο ὅπως εἴρηται τῷ Σωτῆρι τό, «Καὶ ἐν τῷ αἰῶνι τούτῳ ἑκατονταπλασίονα λήψεται[4]», ἔργοις τε αὐτοῖς θεάσαιτο πληρούμενον τὸν λόγον διὰ τῶν αὐτοῦ μαθητῶν, ὄψεται πῶς ὁ δίκαιος ὅλην τὴν ἡμέραν ἐλεεῖ καὶ δανείζει. Εἰ γὰρ πάντων τῶν πιστευόντων ἦν ἡ ψυχὴ καὶ ἡ καρδία μία, καὶ οὐδεὶς ἔλεγεν ἴδιόν τι ἑαυτοῦ εἶναι, ἀλλ' ἦν πάντα κοινά, ὅσοι τε ἦσαν κύριοι κτημάτων πιπράσκοντες ἐτίθεσαν παρὰ τοὺς πόδας τῶν ἀποστόλων[5], διεμέριζόν τε ἑκάστῳ, καθότι ἄν τις χρείαν εἶχε· δῆλον ὅπως ὅλην τὴν ἡμέραν οὗτοι ἠλέουν καὶ ἐδάνειζον.

Στίχ. κζ'-κθ'. «Ἔκκλινον ἀπὸ κακοῦ, καὶ ποίησον ἀγαθόν.»

Ἐλευθερώσας σεαυτὸν πάσης κακίας, ἐπὶ σοὶ γάρ ἐστι τοῦτο, καὶ βουληθεὶς δυνήσῃ· οὐ μὴν ἤδη τέλειος ἔσῃ τοῦτο πράξας, εἰ μὴ καὶ τὸ δεύτερόν σοι παρείη· τοῦτο δ' ἐστὶ τὸ ἐργάζεσθαι τὸ ἀγαθόν. Πρὸς γὰρ τὸ μὴ κλέπτειν προσήκει σε καὶ τῶν σῶν ὑπαρχόντων τοῖς δεομένοις κοινωνεῖν· καὶ πρὸς τὸ μὴ πλεονεκτεῖν, ἕτερον, τὸ καὶ εὐεργετεῖν τοὺς δεομένους· καὶ πρὸς τὸ κακίας ἀπέχεσθαι, τὸ

---

1. Λουκ. 19, 23. 2. Ψαλμ. 11, 7. 3. Δευτ. 15, 6. 4. Ματθ. 19, 29. 5. Πράξ. 4, 32-35.

καὶ ἑτέρους ἀπὸ κακίας ῥύεσθαι. Ἐὰν δὲ ταῦτα ποιήσῃς «κατασκήνου», φησίν, «εἰς αἰῶνα αἰῶνος.» Ἀνθ' οὗ ὁ Σύμμαχος ἐξέδωκε, «Καὶ ἠρεμήσεις εἰς αἰῶνα.» Τοῦτο γὰρ περιμένει σε τὸ τέλος τῆς αἰωνίου ζωῆς. Κριτικὸς γὰρ ὢν ὁ Κύριος «ἀγαπᾷ κρίσιν, καὶ οὐκ ἐγκαταλείψει τοὺς ὁσίους αὐτοῦ», ἀλλ' εἰς τὸν αἰῶνα αὐτοὺς διαφυλάξει. «Ἄνομοι ἐκδικηθήσονται, καὶ σπέρμα ἀσεβῶν ἐξολοθρευθήσεται. Δίκαιοι δὲ κληρονομήσουσι τὴν γῆν, καὶ κατασκηνώσουσιν εἰς αἰῶνα αἰῶνος ἐπ' αὐτῆς·» ἀκολούθως τοῖς προειρημένοις διδάσκει, ὅτι οἱ μὴ τὸ παράγγελμα φυλάξαντες ἄνομοι δίκην δώσουσιν αἰώνιον· καὶ ὥσπερ τοῦ δικαίου τὸ σπέρμα εἰς εὐλογίαν ἔσεσθαι ἐλέγετο, οὕτως «τῶν ἀσεβῶν τὸ σπέρμα ἐξολοθρευθήσεται.» Οἱ δὲ δίκαιοι τὴν ἐπηγγελμένην τοῖς πραέσι κληρονομήσουσι γῆν, καὶ κατασκηνώσουσιν ἐν αὐτῇ εἰς αἰῶνα αἰῶνος. Ἐπίτηδες δὲ ταῦτα πολλάκις ἐπαγγέλλεται ὁ λόγος, βεβαιῶν διὰ τῆς ἐπαναλήψεως τὰς ὑποσχέσεις, ἡμᾶς τε βουλόμενος ἐνδιατρίβειν τοῖς αὐτοῖς λόγοις καὶ καταμελετᾶν αὐτούς, ὡσανεὶ τροφὴν λογικὴν μασωμένους, εἰς ἀνάδοσιν τῆς κατὰ τὴν ψυχὴν ἡμῶν εὐπεψίας.

Στίχ. λ'-λγ'. «Στόμα δικαίου μελετήσει σοφίαν, καὶ ἡ γλῶσσα αὐτοῦ λαλήσει κρίσιν. Ὁ νόμος τοῦ Θεοῦ αὐτοῦ ἐν καρδίᾳ αὐτοῦ, καὶ οὐχ ὑποσκελισθήσεται τὰ διαβήματα αὐτοῦ. Κατανοεῖ ὁ ἁμαρτωλὸς τὸν δίκαιον, καὶ ζητεῖ τοῦ θανατῶσαι αὐτόν. Ὁ δὲ Κύριος οὐ μὴ ἐγκαταλίπῃ αὐτὸν εἰς τὰς χεῖρας αὐτοῦ, οὐδ' οὐ μὴ καταδικάσηται αὐτὸν ὅταν κρίνηται αὐτῷ.»

Ἐπιμένων τῇ τοῦ λόγου προτροπῇ, ζηλωτὰς ἡμᾶς γίνεσθαι τοῦ δικαίου παρορμᾷ, τὸν πλοῦτον αὐτοῦ καταριθμούμενος. Πρὸς γὰρ τοῖς εἰρημένοις ἔτι καὶ ταῦτα αὐτῷ πρόσεστι· κεχάρισται αὐτῷ μέγα δῶρον ὁ Θεὸς ἀνθρώπῳ ὄντι, τῆς ἀληθοῦς σοφίας τὴν γνῶσιν. Σοφία μὲν γάρ ἐστι θείων καὶ ἀνθρωπείων ἐπιστήμη, καὶ δι' ἧς πάντα γέγονε· πάντα γὰρ ἐν σοφίᾳ ἐποίησε.[1] Καὶ αὕτη ἐστὶν ὁ ἐν ἀρχῇ πρὸς τὸν Θεὸν Θεὸς Λόγος, δι' οὗ τὰ πάντα ἐγένετο.[2] Ταύτης οὖν φωνὰς καὶ λόγους καὶ μαθήματα ὁ Θεὸς εἰς ἀνθρώπους κατεβάλετο, ὡς ἂν μὴ ἀργὸς εἴη ὁ δίκαιος, μηδὲ ἄπρακτος καὶ ἔρημος ἀγαθῶν· ἔχοι δὲ ἅμα στόμα τῆς οὐρανίου σοφίας τὴν μελέτην· ἧς μεταλαμβάνων ὥσπερ οὐρανίου τροφῆς, τὴν ψυχὴν πρῶτος αὐτὸς δυναμοῦται, εἶτα καὶ ἑτέροις χορηγεῖ. Διὸ λέλεκται· «Στόμα δικαίου μελετήσει σοφίαν, καὶ ἡ γλῶσσα αὐτοῦ λαλήσει κρίσιν.» Εἰδὼς δὲ ὅτι ὁ νόμος τοῦ Θεοῦ πνευματικός ἐστι, συνήδεται δὲ τῷ νόμῳ τοῦ Θεοῦ κατὰ τὸν ἔσω ἄνθρωπον, ἐν αὐτῇ τῇ καρδίᾳ αὐτοῦ τὴν θεωρίαν τοῦ νόμου καὶ τὸ βάθος τῶν ἐν αὐτῷ μυστηρίων ὑποδέδεκται· διὰ δὲ ταύτην τὴν ἄσκησιν «οὐχ ὑποσκελισθήσεται τὰ διαβήματα αὐτοῦ·» ἐπειδὴ παρὰ Κυρίου τὰ διαβήματα αὐτοῦ κατευθύνεσθαι, καὶ διὰ τῶν ἀνωτέρω ἐλέλεκτο.

1. Ψαλμ. 103, 24. 2. Ἰω. 1, 1-3.

Εἰ δὲ καί ποτε ἁμαρτωλὸς διαφθονούμενος τῇ αὐτοῦ προκοπῇ ἐπιβουλεύσειεν αὐτῷ εἰς θάνατον, ἄφρων οὗτος λεχθήσεται ἀδυνάτοις ἐπιχειρῶν. Ὁ γὰρ μέγας αὐτοῦ προστάτης «οὐ μὴ ἐγκαταλίπῃ αὐτὸν εἰς τὰς χεῖρας αὐτοῦ, οὐδ' οὐ μὴ καταδικάσῃ αὐτὸν ἐν τῷ κρίνεσθαι αὐτῷ.» Ὁ δὲ Σύμμαχος, «Οὐδὲ καταδικάσει κρινόμενον.»

Στίχ. λε΄-λζ΄. «Εἶδον τὸν ἀσεβῆ ὑπερυψούμενον, καὶ ἐπαιρόμενον ὡς τὰς κέδρους τοῦ Λιβάνου.»

Οὕτως ἐπὶ τοῦ παρόντος διὰ πείρας ἐληλυθέναι τοῦ τέλους τῶν ἀσεβῶν φησιν· Οὐ γὰρ ἐξ ἀκοῆς πάλαι ποτὲ γενόμενα ἑτέρων λεγόντων ἀκήκοα· ἀλλ' αὐτὸς εἶδον, φησί, βλασφήμους ἄνδρας καὶ ἀθέους θαυμαζομένους μὲν ὑπὸ πάντων, ἐπαιρομένους δὲ καὶ γαυριῶντας, οἰομένους τε διαιωνίζειν ἐν τῷ βίῳ. Ἀλλ' ὡς ἔτι παρ' ἐμαυτῷ διελογιζόμην πῶς οἶδε, καίπερ ἀσεβεῖς ὄντες, τοσούτων τετυχήκασι, δεύτερον αὐτοὺς θεάσασθαι βουληθείς, ἐπῆρα τοὺς ὀφθαλμούς· οἱ δὲ οὐκ ἦσαν οὐδαμοῦ, ἀφανεῖς δ' ἀθρόως ὑπῆρχον. Εἶτα δὲ ἴχνος αὐτῶν καὶ ὑπόλειμμα βουληθεὶς καταλαβεῖν, οὐδὲ τὸν τόπον ἐν ᾧ ἑστάναι ἐδόκουν εὑρεῖν δεδύνημαι. Διόπερ ἐπειδὴ τοιοῦτο τὸ τούτων τέλος, φεῦγε σὺ ὁ μαθητευόμενος τοῦτον τῶν ἀσεβῶν τὸν τρόπον, καὶ ἀπόψινον μὲν ἑαυτοῦ πᾶσαν κακίαν, ἀγάπησον δὲ τὴν εὐθεῖαν ὁδόν. Μένει γὰρ ἐγκατάλειμμα καὶ ἐλπὶς ἀγαθή, τῷ τὴν εἰρήνην καὶ τὴν φιλίαν τὴν πρὸς τὸν Θεὸν μεταδιώξαντι, καὶ διὰ τοῦτο εἰρηνικῷ ἀνθρώπῳ γενομένῳ. Κατὰ δὲ τὸν Σύμμαχον, «Φύλασσε», φησίν, «ἁπλότητα, καὶ ὅρα εὐθύ, ὅτι ἔστι μέλλοντα ἀνθρώπῳ εἰρηνικῷ.»

ΨΑΛΜΟΣ ΤΩ ΔΑΥΙΔ ΛΖ΄.

Εἰς ἀνάμνησιν.

Στίχ. β΄. «Κύριε, μὴ τῷ θυμῷ ἐλέγξῃς με, μηδὲ τῇ ὀργῇ σου παιδεύσῃς με.»

Αὐτοῖς ῥήμασι καὶ αὐταῖς συλλαβαῖς καὶ ὁ ς΄ ψαλμὸς τούτῳ παραπλησίως ἄρχεται, καὶ τὰ λοιπὰ δὲ τοῦ ἕκτου τοῖς ἐν τῷ προκειμένῳ φερομένοις συγγενῆ τυγχάνει. Ἀλλ' ἐν μὲν τῷ ἕκτῳ ἡ προγραφὴ περιεῖχεν· «Εἰς τὸ τέλος ἐν ὕμνοις ὑπὲρ τῆς ὀγδόης ψαλμὸς τῷ Δαυΐδ·» ἐν δὲ τῷ παρόντι τούτων μὲν οὐδέν, μόνον δὲ «τὸν ψαλμὸν τῷ Δαυΐδ εἰς ἀνάμνησιν» δέδεικται. Ἥ γε μὴν προσθήκη ἡ, «εἰς ἀνάμνησιν», ἔοικεν ἀναπέμπειν ἡμᾶς εἰς τὴν ἐν τῷ ἕκτῳ προγραφήν, ὥστ' εἶναι τὰ παρόντα «εἰς τὸ τέλος», καί, «ἐν ὕμνοις», καὶ «ὑπὲρ τῆς ὀγδόης·» πάντων γὰρ ἂν εἴη τούτων παραστατικὸν τό, «εἰς ἀνάμνησιν.» Ἀλλ' ἐπεὶ διεξιόντες τὰ ἐν τῷ ἕκτῳ, τὰ ὑποπεσόντα εἰς τὴν προγραφὴν εἰρήκαμεν, «εἰς τὴν» ἐκείνων «ἀνάμνησιν» καὶ ἡμεῖς ἀναπέμψομεν τὸν ἐντυγχάνοντα. Δοκεῖ δέ μοι ὁ Δαυΐδ, διαφόρως ἐν πολλοῖς περὶ τοῦ πραχθέντος αὐτῷ πλημμελήματος ἐξομολογησάμενος, ἰδίως τὸν παρόντα ψαλμὸν ἀφωρικέναι ἑαυτῷ «εἰς ἀνάμνησιν», ὡς ἀεὶ καὶ διὰ

παντὸς φέρειν αὐτὸ ἀνὰ στόμα. Κεχρῆσθαι δὲ αὐτῷ ἀντὶ ἐπῳδῆς ἐπὶ θεραπείᾳ τῆς αὐτοῦ ψυχῆς. Ἱκετηρίαν γοῦν ἀναπέμπει τῷ Θεῷ, δι' ἧς ἀποστρέφει μὲν τὴν ὀργὴν τὴν πᾶσι τοῖς ἁμαρτάνουσιν ἐπηρτημένην, ἱλάσκεται δὲ τὸν ἀγαθὸν Κύριον ταῖς μεθ' ὑπερβαλλούσης ἐξομολογήσεως φωναῖς. Λέγων δέ· «Κύριε, μὴ τῷ θυμῷ σου ἐλέγξῃς με», οὐ τὸν ἔλεγχον παραιτεῖται, ἀλλὰ τὸν μετὰ θυμοῦ· οὐδὲ τὸ παιδευθῆναι φεύγει, ἀλλὰ τὸ μετὰ ὀργῆς· ὡσεὶ καὶ ἰατρῷ τις τὰ διὰ καυτῆρος καὶ σιδήρου καὶ πικρῶν ἀντιδότων προσφέροντι βοηθήματα ἐπὶ θεραπείᾳ πάθους ὑποκείμενος λέγοι· Μὴ διὰ πυρός με θεραπεύσῃς, μηδὲ διὰ σιδήρου καὶ τομῶν, ἀλλὰ διὰ ἠπίων καὶ πραοτέρων φαρμάκων. Ὁ γὰρ τοιοῦτος οὐ τὴν θεραπείαν ἀρνεῖται, ἀλλὰ τὸν ἐπίπονον τρόπον τῶν βοηθημάτων. Πολλάκις δὲ εἴρηται, ὡς ὀργὴ καὶ θυμὸς Θεοῦ λεγόμενα ἐν ταῖς θεοπνεύστοις Γραφαῖς οὐ πάθη περὶ τὸν Θεὸν σημαίνει, παντὸς γὰρ πάθους ἀλλότριον τὸ Θεῖον· κατὰ μεταφορὰν δὲ τὰ τοιαῦτα εἴωθεν ὀνομάζειν ὁ τῆς Γραφῆς λόγος, ὡς καὶ ὀφθαλμοὺς Θεοῦ, καὶ ὦτα καὶ χεῖρας καὶ δακτύλους, καὶ πόδας καὶ τὰ λοιπὰ μέλη· ἅπερ ὡς πρὸς ἀνθρώπους χρησίμως οἰκονομεῖται, συγκατιὼν τῇ τῶν ἀκροωμένων νηπιότητι. Οὕτως οὖν καὶ τὰς ἐπαγομένας τιμωρίας τοῖς ἁμαρτάνουσι κατὰ Θεοῦ κρίσιν, σκυθρωπὰς οὔσας καὶ ἀλγεινὰς τοῖς πάσχουσιν, ὡσανεὶ ἐξ ὀργῆς καὶ θυμοῦ ἐπαγομένας ὑποτυποῦται. Τοῦτο γοῦν διδάσκει καὶ ὁ ἱερὸς Ἀπόστολος λέγων· «Κατὰ δὲ τὴν σκληρότητά σου καὶ ἀμετανόητον καρδίαν θησαυρίζεις σεαυτῷ ὀργὴν ἐν ἡμέρᾳ ὀργῆς καὶ ἀποκαλύψεως καὶ δικαιοκρισίας τοῦ Θεοῦ, ὃς ἀποδώσει ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ.[1]» ὡς εἴ τις καὶ τὰς ἐκ τοῦ νόμου τῷ ἀνδροφόνῳ ἐπηρτημένας κολάσεις ὀργὴν καὶ θυμὸν ὀνομάζοι· οὐκ ἀληθῶς τοῦ νόμου θυμουμένου καὶ ὀργιζομένου, τοῦ δὲ κολαζομένου ὀργὴν τοῦ νόμου τὴν τιμωρίαν ὑπειληφότος. Ἤδη δὲ καὶ οἱ τὰς κολάσεις διακονούμενοι κατὰ τῶν ἀσεβῶν πονηροὶ δαίμονες, αἵ τε ὑπηρετικαὶ δυνάμεις τοῦ Θεοῦ αἱ τοιαίδε, ὀργὴ καὶ θυμὸς ὠνομάσθησαν. Οὕτω γοῦν εἴρηται ἐν τῷ περὶ τῆς δεκαπλήγου τῆς κατ' Αἰγυπτίων ἐπαχθείσης λόγῳ τό· «Ἀπέστειλεν ἐπ' αὐτοὺς θυμὸν καὶ ὀργήν, ἀποστολὴν δι' ἀγγέλων πονηρῶν.[2]» Οὕτω δεξιὰ λέλεκται Θεοῦ τὸ διὰ τῶν δεξιῶν καὶ ἀγαθῶν δυνάμεων τοῖς ἀξίοις χορηγούμενα. Ἱκετεύει τοίνυν ὁ Δαυῒδ μὴ διὰ πονηρῶν δυνάμεων ἐλεγχθῆναι, μηδὲ δι' ἀποστολῆς ἀγγέλων σκυθρωπῶν παιδευθῆναι· διὰ λόγων δὲ σωτηρίων, καὶ μαθημάτων ὠφελίμων καὶ ἄλλως δὲ ἀντιβολεῖ μὴ τηρηθῆναι εἰς ἡμέραν ὀργῆς καὶ ἀποκαλύψεως καὶ δικαιοκρισίας τοῦ Θεοῦ, ἤδη δὲ ἐντεῦθεν κατὰ τὸν παρόντα βίον πρὸ τῆς τελευτῆς ἀπολούσασθαι τὰ ἁμαρτήματα· καὶ ἔτυχέ γε τοῦ σκοποῦ. Φαίνεται γοῦν δίκην δεδωκώς, δι' ὧν ἔπαθε πρὸ τῆς τελευτῆς, ὡς ἐκ τῆς ἱστορίας τῶν Βασιλειῶν μεμαθήκαμεν. Καὶ ἄλλως δὲ αὐτὸς ἑαυτὸν ἐτιμωρεῖτο παντοίαις

1. Ῥωμ. 2, 5-6. 2. Ψαλμ. 77, 49.

ὑποβάλλων κακώσεσιν ἐν τοῖς τῆς ἐξομολογήσεως τρόποις. Καὶ ἄλλως δέ φησιν· εἰ πέπρακταί μοι τοιοῦτον ἐφ' εἰς ἄξιον ὑπὸ θυμοῦ ἐλεχθῆναι, ἀλλά γε μετανοήσας παρακαλῶ ὑπὸ λόγου, καὶ μὴ ὑπὸ θυμοῦ ἐλεγχθῆναι, καὶ ὑπὸ διδασκαλίας, καὶ μὴ ὑπὸ ὀργῆς παιδευθῆναι.

Στίχ. γ'. «Ὅτι τὰ βέλη σου ἐνεπάγησάν μοι.»

Ὁ μὲν γὰρ ἀθλητὴς Ἰώβ, παντοίους ὑπομείνας πειρασμούς, οὐκ ἠγνόει πόθεν αὐτῷ ταῦτ' ἐγίνετο· διὸ ἔλεγεν· «Βέλη γὰρ Κυρίου ἐν τῷ στόματί μού εἰσιν, ὧν ὁ θυμὸς αὐτῶν ἐκπίνει μου τὸ αἷμα.[1]» Ὁ δὲ Δαυΐδ, οὐ τὸ σῶμα πληγεὶς ὁμοίως τῷ Ἰώβ, αὐτὴν δὲ τὴν ψυχὴν καιρίαν τρωθείς, οὐχ ὁμοίως τῷ Ἰὼβ φάσκει· «Βέλη γὰρ Κυρίου ἐν τῷ στόματί μου ἐστίν·» ἀλλ', «Ὅτι τὰ βέλη σου ἐνεπάγησάν μοι, καὶ ἐπεστήριξας ἐπ' ἐμὲ τὴν χεῖρά σου.» Ὁ δὲ μνημονεύει τῆς χειρὸς Κυρίου λέγων· «Χεὶρ γὰρ Κυρίου ἐστὶν ἡ ἁψαμένη μου.[2]» Καὶ ὁ διάβολος τῷ Κυρίῳ, «Ἀπόστειλον τὴν χεῖρά σου καὶ ἅψαι πάντων ὧν ἔχει[3]», ἔφασκε· καὶ πάλιν· «Ἀπόστειλον τὴν χεῖρά σου, καὶ ἅψαι τῶν σαρκῶν αὐτοῦ καὶ τῶν ὀστέων αὐτοῦ.[4]» Ἀλλ' ἑτέρα τις ἦν χεὶρ καὶ ἕτερα βέλη τῶν σαρκῶν αὐτοῦ τὰ καθικόμενα καὶ τῶν σωματικῶν ὑπαρχόντων· ἐνταῦθα δ' ἐπειδήπερ τὴν ψυχὴν αὐτὴν νενόσηκεν ὁ Δαυΐδ, ἕτερα βέλη καθικέσθαι αὐτοῦ σημαίνει, καὶ ἑτέραν χεῖρα τοῦ Θεοῦ ἧφθαι αὐτοῦ, καθὰ ἔφθημεν εἰπόντες, τὰ λογικὰ βέλη, μᾶλλον δὲ αὐτοὺς τοῦ Θεοῦ λόγους νύττοντας αὐτοῦ τὴν ψυχήν, καὶ τὴν συνείδησιν αὐτὴν τιμωρουμένους. Μήποτε δὲ καὶ αὐτὸν τὸν διάβολον καὶ τὰ τοῦ διαβόλου πεπυρωμένα βέλη τὰ παθητικὰ καὶ ἐρωτικὰ τὰ εἰς ἐπιθυμίαν αὐτὸν ἐξάψαντα τῆς τοῦ Οὐρίου γυναικὸς σημαίνει; ὧν καὶ ὁ Ἀπόστολος διδάσκει λέγων· «Ἀναλάβετε τὴν πανοπλίαν τοῦ Θεοῦ, πρὸς τὸ δύνασθαι πάντα τὰ πεπυρωμένα βέλη τοῦ πονηροῦ σβέσαι.[5]» Ὥσπερ δὲ Ἰὼβ τὰ τοῦ διαβόλου βέλη καὶ τὰ ἕλκη τὰ ἐπιτεθέντα αὐτῷ κατὰ τοῦ σώματος, ἐπειδὴ κατὰ συγχώρησιν ἐγίνετο τοῦ Θεοῦ, βέλη Κυρίου ὠνόμασεν εἰπών· «Βέλη γὰρ Κυρίου ἐν τῷ στόματί μου ἐστίν, ὧν ὁ θυμὸς αὐτῶν ἐκπίνει μου τὸ αἷμα·[6]» οὕτως εἰκὸς καὶ τὸν Δαυΐδ ἐνταῦθα βέλη Κυρίου εἰρηκέναι, ἐπεὶ κατὰ συγχώρησιν τοῦ Κυρίου κατεστρατεύσατο αὐτοῦ ὁ ἀντίπαλος, ἵνα μάθῃ μὴ λέγειν· «Οὐ μὴ σαλευθῶ εἰς τὸν αἰῶνα.[7]» Ἐπεὶ γὰρ τῇ χάριτι τοῦ Θεοῦ δυναμούμενος μέγα ἐφ' ἑαυτῷ ἐφρόνησέ ποτε, ὡς ἀπαυθαδίσασθαι καὶ εἰπεῖν· «Ἐγὼ δὲ εἶπα ἐν τῇ εὐθηνίᾳ μου· Οὐ μὴ σαλευθῶ εἰς τὸν αἰῶνα·[8]» τούτου χάριν εἰκότως παρεδόθη τῷ πειράζοντι, ὅς, τῆς ψυχῆς αὐτοῦ καθαψάμενος, μειζόνως αὐτὸν ἢ τὸν Ἰὼβ ἐζημίωσεν. Εἰ δὲ οἱ λόγοι τοῦ Θεοῦ, οἱ τῆς δικαιοκρισίας αὐτοῦ ὑπομνηστικοὶ καὶ τῆς ὀργῆς τῆς τοῖς ἁμαρτάνουσιν ἐπηρτημένης διδασκαλικοί, βελῶν εἰσιν ὀξύτεροι, τὴν συνείδησιν νύττοντες· καὶ οὕτως εἴποις

1. Ἰὼβ 6, 4. 2. Ἰὼβ 19, 21. 3. Ἰὼβ 1, 11. 4. Ἰὼβ 2, 5. 5. Ἐφ. 6, 13. 6. Ἰὼβ 6, 4. 7. Ψαλμ. 29, 7. 8. Ψαλμ. 29, 7.

ἂν τὸν Δαυΐδ, τοῖς ἱεροῖς τούτοις καὶ θείοις βέλεσι κεντούμενον, εὐλόγως παραιτεῖσθαι τὸν διὰ τοῦ θυμοῦ ἔλεγχον. Προσλαβόντα γάρ, φησί, τὴν ὀργὴν καὶ τὸν θυμὸν τὰ παρὰ σοῦ καθικόμενά μοι βέλη, ἱκανῶς με τιμωρεῖται, καὶ αὐτάρκως με κολάζει· ἀλλὰ καὶ ἡ χείρ σου καθήψατο διὰ τῶν ἐπαλλήλων συμφορῶν.

Στίχ. δ'. «Οὐκ ἔστιν ἴασις ἐν τῇ σαρκί μου ἀπὸ προσώπου τῆς ὀργῆς σου, οὐκ ἔστιν εἰρήνη ἐν τοῖς ὀστέοις μου ἀπὸ προσώπου τῶν ἁμαρτιῶν μου.»

Τὴν γὰρ σάρκα μου, δι' ἧς πέπρακταί μοι τὸ ἁμάρτημα, κολάσεσι παρέδωκα τιμωρούμενος ἐμαυτόν. Τοῦτο γὰρ καὶ ἐδήλου δι' ἑτέρων λέγων· «Καὶ ἐταπείνουν ἐν νηστείᾳ τὴν ψυχήν μου·[1]» καί, «Ἡ σάρξ μου ἠλλοιώθη δι' ἔλαιον·[2]» καί, «Ἐπελαθόμην τοῦ φαγεῖν τὸν ἄρτον μου ἀπὸ προσώπου τοῦ στεναγμοῦ μου[3]», καὶ ὅσα τοιαῦτα. Ἀντὶ δὲ «τῆς ὀργῆς», συμφώνως Ἀκύλας καὶ ὁ Σύμμαχος, «Ἀπὸ προσώπου τῆς ἐμβριμήσεώς σου», ἡρμήνευσαν. Ἀπήρκει γάρ μοι ἡ ἀπὸ τῶν σῶν θείων Γραφῶν ἐμβρίμησις, καὶ ἡ διὰ τοῦ προσώπου Ναθὰν ἀπειλή. Ἀντὶ δὲ τοῦ· «Ἀπὸ προσώπου τῶν ἁμαρτιῶν μου», ὁ Σύμμαχος ἡρμήνευσε, «Διὰ τὰς ἁμαρτίας μου.» Ἄτοπον δὲ οὐδὲν ὀστᾶ τοὺς οἰκείους ἀποκαλεῖν. Εἰ γὰρ ἐσμεν ἀλλήλων μέλη, καὶ ὡς ἑνὶ πάντες κατελογίσθημεν σώματι τὸ ἀπεῖργον, καὶ ὀστᾶ τοὺς κατὰ μέρος καὶ χρειωδεστάτους μάλιστα λέγειν. Πλὴν οὐχὶ μόνῳ ταῦτα συμβῆναί φαμεν τῷ θεσπεσίῳ Δαυΐδ, ἀλλὰ γὰρ καὶ πλείστοις ἑτέροις· μᾶλλον δὲ καὶ εἰς δεῦρο πράττεται πειραζομένων ἁγίων. Ἀδόκητοι γὰρ περιστάσεις ἀναφύονται πολλάκις, ὥστε δυσφορητότερον εἶναι τοῦ παρ' ἐχθρῶν πολέμου τὰς τῶν οἰκείων ἐπαναστάσεις, οὓς καὶ ὀστᾶ φαμεν ὀνομάσθαι τροπικῶς. Εἰ δὲ ἅπασι ταῦτα κοινά, κοινὸς ἂν εἴη πάντων τῆς προσευχῆς ὁ τρόπος. Παντὶ γὰρ ἁρμόζει πειραζομένῳ καὶ κάμνοντι, γλιχομένῳ τε τυχεῖν ἡμερότητος τῆς παρὰ Θεοῦ.

Στίχ. ε'-ιβ'. «Ὅτι αἱ ἀνομίαι μου ὑπερῆραν τὴν κεφαλήν μου, ὡσεὶ φορτίον βαρὺ ἐβαρύνθησαν ἐπ' ἐμέ. Προσώζεσαν καὶ ἐσάπησαν οἱ μώλωπές μου.»

Διὰ τούτων διδάσκει ἡμᾶς ὁ λόγος, μὴ κρύπτειν τὰ ἑαυτῶν κακά, μηδ' ὥσπερ τινὰ μελανίαν καὶ σῆψιν κατὰ βάθους τῆς ψυχῆς συνέχειν τὰ ἁμαρτήματα. «Ὅλην τὴν ἡμέραν σκυθρωπάζων ἐπορευόμην, ὅτι ἡ ψυχή μου ἐνεπλήσθη ἐμπαιγμῶν ἐμπαιζόντων.» Νοήσεις δὲ καὶ οὕτως, προεπισημηνάμενος ἐν τῇ προγραφῇ, ὡς ἄρα εἴη «εἰς ἀνάμνησιν», εἰκότως ἀναπεμπάζεται, καὶ τὰ πάλαι αὐτῷ συμβεβηκότα ἐπαναλαμβάνει. Διδάσκει τε ἐν οἷς γέγονε, τῷ τῆς ἁμαρτίας ὀλίσθῳ περιπεσών, οὗ χάριν καὶ τὴν πᾶσαν ποιεῖται ἐξομολόγησιν. Εἰς ταῦτα γὰρ πάντα ἐλήλυθα, φησίν, ἐπειδήπερ καιρῷ τινι «Ἡ καρδία μου ἐταράχθη, καὶ ἐγκατέλιπέ με ἡ ἰσχύς μου, καὶ τὸ φῶς τῶν ὀφθαλμῶν

1. Ψαλμ. 34, 13. 2. Ψαλμ. 108, 24. 3. Ψαλμ. 101, 5.

μου, καὶ αὐτὸ οὐκ ἦν μετ' ἐμοῦ.» Κατὰ γὰρ τὸν τῆς ἁμαρτίας καιρὸν οὐ μικρὰν ὑπέμεινεν αὐτοῦ ταραχὴν τὸ διανοητικόν, συγχυθὲν καὶ σκοτωθὲν ὑπὸ τοῦ τὴν ἁμαρτίαν ἐνεργοῦντος, ὡς καὶ εἰς ἀφροσύνην πεσεῖν καὶ πράττειν ἀφροσύνης ἔργα. Τότε δὲ καὶ ἐγκατέλιπεν αὐτὸν ἡ ἰσχὺς αὐτοῦ· οὐκέτι γὰρ οἷός τε ἦν λέγειν· «Πάντα ἰσχύω ἐν τῷ ἐνδυναμοῦντί με[1]», νικηθεὶς ὑπὸ τοῦ πάθους καὶ ἐξατονήσας. Καὶ ἄλλο δέ τι, φησί, χαλεπὸν περὶ ἐμὲ γέγονε· «Τὸ» γὰρ «φῶς τῶν ὀφθαλμῶν μου» (τοῦτο δὲ ἦν τὸ προφητικὸν πνεῦμα, τὸ φωτίζον αὐτοῦ τῆς ψυχῆς τὴν ὅρασιν) «καὶ αὐτὸ οὐκ ἦν μετ' ἐμοῦ», καταλεῖψάν με καὶ ἀναχωρῆσαν· ἐπεὶ «εἰς κακότεχνον ψυχὴν οὐκ εἰσελεύσεται σοφία· οὐδὲ κατοικήσει ἐν σώματι κατάχρεῳ ἁμαρτίαις· ἅγιον γὰρ Πνεῦμα παιδείας φεύξεται δόλον, καὶ ἀπαναστήσεται ἀπὸ λογισμῶν ἀσυνέτων.[2]» Ἀλλὰ καὶ οἱ πρότερον αὐτοῦ φίλοι καὶ πλησίον αὐτοῦ, οἱ τὸν σύμπαντα χρόνον αὐτῷ συνόντες, ἐάσαντες αὐτὸν «μακρόθεν ἔστησαν», οὐκέτ' αὐτῷ συνεῖναι δυνάμενοι, πόρρωθεν δὲ ἀποκλαόμενοι ὡς οἰκείου φίλου συμφοράν. Τίνες δ' ἦσαν οὗτοι ἀλλ' ἢ ἐπὶ τοῖς προτέροις ἀγαθοῖς αὐτοῦ χαίροντες, ἄγγελοι δηλαδὴ ἀγαθοὶ καὶ λειτουργοὶ Θεοῦ, τῇ τῶν ἀνθρώπων συγχαίρειν εἰωθότες σωτηρίᾳ; Ὧν μακράν μου γενομένων, ἄλλοι τινὲς τὴν ἁμαρτίαν ἐνεργοῦντες, πλησίον μου γενόμενοι, ἐξεβιάζοντο καὶ τῆς ἐμῆς ψυχῆς κατέπαιζον. Πάλαι γὰρ οὗτοι διψῶντες τοῦ ἐμοῦ αἵματος, καὶ ἐκ μακρῶν χρόνων εὐχόμενοι θεάσασθαί μου τὴν πτῶσιν, ὡσανεὶ καιροῦ λαβόμενοι, ὅτε εἶδον καταλείπουσάν με τὴν ἰσχύν, καὶ τὸ φῶς τῶν ὀφθαλμῶν μου ἀναχωρῆσάν μου, τούς τε φίλους καὶ τοὺς πλησίον μακρὰν γενομένους, παραχρῆμα ἐπιπηδήσαντες ἐξεβιάζοντο τὴν ψυχήν μου· καὶ ὡς ἂν ἐθελόκακοι «ἐλάλησάν μοι ματαιότητας», ἔνδον ὑποβάλλοντές μου εἰς τὴν ψυχὴν ματαίους λογισμούς· ἀλλὰ καὶ σὺν δόλῳ θέλγοντες καὶ ἀπατῶντες, ὡς ἐπὶ ἀγαθοῖς ἐδελέαζον καθέλκοντές με εἰς τὴν ἁμαρτίαν.

Στίχ. ιζ'. «Ἐγὼ δὲ ὡσεὶ κωφὸς οὐκ ἤκουον, καὶ ὡσεὶ ἄλαλος οὐκ ἀνοίγων τὸ στόμα αὐτοῦ. Καὶ ἐγενόμην ὡσεὶ ἄνθρωπος οὐκ ἀκούων, καὶ οὐκ ἔχων ἐν τῷ στόματι αὐτοῦ ἐλεγμούς.»

Ἐπεὶ τούτοις, φησίν, οὐδὲν εἶχον λέγειν αἰσχύνης πεπληρωμένος· οὐδὲν γάρ μοι λόγος ἦν πρὸς ἀπολογίαν, οὐδ' εἶχόν τινα τοῖς ἐχθροῖς προσφθέγγεσθαι ἅπαξ ὑπ' αὐτῶν νενικημένος· οὐκ ἐμαυτῷ θαρρῶν, οὐδ' ἄλλην τινὰ πρὸ ὀφθαλμῶν θέμενος ἐλπίδα ἢ σέ, τὰ τῆς ἰάσεως ὑπέγραφον ἐμαυτῷ. «Ἐπεὶ» οὖν «ἐπὶ σὲ ἤλπισα, Κύριε, ἡ δὲ ἐλπὶς οὐ καταισχύνει·[3]» διὰ τοῦτο εἰσακούσῃ, ὅτι θελητὴς ἐλέους εἶ, καὶ οὐ θέλεις τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, ὡς τὴν μετάνοιαν αὐτοῦ. Διό, ἐλπίσας ἐπὶ σέ, ἱκετεύω τῆς παρὰ σοῦ θεραπείας τυχεῖν· «Μήποτε ἐπιχαρῶσί μοι οἱ ἐχθροί μου», οὔπω μὲν γὰρ παντελῶς ἐχάρησαν. Ἐπιχαροῦνται

---

1. Φιλιπ. 4, 13. 2. Σοφ. Σολ. 1, 4-5. 3. Ῥωμ. 5, 5.

δέ, εἰ μὴ τύχοιμι τοῦ σοῦ ἐλέους. Ἀλλ᾽ ἵνα μὴ ἐπιχαρεῖέν μοι οἱ ἐχθροί μου, οἱ ἤδη καὶ πρότερον ἐν τῷ σαλευθῆναι πόδας μου μεγαλορρημονήσαντες, ἐπὶ σὲ κατέφυγον, καί φημι· «Μὴ καταισχυνθείην εἰς τὸν αἰῶνα.» Οὐ γὰρ πάντῃ περιετράπην, οὐδὲ πτῶμα ἔπεσον τοιοῦτον, οἷον οἱ ἀποστάται σου γενόμενοι.

ΕΙΣ ΤΟ ΤΕΛΟΣ ΤΩ ΙΔΙΘΟΥΜ, ΩΔΗ ΤΩ ΔΑΥΙΔ ΛΗ΄.

Πολλὴν δὲ ἐμφέρειαν ἔχει τὰ ἐν τῇ προκειμένῃ ᾠδῇ λεγόμενα τοῖς ἐν τῷ πρὸ τούτου ψαλμῷ. Ἀλλ᾽ ἐκεῖνον μὲν ὁ Δαυῒδ ψάλλων, «εἰς ἀνάμνησιν» ἑαυτῷ συνέταττεν· οὗτος δὲ ἤδη καὶ ἑτέρους παραδίδωσι τοὺς τὰ ὅμοια πεπονθότας αὐτῷ, διὰ τῆς ἴσης ἐξομολογήσεως ζηλοῦν αὐτὸν καὶ μιμεῖσθαι παιδεύων· εἰ μὴ ἄρα τὸ Πνεῦμα τὸ ἅγιον διὰ τοῦ Ἰδιθοὺμ ταῦτα τὸν Δαυῒδ ἐδίδασκε λέγειν. Ἠξίωτο γὰρ καὶ αὐτὸς ὁ Ἰδιθοὺμ πνεύματος προφητικοῦ. Μανθάνομεν δὲ διὰ τῶν προκειμένων, ὡς ἄρα προσήκει ἕκαστον ἑαυτῷ διαλέγεσθαι, μηδὲ περιμένειν τοὺς ἔξωθεν διδασκάλους, αὐτὸν δι᾽ ἑαυτοῦ προσομιλοῦντα τῷ λογισμῷ καὶ τῇ διανοίᾳ.

Στίχ. β΄, γ΄. «Εἶπα· Φυλάξω τὰς ὁδούς μου.»

Κατ᾽ αὐτόν, φησί, τὸν καιρὸν τοῦ πειρασμοῦ, ἐπαναβαίνοντός μοι τοῦ τὴν ἁμαρτίαν ἐνεργοῦντος, «ἐγὼ ἔλεγον· Φυλάξω τὰς ὁδούς μου τοῦ μὴ ἁμαρτάνειν ἐν γλώσσῃ μου.» Τότε δὲ «καὶ ἐθέμην τῷ στόματί μου φυλακήν· καὶ ἐκωφώθην καὶ ἐταπεινώθην, καὶ ἐσίγησα ἐξ ἀγαθῶν.» Ὁ δὲ Σύμμαχος οὕτως ἡρμήνευσεν· «Εἶπον· Φυλάξω τὰς ὁδούς μου, μὴ ἁμαρτεῖν διὰ τῆς γλώσσης μου. Φυλάξω τὸ στόμα μου φιμῷ, ἔτι ὄντος ἀσεβοῦς ἐξ ἐναντίας μου. Ἄλαλος ἐγενόμην σιγῇ, ἐσιωπήθην μὴ ὢν ἐν ἀγαθῷ.» Ὁρᾷς τίνα τρόπον τὴν αἰτίαν τοῦ μὴ τολμᾶν διαίρειν τὸ στόμα ἐδίδαξεν εἰπών· «Καὶ ἐσιώπησα ἐξ ἀγαθῶν» ἤ, «ἐσιωπήθην μὴ ὢν ἐν ἀγαθῷ», κατὰ τὸν Σύμμαχον: Μὴ γὰρ ὢν ἐν ἀγαθοῖς, μηδὲ παρρησίαν ἄγων, ἐμεμνήμην τοῦ λέγοντος· «Ἥμαρτες, ἡσύχασον·[1] διὸ ἐσιώπησα μὴ ὢν ἐν ἀγαθῷ.» Οὐ μόνον δὲ «ἐκωφώθην καὶ ἐσίγησα ἐξ ἀγαθῶν», ἀλλὰ καὶ «ἄλγημά μου ἀνεκαινίσθη.» Τὸ γὰρ τῆς ψυχῆς μου ἄλγος καὶ τὸ ἐκ τῆς ἁμαρτίας ἐγγενόμενόν μοι ἕλκος, κατὰ βάθους ἐγκείμενον, καὶ κατ᾽ αὐτῆς τῆς συνειδήσεως ἐμπεπηγμένον, ἀνενεοῦτο, ἐπαναβαίνοντός μοι καὶ ἐπονειδίζοντος τοῦ τὴν ἁμαρτίαν ἐνηργηκότος.

Στίχ. δ΄-ζ΄. «Ἐθερμάνθη ἡ καρδία μου ἐντός μου.»

Ἀναμιμνησκόμενος, φησί, τῆς ἁμαρτίας, τῆς ἀθυμίας ἐνεπιμπράμην πυρί, ὑπ᾽ αὐτῆς πυρούμενος τῆς συνειδήσεως, «Ἐλάλησα ἐν γλώσσῃ μου· Γνώρισόν μοι, Κύριε, τὸ πέρας μου.» Καὶ μετὰ τὴν ἐξομολόγησιν ὁποίου τέλους τεύξομαι μαθεῖν ἀξιῶ. Βαρούμενος δὲ

1. Γεν. 4, 7.

ταῦτα ἔλεγε, τὴν πρόσκαιρον καὶ θνητὴν ζωὴν διὰ τὸ ἐπαχθὲς αὐτῆς μακροτάτην ἡγούμενος. Διὸ γνωρισθῆναι αὐτῷ τὸν τῆς ἀπαλλαγῆς χρόνον ἐπόθει· ἵν' εὔθυμος γένοιτο, τὴν ἀπὸ τῶν τῆδε ἐλευθερίαν καὶ τῶν πειρατηρίων τὴν ἀπαλλαγὴν εὐαγγελισθείς. Καὶ ἐν τοῖς δ' ἑξῆς προϊὼν ἔλεγεν· «Πάροικος ἐγώ εἰμι παρὰ σοὶ καὶ παρεπίδημος, καθὼς πάντες οἱ πατέρες μου. Ἰδοὺ παλαιστὰς ἔθου τὰς ἡμέρας μου, καὶ ἡ ὑπόστασίς μου ὡσεὶ οὐθὲν ἐνώπιόν σου.» Ἀνθ' οὗ ὁ Σύμμαχος, «Ἰδοὺ ὡς σπιθαμὰς ἔδωκας τὰς ἡμέρας μου», ἐξέδωκεν. Ἄλλος δ' ἂν εἴποι «παλαιστὰς» εἰρῆσθαι τὰς τῶν ἀνθρώπων ἡμέρας, διὰ τὸ πεπληρῶσθαι αὐτὰς ἀγῶνος καὶ πάλης καὶ πειρατηρίων. Ἑξῆς τούτοις φησί· «Καὶ ἡ ὑπόστασίς μου ὡσεὶ οὐθὲν ἐνώπιόν σου·» ἀνθ' οὗ ὁ Ἀκύλας ἡρμήνευσε· «Καὶ ἡ κατάδυσίς μου ὡς οὐκ ἔστιν ἐναντίον σου·» ὁ δὲ Σύμμαχος· «Καὶ ἡ βίωσίς μου ὡς οὐδὲν ἀντικρύ σου.» Ὁ γὰρ πᾶς τῆς ζωῆς ἀνθρώπου χρόνος, παραβαλλόμενος τῇ τοῦ Θεοῦ ζωῇ, καὶ τοῖς αἰῶσι τοῖς ἀπείροις, ὥσπερ οὐθέν ἐστι ἐνώπιον τοῦ Θεοῦ. Διὸ ἀλλαχοῦ εἴρηται· «Οἱ οὐρανοὶ ἀπολοῦνται· σὺ δὲ διαμένεις, καὶ πάντες ὡς ἱμάτιον παλαιωθήσονται· καὶ ὡσεὶ περιβολαὶ ἑλίξεις αὐτούς, καὶ ἀλλαγήσονται. Σὺ δὲ ὁ αὐτὸς εἶ, καὶ τὰ ἔτη σου οὐκ ἐκλείψουσιν.[1]» Ἀλλὰ καὶ πᾶσα ἡ παρὰ ἀνθρώποις σπουδὴ ματαιότης ματαιοτήτων ἐστί, καί, «τὰ σύμπαντα ματαιότης, πᾶς ἄνθρωπος ζῶν», ἤ, «πᾶς ἄνθρωπος ἐστηλωμένος», κατὰ τὸν Ἀκύλαν· ἤ, «πᾶς ἄνθρωπος ἑστώς», κατὰ τὸν Σύμμαχον. Ὁ γὰρ νῦν ἑστὼς καὶ ὁ κατὰ τὸν παρόντα χρόνον τὴν θνητὴν ἔτι ζωὴν διεξανύων ματαιότης ἂν εἴη. Εἰ γοῦν μὴ ἀπέκειτό τις ἀνθρώποις ἐλπὶς ἀθανασίας, καὶ ζωῆς αἰωνίου βασιλείας τε οὐρανῶν, εὐλόγως ἂν ἐνομίσθη μάταιόν τι εἶναι πᾶς ἄνθρωπος ζῶν.

Στίχ. η'-ιβ'. «Καὶ νῦν τίς ἡ ὑπομονή μου, οὐχὶ Κύριος;»

Ὁ δὲ Σύμμαχος οὕτως τὰ προκείμενα ἐξέδωκε ῥητά· «Νῦν οὖν τί προσδοκῶ, Δέσποτα; ἡ ἀναμονή μου εἰς σέ ἐστιν. Ἀπὸ πασῶν τῶν ἀθεσιῶν μου ἐξέλου με, ἐπονείδιστον ἄφρονι μὴ τάξῃς με. Ἄλαλος ἐγενόμην, οὐκ ἀνοίξεις στόμα μου· σὺ γὰρ ἐποίησας.» Μετὰ τὰ προλελεγμένα πάντα, φησίν, οὐδέν μοι λείπεται, ὦ Κύριε, ἢ σὲ προσδοκᾶν καὶ εἰς σὲ τὰς ἐλπίδας ἔχειν· παρὰ σοῦ γὰρ τῆς ψυχῆς ἡ ὑπόστασίς ἐστι. Διὸ δέομαι καὶ ἱκετεύω ἐλευθερωθῆναί με τῶν τῆδε κακῶν, καὶ τῶν ἀνομιῶν μου ῥυσθῆναι. Ἅπαξ γὰρ περιπέπτωκα ἄφρονι, περὶ οὗ καὶ ἀνωτέρω ἔλεγον· «Ἐν τῷ συστῆναι τὸν ἁμαρτωλὸν ἐνώπιόν μου, ἐκωφώθην, καὶ ἐταπεινώθην, καὶ ἐσίγησα ἐξ ἀγαθῶν.» Αὐτίκα γοῦν ἀφροσύνῃ παραδοθεὶς γέγονα ἐπονείδιστος· εἰκότως οὖν, ὡς ἂν γνωσιμαχῶν ἐφ' οἷς ἥμαρτον, «ἐκωφώθην καὶ οὐκ ἤνοιξα τὸ στόμα μου, ὅτι σὺ ἐποίησας.» Ὁ γὰρ σὸς φόβος κωφῶσαί με ἐποίησε, πλήττων με ἐφ' οἷς ἥμαρτον, καὶ κατασιγάζων πρὸς τὸ μὴ φθέγγεσθαι. Ἀντὶ δὲ τοῦ,

1. Ψαλμ. 101, 27-28.

«ὄνειδος ἄφρονι ἔδωκάς με», ὁ μὲν Ἀκύλας, «ὄνειδος ἀπορρέοντι», φησί, «μὴ θῇς με·» ὁ δὲ Σύμμαχος, «ἐπονείδιστον ἄφρονι μὴ δῷς με·» ἡ δὲ πέμπτη ἔκδοσις· «ὄνειδος ἄφρονι μὴ δῷς με.» Ὅπερ παράκλησιν ἐμφαίνει τοῦ ἡμαρτηκότος, ἱκετεύοντος μὴ παραδοθῆναι εἰς ὀνειδισμὸν ἄφρονι. Εἰ δ' αὐτὸς ὁ Κύριος παραδίδωσιν ἄφρονι τὸν ἡμαρτηκότα, ὀνειδίζεσθαι πρὸς αὐτοῦ, καὶ τοῦτο ἂν εἴποις ἐπ' ὠφελείᾳ γίνεσθαι τοῦ ὀνειδιζομένου, ὡς ἂν κακούμενος, μείζονα ποιήσοιτο τὴν ἐπὶ τοῖς ἡμαρτημένοις ἐξομολόγησιν· ὅπερ ἠξίου μὴ παθεῖν ὁ Δαυΐδ, ὡς πάντα πράττων τὰ τῷ Θεῷ ἀρεστὰ ἐξ ἑαυτοῦ. «Ἀπόστησον ἀπ' ἐμοῦ τὰς μάστιγάς σου· ἀπὸ γὰρ τῆς χειρὸς τῆς ἰσχύος σου ἐγὼ ἐξέλιπον· ἐν ἐλεγμοῖς ὑπὲρ ἀνομίας ἐπαίδευσας ἄνθρωπον, καὶ ἐξέτηξας ὡς ἀράχνην τὴν ψυχὴν αὐτοῦ, πλὴν μάτην πᾶς ἄνθρωπος· διάψαλμα.»

Ἐν μὲν τῷ πρὸ τούτου ψαλμῷ παρεῖχεν ἑαυτὸν ἐπιστρεπτικαῖς πληγαῖς, οἷά τις εὐγνώμων μαθητὴς διδασκάλῳ· διὸ ἔλεγεν· «Ἐγὼ εἰς μάστιγας ἕτοιμος.» Ἐπεὶ δὲ λοιπὸν αὐτάρκως τῶν μαστίγων ἐπεπειρᾶτο ἐπιμόνως αὐτὸν αἰκιζομένων, ἱκετεύει τοῦ λοιποῦ παύσασθαι, καὶ μέχρι τούτου στῆναι τὰς μάστιγας, ὁμολογεῖ τε ἑξῆς λέγων· «Ἀπὸ τῆς ἰσχύος χειρός σου ἐγὼ ἐξέλιπον.» Περὶ δὲ τῆς χειρὸς ταύτης καὶ ἀνωτέρω ἐλέγετο· «Ἐπεστήριξας ἐπ' ἐμὲ τὴν χεῖρά σου.» Εἶτα διδάσκει, ὅτι μὴ μάτην ἡ χεὶρ ἐπαίδευε, μηδὲ εἰς ἀργὸν ἐμαστίγου, ἀλλ' ἐπ' ὠφελείᾳ τοῦ ἡμαρτηκότος· διό φησιν· «Ἐν ἐλεγμοῖς ὑπὲρ ἀνομίας ἐπαίδευσας ἄνθρωπον.» Ὑπὲρ γὰρ τῆς παραχθείσης ἀνομίας καὶ διὰ τὸ παραχθὲν ἁμάρτημα ἐλέγχων τὸν παιδευόμενον καὶ τὰς μάστιγας ἐπῆγες καὶ τὴν χεῖρά σου προλεχθεῖσαν· τούτοις δὲ αὐτοῖς καὶ τὴν ψυχὴν τοῦ παιδευομένου ἐξέτηξας, ταπεινουμένην καὶ λεπτυνομένην ἐπ' ὠφελείᾳ τῇ αὐτῆς. Καθ' ὃν γὰρ ἐτρύφα χρόνον, εἰς ἁμαρτίας ἐξώλισθε, κατὰ τό· «Ἔφαγε καὶ ἔπιεν Ἰακώβ, καὶ ἀπελάκτισεν ὁ ἠγαπημένος, ἐπλατύνθη καὶ ἐπαχύνθη, καὶ ἀπέστη ἀπὸ Θεοῦ τοῦ τρέφοντος αὐτόν.[1]» Διό, «ἵνα τὸ πνεῦμα σωθῇ ἐν τῇ ἡμέρᾳ τοῦ Κυρίου, ἡ σὰρξ παραδέδοται εἰς ὄλεθρον·[2]» ἧς τιμωρουμένης, ἐκτήκεται ψυχὴ ἐξισχνουμένη δίκην ἀράχνης· διό φησι· «Καὶ ἐξέτηξας ὡς ἀράχνην τὴν ψυχὴν αὐτοῦ·» καὶ ἐπιλέγει· «Πλὴν μάτην πᾶς ἄνθρωπος», πάλιν τὸν ἐν τῷ βίῳ τούτῳ εἰκῇ καὶ μάτην μοχθοῦντα καὶ κακοπαθοῦντα ταλανίζων.

Στίχ. ιγ', ιδ'. «Εἰσάκουσον τῆς προσευχῆς μου, Κύριε, καὶ τῆς δεήσεώς μου· ἐνώτισαι τῶν δακρύων μου. Μὴ παρασιωπήσῃς, ὅτι πάροικος ἐγώ εἰμι ἐν τῇ γῇ καὶ παρεπίδημος, καθὼς πάντες οἱ πατέρες μου.»

Ἐνταῦθα ὁμολογεῖ πάροικος εἶναι καὶ παρεπίδημος· οἶδέ τε ἑτέραν ζωὴν «ἀναψύξεως», ἧς τυχεῖν γλίχεται λέγων· «Ἄνες μοι, ἵνα ἀναψύξω.» Οὔκουν μάτην πάντα ἄνθρωπον πάροικον ἔλεγε,

1. Δευτ. 32, 15. 2. Α' Κορ. 5, 5.

μετὰ κλαυθμοῦ δὲ καὶ δακρύων τὴν ἱκετηρίαν ἀναπέμπει, ἀκριβῶς εἰδώς, ὅτι «Μακάριοι οἱ κλαίοντες, ὅτι γελάσονται[1]», καί, «Μακάριοι οἱ πενθοῦντες, ὅτι παρακληθήσονται·[2]» καὶ τὰ κατορθώματα δὲ αὐτοῦ ὑπογράφει ἐπιλέγων· «Ὅτι πάροικος ἐγώ εἰμι καὶ παρεπίδημος, καθὼς πάντες οἱ πατέρες μου.» Σπανίου δέ ἐστιν ἀνδρὸς τὸ δύνασθαι κατὰ μίμησιν τῶν θεοφιλῶν πατέρων καὶ τῶν προφητῶν τοῦ Θεοῦ μὴ ὡς ἔνοικος, ἀλλ' ὡς πάροικος τὴν πρόσκαιρον διαβιοῦν ζωήν· ἐφ' ᾧ καὶ ὁ παρὼν ἐσεμνύνετο παροικίαν ἡγούμενος καὶ ξενιτείαν τὸν ἀνθρώπινον βίον· «Ἄνες μοι, ἵνα ἀναψύξω πρὸ τοῦ με ἀπελθεῖν, καὶ οὐκέτι μὴ ὑπάρξω.» Ἀνθ' οὗ ὁ Σύμμαχός φησι· «Ἀπόσχου μου, ἵνα μειδιάσω πρὶν ἀπελθεῖν με, καὶ μὴ ὑπάρχειν.» Ἐὰν γὰρ ἐντεῦθεν, φησί, μή, μεταβαλὼν τὰ δάκρυα εἰς γέλωτα διὰ τὴν σὴν χάριν, μειδιάσω, καὶ ἐὰν μὴ ἐν τῷ παρόντι βίῳ ἀνῇς μοι τὸ ἁμάρτημα καὶ συγχωρήσῃς τὰ πεπραγμένα, ἵνα ἀναλάβω ἐμαυτὸν καὶ ἀναψύξω ἀπαλλαγεὶς τοῦ προσκαίρου βίου, οὐκ ἔστι καιρὸς μετανοίας. Μὴ τυχὼν δὲ ἀφέσεως οὐκέτι ὑπάρξω ἐν τῇ παρὰ σοὶ ζωῇ· ἀπόβλητος δὲ γενόμενος, «ὁμοιωθήσομαι τοῖς καταβαίνουσιν εἰς λάκκον.» Διὸ ἐντεῦθεν ἱκετεύω λέγων· «Μὴ παρασιωπήσῃς ἀπ' ἐμοῦ, μήποτε παρασιωπήσῃς ἀπ' ἐμοῦ, καὶ ὁμοιωθήσομαι τοῖς καταβαίνουσιν εἰς λάκκον.»

ΕΙΣ ΤΟ ΤΕΛΟΣ ΔΑΥΙΔ ΛΘ'.

Στίχ. β'-δ'. «Ὑπομένων ὑπέμεινα τὸν Κύριον, καὶ προσέσχε μοι.»

«Ἐπειδὴ ἡ θλῖψις ὑπομονὴν κατεργάζεται, ἡ δὲ ὑπομονὴ δοκιμήν, ἡ δὲ δοκιμὴ ἐλπίδα· ἡ δὲ ἐλπὶς οὐ καταισχύνει.[3]» Εἰκότως οὐχ ἁπλῶς ὁ δίκαιος ὑπομένει, ἀλλ' ἐπιτείνων τὴν ἐλπίδα καὶ μὴ ἀπογινώσκων τὴν παρὰ Θεῷ σωτηρίαν, παραμένει τῇ ὑπομονῇ. Κἂν παραχρῆμα δεηθεὶς μὴ ὑπακουσθῇ, ὅμως ἐλπίζων ὑπομένει καὶ προσκαρτερεῖ ταῖς δεήσεσι καὶ ταῖς προσευχαῖς. Εἰ δὲ καὶ ἐν σφάλματί ποτε γένοιτο, ὥσπερ ὁ Δαυΐδ, ὁμολογεῖ μὴ ἀγνοεῖν οἷα κακῶν ἐλήλυθεν. Εἰ δὲ καὶ μετὰ ταῦτα ἀναλάβοι ἑαυτὸν τοῦ σφάλματος συνησθημένος, εὐχαριστήσει γνωρίζων ἀφ' οἵου βάθους ταλαιπωρίας ἀνιμήσατο αὐτὸν ὁ τῆς ψυχῆς αὐτοῦ γενόμενος ἰατρὸς καὶ σωτήρ· διόπερ ἐρεῖ· «Ἀνήγαγέ με ἐκ λάκκου ταλαιπωρίας καὶ ἀπὸ πηλοῦ ἰλύος.» Τούτου δὲ τεύξεται, ἐπειδήπερ ὑπομένων ὑπέμεινε τὸν Κύριον. Λάκκον δὲ ταλαιπωρίας τὸ βάθος τῆς ἁμαρτίας, καὶ πηλὸν ἰλύος τὰς τοῦ πηλώδους σώματος ἡδυπαθείας, ἐν αἷς ὀλισθήσασα ψυχὴ βαπτίζεται καὶ ὥσπερ ἐν βυθῷ καταποντοῦται, οὐκ ἂν ἁμάρτοις εἰπών. Ὁ δὴ οὖν ἐκ τούτων ἀνακύψας, καὶ ὑπὸ τῆς δεξιᾶς τοῦ Σωτῆρος ἀνιμηθείς, εἶτα λοιπὸν ἐν καθαρῷ τῷ λόγῳ τὰς τῆς ψυχῆς βάσεις στηρίξας, εὐλόγως ἐρεῖ· «Καὶ ἀνήγαγέ

1. Λουκ. 6, 21. 2. Ματθ. 5, 5. 3. Ῥωμ. 5, 3.

με ἐκ λάκκου ταλαιπωρίας καὶ ἀπὸ πηλοῦ ἰλύος· καὶ ἔστησεν ἐπὶ πέτραν τοὺς πόδας μου, καὶ κατηύθυνε τὰ διαβήματά μου.» Πέτραν δὲ πρὸς ἀντιδιαστολὴν τοῦ στερεοῦ λόγου θεμέλιον ὀνομάζει, ἐφ᾽ ὃν ὁ βεβηκὼς φήσει· «Τίς ἡμᾶς χωρίσει ἀπὸ τῆς ἀγάπης τοῦ Χριστοῦ, θλῖψις, ἢ στενοχωρία, ἢ διωγμός, ἢ λιμός;[1]» καὶ τὰ ἑξῆς. Οὐ μόνον δ᾽ ἔστησε τοὺς πόδας ἐπὶ τὴν πέτραν, ἀλλὰ καὶ βαδίζειν καὶ τρέχειν ἐπ᾽ αὐτῆς διὰ τῆς τῶν καλῶν εὐδοκιμήσεως ποιεῖ· διὸ ἐπιλέγει· «Καὶ κατηύθυνε τὰ διαβήματά μου.» Εἶτα ἀκολούθως, ὡς ἂν μεταβληθεὶς ἀπὸ τῶν χειρόνων ἐπὶ τὰ κρείττω, τὸ μὲν παλαιὸν ᾆσμα, δι᾽ οὗ ἀπεκλαύσατο τὰ ἐν τοῖς πρὸ τούτου ψαλμοῖς λελεγμένα, ἀποτίθεται· ἀναλαμβάνει δὲ ᾆσμα καινὸν τοῦ σώσαντος αὐτόν, καὶ ἐμβάλλοντος εἰς τὸ στόμα αὐτοῦ καινὸν ᾆσμα καὶ ὕμνον, ἀποδυσαμένου τὸν παλαιὸν ἄνθρωπον σὺν ταῖς πράξεσιν αὐτοῦ, ἐνδυσαμένου δὲ τὸν νέον τὸν ἀνακαινούμενον κατ᾽ ἐπίγνωσιν τοῦ Θεοῦ. Εἶτα μετὰ πάντα ταῦτα ὑπόδειγμα πολλοῖς γίνεται, ὡς ἂν καὶ ἕτεροι, τὴν μεταβολὴν αὐτοῦ θεώμενοι, ἐλπίδας ἀγαθὰς ἀναλάβοιεν, καὶ τὴν ἀπὸ τῶν χειρόνων ἐπὶ τὰ κρείττω ποιήσαιντο μεταβολήν· διό φησιν· «Ὄψονται πολλοὶ καὶ φοβηθήσονται, καὶ ἐλπιοῦσιν ἐπὶ Κύριον.» Τί δὲ ὄψονται; Αὐτὸ τοῦτο, φησίν, ὡς εἰς βάθος ἐλήλυθα κακῶν, καὶ εἰς τὸν λάκκον καὶ τὸν πηλὸν τῆς ἰλύος· κἀκεῖθεν Θεοῦ χάριτι ἀνελκυσθείς, ἐπὶ τὴν πέτραν ἔστην καὶ κατηυθύνθη τὰ διαβήματά μου, καὶ ᾄσματος κατηξιώθην καινοῦ. Ταῦτα γὰρ οἱ πολλοὶ θεασάμενοι φόβον Θεοῦ, περὶ οὗ λέλεκται, «Ἀρχὴ σοφίας φόβος Θεοῦ[2]», ἀναλήψονται, καὶ τὴν ὁμοίαν ἑαυτοῖς ὑπογράψουσιν ἐλπίδα.

Στίχ. ε΄. «Μακάριος ἀνήρ, οὗ ἐστι τὸ ὄνομα Κυρίου ἐλπὶς αὐτοῦ, καὶ οὐκ ἐπέβλεψεν εἰς ματαιότητας καὶ μανίας ψευδεῖς.»

Ὁ διὰ πείρας ἐλθὼν τῆς τοῦ Θεοῦ χάριτος τοῖς πᾶσι κηρύττει τὰς εἰς αὐτὸν γενομένας εὐεργεσίας, προφέρει τε καθολικὴν ἀπόφασιν ἐκ τῶν περὶ αὐτὸν συμβάντων, διδάσκων, ὅτι πᾶσι δυνατὸν ἀνθρώποις τῶν ὁμοίων αὐτῷ τυχεῖν. Οὐ γὰρ ἐγώ, φησί, μόνος, τοιούτων ἀξιωθείς, εἴην ἂν μακάριος· ἔκκειται δὲ τοῖς πᾶσιν ἡ αὐτὴ ὁδός, καὶ οὐ τισὶ μέν, τισὶ δὲ οὔ. Πᾶς οὖν ὁ τὴν ἐλπίδα αὐτοῦ ἐπὶ τὸν Θεὸν ἀναθήσας οὐκ ἀποπεσεῖται τοῦ μακαρισμοῦ, οὗ καὶ αὐτὸς κατηξιώθην. Ματαιότης δὲ καὶ μανίαι ψευδεῖς πᾶσαι αἱ περὶ τὰ πρόσκαιρα καὶ μάταια τυγχάνουσι σπουδαί· ἐπείπερ «Ματαιότης ματαιοτήτων, τὰ πάντα ματαιότης·[3]» καὶ διὰ τῶν ἔμπροσθεν ἐλέγετο· «Πλὴν τὰ πάντα ματαιότης, πᾶς ἄνθρωπος ζῶν·» καὶ πάλιν· «Πλὴν μάτην ταράσσονται. Θησαυρίζει, καὶ οὐ γινώσκει τίνι συνάξει ταῦτα.» Μανίαι δὲ ψευδεῖς αἱ εἰς κενὸν καὶ μάταιον σπουδαζόμεναι τοῖς πολλοῖς φροντίδες. Ὥσπερ οὖν μανία σώφρων ἡ τοῦ παρόντος βίου κατεξανάστασις, δι᾽ ἣν καὶ ἐξεστῶτες ἐνομίζοντο τοῖς πολλοῖς οἱ τοῦ Θεοῦ προφῆται.

1. Ῥωμ. 8, 35. 2. Ψαλμ. 110, 10. 3 Ἐκκλ. 1, 2.

Σεμνύνεται δ' ἐπὶ τῇ τοιαύτῃ ἐκστάσει λέγων ὁ δίκαιος· «Ἐγὼ δὲ εἶπα ἐν τῇ ἐκστάσει μου· Πᾶς ἄνθρωπος ψεύστης·[1]» καὶ ὁ Ἀπόστολος δὲ τοῦτο πεπονθὼς ἔλεγεν· «Εἴτε γὰρ ἐξέστημεν Θεῷ, εἴτε σωφρονοῦμεν ὑμῖν.[2]»

Στίχ. ς'-θ'. «Πολλὰ ἐποίησας σύ; Κύριε ὁ Θεός μου, τὰ θαυμάσιά σου.»

Ὁ τὴν πολυποίκιλον τοῦ Θεοῦ σοφίαν κατανενοηκὼς ἔν τε τοῖς καθόλου κτίσμασι καὶ τοῖς κατὰ μέρος, τοῖς τε αἰσθητοῖς καὶ τοῖς κατὰ διάνοιαν θεωρουμένοις, εἰς ἔκπληξιν ἐλθὼν τῆς ὑπερμεγέθους δυνάμεως τοῦ τῶν ὅλων Θεοῦ, εἴποι ἄν· «Πολλὰ ἐποίησας σύ, Κύριε ὁ Θεός μου, τὰ θαυμάσιά σου.» Ἀλλὰ καὶ τοὺς λόγους ἐξετάσας τῆς καθόλου προνοίας, καθ' οὓς τὰ σύμπαντα διοικεῖ, κἄπειτα εὑρὼν αὐτοὺς ἀκαταλήπτους, προσθήσει λέγων· «Καὶ τοῖς διαλογισμοῖς σου οὐκ ἔστι τίς ὁμοιωθήσεταί σοι.» Οἷος ἦν ὁ λέγων· Ὦ βάθους πλούτου καὶ σοφίας, καὶ γνώσεως Θεοῦ![3] ὡς ἀνεξερεύνητα τὰ κρίματα αὐτοῦ, καὶ ἀνεξιχνίαστοι αἱ ὁδοὶ αὐτοῦ!» Ἐν δὲ τοῖς προκειμένοις ὁ Δαυῒδ κατὰ καιρὸν ταύτας προηνέγκατο τὰς φωνάς, ἔργῳ μαθών, ὡς καινῷ τινι τρόπῳ σέσωσται τῷ δι' ὑπακοῆς τῶν θείων λογίων. Πάλαι μὲν γὰρ διὰ Μωϋσέως θυσίαι καὶ ὁλόκαυτοι ἀναφοραὶ προσετάττοντο ὑπὲρ ἁμαρτιῶν προσφέρεσθαι· νυνὶ δὲ καινὸς παραδίδοται τρόπος σωτηρίας, ὁ δίχα θυσιῶν καὶ ὁλοκαυτωμάτων. Διδάσκει δὲ καὶ ὡς ἔστι μυρία σωτηρίας φάρμακα, ἅπερ ἡ τοῦ Θεοῦ χάρις τοῖς ἀνθρώποις ἐδωρήσατο. Οὐκ ἔστι τε κατ' ἀξίαν εἰπεῖν, οὐδὲ διανοίᾳ περιλαβεῖν τῶν τοῦ Θεοῦ διαλογισμῶν τὸ πλῆθος. Ὁ δὲ Σύμμαχος, «Πάμπολλα», φησίν, «ἐποίησας σύ, Κύριε ὁ Θεός μου, τὰ τεράστιά σου, καὶ τοὺς διαλογισμούς σου τοὺς ὑπὲρ ἡμῶν οὐκ ἔστιν ἐκθέσθαι ἐπὶ σοῦ.» Εἶτα ἀντὶ τοῦ· «Ἀπήγγειλα καὶ ἐλάλησα, ἐπληθύνθησαν ὑπὲρ ἄμμον», πάλιν ὁ Σύμμαχος τοῦτον ἡρμήνευσε τὸν τρόπον· «Ἐὰν ἀπαγγέλλων καταγγέλλω, πλείω ἐστὶ τοῦ διηγηθῆναι. Ἐκ μέρους μὲν γάρ», φησί, «γινώσκομεν, καὶ ἐκ μέρους προφητεύομεν.[4]» Τά γε μὴν πάντα ἀναρίθμητα καὶ ἀκατάληπτα τυγχάνει τὰ θαυμάσιά σου· πλὴν ἐν οἷς κατέλαβον καὶ τοῦθ' εὗρον, ὅτι κατὰ τὸν παρόντα καιρὸν τὰς παρὰ Μωϋσεῖ θυσίας καὶ προσφορὰς οὐκ ἠθέλησας· ἀντὶ δ' ἐκείνων τὰ ὦτά μου καὶ τὴν ὑπακοὴν τῶν σῶν λογίων κατηρτίσω· καὶ ἀντὶ ὁλοκαυτωμάτων καὶ τῶν περὶ ἁμαρτίας θυσιῶν αὐτὸς ἐμαυτὸν προσήγαγόν σοι. Διό φησιν· «Ἰδοὺ ἥκω» κληθεὶς ὑπὸ σοῦ, καὶ προθυμότατα ὑπακούσας. Ἥκω δὲ σπεύσας τοῦ ποιῆσαι τὸ θέλημά σου· τοῦτο γὰρ ἀντὶ πάσης ὁλοκαύτου θυσίας πέπεισμαί σε ἀποδέχεσθαι. Καὶ τοῦτο δὲ «ἐν κεφαλίδι βιβλίου γέγραπται περὶ ἐμοῦ·» τοῦτο δὲ ποῖον ἢ τὸ προτιμῆσαι τὸ θέλημά σου θυσιῶν καὶ ὁλοκαυτω-

1. Ψαλμ. 115, 2. 2. Β' Κορ. 5, 13. 3. Ῥωμ. 11, 33. 4. Α' Κορ. 13, 9.

μάτων· καὶ τὸ ποιῆσαι τὸν νόμον σου οὐ κατὰ τὴν πρόχειρον λέξιν, οὐδὲ ὁμοίως τοῖς πολλοῖς τὰ παρὰ Μωϋσεῖ παρηγγελμένα φυλάττοντας· «ἐν μέσῳ δὲ τῆς κοιλίας μου·» ἢ κατὰ τὸν Σύμμαχον· «Προεθυμήθην τὸν νόμον σου ἔνδοθεν τῶν ἐγκάτων μου.» Εἰ γάρ τίς ἐστι κοιλία ψυχῆς, τροπικῶς οὕτως ὀνομαζομένη, περὶ ἧς ἐν Εὐαγγελίοις λέλεκται· «Ποταμοὶ ἐκ τῆς κοιλίας αὐτοῦ ῥεύσουσιν ὕδατος ζῶντος, ἀλλομένου εἰς ζωὴν αἰώνιον·[1]» ἐν τούτῳ τῷ ἀπορρήτῳ καὶ ἀποκρύφῳ τῆς ψυχῆς ταμείῳ τὸν νόμον σου, φησίν, ἐβουλήθην ποιῆσαι, καὶ περὶ θυσιῶν καὶ ὁλοκαυτωμάτων ἐντολὰς πνευματικῶς καὶ κατὰ διάνοιαν ἐπιτελέσαι. Ταῦτα γὰρ ἔγνων σοι φίλα, καὶ πολλῷ κρείττονα τῶν σωματικῶς Ἰουδαίοις παραδεδομένων.

Στίχ. ι΄-ις΄. «Εὐηγγελισάμην δικαιοσύνην ἐν Ἐκκλησίᾳ μεγάλῃ, ἰδοὺ τὰ χείλη μου οὐ μὴ κωλύσω· Κύριε, σὺ ἔγνως. Τὴν δικαιοσύνην μου οὐκ ἔκρυψα ἐν τῇ καρδίᾳ μου· τὴν ἀλήθειάν σου καὶ τὸ σωτήριόν σου εἶπα.»

Ἀλήθειαν δὲ τὴν ἀντιδιαστελλομένην τῇ σκιᾷ. Νοήσεις δὲ καὶ οὕτως· Ὡς ὁ μακάριος Δαυῒδ ὑπισχνεῖται ἐν Ἐκκλησίᾳ μεγάλῃ τῇ κατὰ πᾶσαν τὴν οἰκουμένην ὑπὸ τῆς θείας χάριτος συλλεγείσῃ τὴν τοῦ Θεοῦ δικαιοσύνην κηρύττειν, καὶ τὴν τῆς προφητείας ἀλήθειαν, καὶ τὴν ἀξιάγαστον σωτηρίαν, καὶ τὸν ἀμέτρητον ἔλεον καὶ αὐτῶν δὲ τῶν πιστῶν ὁ σύλλογος εἴποι ἂν ταῦτα ὑπισχνούμενος τὴν ὑπὲρ τῆς σωτηρίας ἀντίδοσιν δώσειν, τῷ συντρέχειν εἰς Ἐκκλησίαν καὶ τὰ χείλη κινεῖν εἰς ὑμνῳδίαν, καὶ τοῦ Θεοῦ τὴν δικαίαν κρίσιν ἀνακηρύττειν, καὶ τὴν ἄρρητον διεξιέναι κηδεμονίαν, καὶ τῶν προφητικῶν ὑποσχέσεων ὑποδεικνύναι τὸ ἀληθές. «Σὺ δέ, Κύριε, μὴ μακρύνῃς τοὺς οἰκτιρμούς σου ἀπ᾿ ἐμοῦ· τὸ ἔλεός σου καὶ ἡ ἀλήθειά σου διὰ παντὸς ἀντελάβοντό μου.» Καὶ τυχοῦσα τῆς σωτηρίας ἡ τοῦ Θεοῦ Ἐκκλησία, δεῖται πάλιν τῆς αὐτῆς προμηθείας διὰ τὰς παντοδαπὰς τῶν ἀνθρώπων καὶ δαιμόνων ἐπαναστάσεις, ὧν ἐν τοῖς ἑξῆς τὴν μνήμην πεποίηται. «Ὅτι περιέσχον με κακὰ ὧν οὐκ ἔστιν ἀριθμός· κατέλαβόν με αἱ ἀνομίαι μου, καὶ οὐκ ἠδυνήθην τοῦ βλέπειν. Ἐπληθύνθησαν ὑπὲρ τὰς τρίχας τῆς κεφαλῆς μου, καὶ ἡ καρδία μου ἐγκατέλιπέ με.» Μηδεὶς δὲ ἀνάρμοστα ἡγείσθω τὰ εἰρημένα τοῖς ἡρμηνευμένοις. Καὶ γὰρ οἱ τρεῖς παῖδες, τῆς ἄκρας ἀρετῆς ἐπειλημμένοι, καὶ τὸν νικηφόρον ἀναδησάμενοι στέφανον, ἐν τῇ καμίνῳ προσευχόμενοι ἔλεγον· «Ἡμάρτομεν, ἠνομήσαμεν, ἠδικήσαμεν, καὶ ἀπέστημεν ἀπὸ τῶν ἐντολῶν σου, καὶ οὐκ ἐφυλάξαμεν τὰ δικαιώματά σου.[2]» Οὕτως ὁ θαυμάσιος Δανιήλ, οὕτως ὁ θεσπέσιος Ἱερεμίας, οὕτως ὁ θεῖος Ἡσαΐας, οὕτως ὁ σοφώτατος Παῦλος· «Χριστὸς γάρ», φησίν, «εἰσῆλθεν εἰς τὸν κόσμον ἁμαρτωλοὺς σῶσαι, ὧν πρῶτός εἰμι ἐγώ·[3]» καὶ πάλιν· «Οὐκ εἰμὶ ἄξιος καλεῖσθαι ἀπόστολος.[4]» Οὕτω τοίνυν κἀνταῦθα ταῖς παρὰ τῶν

1. Ἰω. 7, 38. 2. Δαν. 3, 29. 3. Α΄ Τιμ. 1, 15. 4. Α΄ Κορ. 15, 9.

δυσσεβῶν τρικυμίαις βαλλομένη ἡ τοῦ Θεοῦ Ἐκκλησία οὐ μέγα φρονεῖ, ὡς ἀγωνιζομένη, ἀλλ' ἁμαρτίαις καὶ πλημμελείαις ἀνατίθησι τὰ γενόμενα, καὶ τῆς παρὰ τοῦ Σωτῆρος ἐπικουρίας ἀπολαῦσαι παρακαλεῖ. Ἄλλως τε, οὐδ' ἐκ τελείων ἅπασα συνέστηκεν ἡ τοῦ Θεοῦ Ἐκκλησία, ἀλλ' ἔχει καὶ τοὺς ῥαστώνῃ συζῶντας, καὶ τὸν ἀνειμένον βίον ἀσπαζομένους, καὶ ἡδοναῖς δουλεύειν αἱρουμένους. Καὶ ἐπειδὴ ἕν ἐστι σῶμα, ὡς ἐξ ἑνὸς προσώπου καὶ ταῦτα κἀκεῖνα προσφέρεται.

Νοήσεις καὶ οὕτως· Ἐπεὶ οὐ δεῖ μακαρίζειν ἄνθρωπον πρὸ τελευτῆς αὐτοῦ, εἰκότως ὁ μὲν ἀπόστολος, καίπερ ἀπόστολος ὢν καὶ κλητὸς καὶ ἐκλεκτὸς Χριστοῦ Ἰησοῦ, ὅμως οὐκ ὀκνεῖ λέγειν· «Ὑποπιέζω μου τὸ σῶμα, καὶ δουλαγωγῶ, μήπως, ἄλλοις κηρύξας, αὐτὸς ἀδόκιμος γένωμαι.[1]» Τὸ αὐτὸ δὲ καὶ ὁ Δαυῒδ εἰ καὶ ἐν πολλοῖς ἐνδειξάμενος, ἔτυχεν ὑπηκόου τοῦ Θεοῦ, ἠλευθέρωτό τε ἐκ λάκκου ταλαιπωρίας καὶ ἀπὸ πηλοῦ ἰλύος· ἐν ἀσφαλεῖ τε ἤδη λοιπὸν ἐστήκει, ὡς ἂν ἐπὶ πέτραν τοὺς πόδας ἐρηρεισμένος, καὶ ᾄσματος καινοῦ ἠξιωμένος τοῦ περὶ θυσιῶν ἀληθοῦς λόγου, τουτέστι τοῦ τῇ Ἐκκλησίᾳ τοῦ Θεοῦ τῇ μεγάλῃ εὐηγγελισμένου κηρύγματος· τοῦτο γὰρ ἦν τὸ καινὸν ᾆσμα, οὗ χάριν ἀνωτέρω ἔλεγε· «Καὶ ἐνέβαλεν εἰς τὸ στόμα μου ᾆσμα καινόν·» ὅμως δ' οὖν, τοσούτων τετυχηκώς, διὰ τὸ σαθρὸν τῆς ἐν ἀνθρώποις ζωῆς ἐπαναλαμβάνει τοὺς τῆς ἱκετηρίας λόγους, ἀντιβολεῖ τε καὶ δέεται φυλάττεσθαι ὑπὸ τῆς χάριτος καὶ τοῦ ἐλέου τοῦ Θεοῦ. Ἀνεπεμπάζετο γὰρ διὰ τούτων καὶ ἀνεπόλα τὰ πρότερον αὐτῷ συμβεβηκότα κακά. Ἡ γοῦν μνήμη τῶν παλαιῶν κακῶν, φυλακτικωτέρους ἡμᾶς ἀπεργάζεται πρὸς τὸ μὴ αὖθις τοῖς αὐτοῖς περιπεσεῖν· ἀλλὰ καὶ τῆς μεταβολῆς τῆς ἀπὸ τῶν χειρόνων ἐπὶ τὰ βελτίω ἡ ἀνάμνησις εὐχαρίστους ἡμᾶς ἀπεργάζεται καὶ συντεταμένους μᾶλλον εἰς προσοχήν. Εἰκότως τοίνυν ἐπαναλαμβάνει τὴν τῶν προτέρων αὐτοῦ ἀνομιῶν μνήμην, διδάσκει τε, ὡς τοὺς τῆς ψυχῆς ὀφθαλμοὺς καιρῷ τινι συνεκάλυψαν αἱ ἀνομίαι αὐτοῦ, δίκην ἀχλύος τῷ τῆς διανοίας βλεπτικῷ ἐπιχυθεῖσαι.

Τὰ δὲ λοιπὰ τοῖς προειρημένοις ἀκολούθως· «Εὐδόκησον, Κύριε, τοῦ ῥύσασθαί με· Κύριε, εἰς τὸ βοηθῆσαί μοι πρόσχες. Καταισχυνθείησαν καὶ ἐντραπείησαν ἅμα οἱ ζητοῦντες τὴν ψυχήν μου τοῦ ἐξᾶραι αὐτήν. Ἀποστραφείησαν εἰς τὰ ὀπίσω καὶ καταισχυνθείησαν οἱ θέλοντές μοι κακά. Κομισάσθωσαν παραχρῆμα αἰσχύνην αὐτῶν οἱ λέγοντές μοι· Εὖγε, εὖγε.» Ἔτι καὶ νῦν αἴσθεται πολλῶν περὶ αὐτὸν ἐχθρῶν ἐπικειμένων τῇ αὐτοῦ ψυχῇ, καὶ περὶ τούτων τὴν προκειμένην εὐχὴν ἀναπέμπει. Οὐ γὰρ παύονται διαφθονούμενοι καὶ τοῖς ἤδη τελείοις καὶ βεβηκόσιν ἐπὶ τὴν πέτραν. Διὸ ῥυσθῆναι ἀπὸ τῶν εἰρημένων ἀξιοῖ, κἀκείνους μὲν καταισχυνθῆναι καὶ ἐντραπῆναι τοὺς ἐκζητοῦντας αὐτοῦ τὴν ψυχὴν τοῦ ἐξᾶραι αὐτήν· αὐτὸν δὲ περιφράττεσθαι

1. Α' Κορ. 9, 27.

ὑπὸ τῆς αὐτοῦ δεξιᾶς. Ἐντρέπονται δὲ καὶ ἀσχημονοῦσιν (οὕτως γὰρ ἐξέδωκεν ὁ Σύμμαχος) οἱ ζητοῦντες τὴν ψυχὴν τοῦ δικαίου, ἐπειδάν, πᾶσαν κατ' αὐτοῦ μηχανὴν ἐπινοήσαντες, ἄπρακτοι γένωνται· εἶθ' ὡς μηδὲν δεδυνημένοι ἀπογνόντες ἀπαλλάττονται, αἰσχύνην καταχεάμενοι. Διὸ μετὰ τὸ ἀσχημονῆσαι αὐτούς, καταισχυνθῆναί τε καὶ ἐντραπῆναι ἐπιλέγει· «Ἀποστραφείησαν εἰς τὰ ὀπίσω, καὶ ἐντραπείησαν οἱ θέλοντες τὰ κακά μοι.» Μηδὲν γὰρ δεδυνημένοι, καὶ μὴ κατελπίσαντες περιγενήσεσθαι, ἀποστρέφονται καὶ ἀπαλλάττονται εἰς τὰ ὀπίσω· εἶτ' ἀπαλλαγέντες καὶ μακρὰν γενόμενοι, τἀπίχειρα τῆς αὐτῶν ἀπολήψονται κακίας· διὸ μετὰ ταῦτα λέλεκται· «Κομισάσθωσαν παραχρῆμα αἰσχύνην αὐτῶν οἱ λέγοντές μοι· Εὖγε, εὖγε.» Ἀνθ' οὗ ὁ Ἀκύλας ἡρμήνευσεν· «Ἀά, ἀά», αὐτῇ συγχρησάμενος οὕτως ἐχούσῃ τῇ Ἑβραϊκῇ φωνῇ. Ἔστι δὲ αὕτη σχετλιαστικὴ τῶν ἤδη νενικημένων καὶ εἰς τὰ ὀπίσω κεχωρηκότων, καὶ τὴν ἑαυτῶν αἰσχύνην ἀπειληφότων. Κατὰ δὲ τοὺς Ἑβδομήκοντα καὶ τὸν Σύμμαχον φήσαντα· «Οἱ λέγοντες περὶ ἐμοῦ· Εὖγε, εὖγε», τάχα ποτὲ οἱ ἐχθροὶ τοῦ δικαίου πολλὰς ἐπιβουλὰς ἐπινοοῦντες κατ' αὐτοῦ, ἐφ' ἑκάστῃ προσδοκῶντες περιγενήσεσθαι, ἔλεγον. «Εὖγε, εὖγε.» Ἀλλὰ πολλάκις τοῦτο, φησίν, εἰρηκότες, διὰ τὴν σὴν χάριν ἀπαλλαττέσθωσαν ἤδη ποτέ, τὴν ἑαυτῶν κομισάμενοι αἰσχύνην.

ΕΙΣ ΤΟ ΤΕΛΟΣ, ΨΑΛΜΟΣ ΤΩ ΔΑΥΙΔ Μ'.

Στίχ. β'-δ'. «Μακάριος ὁ συνιὼν ἐπὶ πτωχὸν καὶ πένητα· ἐν ἡμέρᾳ πονηρᾷ ῥύσεται αὐτὸν ὁ Κύριος. Κύριος διαφυλάξαι αὐτὸν καὶ ζωώσαι αὐτόν, καὶ μακαρίσαι αὐτὸν ἐν τῇ γῇ, καὶ μὴ παραδῷ αὐτὸν εἰς ψυχὴν ἐχθρῶν αὐτοῦ. Κύριος βοηθήσαι αὐτῷ ἐπὶ κλίνης ὀδύνης αὐτοῦ, ὅλην τὴν κοίτην αὐτοῦ ἔστρεψας ἐν τῇ ἀρρωστίᾳ αὐτοῦ.» Προϊὼν ἑξῆς ὁ λόγος ἐπιφέρει· «Καὶ γὰρ ὁ ἄνθρωπος τῆς εἰρήνης μου, ἐφ' ὃν ἤλπισα, ὁ ἐσθίων ἄρτους μου, ἐμεγάλυνεν ἐπ' ἐμὲ πτερνισμόν.» Ταῦτα δὲ ἀναγέγραπται ὁ Σωτὴρ καὶ Κύριος ἡμῶν ἐν τῷ κατὰ Ἰωάννην Εὐαγγελίῳ ὡς ἐξ οἰκείου προσώπου εἰρηκὼς ἐν τῇ πρὸς τοὺς μαθητὰς ὁμιλίᾳ· δι' ὧν ἔφασκεν· «Ἀμήν, ἀμήν, λέγω ὑμῖν· Οὐκ ἔστι δοῦλος μείζων τοῦ κυρίου αὐτοῦ, οὐδὲ ἀπόστολος μείζων τοῦ πέμψαντος αὐτόν.[1] Εἰ ταῦτα οἴδατε, μακάριοί ἐστε ὅταν ποιῆτε αὐτά. Οὐ περὶ πάντων ὑμῖν λέγω· ἐγὼ οἶδα οὓς ἐξελεξάμην· ἀλλ' ἵνα ἡ Γραφὴ πληρωθῇ· Ὁ τρώγων μου τὸν ἄρτον ἐπῆρεν ἐπ' ἐμὲ πτέρναν αὐτοῦ.» Ἄλλη δὲ Γραφὴ τοῦτο φήσασα οὐχ εὑρίσκεται, μόνη δὲ ἡ παροῦσα, δι' ἧς εἴρηται· «Ὁ ἐσθίων ἄρτον μου ἐμεγάλυνεν ἐπ' ἐμὲ πτερνισμόν.» Ὥρα τοιγαροῦν εἰς τὸ αὐτοῦ πρόσωπον τὰ ἐμφερόμενα τῷ ψαλμῷ ὡς ἂν προφητικῶς εἰρημένα ἐκλαβεῖν. Διὸ

1. Ἰω. 13, 16.

καὶ «εἰς τὸ τέλος» ἐπιγέγραπται, ἀναπέμποντα ἡμᾶς ἤτοι ἐπὶ τὴν συντέλειαν τοῦ αἰῶνος καθ' ἣν ἐπληροῦτο τὰ ἀναγεγραμμένα, ἢ ἐπὶ τὰ τελευταῖα τῶν διὰ τοῦ ψαλμοῦ δηλουμένων. Εἰ μὲν οὖν ἐπὶ τοῦ Σωτῆρος ἀναφέροιτο τὰ προκείμενα, εἴποις ἂν μακαρίζεσθαι τὸν δυνάμενον συνιέναι δι' ἣν αἰτίαν ἀνείληφε δι' ἡμᾶς πτωχείαν. «Ἔτι γὰρ πλούσιος ὤν, δι' ἡμᾶς ἐπτώχευσεν, ἵνα ἡμεῖς τῇ αὐτοῦ πτωχείᾳ πλουτήσωμεν·[1] Ἐν μορφῇ τε Θεοῦ ὑπάρχων ἐκένωσεν ἑαυτόν, μορφὴν δούλου λαβών[2]», σαφῶς ἐδίδαξεν ὁ θεῖος Ἀπόστολος. Καὶ ἄλλος δ' ἂν τις συνήσει ἐπὶ πτωχὸν καὶ πένητα, ἀκούων αὐτοῦ λέγοντος ἐν Εὐαγγελίοις· «Δεῦτε, οἱ εὐλογημένοι τοῦ Πατρός μου, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν ἀπὸ καταβολῆς κόσμου. Ἐπείνασα γάρ, καὶ ἐδώκατέ μοι φαγεῖν· ἐδίψησα, καὶ ἐποτίσατέ με· ξένος ἤμην, καὶ συνηγάγετέ με· γυμνός, καὶ περιεβάλετέ με· ἠσθένουν, καὶ ἐπεσκέψασθέ· ἐν φυλακῇ ἤμην, καὶ ἤλθετε πρός με·[3]» οἷς ἐπιλέγει· «Ἐφ' ὅσον ἐποιήσατε ἑνὶ τῶν τούτων τῶν ἐλαχίστων τῶν ἀδελφῶν μου, ἐμοὶ ἐποιήσατε.[4]» Καὶ οὕτως οὖν μακάριος ἀληθῶς ὁ συνιὼν ἐπὶ τὸν οὕτως ἀποδοθέντα πτωχὸν καὶ πένητα. Εἰ δὲ καὶ ἐπὶ τὸν Δαυῒδ ἀναφέροιτο τὰ λελεγμένα, εἴποις ἂν ἀκολούθως τῷ πρὸ τούτου ψαλμῷ ταῦτα συνῆφθαι. Ἐπεὶ γὰρ πρὸς τοῖς τελευταίοις τοῦ λθ' ἐλέγετο ἐκ προσώπου τοῦ Δαυΐδ· «Ἐγὼ δὲ πένης εἰμὶ καὶ πτωχός·» ταῦτα δ' ἔλεγεν ὁ τοσοῦτος βασιλεύς, ὁ τὸν ἄφατον πλοῦτον συναγηοχὼς εἰς τὴν παρασκευὴν τοῦ μετὰ ταῦτα ἐγηγερμένου διὰ Σολομῶνος ναοῦ, σμικρύνων ἑαυτὸν καὶ ταπεινῶν, καὶ τῇ ψυχῇ μετριοφρονῶν, καὶ ἀληθῶς τῇ διαθέσει πτωχεύων· τούτου χάριν ἐπισυνῆπται ὁ παρὼν ψαλμός, μακαρίζων τοῦ συνιέντος ἐπὶ τὸν οὕτω πτωχόν. Τὸ δέ, «πένητα», οὔτε ἐν τῷ Ἑβραϊκῷ, οὔτε παρὰ τοῖς λοιποῖς ἑρμηνευταῖς ἐμφέρεται. Καὶ κατὰ τετάρτην διάνοιαν εἴποι τις ἂν γνωμονικὸν εἶναι τὸν λόγον καὶ παραινετικὸν φιλανθρωπίας καὶ φιλοπτωχίας. Προσήκει γὰρ ἐπὶ τῶν κοινότερον λεγομένων πτωχῶν συμπαθητικοὺς εἶναι καὶ μεταδοτικούς, συνιέντας, ὡς ὁ κρίνων αὐτοὺς πτωχεύειν Θεὸς εἰς ταύτην αὐτοὺς ἤγαγε τὴν κατάστασιν· ὁμοῦ μὲν καὶ αὐτοὺς γυμνάζων διὰ τῆς πτωχείας, ὁμοῦ δὲ καὶ τοὺς ἐν περιουσίᾳ βίου καρποὺς τῆς ἑαυτῶν προαιρέσεως παρέχειν διὰ τῆς εἰς τοὺς ἐνδεεῖς κοινωνίας βεβουλημένος. Πειράζεται γοῦν ὁ πλούσιος διὰ τοῦ πένητος, εἴτε τις ἀνηλεὴς καὶ ἀσυμπάθητος, καὶ ἄσπλαγχνος εἴη, εἴτε φιλάνθρωπος καὶ ἐλεημονικός. Διὸ πολὺς ὁ περὶ τῶν πενήτων καὶ πτωχῶν λόγος ἐν τοῖς θείοις παραγγέλμασι. Καὶ κατὰ πέμπτην δὲ διάνοιαν ἄλλο τάγμα πτωχῶν εὕροις ἄν, τὸ ὑπὸ τοῦ Σωτῆρος μακαριζόμενον κατὰ τό· «Μακάριοι οἱ πτωχοὶ τῷ πνεύματι, ὅτι αὐτῶν ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν·[5]» ἐν οἷς τοὺς κατὰ Θεὸν φιλοσο-

1. Β' Κορ. 8, 9. 2. Φιλιπ. 2, 7. 3. Ματθ. 25, 34-35. 4. Ματθ. 25, 40. 5. Ματθ. 5, 3.

φοῦντας, καὶ τὴν ἔνθεον ἄσκησιν πτωχεύοντας ὁ Σωτὴρ ἐμακάριζεν· οἳ ἦσαν οἱ αὐτοῦ μαθηταὶ καὶ ἀπόστολοι. «Μακάριος» οὖν «ὁ συνιὼν ἐπὶ πτωχόν», ἐπὶ τὸν οὕτω πτωχὸν καὶ πένητα· τῆς ἀγαθῆς ταύτης καὶ τρισμακαρίας συνέσεως καρπὸν λήψεται τὸν ἑξῆς εἰρημένον· «Ἐν ἡμέρᾳ γὰρ πονηρᾷ ῥύσεται αὐτὸν ὁ Κύριος·» ἢ κατὰ τὸν Σύμμαχον, «Ἐν ἡμέρᾳ κακώσεως.» Εἰ γὰρ γένοιτό τις πειρασμός, ἢ περιπέσοι ποτὲ συμφορᾷ καὶ περιστάσει, ὥσπερ αὐτὸς συνῆκεν ἐπὶ πτωχὸν καὶ πένητα, οὕτω καὶ αὐτοῦ εὐκαίρως συνήσει ὁ Κύριος, μετρῶν αὐτῷ τὸ ἴσον μέτρον ᾧ ἐμέτρησεν.

«Κύριος φυλάξαι αὐτὸν καὶ ζήσαι αὐτόν.» Ἀλλὰ καὶ φυλάξει αὐτὸν καὶ ζῆσαι ποιήσει αὐτόν· ἢ κατὰ τὸν Σύμμαχον· «Φυλάξει αὐτόν, καὶ περισώσει αὐτόν.» Καὶ τρίτον δὲ αὐτῷ παρέξει, «μακαρίσει αὐτὸν ἐν τῇ γῇ·» ἢ κατὰ τὸν Σύμμαχον, «Μακαριστὸς ἔσται ἐν τῇ γῇ.» Ὡς ἔτι γὰρ ἐν τῇ γῇ ταύτῃ τυγχάνει, τῆς παρὰ τοῦ Θεοῦ μακαριότητος τεύξεται, μενόντων αὐτὸν τῶν μετὰ ταῦτα ἐπηγγελμένων οὐρανίων ἀγαθῶν. Τούτοις ἐπιλέγει· «Καὶ μὴ παραδῷ αὐτὸν εἰς χεῖρας ἐχθρῶν αὐτοῦ·» ἀνθ' οὗ ὁ Σύμμαχός φησι· «Καὶ οὐκ ἐκδώσει αὐτὸν εἰς ψυχὰς ἐχθρῶν.»

Ἰστέον δέ, ὡς τό· «Ἐγὼ εἶπα, Κύριε, ἐλέησόν με», τινὲς ἐκ προσώπου τοῦ Δαυῒδ εἰρῆσθαί φασιν· ἢ παρεμβεβλημένον ἐν τῷ μέσῳ, ἢ ἕως ἐκεῖ περιγράφοντες τὰ λεγόμενα ὑπ' αὐτοῦ.

Στίχ. ι'-ιδ'. «Καὶ γὰρ ὁ ἄνθρωπος τῆς εἰρήνης μου, ἐφ' ὃν ἤλπισα, ὁ ἐσθίων ἄρτους μου, ἐμεγάλυνεν ἐπ' ἐμὲ πτερνισμόν.»

Κατὰ δὲ τὸν Σύμμαχον· «Ἀλλὰ καὶ ἄνθρωπος ὃς εἰρήνευέ μοι», φησίν, «ᾧ ἐπεποίθειν, συνεσθίων μοι ἄρτον ἐμόν, κατεμεγαλύνθη μου ἀκολουθῶν·» ἢ κατὰ τὸν Ἀκύλαν· «Κατεμεγαλύνθη μου πτέρνᾳ.» Τῆς δὲ τοῦ Σωτῆρος εἰρήνης ἦν ἄνθρωπος ὁ Ἰούδας, ἀκούσας καὶ αὐτὸς μετὰ τῶν λοιπῶν μαθητῶν τοῦ Σωτῆρος λέγοντος· «Εἰρήνην τὴν ἐμὴν δίδωμι ὑμῖν, εἰρήνην τὴν ἐμὴν ἀφίημι ὑμῖν.[1]» Ἀλλὰ καί· «Ἐφ' ὃν ἤλπισα», φησί· ἢ κατὰ τὸν Ἀκύλαν, «ἐπεποίθησα», ἢ κατὰ τὸν Σύμμαχον, «ἐπεποίθειν·» ἐπειδήπερ καὶ αὐτῷ ὁμοίως τοῖς λοιποῖς ἀποστόλοις τῶν ἴσων μετεδίδου χαρισμάτων. Ἐπεποίθει δὲ ἐπ' αὐτῷ ὁ Σωτήρ, καὶ ἀγαθὰς εἶχεν ἐλπίδας ἐπ' αὐτῷ, διὰ τὸ καὶ ἐπ' αὐτῷ αὐτεξούσιον. Οὐ γὰρ ἦν φύσεως ἀδυνάτου σῴζεσθαι ὁ Ἰούδας· ἀλλ' οἷός τε ἦν, θελήσας, ὁμοίως τοῖς λοιποῖς ἀποστόλοις μαθητευθῆναι τῷ Υἱῷ τοῦ Θεοῦ, καὶ καλὸς καὶ ἀγαθὸς μαθητὴς ἀποτελεῖσθαι· συνέστιος δὲ ὢν τῷ Διδασκάλῳ, οὐ τὸν κοινὸν ἄρτον αὐτῷ μόνον συνήσθιεν, ἀλλὰ καὶ τοῦ τῆς ψυχῆς θρεπτικοῦ μεταλαμβάνειν ἠξιοῦτο· περὶ οὗ ἔλεγεν ὁ Σωτήρ· «Ἐγώ εἰμι ὁ ἄρτος ὁ ἐκ τοῦ οὐρανοῦ καταβάς, καὶ ζωὴν διδοὺς τοῖς ἀνθρώποις.[2]» Οὗτος οὖν ὁ τοσούτων ἠξιωμένος τὴν πτέρναν αὐτοῦ ὥσπερ λὰξ ἐντείνων κατὰ τοῦ Σωτῆρος

1. Ἰω. 14, 27. 2. Ἰω. 6, 51.

ἐπῆρε· διὸ λέλεκται· «Ἐμεγάλυνεν ἐπ' ἐμὲ πτερνισμόν.» Ἀντὶ δὲ τοῦ, «πτερνισμόν», παρὰ τοῖς Ἑβδομήκοντα εἰρημένον, ἡ Ἑβραϊκὴ ἀνάγνωσις «πτέρναν» περιέχει. Οὕτως οὖν δουλεύσας τῷ Ἑβραϊκῷ ὁ Ἀκύλας ἐξέδωκεν. Ὅθεν καὶ ὁ εὐαγγελιστὴς Ἰωάννης, ὡς ἂν Ἑβραῖος ἐξ Ἑβραίων, τὸν Σωτῆρα, οὐ «πτερνισμόν», ἀλλὰ καὶ «πτέρναν» ὠνομακέναι ἐμνημόνευσεν.

Εἰς τό· «Ἐμοῦ διὰ τὴν ἀκακίαν ἀντελάβου·» ἢ κατὰ τὸν Ἀκύλαν καὶ Σύμμαχον, «διὰ τὴν ἁπλότητα·» ἐπειδήπερ «ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη, καὶ ὡς ἀμνὸς ἐναντίον τοῦ κείραντος ἄφωνος, οὕτως οὐκ ἀνοίγων τὸ στόμα·[1]» καί, «Λοιδορούμενος οὐκ ἀντελοιδόρει· πάσχων οὐκ ἠπείλει·[2]» τὴν ἄκραν δὲ ἀνεξικακίαν ἐνδεικνύμενος ἐν τῷ κατηγορεῖσθαι ἐσιώπα, ψευδομαρτυρούμενός τε οὐδὲν ἀπεκρίνατο· ἀλλὰ καὶ τὸν νῶτον αὐτοῦ δέδωκεν εἰς μάστιγας καὶ τὰς σιαγόνας εἰς ῥαπίσματα· τὸ δὲ πρόσωπον οὐκ ἀπέστρεψεν ἀπὸ αἰσχύνης ἐμπτυσμάτων. Διό φησιν· «Ἐμοῦ δὲ διὰ τὴν ἀκακίαν ἀντελάβου, καὶ ἐβεβαίωσάς με ἐνώπιόν σου εἰς αἰῶνα.» Τούτοις πᾶσιν ἐπὶ τέλει τὸ προφητικὸν πνεῦμα εὐχαριστήριον φωνὴν ἀναπέμπει τῷ Θεῷ λέγον· «Εὐλογητὸς Κύριος ὁ Θεὸς Ἰσραὴλ ἀπὸ τοῦ αἰῶνος καὶ εἰς τὸν αἰῶνα· γένοιτο, γένοιτο·» ἢ κατὰ τὸν Ἀκύλαν, «πεπιστωμένως, πεπιστωμένως·» κατὰ δὲ τὸν Σύμμαχον· «Ἀμήν, ἀμήν·» ἔνθεν ὁ Σωτὴρ καὶ Κύριος ἡμῶν ἐν τοῖς ἑαυτοῦ διαλόγοις εἰς πίστωσιν τῶν ὑπ' αὐτοῦ λεγομένων παραλαμβάνειν εἴωθε τό· «Ἀμὴν λέγω ὑμῖν·» οὗ τὴν διάνοιαν σαφέστερον ἡρμήνευσεν ὁ Ἀκύλας εἰπών, «πεπιστωμένως, πεπιστωμένως.»

Ἀλλὰ γὰρ διῃρημένης τῆς ὅλης βίβλου τῶν ψαλμῶν εἰς πέντε μέρη, τὸ πρῶτον μέρος ἐνταῦθα περιγράφεται, ἀρχόμενον μὲν ἀπὸ τοῦ α' ψαλμοῦ, τελευτῶν δὲ εἰς τὸν μετὰ χεῖρας. Ὥρα δὴ οὖν μεταβῆναι ἐπὶ τὸν δεύτερον· ὅπερ ἄρχεται μὲν ἀπὸ τοῦ μα' ψαλμοῦ, συμπεραιοῦται δὲ εἰς τὸν οα'.

ΕΙΣ ΤΟ ΤΕΛΟΣ, ΕΙΣ ΣΥΝΕΣΙΝ ΤΟΙΣ ΥΙΟΙΣ ΚΟΡΕ ΜΑ'.

Τὸ μὲν πρῶτον μέρος τῆς τῶν ψαλμῶν βίβλου μ' ψαλμούς, καὶ πάντας τοῦ Δαυΐδ, περιεῖχε· τὸ δὲ μετὰ χεῖρας λα'· ὧν ὀκτὼ μέν εἰσι τῶν υἱῶν Κορέ, εἷς δὲ τοῦ Ἀσάφ, καὶ Σολομῶνος εἷς· οἱ δὲ λοιποὶ τοῦ Δαυΐδ. Πρώτους δὲ τούτων ὄντας, τοὺς τῶν υἱῶν Κορέ, διασκεψώμεθα, ἐπὶ τὸ συνιέναι τὰ λεγόμενα. Παρορμῶσιν ἡμᾶς οἱ υἱοὶ Κορὲ διὰ τῶν προγραφῶν πρὸς τὸ μὴ παρέργως χρήσασθαι τῇ τῶν λεγομένων ἐντεύξει. Εἰσάγει δὲ ὁ παρὼν ψαλμὸς τὸν προφητικὸν χορὸν περίλυπον καὶ σκυθρωπὸν τὴν ψυχὴν ἐπὶ τῇ τοῦ λαοῦ τοῦ ἐκ περιτομῆς ἐκπτώσει· καὶ ἐξαιτεῖ τε λύτρωσιν καὶ κακῶν ἐλευθερίαν διὰ τῆς

---

1. Ἡσ. 53, 7. 2. Α' Πέτρ. 2, 23.

σωτηρίου βοηθείας. Ὃ δὴ καὶ ἐπὶ τέλει τοῦ λόγου ἐπισφραγίζεται εἰπών· «Ἔλπισον ἐπὶ τὸν Θεόν, ὅτι ἐξομολογήσομαι αὐτῷ· σωτήριον τοῦ προσώπου μου καὶ ὁ Θεός μου.»

Οὔτε ψαλμόν, οὔτε ᾠδήν, οὔτε τι τῶν τοιούτων ἡ προσγραφὴ περιέχει· καὶ εἰκότως. Ἐπειδήπερ σκυθρωποτέρων λόγων πεπλήρωται τὰ ἑξῆς ἐπιλεγόμενα, διὰ ταῦτα ἁπλῶς «εἰς τὸ τέλος» ἐπιγέγραπται. Μὴ γὰρ ὑφεστώτων πραγμάτων, μελλόντων δέ ποτε ἔσεσθαι, προρρήσεις περιέχει. Γεγόνασι μὲν γὰρ οἱ υἱοὶ Κορὲ ἐπὶ τῆς ἐρήμου κατὰ τοὺς χρόνους Μωϋσέως. Εἶτα τοῦ πατρὸς αὐτῶν τοῦ Κορὲ καταστασιάσαντος Μωϋσέως, καὶ ἀπολομένου τῇ αὐτοῦ φρατρίᾳ, τοὺς τούτου παῖδας συνέβη μὴ συναπολέσαι τῷ πατρί· διὰ τὸ μὴ κεκοινωκέναι αὐτοὺς τῇ τοῦ πατρὸς δυσσεβείᾳ, μετάνοιαν δὲ ἐνδειξαμένους καὶ πλείστην περὶ τὸν Θεὸν εὐλάβειαν, τοσαύτης ἀποδοχῆς ἠξιωκέναι παρὰ τῷ Θεῷ, ὡς καὶ προφητικοῦ χαρίσματος μετασχεῖν. Ἐκ δὲ τῆς τούτων διαδοχῆς κατὰ τοὺς χρόνους Δαυῒδ γίνεται ἕτερος Κορέ, ὁμώνυμος τῷ προτέρῳ, καὶ τούτου ἕτεροι παῖδες. Εἴτ' οὖν οὗτοι, εἴτε οἱ πρότεροι, τὴν μακρὰν ὕστερον γενομένην αἰχμαλωσίαν τοῦ λαοῦ καὶ τὴν εἰς πάντα τὰ ἔθνη τοῦ Ἰουδαίων ἔθνους διασπορὰν θεσπίζουσι διὰ τὸν μετὰ χεῖρας. Προϊόντες γοῦν φασι· «Καὶ οἱ μισοῦντες ἡμᾶς διήρπαζον αὐτούς. Ἔδωκας ἡμᾶς ὡς πρόβατα βρώσεως, καὶ ἐν τοῖς ἔθνεσι διέσπειρας ἡμᾶς. Ἀπέδου τὸν λαόν σου ἄνευ τιμῆς· καὶ ἔθου ἡμᾶς ὄνειδος τοῖς γείτοσιν ἡμῶν.[1]» Οὐ γὰρ ἐπὶ τοῦ Δαυῒδ ταῦτα ἡ ἱστορία γεγενῆσθαι περιέχει· διὰ τοῦτο προγέγραπται «εἰς τὸ τέλος.» Καὶ ἐπὶ θείκῆς δὴ συνέσεως τῷ μέλλοντι ταῦτα νοεῖν ἀναγκαίως εἴρηται, «εἰς σύνεσιν.» Ἀντὶ δὲ τοῦ, «τοῖς υἱοῖς Κορέ», συμφώνως ὁ Ἀκύλας καὶ ὁ Σύμμαχος, «τῶν υἱῶν Κορέ», ἡρμήνευσαν, διδάσκοντες αὐτῶν εἶναι τὰς προφητείας· οἳ διψῆν ὡμολόγουν αὐτὸν τὸν Θεόν, πόθον τε καὶ ἵμερον, καὶ ἐπιθυμίαν ἔχειν τῆς παρ' αὐτῷ πηγῆς, περὶ ἧς εἴρηται· «Ὅτι παρὰ σοὶ πηγὴ ζωῆς, ἐν τῷ φωτί σου ὀψόμεθα φῶς.[2]» Διὸ ἔλεγον·

Στίχ. β', γ'. «Ὃν τρόπον ἐπιποθεῖ ἔλαφος ἐπὶ τὰς πηγὰς τῶν ὑδάτων, οὕτως ἐπιποθεῖ ἡ ψυχή μου πρὸς σέ, ὁ Θεός.»

Κερασφόρον ζῷον ἡ ἔλαφος· ἀλλὰ καὶ καθαρὸν κατὰ τὸν νόμον, ἤδη δὲ καὶ ὀφιοκτόνον, καὶ πάντων ἑρπετῶν ἀναιρετικόν, ἀλλὰ καὶ τῶν τὰς ἐρήμους μεταδιωκόντων. Τοιοῦτος δὲ ἦν ὁ προφητικὸς χορός, φιλέρημος καὶ ἀνακεχωρηκώς. Ἐν ἐρημίαις γοῦν καὶ ὄρεσι, καὶ σπηλαίοις πεποιῆσθαι λέγονται τὰς διατριβάς· ἀλλὰ καὶ πάσης ἐτύγχανον ἀντικειμένης δυνάμεως, καὶ παντὸς τοῦ κατὰ διάνοιαν ἑρπετοῦ ἀναιρετικοί, ὡς ἂν ἔχοντες καὶ αὐτοὶ πατεῖν ἐπάνω ὄφεων καὶ σκορπίων, καὶ ἐπὶ πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ. Κερασφόροι δὲ ὑπῆρχον, ὡς λέγειν δύνασθαι· «Ἐν σοὶ τοὺς ἐχθροὺς ἡμῶν κερατιοῦμεν.[3]» Ἀλλὰ

1. Ψαλμ. 43, 11-14. 2. Ψαλμ. 35, 10. 3. Ψαλμ. 43, 6.

καὶ καθαροὶ τὴν ψυχὴν ἐτύγχανον, εἰ καί τινες ἄλλοι· διὸ ἐλάφῳ παρεβάλλοντο. Ἐπεὶ καὶ αὐτὸς ὁ νυμφίος ἐν Ἄσματι ᾀσμάτων νεβρῷ ἐλάφῳ ἀφωμοίωτο[1], καὶ ἐν τῷ Ἰὼβ δὲ εἴρηται· «Ἐφύλαξας δὲ μῆνας ἐλάφων ὠδῖνάς τε· αὐτοὺς ἐξαποστελεῖς.[2]» Τοιαύτας δὲ λογικὰς ἐλάφους ὁ Κύριος καταρτίζεσθαι λέγεται ἐν κη' ψαλμῷ, φάσκοντι· «Φωνὴ Κυρίου καταρτιζομένη ἐλάφους.[3]»

Αὗται τοίνυν αἱ ἔλαφοι, τῆς πηγῆς διαλειπούσης αὐτὰς διὰ τὰς ἀνομίας τοῦ λαοῦ, καὶ ἀποστραφέντος τοῦ Θεοῦ, καθ' ἑαυτὰς ἀπεκλαίοντο, καὶ τοῖς ἑαυτῶν δάκρυσιν ἐχρῶντο τροφῇ, νυκτὸς καὶ ἡμέρας τὴν ἀπώλειαν τοῦ λαοῦ ἀποθρηνοῦσαι· ὡμολόγουν τε διψῆν οὐ τοῖς σώμασι καὶ ταῖς σαρξὶ τὰς τούτῳ φίλας ἡδονάς, ἀλλ' αὐτὴ ἡ ψυχὴ ποθεῖν καὶ ἱμείρεσθαι κατὰ τὸν Σύμμαχον «τῆς πρὸς τὸν Θεὸν πορείας.» Διὸ ἔλεγον· «Οὕτως ἐπιποθεῖ ἡ ψυχή μου πρὸς σέ, ὁ Θεός·» καὶ πάλιν· «Ἐδίψησεν ἡ ψυχή μου πρὸς τὸν Θεὸν τὸν ἰσχυρὸν τὸν ζῶντα.» Ζῆν γὰρ τὸν Κύριον κατὰ τὸ εἰρημένον, «Ὁ μόνος ἔχων ἀθανασίαν·[4]» καὶ μόνον ζωὴν ἔχειν παρ' ἑαυτῷ, κατὰ τό· «Ὅτι παρὰ σοὶ πηγὴ ζωῆς[5]», ᾔδεσαν. Καὶ τοῦτό γε τὸ ζῶν ὕδωρ, ὕστερόν ποτε ἐπιστᾶσα κατὰ τὰς τῶν προφητῶν εὐχὰς ἡ πηγή, αὐτὸς ὁ Σωτὴρ παρέχειν ἀνθρώποις ἐδίδασκεν, ὧδέ πη λέγων· «Ὃς ἂν πίῃ ἐκ τοῦ ὕδατος οὗ ἐγὼ δώσω αὐτῷ, γενήσεται ἐν αὐτῷ πηγὴ ὕδατος ζῶντος ἀλλομένου εἰς ζωὴν αἰώνιον.[6]» Καὶ πάλιν· «Εἴ τις διψᾷ ἐρχέσθω πρός μέ, καὶ πινέτω. Ὁ πιστεύων εἰς ἐμέ, καθὼς εἶπεν ἡ Γραφή, ποταμοὶ ἐκ τῆς κοιλίας αὐτοῦ ῥεύσουσιν ὕδατος ζῶντος.[7]» Τούτου δὴ οὖν τοῦ πόματος ὁ προφητικὸς χορὸς διψῶν ἔλεγεν· «Ἐδίψησεν ἡ ψυχή μου πρὸς τὸν Θεὸν τὸν ἰσχυρὸν τὸν ζῶντα», καί, «Πότε ἥξω, καὶ ὀφθήσομαι τῷ προσώπῳ τοῦ Θεοῦ;» Ὁρῶντες γὰρ ἑαυτοὺς μακρὰν ὑπάρχοντας τῆς πρόσωπον πρὸς πρόσωπον θέας τοῦ Θεοῦ, ταῦτα ἔλεγον. Ἀλλὰ καὶ συναισθόμενοι, ὡς ἀπέστραπτο τὸν λαὸν τὸ τοῦ Θεοῦ πρόσωπον, οὐκέτ' αὐτοὺς ἐπισκοπεῖ ἡ πάντοτε πρόνοιαν αὐτῶν ποιουμένη δύναμις, ἀπεθρήνουν μὲν τὴν ἐπὶ γῆς διατριβήν, εὐχὴν δ' ἐτίθεντο παραστῆναί ποτε τῷ προσώπῳ τοῦ Θεοῦ· διὸ ἔλεγον· «Πότε ἥξω, καὶ ὀφθήσομαι τῷ προσώπῳ τοῦ Θεοῦ;» Πολλῆς δὲ γέμοντες παρρησίας καὶ συνειδήσεως ἀγαθῆς τοιαύταις ἐχρῶντο φωναῖς. Ὡς γὰρ ὅλοι διόλου τὰς ψυχὰς ὑγιεῖς καὶ παντὸς μώμου καὶ σπίλου, καὶ μολυσμοῦ κεκαθαρμένοι, ὀφθῆναι ἠξίουν τῷ προσώπῳ τοῦ Θεοῦ. Ὁ δὲ ἁμαρτάνων φεύγει τὸ πρόσωπον, καὶ παραιτεῖται δι' εὐχῆς καὶ ἱκετηρίας λέγων· «Ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου.[8]»

Πάντα τὰ ἐπὶ γῆς ἀποστρεφόμενος, καὶ πᾶσαν τρυφὴν τὴν ἐν ἀνθρώποις βδελυττόμενος, μόνῳ δὲ ἄρτῳ ἐπάναγκες χρώμενος, καὶ τούτῳ μετὰ δακρύων, ἐρεῖ·

---

1. Ἆσμ. 2, 9, 17. 2. Ἰὼβ 39, 1. 3. Ψαλμ. 28, 9. 4. Α' Τιμ. 6, 16. 5. Ψαλμ. 35, 10. 6. Ἰω. 4, 13-14. 7. Ἰω. 7, 37-38. 8. Ψαλμ. 50, 11.

Στίχ. δ'-η'. «Ἐγενήθη τὰ δάκρυά μου ἄρτος μοι ἡμέρας καὶ νυκτός.»

Ὁ δὲ τῶν προφητῶν χορός, ἐπεὶ ἑώρα τὸ πρόσωπον τοῦ Θεοῦ ἀποστραφὲν πάντα τὸν λαόν, τὴν τῶν πολλῶν ἀπώλειαν ἑαυτοῦ εἶναι ζημίαν ἡγούμενος, τοὺς ὑπὲρ ἁπάντων ἀνεδέχετο θρήνους· εἰς τοσοῦτον δὲ ἐπέτεινον τὴν κακοπάθειαν οἱ τοῦ Θεοῦ ἄνθρωποι, ὡς τοῖς δάκρυσιν ἑαυτῶν τρέφεσθαι καὶ διὰ πάσης ἡμέρας καὶ νυκτὸς παραιτεῖσθαι μὲν καὶ αὐτὸν τὸν ἄρτον, μόνῳ δὲ τῷ κλαυθμῷ σχολάζειν. Μάλιστα δὲ ταῦτ' ἔπραττον καὶ ταῦτ' ἔπασχον, ἀκούοντες αὐτοῦ τοῦ λαοῦ, μᾶλλον δὲ τῶν ἀσεβῶν τῶν ἐν αὐτῷ λεγόντων· «Ποῦ ἐστιν ὁ Θεός σου;» Οὐ γὰρ δήπου οἱ ἐχθροὶ καὶ πολέμιοι καθ' ἑκάστην ἡμέραν ταῦτα αὐτοῖς ἔλεγον· ἀλλ' εἰκὸς τοὺς ἐν τῷ ἔθνει ἀπίστους ὡς μάτην θεοσεβοῦντας καὶ εἰκῇ μοχθοῦντας τοὺς προφήτας καταμέμφεσθαι καὶ λέγειν αὐτοῖς· «Ποῦ ἐστιν ὁ Θεός σου;» Ἃ δὴ παρὰ τῶν ἀδελφῶν καὶ συγγενῶν, καὶ γνωρίμων ἀκούοντες, τὰ τοῦ πένθους ἐπέτεινον· διό φασι· «Ταῦτα ἐμνήσθην, καὶ ἐξέχεα ἐπ' ἐμὲ τὴν ψυχήν μου.» Οὐ γὰρ ἔξω τὴν ἐμαυτοῦ ταραχὴν ἐνέφαινον, ἀλλ' ἔνδον ἐν τῇ ἐμαυτοῦ ψυχῇ κρύπτων τὴν ἐμὴν ἀλγηδόνα καὶ παρ' ἐμαυτῷ συγχεόμενος. Τοιοῦτον δέ τι πεπονθὼς ὁ Ἀπόστολος ἔλεγεν· «Ἀλλ' αὐτοὶ ἐν ἑαυτοῖς τὸ ἀπόκριμα τοῦ θανάτου ἐσχήκαμεν.[1]» Οὕτως οὖν καὶ νῦν. «Ἐξέχεα ἐπ' ἐμὲ τὴν ψυχήν μου», φασί. Τελείου δ' ἐστὶ τὸ δύνασθαι τοῦτο λέγειν.

Λεγόντων μοι, φησί, τῶν ὀνειδιζόντων με· «Ποῦ ἐστιν ὁ Θεός σου;» ἐδακνόμην μὲν τῇ λύπῃ καὶ ὑπερήλγουν τὴν ψυχὴν πληττόμενος ὑπὸ τῶν λόγων τῶν ἀσεβῶν. Ὅμως δ' οὖν ἐν ἐμαυτῷ συνεῖχον τοὺς ἐμαυτοῦ λογισμούς, πρὸς τὸ μὴ προχυθῆναι καὶ τῆς προκειμένης μοι τοῦ Θεοῦ ἐκπεσεῖν ἐλπίδος. Ἀνέφερον γὰρ τῇ μνήμῃ τὸ περιμένον με τέλος· ἐπεὶ μὴ ἠγνόουν, ὅτι «Μακάριοι οἱ πενθοῦντες, ὅτι παρακληθήσονται.[2]» Διὸ δὴ ἀκριβῶς ἐπιστάμενος, «ὅτι» μετὰ τὰ σκυθρωπὰ «διελεύσομαι ἐν τόπῳ σκηνῆς θαυμαστῆς ἕως τοῦ οἴκου τοῦ Θεοῦ, ἐν φωνῇ ἀγαλλιάσεως καὶ ἐξομολογήσεως ἤχου ἑορτάζοντος, ταῦτα ἐμνήσθην·» καὶ οὐκ ἐξέπιπτον τῆς ἐλπίδος, ἀλλ' εἴσωπερ ἐμαυτῷ «ἐξέχεα τὴν ψυχήν μου.» Καὶ ἐπειδὴ τοιαύτας ὑπέγραφεν ἑαυτῷ ἐλπίδας, εἰκότως αὐτὸς ἑαυτὸν θεραπεύει καὶ λέγει· «Ἵνα τί περίλυπος εἶ, ἡ ψυχή μου, καὶ ἵνα τί συνταράσσεις με; Ἔλπισον ἐπὶ Θεόν, ὅτι ἐξομολογήσομαι αὐτῷ σωτήριον τοῦ προσώπου μου καὶ ὁ Θεός μου·» θαρσεῖ γὰρ ἑαυτῷ καὶ τὰ παρόντα λυπηρὰ γενναίως φέρειν παρεκελεύετο. Λέγων δὲ ὁ Σύμμαχος, «Ὅτι ἐξελεύσομαι εἰς τὴν σκηνήν, διαβασταχθήσομαι ἕως τοῦ οἴκου τοῦ Θεοῦ, μετὰ φωνῆς εὐφημίας καὶ ἐξομολογήσεως πλήθους πανηγυριζόντων·» ἢ κατὰ τὸν Ἀκύλαν, «Αἰνέσεως καὶ εὐχαριστίας ὄχλου ἑορτάζοντος·» παρίστη ὁποῖον ἔσται τὸ τέλος τῶν ἐν τῷ παρόντι βίῳ πᾶν τὸ ἐπιὸν γενναίως ὑπομενόντων.

---

1. Β' Κορ. 1, 9. 2. Ματθ. 5, 4.

Διαδέξεται γὰρ τούτους τὸ τρισμακάριον τέλος, ἡ θαυμαστὴ σκηνὴ τοῦ Θεοῦ, καὶ ὁ ἐνδοτάτω αὐτῆς οἶκος αὐτοῦ. ἐν ᾧ οἱ ἄξιοι διαβασταζόμενοι, καὶ μετέωροι ὑπὸ ἀγγελικῶν δυνάμεων αἰρόμενοι εἰσαχθήσονται. Ἃ δὴ καὶ ὁ Ἀπόστολος εἰδὼς ἔλεγεν· «Ἁρπαγησόμεθα ἐν νεφέλαις εἰς ἀπάντησιν τοῦ Κυρίου εἰς ἀέρα, καὶ οὕτω πάντοτε σὺν Κυρίῳ ἐσόμεθα.[1]»

Σκηνὴν δὲ θαυμαστὴν τοῦ Θεοῦ ὀνομάζει πρὸς ἀντιδιαστολὴν ἑτέρας οὐ θαυμαστῆς, ὁποία ἦν ἡ ἐπὶ Μωϋσέως ἐπὶ γῆς κατεσκευασμένη. Θαυμαστὴν δὲ ἀληθῶς σκηνὴν νοήσεις, ἣν οἱ μακάριοι τοῦ Θεοῦ ἐν ἐλπίσιν ἐτίθεντο. Αὕτη δὲ ἦν ἡ ἐπουράνιος, ἧς τύπους κατεσκεύαζε Μωϋσῆς ἐπὶ τῆς ἐρήμου. Περὶ ἧς θαυμαστῆς σκηνῆς καὶ ὁ θεῖος Ἀπόστολος διδάσκων ἔλεγεν· «Τοιοῦτον ἔχομεν ἀρχιερέα, ὃς ἐκάθισεν ἐν δεξιᾷ τοῦ θρόνου τῆς μεγαλοσύνης ἐν τοῖς οὐρανοῖς, τῶν ἁγίων λειτουργὸς καὶ τῆς σκηνῆς τῆς ἀληθινῆς, ἣν ἔπηξεν ὁ Κύριος, οὐκ ἄνθρωπος·[2]» οἷς ἐπιλέγει ἑξῆς· «Οἵτινες ὑποδείγματι καὶ σκιᾷ λατρεύουσι τῶν ἐπουρανίων, καθὼς κεχρημάτισται Μωϋσῆς μέλλων ἐπιτελεῖν τὴν σκηνήν. Ὅρα», γάρ φησι, «ποιήσεις πάντα κατὰ τὸν τύπον τὸν δειχθέντα σοι ἐν τῷ ὄρει.[3]» Ἀλλὰ ταῦτα μὲν εἰκόνες ἦσαν καὶ σύμβολα τῶν ἐπουρανίων. «Χριστὸς δέ, παραγενόμενος ἀρχιερεὺς τῶν μελλόντων ἀγαθῶν, διὰ τῆς μείζονος καὶ τελειοτέρας σκηνῆς οὐ χειροποιήτου, τουτέστιν οὐ ταύτης τῆς κτίσεως, οὐδὲ δι' αἵματος τράγων καὶ μόσχων, διὰ δὲ τοῦ ἰδίου αἵματος εἰσῆλθεν ἐφάπαξ εἰς τὰ ἅγια, αἰωνίαν λύτρωσιν εὑράμενος.[4]» Εἰ δὲ «χαρὰ γίνεται ἐν τοῖς οὐρανοῖς» τῶν ἀγγέλων τοῦ Θεοῦ «ἐπὶ ἑνὶ ἁμαρτωλῷ μετανοοῦντι[5]», εἰκότως, θεοφιλοῦς ψυχῆς μετὰ τὸν αὐτάρκη καὶ τὸν παρόντα βίον διὰ γυμνασίαν καταξιουμένης τῆς εἰς τὰ ἅγια τὰ ἐπουράνια εἰσόδου, φωνὴ γίνεται εὐφημίας πλήθους πανηγυριζόντων καὶ εὐχαριστούντων ἐπὶ τῇ σωτηρίᾳ τοῦ σῳζομένου. Ἃ δὴ πεπεισμένος εἶναι ἀληθῆ ὁ τούτοις μαθητευθείς, εἰκότως πρὸς ἑαυτὸν φάσκει· «Ἵνα τί περίλυπος εἶ, ἡ ψυχή μου, καὶ ἵνα τί συνταράσσεις με;» Ἢ κατὰ τὸν Σύμμαχον· «Τί κατακάμπτη, ἡ ψυχή μου, καὶ τί θορυβῇ κατ' ἐμοῦ; Ἀνάμεινον τὸν Θεόν, ὅτι διηνεκῶς ἐξομολογήσομαι αὐτῷ τὰς σωτηρίας τοῦ προσώπου αὐτοῦ·» ἤ, «Ταῖς σωτηρίαις τοῦ προσώπου αὐτοῦ», κατὰ τὸν Ἀκύλαν. Γενόμενος γὰρ ὅσον οὐδέπω ἐν τῇ σκηνῇ τοῦ Θεοῦ, καὶ ὑπὸ ἀγγέλων ἁγίων διαβασταχθεὶς διὰ τὸ ὕψος καὶ τὸ ἔπαρμα αὐτῆς τὸ ἐπουράνιον, παραστήσομαι τῷ προσώπῳ τοῦ Θεοῦ, καὶ τεύξομαι τῆς θέας τοῦ σωτηρίου αὐτοῦ· τούτων ἀξιωθείς, κατὰ καιρὸν ἀναπέμψω τὴν ἐξομολόγησιν καὶ τὴν ὀφειλομένην εὐχαριστίαν αὐτῷ.

Τὰ μὲν ἐν ἐλπίσιν ἀποκείμενά μοι ταῦτ' ἔστι τὰ λελεγμένα.

---

1. Α' Θεσσ. 4, 16. 2. Ἑβρ. 8, 1-2. 3. Ἑβρ. 8, 5. 4. Ἑβρ. 9, 11-12. 5. Λουκ. 15, 7.

Τέως δ' ἐπὶ τοῦ παρόντος πολλῶν με ταραττόντων, αὐτὸς οὐχ οὕτως ἐταραττόμην, ὡς ἐκπεσεῖν καὶ φανερῶς γενέσθαι τοῖς ταράττουσιν· ἀλλ' ὥσπερ ἀνωτέρω, «ἐξέχεα ἐπ' ἐμὲ τὴν ψυχήν μου», οὕτω καὶ ἐνταῦθα «πρὸς ἐμαυτὸν ἡ ψυχή μου ἐταράχθη.» Κατὰ δὲ τὸν Σύμμαχον, «Ἐπ' ἐμέ», φησίν, «ἡ ψυχή μου κατατήκεται, ὅταν ἀναμιμνήσκωμαί σου ἀπὸ γῆς Ἰορδάνου καὶ ἀπὸ Ἑρμωνιείμ, ὄρους μικροτάτου. Ἄβυσσος ἀβύσσῳ ἀπαντᾷ ἀπὸ ἤχου τῶν κρουνῶν σου.» Δοκεῖ δέ μοι ἡ τῶν εἰρημένων διάνοια τοῦτον ἔχειν τὸν νοῦν· Μετὰ τὴν Μωϋσέως τελευτήν, Ἰησοῦ τὸν λαὸν εἰς τὴν γῆν τῆς ἐπαγγελίας εἰσαγαγόντος, ὡς οἱ ἱερεῖς ἐπέβησαν τῷ Ἰορδάνῃ τὴν κιβωτὸν ἐπ' ὤμων φέροντες. Ὁ δὲ Ἰορδάνης, ὥς φησιν ἡ Γραφή, «ἐπληροῦτο καθόλου τὴν κρηπῖδα αὐτοῦ, ὡσεὶ ἡμέραι θερισμοῦ πυρῶν. Καὶ ἔστη τὰ ὕδατα καταβαίνοντα ἄνωθεν πῆγμα ἕν. Τὸ δὲ καταβαῖνον κατέβη εἰς τὴν θάλασσαν τῶν ἁλῶν. Καὶ πάντες οἱ υἱοὶ Ἰσραὴλ διέβησαν διὰ ξηρᾶς ἐν μέσῳ τοῦ Ἰορδάνου[1]», τοῦ μὲν κάτω φερομένου ῥεύματος χωροῦντος εἰς τὴν θάλασσαν τὴν ἁλυκήν· τοῦ δὲ ἄνωθεν κατιόντος παραδόξως Θεοῦ δυνάμει ἀναστελλομένου καὶ εἰς τοὐπίσω χωροῦντος. Καὶ δὴ τὰ ἀπὸ τῶν πηγῶν ἄνωθεν προχεόμενα τοῦ Ἰορδάνου ῥεύματα, μὴ ἔχοντα διέξοδον, ἐκυρτοῦτο, καὶ σωρὸς εἷς ἐγένετο ἐπαιρομένων κατ' ἀλλήλων τῶν ὑδάτων, διὰ τὸ ἀποκεκλεῖσθαι αὐτοῖς τὴν διέξοδον. Τότε δὴ ἄβυσσος ἀβύσσῳ ἀπήντα, ἀναστελλομένων τῶν ὑδάτων καὶ κορυφουμένων. Ἀναπολῶν οὖν τῇ μνήμῃ τῆς τότε γενομένης τῷ λαῷ ἐπισκοπῆς τὴν χάριν, εἰκότως ἐπὶ τοῦ παρόντος τὴν ψυχὴν κατατήκομαι, μηδεμιᾶς τοιαύτης καὶ ἐφ' ἡμῶν γιγνομένης Θεοῦ προνοίας. Οἱ μὲν γὰρ παραδόξως τὸν Ἰορδάνην διῆλθον καὶ τὸ ὄρος τὸ πρὸς αὐτό, Ἑρμωνιεὶμ ὀνομαζόμενον, μικρότατον τυγχάνον· ἐπ' ἐμοῦ δὲ τοῦ ταῦτα λέγοντος τοιοῦτον μὲν οὐδὲν πέπρακται· «Πάντες δὲ οἱ μετεωρισμοί σου καὶ τὰ κύματά σου ἐπ' ἐμὲ διῆλθον·» ἢ κατὰ τὸν Σύμμαχον· «Πᾶσαι αἱ καταιγίδες σου καὶ τὰ κύματά σου ἐπάνω μου παρῆλθον.» Εἰκότως οὖν «πρὸς ἐμαυτὸν ἡ ψυχή μου ἐταράχθη·» ἤ, «Ἐπ' ἐμὲ ἡ ψυχή μου κατατήκεται, ὅταν ἀναμιμνήσκωμαί σου ἀπὸ γῆς Ἰορδάνου», κατὰ τὸν Σύμμαχον, «καὶ ἀπὸ Ἑρμωνιείμ, ὄρους μικροτάτου.» Ἐν γὰρ τούτοις τοῖς χωρίοις πάλαι ποτὲ «ἄβυσσος ἀβύσσῳ ἀπήντα ἀπὸ ἤχου τῶν κρουνῶν σου», ἀναστελλομένου τοῦ ὕδατος εἰς τὸ μὴ διοχλῆσαι τοὺς τὸν Ἰορδάνην παριόντας. Ἀλλὰ τότε μὲν ταῦτα διὰ τὴν ἐπισκοποῦσαν τοὺς τότε πρόνοιαν· νυνὶ δὲ «πᾶσαι αἱ καταιγίδες σου καὶ τὰ κύματά σου ἐπάνω μου παρῆλθον», κατακλύζοντά με καὶ καταποντοῦντα, μηδενὸς ἀναστέλλοντος. Λέγει δὲ ταῦτα εἰκότως ὁ χορὸς τῶν υἱῶν Κορέ, προφητικῶς ἀποκλαιόμενοι τὴν ἐσχάτην ἀποβολὴν τοῦ Ἰουδαίων ἔθνους οὗ, πάθη εἰς ἑαυτὸν ἀνελάμβανεν.

---

1. Ἰησ. Ν. 3, 15-16.

Στίχ. θ,' ι'. «Ἡμέρας ἐντελεῖται Κύριος τὸ ἔλεος αὐτοῦ, καὶ νυκτὸς τὴν ᾠδὴν αὐτοῦ.»

Εἰ καὶ πᾶσαι, φησίν, αἱ καταιγίδες σου καὶ τὰ κύματά σου ἐπάνω μου παρῆλθον, ἀλλ' εὖ οἶδα καὶ πέπεισμαι ἀκριβῶς, ὅτι οὐκ ἔστι καιρὸς ἐν ᾧ οὐκ ἐλεεῖς· «Θεὸς γὰρ ἐλεήμων εἶ, καὶ οἰκτίρμων καὶ μακρόθυμος.[1]» Διὸ ἐμαυτὸν θεραπεύων ἀγαθαῖς ἐλπίσιν, εἰδώς, ὅτι «καθημέραν τὸ ἔλεος αὐτοῦ ἐντελεῖται ὁ Θεός», τὰς νύκτας τῇ ᾠδῇ αὐτοῦ σχολάζων διατελῶ. Μεθ' ἡμέραν μὲν γὰρ τὰς τῶν ἀνθρώπων ὁρῶν πράξεις καὶ τὰς κυκλούσας ἡμᾶς συμφοράς, τούς τε μετεωρισμούς σου καὶ τὰ κύματά σου, πρὸς ἐμαυτὸν ἀποδύρομαι· τῶν δὲ δι' ἡμέρας με θορυβούντων σχολάσας διὰ τῆς νυκτός, ἀναπεμπάζομαι τὰ ἐλέη τοῦ Κυρίου· ἀναμιμνησκόμενός τε ὅπως καθ' ἡμέραν τὸ ἔλεος αὐτοῦ ἐντέλλεται, ᾄσματα αὐτῷ καὶ ᾠδὰς ἀναπέμπω σχολὴν ἄγων τὰς νύκτας. Διὸ δὴ καὶ λέλεκται· «Καὶ νυκτὸς ᾠδὴ αὐτοῦ παρ' ἐμοί·» κατὰ δὲ τὸν Ἀκύλαν· «Καὶ ἐν νυκτὶ ᾆσμα αὐτοῦ μετ' ἐμοῦ.» Οὐ μόνον δὲ τοῦτο, ἀλλὰ καὶ «προσευχὴ τῷ Θεῷ τῆς ζωῆς μου.» Ἄδω μὲν γὰρ ὕμνον εὐχαριστήριον, δεδειγμένος ἐν παντὶ εὐχαριστεῖν, ταῖς μελλούσαις ἐλπίσιν χρησταῖς ἐμαυτὸν ἀνακτώμενος. Διὰ δὲ τὰ τέως ἐν τῷ παρόντι συνέχοντά με λυπηρὰ προσευχὴν ἀναπέμπω τῷ Θεῷ τῆς ζωῆς μου· οἶδα γάρ, ὅτι αὐτὸν ἔχω τῆς ἐμαυτοῦ ζωῆς αἴτιον. Προσευχόμενος δὲ αὐτῷ φημι· «Ἀντιλήπτωρ μου·» ἢ κατὰ τὸν Ἀκύλαν καὶ Σύμμαχον, «πέτρα μου·» ἐφ' ἣν ἑστὼς οὐ διατραπήσομαι· «διὰ τί μου ἐπελάθου;» Ἐγὼ μὲν γάρ σου οὐκ ἐπιλέλησμαι· ἀλλ' οἶδά σου τὰ ἐλέη καὶ τοὺς οἰκτιρμούς· οἶδα δὲ καὶ τὰς ἀποκειμένας μοι ἐλπίδας· διὸ καὶ τὴν ᾠδήν σου παρ' ἐμαυτῷ ἀδιαλείπτως φυλάττω· σὺ δέ μου ἐπελάθου· διὰ τί; Τὴν αἰτίαν μαθεῖν βούλομαι, δι' ἣν πάντες οἱ μετεωρισμοί σου καὶ τὰ κύματά σου, οἱ πειρασμοὶ δηλαδὴ καὶ τοσαῦται περιστάσεις ἐπ' ἐμὲ διῆλθον, σοῦ συγχωροῦντος· Μέγα γάρ τι ὀφείλει τυγχάνειν τὸ αἴτιον τῆς περὶ ἐμοῦ λήθης.

Λέγων δὲ ταῦτα ὁ χορὸς προφητικός, ἰδιοποιεῖται, ὡς ἔφην, τὴν τοῦ λαοῦ κατάστασιν· τὴν γὰρ ἐσχάτην ἀποβολὴν καὶ τὴν ἀπόπτωσιν τοῦ παντὸς ἔθνους τὴν γενομένην μετὰ τὴν εἰς τὸν Σωτῆρα καὶ Κύριον ἡμῶν ἀπιστίαν αὐτῶν ἐμφαίνειν μοι διὰ τούτων δοκεῖ. Εἴπε δ' ἂν αὐτῷ ἐρωτήσαντι καὶ φάντι· «Διὰ τί μου ἐπελάθου;» τὸ ἐν Εὐαγγελίῳ λεχθέν· «Ποσάκις ἠθέλησα ἐπισυναγαγεῖν τὰ τέκνα σου, ὃν τρόπον ὄρνις ὑποσυνάγει τὰ νοσσία ὑπὸ τὰς πτέρυγας, καὶ οὐκ ἠθελήσατε;[2]» Ἐπεὶ τοίνυν διὰ τὴν αὐτῶν κακίαν ἐπελήσθησαν, εἰκότως ὁ χορὸς ὁ προφητικός, ἐπεὶ φυσικοῖς λόγοις «πάσχοντος ἑνὸς μέλους, συμπάσχει πάντα τὰ μέλη[3]», ὡς ὑπὲρ οἰκείου σώματος ἀλγῶν ἐπιλέγει κατὰ τὸν Σύμμαχον· «Ἵνα τί σκυθρωπὸς περιπατῶ, θλίβοντος ἐχθροῦ; καὶ ὡς σφαγὴν τῶν ὀστῶν μου ὠνείδιζον οἱ ἐναντίοι

2. Ἔξ. 34, 6. 2. Ματθ. 23, 37. 3. Α' Κορ. 12, 26.

μου·» ἤ, «Ἐν τῷ καταθλᾶσθαι τὰ ὀστᾶ μου ὠνείδιζόν με οἱ θλίβοντές με.» Τῶν γὰρ ὀστέων τῶν προφητικῶν διὰ τοῦ κλαυθμοῦ καὶ τῶν ὀδυρμῶν καταθλωμένων, τουτέστι τῶν τῆς ψυχῆς δυνάμεων, οἱ ἐν τῷ λαῷ ἐχθροὶ τοῦ Θεοῦ, ὡς μηδενὸς ἐπαμύνοντος, ἐπανέβαινον ὀνειδίζοντες καὶ λέγοντες· «Ποῦ ἐστιν ὁ Θεός σου;»

ΨΑΛΜΟΣ ΤΩ ΔΑΥΙΔ ΜΒ΄.

Ἀνεπίγραφος παρ' Ἑβραίοις ὁ ψαλμός· διὸ οὐδὲ παρὰ τοῖς λοιποῖς ἑρμηνευταῖς ἐπιγραφὴν ἔχει. Ἀλλὰ καὶ ὅτι μέρος ἔοικεν εἶναι τοῦ πρὸ αὐτοῦ, δεδήλωται ἔκ τε τῶν ὁμοίων ἐν ἀμφοτέροις λόγων καὶ ἐκ τῆς ἐμφεροῦς διανοίας. Φημὶ τοίνυν καὶ ἐπὶ τοῦ παρόντος τὸν χορὸν τὸν προφητικὸν τὰ προκείμενα διεξιέναι ὑπὲρ τοῦ λαοῦ, ὡς ἀπωσμένου καὶ παραδοθέντος ἔθνεσι καὶ ἀνθρώποις πονηροῖς, δεομένου δὲ καὶ ἀντιβολοῦντος ἐκδικίας τυχεῖν, καὶ ῥυσθῆναι τῶν χειρῶν τῶν πολεμίων. Ὥσπερ δὲ διὰ τὴν τοῦ λαοῦ κάκωσιν συνέβαινε τοῖς δικαιοπραγοῦσι συμπάσχειν καὶ συναλγεῖν, καὶ συνδιατίθεσθαι, τὸν αὐτὸν τρόπον καὶ ἡ τῶν θεοφιλῶν ἀνδρῶν δικαιοπραγία κοινωνίαν καὶ μετάδοσιν ἀγαθῶν παρέχει. Διὸ δή, τὰ πάθη τοῦ λαοῦ εἰς ἑαυτοὺς ἀναλαμβάνοντες, εὐχὰς ὑπὲρ τοῦ πλήθους ἐποιοῦντο, κοινήν τε ἱκετηρίαν τῷ Θεῷ ἀνέπεμπον. Εἰκότως οὖν ὡς ἐξ ἑνὸς στόματος ταύτας ἠφίεσαν τὰς φωνάς.

Στίχ. α΄, β΄. «Κρῖνόν με, ὁ Θεός, καὶ δίκασον τὴν δίκην μου ἐξ ἔθνους οὐχ ὁσίου· ἀπὸ ἀνθρώπου δολίου καὶ ἀδίκου ῥῦσαί με. Ὅτι σὺ ὁ Θεὸς κραταίωμά μου, ἵνα τί ἀπώσω με; ἵνα τί σκυθρωπάζων πορεύομαι ἐν τῷ ἐκθλίψαι ἐχθρόν;»

Εἴποι δ' ἄν τις ταῦτα λέγειν ἕνα που καὶ δεύτερον ἐν ὅλῳ τῷ ἔθνει τῶν Ἰουδαίων, εὑρημένον δίκαιον. Αὐτὸς οὖν ὁ εἷς καὶ σπάνιος, οἷον Ἱερεμίας ἤ τις ἕτερος ὅμοιος αὐτῷ, ἀποκλαιέσθω, καὶ ταύτας ἀναπεμπέτω τὰς φωνάς, ἱκετεύων ῥυσθῆναι ἐξ ἀνοσίου ἔθνους· δηλούτω δὲ αὐτοὺς τοὺς ἐκ περιτομῆς, καὶ ἀπὸ ἀνθρώπου ἀδίκου καὶ δολίου, ὡς ἂν μήποτε καὶ αὐτὸς γένοιτο ἄδικος καὶ δόλιος. Παρακαλείτω δὲ τὸν Θεὸν λέγων· Σὺ εἶ ὁ Θεὸς κραταίωμά μου· ἵνα τί με ἀπώσω, καταλιπών με ἐν μέσῳ τοιούτου λαοῦ; Ἥρμοζε δὲ τὰ προκείμενα καὶ τῷ προφήτῃ Ἠλίᾳ, ὃς ἔλεγεν κατεντυγχάνων τοῦ λαοῦ· «Κύριε, τοὺς προφήτας σου ἀπέκτειναν, καὶ τὰ θυσιαστήριά σου κατέσκαψαν, κἀγὼ ὑπελείφθην μόνος, καὶ ζητοῦσι τὴν ψυχήν λαβεῖν αὐτήν.[1]» Σαφῶς δὲ διδάσκει Ἱερεμίας ἐκλελοιπέναι πάντα δίκαιον ἐκ τοῦ λαοῦ, λέγων· «Περιδράμετε ἐν ταῖς ἀμφόδοις Ἱερουσαλήμ, καὶ ἐν ταῖς πλατείαις αὐτῆς, καὶ ἴδετε εἰ ἔστι συνιών, καὶ ἵλεως ἔσομαι αὐτοῖς.[2]» Εἶτ' ἐπειδὴ τὸ πλῆθος τῶν κακῶν ἀνδρῶν θλῖψιν παρεῖχε

---

1. Γ' Βασ. 19, 14. 2. Ἱερ. 5, 1.

τῷ δικαίῳ, σκυθρωπάζειν ἐπὶ τούτῳ ἔλεγεν· Ἵνα τί σκυθρωπάζων πορεύομαι ἐν τῷ ἐκθλίψαι ἐχθρόν;» Καὶ ἄλλως δέ, τῶν ἐχθρῶν καὶ πολεμίων θλιβόντων καὶ ἐπικρατεστέρων γενομένων τοῦ ἔθνους, ὁ τῷ Θεῷ ἀνακείμενος ἐδάκνετο τὴν ψυχήν, ζήλου πληρούμενος ἐπὶ τῇ τῶν ἀθέων καὶ ἀσεβῶν ἀνδρῶν εὐπραγίᾳ. Διὸ καὶ ἱκετηρίαν ἀνέπεμπεν, ὡς ἄν, κρίνας ὁ Θεὸς καὶ δικάσας αὐτῷ, καὶ τὴν πρέπουσαν περὶ αὐτοῦ δίκην ἐξενεγκάμενος, τὴν αὐτοῦ προσοφειλομένην ἀμοιβὴν τῶν αὐτοῦ κατορθωμάτων τῷ παντὶ πλήθει χαρίσοιτο, καὶ δι' αὐτοῦ ῥύσαιτο τοὺς πάντας ἐκ χειρὸς τῶν πολεμίων· ἵν', ὥσπερ κοινωνὸς αὐτὸς γέγονε τῆς τοῦ λαοῦ κακοπραγίας, οὕτω καὶ ὁ λαὸς μετάσχοι τῆς αὐτοῦ δικαιοπραγίας. Ὥσπερ δὲ οἱ δίκαιοι ἔχοντες ἐν τοῖς δικαστηρίοις, τοὺς δικαστὰς ἱκετεύουσιν ἐπακοῦσαι τῶν δικαίων αὐτῶν, δικάσαι τε καὶ κρίνειν αὐτοὺς ὀρθῶς· τὸν αὐτὸν τρόπον καὶ ὁ θεοφιλὴς διὰ τῶν προκειμένων τῷ Θεῷ φησι· «Κρῖνόν μοι, ὁ Θεός», οὐχί, «κρῖνόν με·» κατὰ δὲ τὸν Σύμμαχον «κρῖνόν μοι.» Σὺ γὰρ αὐτὸς γενοῦ μοι κριτής, καὶ τὴν κρίσιν μου ταύτην κρῖνον, καὶ ὑπερδίκησον τῆς δίκης μου, ἵνα, τυχὼν ἐκδικίας, συμβάλωμαι τῇ σωτηρίᾳ τοῦ παντὸς πλήθους τὰ ἐμαυτοῦ κατορθώματα.

Στίχ. γ'-ς'. «Ἐξαπόστειλον τὸ φῶς σου, καὶ τὴν ἀλήθειάν σου· αὐτά με ὡδήγησαν καὶ ἤγαγόν με εἰς ὄρος ἅγιόν σου, καὶ εἰς τὰ σκηνώματά σου.»

Νοήσεις καὶ οὕτως· Τοῦ παρὰ σοὶ φωτὸς καὶ τῆς παρὰ σοὶ ἀληθείας τυχὼν ὁδηγηθήσομαι, ὑπὸ μὲν τοῦ φωτὸς φωτιζόμενος, ὑπὸ δὲ τῆς σῆς ἀληθείας χειραγωγούμενος ἐπὶ τὸ ὄρος τὸ ἅγιόν σου τὸ ἐπουράνιον καὶ ἐπὶ τὰ αὐτόθι σκηνώματά σου, περὶ ὧν καὶ ἐν τῷ πρὸ τούτου ἔλεγον· «Ὅτι διελεύσομαι ἐν τόπῳ σκηνῆς θαυμαστῆς ἕως τοῦ οἴκου τοῦ Θεοῦ ἐν φωνῇ ἀγαλλιάσεως καὶ ἐξομολογήσεως ἤχου ἑορτάζοντος·[1]» ὡς ἂν δέ σοι τῷ Θεῷ ἱερωμένος, ἐπὶ τὰ ἐνδοτάτω καὶ μέχρι τοῦ θυσιαστηρίου ἥξω, καὶ πρὸς σὲ τὸν Θεὸν ἐλεύσομαι τὸν εὐφραίνοντα τὴν νεότητά μου τὴν πνευματικήν. «Ἐξομολογήσομαί σοι ἐν κιθάρᾳ, ὁ Θεός.» Κιθάραν δὲ τὸ σῶμά φησι, δι' οὗ ἀνακρούεσθαι πέφυκεν ὁ νοῦς, καὶ διὰ τῶν αἰσθητηρίων ὥσπερ διὰ χορδῶν τὴν τῷ Θεῷ πρέπουσαν μελῳδίαν ἀναπέμπειν εἴωθε. Σαφῶς δὲ διὰ τούτων ὁ χορὸς ὁ προφητικὸς παρακαλεῖ τὸ φῶς ἀποσταλῆναι τοῦ Θεοῦ καὶ τὴν ἀλήθειαν αὐτοῦ, ὡς μηδέπω τότε φαῖνον ἐπὶ τῆς γῆς, μηδὲ τῆς ἀληθείας ὑπαρχούσης πως σὺν ἀνθρώποις, ὅτε ταύτας ἠφίει τὰς φωνάς. Φῶς δὲ ἀποστελλόμενον ἕτερον ἂν εἴη τοῦ ἀποστέλλοντος, περὶ οὗ εἴρηται· «Ἦν τὸ φῶς τὸ φωτίζον πάντα ἄνθρωπον ἐρχόμενον εἰς τὸν κόσμον.[2]» Διδάσκει δὲ καὶ αὐτὸς ὁ Σωτὴρ αὐτοπροσώπως λέγων· «Ἐγώ εἰμι τὸ φῶς καὶ ἡ ἀλήθεια καὶ ἡ ζωή.[3] Ἵνα τί περίλυπος εἶ, ἡ ψυχή μου, καὶ ἵνα τί συνταράσσεις με; Ἔλπισον ἐπὶ τὸν Θεόν,

1. Ψαλμ. 41, 5. 2. Ἰω. 1, 9. 3. Ἰω. 14, 6.

ὅτι ἐξομολογήσομαι αὐτῷ, σωτήριον τοῦ προσώπου μου καὶ ὁ Θεός μου.» Σύμμαχος δέ· «Τί καταρρέεις, ψυχή μου, καὶ τί θορυβεῖς ἐπ' ἐμέ; Ἀνάμεινον τὸν Θεόν· εἰσαεὶ γὰρ ἐξομολογήσομαι αὐτῷ, τῇ σωτηρίᾳ τοῦ προσώπου μου καὶ τῷ Θεῷ μου.» Ἀνάμεινον, φησίν, ἵνα καὶ αὐτὴ δυνηθῇς ποτε εἰπεῖν· «Ὑπομένων ὑπέμεινα τὸν Κύριον, καὶ προσέσχε μοι.[1]» Ἀλλὰ καὶ ἔλπισον ἐπὶ τὸν Θεόν· ἡ γὰρ «ἐλπὶς οὐ καταισχύνει.[2]» Τί γὰρ ἂν χρὴ ταράττεσθαι; τί δὲ περίλυπον γίνεσθαι, τοσούτων προσδοκωμένων ἀγαθῶν; «Ἔτι γὰρ μικρὸν ὅσον ὁ ἐρχόμενος ἥξει, καὶ οὐ χρονιεῖ[3]», καὶ τὸ φῶς ἀποσταλήσεται, καὶ ἡ ἀλήθεια παραγενήσεται, καὶ τὰ προφητευθέντα τέλους τεύξεται· καὶ τέλος παντὸς λόγου τὸ σωτήριόν ἐστι τοῦ προσώπου, αὐτὸς ὁ Θεός μου. Ἐπειδὰν γὰρ καταξιωθῶ, παραστὰς τῷ Θεῷ, πρόσωπον πρὸς πρόσωπον ἐποπτεῦσαι τὸ σωτήριον, περὶ οὗ πολὺς ὁ λόγος διὰ πασῶν τῶν Γραφῶν· τότε δὴ αὐτῷ ἐξομολογήσομαι ὡς ἂν Θεῷ μου καὶ Σωτῆρί μου· καλῶς δὲ συνῆψε τὸ φῶς τῇ ἀληθείᾳ· ὅπερ γὰρ φῶς αἰσθητὸν ὀφθαλμοῖς σώματος, τοῦτο ἀλήθεια τοῖς τῆς ψυχῆς ὀφθαλμοῖς ἐνατενίζουσι τῇ φύσει τῶν πραγμάτων, καὶ μηκέτι ἀπατωμένοις, δι' αὐτῆς δὲ τῆς τῶν ὄντων καταλήψεως φωτιζομένοις, καὶ γνῶσιν τῆς ἀληθείας ἀναλαμβάνουσιν. Ἡρμήνευσε τοίνυν αὐτὸς ὁ λόγος τοῦ νοητοῦ φωτὸς τὴν ἐνέργειαν, ἀληθείας οὖσαν παραστατικήν. Εἰκότως οὖν ὁ Σωτὴρ ταῦτα παραδιδοὺς τοῖς αὐτοῦ μαθηταῖς ἐδίδασκε λέγων· «Ἐγώ εἰμι τὸ φῶς καὶ ἡ ἀλήθεια καὶ ἡ ζωή.[4]» Καὶ ἑκάστη δὲ τῶν λοιπῶν ἐκδόσεων ἁρμόσεις ἀκολούθως τὸ τέλος, εἴτε τοῖς ἐν Βαβυλῶνι ταῦτα λέγουσιν, εἴτε τοῖς ἐξ ἐθνῶν μήπω πεπιστευκόσιν.

ΕΙΣ ΤΟ ΤΕΛΟΣ, ΤΟΙΣ ΥΙΟΙΣ ΚΟΡΕ ΕΙΣ ΣΥΝΕΣΙΝ ΜΓ'.

Ἀλλ' οὐδὲ οἱ προκείμενοι λόγοι ψαλμὸν κατὰ τὴν προγραφὴν περιέχουσιν, οὐδὲ ᾠδήν, οὐδὲ ὕμνον, οὐδέ τι τῶν τοιούτων· ἐπεὶ μηδὲ τὰ τῆς διανοίας τῶν ἐν αὐτοῖς φερομένων τοιαύτης ἔχεται θεωρίας· ἱκετηρίαι δέ εἰσιν ὅμοιαι ταῖς ἔμπροσθεν, καὶ περὶ τῆς αὐτῆς ὑποθέσεως· λέγω δὲ περὶ τῆς ἀποπτώσεως τοῦ Ἰουδαίων ἔθνους ἐκ προσώπου τῶν προφητῶν προσπεφωνημέναι διὰ τῶν υἱῶν Κορέ. Διασαφοῦσι δ' ἐπὶ τοῦ παρόντος λευκότερον ἐκφαίνοντες τὴν διάνοιαν, δι' ἣν ἐν τοῖς ἔμπροσθεν ἀπεκλαύσαντο. Διεξέρχονται γοῦν τὰ συμβεβηκότα πάθη τῷ λαῷ. Ὅθεν διεγείρουσιν ἡμᾶς εἰς σύνεσιν, καὶ εἰς τὸ τέλος ἀναπέμπουσι διὰ τῆς προγραφῆς, διὰ τὸ μέλλειν ἐπὶ τέλει ταῦτα συμβαίνειν, εἰ καὶ ὡς ἤδη συμβεβηκότα αὐτὰ οἱ υἱοὶ Κορὲ προφητικῶς ἐθέσπιζον. Διὰ μὲν οὖν τῶν ἔμπροσθεν ἀπεκλαύσαντο, καὶ τὰς ἑαυτῶν

1. Ψαλμ. 39, 1. 2. Ῥωμ. 5, 5. 3. Ἑβρ. 10, 37. 4. Ἰω. 8, 12. 14, 6.

ἐξήγγειλαν τῷ Θεῷ λύπας· ἐν δὲ τοῖς προκειμένοις καὶ αὐτὰ τὰ πάθη ἐξέρχονται.

Στίχ. β'-θ'. «Ὁ Θεός, τοῖς ὠσὶν ἡμῶν ἠκούσαμεν.» Ἀντὶ τοῦ· «Ὁ ἐντελλόμενος τὰς σωτηρίας Ἰακώβ», ὁ Σύμμαχος· «Σὺ εἶ ὁ βασιλεύς μου· ὁ Θεός, ἔντειλαι περὶ τῆς σωτηρίας Ἰακώβ. Ἐν σοὶ τοὺς ἐχθροὺς ἡμῶν κερατιοῦμεν.»

Οἱ μὲν ἐν τῷ λαῷ κατορθοῦντες, οἵ τε ἐν αὐτῷ προφῆται, ταῦτα ἂν εἴποιεν ὁμολογοῦντες μὴ οἰκείᾳ δυνάμει, μηδὲ τόξῳ καὶ ῥομφαίᾳ ἑαυτοῖς τὰ σωτηρίας περιποιεῖσθαι, τῇ δὲ τοῦ κέρως αὐτῶν δυνάμει. Κέρατα δὲ ἡ τοῦ Δανιὴλ Γραφὴ τὰς βασιλείας ὀνομάζει· τῶν δὲ ἁγίων κέρας λέλεκται αὐτὸς ὁ Κύριος· διό φησι· «Ἐν σοὶ τοὺς ἐχθροὺς ἡμῶν κερατιοῦμεν.» Καὶ ἐν ἑτέροις λέλεκται· «Ὑπερασπιστής μου καὶ κέρας σωτηρίας μου εἶ.[1]» Τοίνυν αὐτός ἐστι τὸ κέρας· ζήτει ὅπως λέλεκται ἀλλαχοῦ· «Ἡ ἐξομολόγησις αὐτοῦ ἐπὶ γῆς καὶ οὐρανοῦ, καὶ ὑψώσει κέρας λαοῦ αὐτοῦ·[2]» ὡς ἑτέρου ὄντος τοῦ ὑψοῦντος τὸ προδεδηλωμένον κέρας. Ὅρα οὖν εἰ μὴ σαφῶς ὁ Θεοῦ Λόγος, αὐτὸς ὁ Κύριος, εἴη ἂν τὸ κέρας τοῦ λαοῦ, ὁ δὲ ὑψῶν αὐτὸν ὁ γεννήσας αὐτὸν Πατήρ. Ἐπειδὴ γὰρ «ἐταπείνωσεν ἑαυτὸν μέχρι θανάτου, θανάτου δὲ σταυροῦ, διὰ τοῦτο ὁ Θεὸς αὐτὸν ὑπερύψωσε[3]», κατὰ τὸν Ἀπόστολον. Τούτῳ οὖν τῷ κέρατι ἑαυτῶν καὶ τῷ βασιλεῖ θαρροῦντες, ὁμολογοῦσι μὴ τόξῳ, μηδὲ ῥομφαίᾳ, μηδὲ οἰκείᾳ ἀρετῇ τῶν ἐχθρῶν περιγενήσεσθαι, ἀλλὰ τῇ τοῦ βασιλέως αὐτῶν δυνάμει. Εἶτ' ἐπειδὴ βασιλέα καὶ κέρας ἐκτήσαντο αὐτὸν τὸν Κύριον, εἰκότως τοῖς ἐχθροῖς μὴ ὑποχείριοι γενήσεσθαί φασι· κρείττους δὲ τῶν πολεμίων ὑπάρξαι. Τοῦτο γοῦν δηλοῦσι λέγοντες· «Ἔσωσας ἡμᾶς ἐκ τῶν θλιβόντων ἡμᾶς, καὶ τοὺς μισοῦντας ἡμᾶς κατῄσχυνας.» Καὶ ἐπειδήπερ οἱ μὲν ἐχθροὶ αἰσχύνην κατεχέαντο, αὐτοὶ δὲ οὐκ οἰκείᾳ δυνάμει, τῇ δὲ τοῦ κέρως αὐτῶν ἐσώθησαν· εἰκότως ἐπισυνάπτουσι λέγοντες· «Ἐν τῷ Θεῷ ἐπαινεθησόμεθα ὅλην τὴν ἡμέραν·» ἢ κατὰ τὸν Ἀκύλαν, «Ἐν τῷ Θεῷ καυχησόμεθα·» ἢ κατὰ τὸν Σύμμαχον, «Τὸν Θεὸν ὑμνοῦμεν ὅλην τὴν ἡμέραν, καὶ τῷ ὀνόματί σου ἐξομολογησόμεθα εἰς τὸν αἰῶνα.» Τὴν δὲ ἐξομολόγησιν ἀντὶ εὐχαριστίας παραλαμβάνειν εἰώθασιν αἱ Γραφαί· ὥστε εἰκότως καὶ καυχᾶσθαι καὶ ὑμνεῖν, καὶ ἐπαινεῖν καὶ ἐπαινεῖσθαι, εὐχαριστεῖν τε καὶ ἐξομολογεῖσθαι οἱ σεσωσμένοι τῇ τοῦ βασιλέως αὐτῶν ἀρετῇ φασιν. Ἀλλὰ ταῦτα μὲν ἐκ προσώπου τοῦ χοροῦ τῶν προφητῶν εἴρηται· τὰ δ' ἑξῆς ἐπιφερόμενα πάλιν οἱ αὐτοί, ἰδιοποιούμενοι τὰ τῷ πλήθει συμβεβηκότα, διεξέρχονται.

Στίχ. ι'. «Νυνὶ δὲ ἀπώσω καὶ κατῄσχυνας ἡμᾶς, καὶ οὐκ ἐξελεύσῃ ἐν ταῖς δυνάμεσιν ἡμῶν.»

Ἐπεὶ τὸ πλῆθος τοῦ παντὸς Ἰουδαίων ἔθνους, ἐν παντοίαις ἀσε-

1. Ψαλμ. 17, 3. 2. Ψαλμ. 148, 13-14. 3. Φιλιπ. 2, 8.

βείαις καὶ παρανομίαις ἐξητασμένον, οὐκ ἦν ἀλλότριον τοῦ σώματος τοῦ προφητικοῦ, εἰκότως τὰ τῷ πλήθει συμβάντα ἰδιοποιούμενοι οἱ τὰ πρῶτα εἰρηκότες, μέσου διαψάλματος παρεμβληθέντος, εἰς παράτασιν τῆς μεταβολῆς τῶν λεχθησομένων προφέρονται. Οἱ μὲν οὖν πατέρες ἡμῶν ἀνήγγειλαν ἡμῖν, καὶ τοῖς ἡμετέροις ἠκούομεν ὠσὶν ὁποῖα κατειργάσω ἐν ταῖς ἡμέραις αὐτῶν, καὶ τὰ ἑξῆς. Νυνὶ δὲ ὀφθαλμοῖς οὐ τοιαῦτα ὁρῶμεν· τὰ δὲ τούτοις ἐναντία. Ἀπώσω γὰρ ἡμᾶς, σὺ ὁ Θεός, ὁ πάλαι τοὺς πατέρας ἡμῶν διασώσας, διὰ τὰς ἡμετέρας ἁμαρτίας τοὺς πάλαι ἐπὶ σοὶ μέγα φρονοῦντας, καὶ ἐν σοὶ καυχωμένους κατῄσχυνας, ἐρήμους καταλιπὼν καὶ ἀβοηθήτους ἐν τῇ πρὸς τοὺς πολεμίους συμβολῇ. Οὐδὲ γὰρ «συνεξῆλθες ταῖς δυνάμεσιν ἡμῶν·» ἢ κατὰ τὸν Σύμμαχον, «τοῖς στρατεύμασιν ἡμῶν.» Καὶ διὰ τοῦτο «ἀπέστρεψας ἡμᾶς εἰς τὰ ὀπίσω παρὰ τοὺς ἐχθροὺς ἡμῶν·» ἤ, κατὰ τὸν Σύμμαχον· «Ἔταξας ἡμᾶς ἐσχάτους παντὸς ἐναντίου, καὶ οἱ μισοῦντες ἡμᾶς διαρπάζουσιν ἑαυτοῖς. Ἔδωκας ἡμᾶς ὡς βοσκήματα βρώσεως, καὶ εἰς τὰ ἔθνη ἐλίκμησας ἡμᾶς. Ἀπέδου τὸν λαόν σου οὐχ ὑπάρξεως, καὶ οὐ πολλὴν ἐποίησας τὴν τιμὴν αὐτῶν· προπηλακισμὸν μετὰ χλευασμοῦ τοῖς κύκλῳ ἡμῶν. Ἐποίησας ἡμᾶς παραβολὴν ἐν τοῖς ἔθνεσι, κίνησιν κεφαλῆς ἐν ταῖς φυλαῖς. Δι' ὅλης ἡμέρας ἡ ἀσχημόνησίς μου ἄντικρύς μου, καὶ ὁ καταισχυμμὸς τοῦ προσώπου μου καλύπτει με ἀπὸ φωνῆς ὀνειδίζοντος καὶ βλασφημοῦντος, ἀπὸ προσώπου ἐχθροῦ καὶ τιμωροῦντος ἑαυτῷ.» Τοσαῦτα κατὰ τὸν Σύμμαχον ὁ χορὸς ὁ προφητικὸς ἐν τῇ πρὸς τὸν Θεὸν ἱκετηρίᾳ διεξῆλθεν, εἰς ἑαυτὸν ἀναλαμβάνων τὰ τοῦ λαοῦ πάθη. Σεσαφήνισται τοίνυν ἐν τοῖς προκειμένοις δι' ἣν ἔμπροσθεν ἀπεκλαύσατο.

Στίχ. ιη'. «Ταῦτα πάντα ἦλθεν ἐφ' ἡμᾶς, καὶ οὐκ ἐπελαθόμεθά σου.»

Ὥσπερ ἀσεβήσαντός ποτε τοῦ λαοῦ ἐπὶ τῆς ἐρήμου, ἔπειτα παραδοθέντος τῷ ὀλοθρευτῇ, λαβὼν Ἀαρὼν τὸ θυμιατήριον προσήνεγκεν ὑπὲρ τοῦ λαοῦ τὸ θυμίαμα· καὶ ἱλάσθη ὁ Θεὸς τῷ πλήθει διὰ τὴν τοῦ ἱερέως ἀναφοράν· τὸν αὐτὸν τρόπον καὶ ὁ χορὸς ὁ προφητικός, καὶ οἱ ἐν τῷ λαῷ κατορθοῦντες τὴν λογικὴν αὐτῶν θυσίαν διὰ τῆς ὑπὲρ τοῦ λαοῦ εὐχῆς ἀναπέμπουσι, τὰ οἰκεῖα κατορθώματα ἀντὶ θυσίας καὶ θυμιάματος εὐώδους ὑπὲρ τοῦ πλήθους τῷ Θεῷ προσάγοντες. Οὐ γὰρ ἁρμόζει ταῦτα τῷ πλήθει λέγειν, οὐδὲ τοῖς διὰ τὰς ἀσεβείας αὐτῶν τοῖς ἐχθροῖς παραδεδομένοις· ἀλλ' ὥσπερ τὰ πάθη τοῦ λαοῦ εἰς ἑαυτοὺς ἀνελάμβανον οἱ προφῆται, καὶ αὐτοὶ ταῦτα πεπονθέναι ἔφασκον· οὕτω τὰ ἑαυτῶν κατορθώματα κοινοποιοῦσιν εἰς πάντας. Οὐ γὰρ ἠγνόουν ἑαυτοὺς εἶναι μέλη τοῦ παντὸς σώματος· ἀκόλουθον δὲ ἦν, πάσχοντος μέλους ἑνός, συμπάσχειν πάντα τὰ μέλη, καὶ δοξαζομένου πάλιν μέλους, συγχαίρειν πάντα τὰ μέλη. Πάντα τοίνυν, φασίν, ἃ προειρήκαμεν πεπόνθαμεν· ἀλλ' ἡμᾶς τούτων οὐδὲν παρεκί-

νησε τῆς περὶ σοῦ μνήμης, «καὶ οὐκ ἠδικήσαμεν ἐν Διαθήκῃ σου·» ἢ κατὰ τὸν Σύμμαχον· «Οὐδὲ παρελογησάμεθα τὴν συνθήκην σου, οὐδὲ ἀπέστη εἰς τὰ ὀπίσω ἡ καρδία ἡμῶν.» Ἀντὶ δέ· «Καὶ ἐξέκλινας τὰς τρίβους ἡμῶν ἀπὸ τῆς ὁδοῦ σου», ὁ Σύμμαχος σαφέστερον ἐξέδωκεν εἰπών· «Οὐδὲ μετετέθη τὰ ὑπορθοῦντα ἡμᾶς· ἐν τόπῳ κακώσεως·» ἢ κατὰ τὸν Ἀκύλαν· «Συνέθλασας ἡμᾶς ἐν τόπῳ ἀνοικήτῳ, καὶ ἐπεπώμασας ἡμῖν σκιὰν θανάτου. Οὐκ ἐπελαθόμεθά σου οὐδὲ παρέβημεν τὰς πρὸς σὲ συνθήκας.»

Στίχ. κα'-κβ'. «Εἰ ἐπελαθόμεθα τοῦ ὀνόματος τοῦ Θεοῦ ἡμῶν, καὶ εἰ διεπετάσαμεν χεῖρας ἡμῶν πρὸς Θεὸν ἀλλότριον· οὐχὶ ὁ Θεὸς ἐκζητήσει ταῦτα;»

Σὲ μάρτυρα, φησίν, ἀνακαλούμεθα, κριτήν τε καὶ ἐξεταστὴν τῶν ἡμετέρων λόγων καὶ τῶν κατὰ διάνοιαν λανθανόντων τοὺς πολλοὺς λογισμῶν. Αὐτὸς γοῦν οἶσθα, εἰ, τοσαῦτα παθόντες καὶ ταπεινωθέντες ἐν τόπῳ κακώσεως, καὶ καλυφθέντες ὑπὸ τῆς σκιᾶς τοῦ θανάτου, λήθην τοῦ ὀνόματός σου πεποιήμεθα· καὶ εἰ μὴ ἐπὶ τῷ σῷ ὀνόματι παρρησίας γέμοντες ἐκαυχώμεθα· εἰ δὲ καί, ἀπογνόντες τὴν παρὰ σοῦ βοήθειαν, ἐπὶ ἕτερόν τινα ἤλθομεν, ἑτέρῳ Θεῷ χεῖρας ἀναπετάσαντες· καὶ τούτων σὺ κριτὴς τυγχάνεις. Οἶσθα δὲ καὶ τὰ κρύφια τῆς καρδίας καὶ τοὺς λογισμοὺς αὐτούς, ἐν οἷς καθ' ἑκάστην ἡμέραν ἕνεκα τῆς εὐσεβείας θανατούμεθα. Ὁ γὰρ τῇ προθέσει λαγισάμενος ἐφ' ἑκάστῳ πειρασμῷ τὸν ὑπὲρ ἀληθείας ἀναδέξασθαι θάνατον, δυνάμει ὁ τοιοῦτος τέθνηκε. Καὶ ὁ Ἀπόστολος δὲ τοῦτο ἔλεγεν, ἐπειδὴ συνεχεῖς ἦσαν καὶ ἐπάλληλοι διωγμοί, καὶ οἱ περισπασμοὶ θάνατον ἀπειλοῦντες αὐτῷ. Ὁ δὲ καθ' ἕκαστον πειρασμὸν παρεσκεύαστο ἐνστατικῶς μέχρι θανάτου ἀγωνίσασθαι· διὸ εἰκότως καθ' ἡμέραν ἀποθνήσκειν ἔλεγε· Ταύτῃ οὖν τῇ διανοίᾳ καὶ οἱ πάλαι τοῦ Θεοῦ προφῆται διὰ τῶν προκειμένων ταῦτα ἔφασκον. Ἐν γὰρ τοῖς κρυφίοις ἡμῶν ἐθανατούμεθα πᾶσαν ἡμέραν. Ἀλλὰ γὰρ καὶ «ἐλογίσθημεν ὡς πρόβατα σφαγῆς·» ἅπαξ γὰρ ἑαυτοὺς παραδεδωκότες ὥσπερ εἰς θυσίαν ἀντὶ παντὸς τοῦ λαοῦ, τῷ λογισμῷ καὶ τῇ προθέσει ἐσφαγιάσθημεν, ὡς αὐτὸς σὺ ὁ Θεὸς μαρτυρεῖς· μόνος γὰρ γινώσκεις τὰ κρύφια τῆς καρδίας. Ἐπεὶ τοίνυν τοσαῦτα πεπόνθαμεν, εἰκότως μετὰ παρρησίας ἐπιστρεφομέν σε πρὸς ἡμᾶς καὶ διεγείρομεν ὥσπερ καθεύδοντα καί φαμεν· «Ἵνα τί ὑπνοῖς, Κύριε; Ἀνάστηθι, καὶ μὴ ἀπώσῃ εἰς τέλος·» ἢ κατὰ τὸν Σύμμαχον· «Ἵνα τί ὡς ὁ ὑπνῶν εἶ, Δέσποτα; Ἐξύπνισον, καὶ μὴ ἀποβάλῃ εἰς τέλος.» Εἰ γὰρ καὶ ἐκ μέρους ἀπώσω διὰ τὰς ἁμαρτίας τοῦ λαοῦ, ἀλλ' ἱκετεύομεν μὴ εἰς τέλος ἀπώσασθαι, τὰ δ' ἡμέτερα παραδέξασθαι κατορθώματα ὑπὲρ τοῦ παντὸς λαοῦ. Ἐπισημήνασθαι δὲ δεῖ, ὅτι δυάδα προσώπων ὁ λόγος ἠνίξατο.

Στίχ. κδ', κε'. «Ἵνα τί τὸ πρόσωπόν σου ἀποστρέφεις; ἐπιλανθάνῃ τῆς πτωχείας ἡμῶν καὶ τῆς θλίψεως ἡμῶν;»

Σύμμαχος· «Ἵνα τί τὸ πρόσωπόν σου κρύπτεις, ἐπιλανθάνῃ

τῆς κακώσεως ἡμῶν καὶ θλίψεως;» Κρύπτεις μὲν τὸ ἑαυτοῦ πρόσωπον, ὁ Θεός, καὶ ἀποστρέφεις πρὸς τὸ μὴ βλέπειν τὰ αἰσχρὰ καὶ ἀπρεπῆ, καὶ τῆς σῆς θέας ἀλλότρια. Ἀλλ' ἐπεὶ ἡμεῖς ἐπὶ τοῖς λεχθεῖσι κατορθώμασι παρρησίαν ἄγομεν, «ἵνα τί τὸ πρόσωπόν σου κρύπτεις;» Τοσαῦτα δὲ πασχόντων καὶ κακοπαθούντων τῆς σῆς ἕνεκεν εὐσεβείας, «ἵνα τί ἐπιλανθάνῃ τῆς κακώσεως ἡμῶν;» ἤτοι «τῆς πτωχείας», κατὰ τοὺς Ἑβδομήκοντα. Εἰ γὰρ καὶ μεγάλα ταῦτα ὡς πρὸς ἡμᾶς κατορθώματα, ἀλλ' ὡς πρὸς σὲ πάντα πτωχὰ καὶ σμικρά, καὶ ὀλίγιστα. Πλὴν ὡς ἐξ ἡμῶν μεγάλα. Διὸ ἱκετεύομεν μὴ λήθην ποιήσασθαι τῆς ἡμετέρας πτωχείας· μνησθῆναι δὲ καὶ τῆς θλίψεως ἡμῶν, ἧς ὑπεμείναμέν σου χάριν. Καὶ «ἐπεὶ ἡ ψυχὴ ἡμῶν εἰς χοῦν τεταπείνωται», συγγνῶναι ταῖς ἀσθενείαις ἡμῶν ἱκετεύομεν. Καὶ ἀλλαχοῦ δὲ τῷ αὐτῷ λόγῳ δυσωπεῖ τὸν Θεόν, λέγων· «Μνήσθητι, ὅτι χοῦς ἐσμεν· ἄνθρωπος ὡσεὶ χόρτος αἱ ἡμέραι αὐτοῦ.[1]» Ἀλλὰ καὶ «ἡ γαστὴρ ἡμῶν ἐκολλήθη εἰς γῆν.» Δέον γὰρ αὐτὴν πεπληρῶσθαι ναμάτων ἁγίων καὶ πηγῆς ὕδατος ζῶντος ἀλλομένου εἰς ζωὴν αἰώνιον, ἐξ ἀνυδρίας ὑπερβαλλούσης «ἡ γαστὴρ ἡμῶν ἐκολλήθη εἰς γῆν.» Γαστέρα δὲ ψυχῆς νόει τὸ μνημονικὸν αὐτῆς, ἢ καὶ τὸ ἡγεμονικόν, ἐν ᾧ πάντα συνάγει τὰ μαθήματα καὶ τὰ θεωρήματα· ἐν ᾧ καὶ σπέρμα ὑποδεξαμένη κύει, καὶ τελεσφορήσασα γεννᾷ πνεῦμα σωτηρίας, κατὰ τὸν φήσαντα· «Ἐκ τοῦ φόβου σου, Κύριε, ἐν γαστρὶ ἐλάβομεν καὶ ὠδινήσαμεν, καὶ ἐτέκομεν πνεῦμα σωτηρίας.[2]» Τοσαῦτα δυσωπητικὰ οἱ πάλαι τοῦ Θεοῦ προφῆται, καὶ οἱ κατορθοῦντες ἐν τῷ λαῷ δεηθέντες, ἱκετεύουσι καὶ λυτρώσεως τυχεῖν· ὃ δὴ καὶ γεγένηται· ἔτι γὰρ λαλούντων αὐτῶν εἰσακούσας ὁ Θεός, μεταβάλλει τοὺς ὀδυρμοὺς αὐτῶν ἐπὶ τὸ φαιδρότερον. Διόπερ ἑξῆς οἱ τοσαῦτα ἀποκλαυσάμενοι ὑπὲρ τῶν ἀλλοιωθησομένων προφητεύουσι, καὶ ᾠδὴν ᾄδουσι τὴν ὑπὲρ τοῦ Ἀγαπητοῦ, δι' οὗ τὴν κακῶν ἐλευθερίαν καὶ τῶν ψυχῶν τὴν ἀπολύτρωσιν ὁ ἀγαθὸς Θεός, ἐπακούσας τῶν εὐξαμένων, τῷ παντὶ γένει τῶν ἀνθρώπων ἐδωρήσατο.

ΕΙΣ ΤΟ ΤΕΛΟΣ, ΥΠΕΡ ΤΩΝ ΑΛΛΟΙΩΘΗΣΟΜΕΝΩΝ, ΤΟΙΣ ΥΙΟΙΣ ΚΟΡΕ, ΕΙΣ ΣΥΝΕΣΙΝ, ΩΔΗ ΥΠΕΡ ΤΟΥ ΑΓΑΠΗΤΟΥ ΜΔ'.

Στίχ. β'. «Ἐξηρεύξατο ἡ καρδία μου λόγον ἀγαθόν, λέγω ἐγὼ τὰ ἔργα μου τῷ βασιλεῖ. Ἡ γλῶσσά μου κάλαμος γραμματέως ὀξυγράφου.»

Οἱ τὰ τοσαῦτα διὰ τῶν ἔμπροσθεν ἀποκλαυσάμενοι ἐντεῦθεν ᾠδὰς καὶ ᾄσματα ἀντὶ τῶν προτέρων ὀδυρμῶν ᾄδουσι, τῆς ἀπὸ τῶν σκυθρωπῶν μεταβολῆς αἴτιον αὐτοῖς γεγονέναι τὸν Ἀγαπητὸν τοῦ Θεοῦ

1. Ψαλμ. 102, 15. 2. Ἡσ. 26, 18.

δηλοῦντες· ὃν καὶ δι' ὅλης τῆς ᾠδῆς ἀνυμνοῦσιν. Ἀλλ' ἐπείπερ ταῦτα μακροῖς ὕστερον χρόνοις γίγνεσθαι ἤμελλεν, εἰκότως «Εἰς τὸ τέλος» ἐπιγράφουσι τὴν προφητείαν, ἢ «ἐπινίκιον», ἢ «τῷ νικοποιῷ», διὰ τὰ κατὰ τῶν νοητῶν πολεμίων νικητήρια. Προσέθηκαν δὲ τῇ ἐπιγραφῇ τό, «ὑπὲρ τῶν ἀλλοιωθησομένων·» ἐπειδὴ καὶ αὐτοὶ οἱ ταῦτα φάσκοντες ἀλλοίωσιν τὴν ἀπὸ τῶν σκυθρωπῶν λόγων ἐπὶ τὴν φαιδροτέραν ᾠδὴν πεποίηνται. Οὐ μὴν ἀλλὰ καὶ τὰ ἐμφερόμενα δι' ὅλης τῆς ᾠδῆς πλείστης πεπλήρωται ἀλλοιώσεως. Ὅ τε γὰρ Ἀγαπητὸς τοῦ Θεοῦ, ἑαυτὸν κενώσας, καὶ μορφὴν δούλου λαβών, σχήματι εὑρεθεὶς ὡς ἄνθρωπος, ἀλλοίωσιν οὐ τὴν τυχοῦσαν ἔδοξεν ὑπομένειν, ἀναλλοίωτος ὢν καὶ ἄτρεπτος ὡς Θεός· οἵ τε δι' αὐτοῦ τῆς ὑπὸ τὸν διάβολον αἰχμαλωσίας λυτρωθέντες, εἰς ἐλευθερίαν τε τὴν ὑπὸ τῷ Θεῷ μετενηνεγμένοι, τὴν καλλίστην ἀληθῶς αὐτοὶ ἀλλοίωσιν ὑπομεμενήκασι. Διὸ καὶ ἡ ἐμφερομένη τοῖς λόγοις βασίλισσα κελεύεται λήθην ποιήσασθαι τοῦ λαοῦ ἑαυτῆς καὶ τοῦ οἴκου τοῦ πατρὸς ἑαυτῆς· καὶ θυγάτηρ δὲ Τύρου ἀλλόφυλος ἐπὶ τὴν καλὴν μεταβολὴν ταύτην καλεῖται· παρθένοι τε καὶ υἱοί τινες «ἀντὶ πατέρων γενόμενοι», λαοί τε ἐξομολογούμενοι τῷ Θεῷ, τῆς αὐτῆς ἠξιώθησαν ἀλλοιώσεως. Ὧν δὲ ἕνεκα πάντων «ὑπὲρ τῶν ἀλλοιωθησομένων» προγέγραπται ἡ ᾠδή· κατὰ δὲ τὸν Ἀκύλαν, «ἐπὶ τοῖς κρίνοις·» κατὰ δὲ τὸν Σύμμαχον, «ὑπὲρ τῶν ἀνθῶν.» Οἱ γὰρ ἀλλοιωθέντες, οὗτοι εὐωδίας πνεύσαντες, καὶ ἄνθη νεαρὰ τῆς Ἐκκλησίας γενόμενοι, τοῦτον ὠνομάσθησαν τὸν τρόπον. Διό, ἵνα ταῦτα νοηθῇ, ἀναγκαίως πρόσκειται τῇ προγραφῇ τό, «εἰς σύνεσιν·» καὶ ἵνα συνῶμεν, ὡς ὁ πᾶς λόγος ᾠδὴν περιέχει ὑπὲρ τοῦ Ἀγαπητοῦ, ἢ κατὰ τὸν Σύμμαχον· «Ἆσμα εἰς τὸν Ἀγαπητόν.» Ἔνθα δὲ γενόμενος, πάντα ὅσα περὶ Ἀγαπητοῦ συνάξεις· οἷον ἐν Ἡσαΐᾳ· «Ἄσω δὴ τῷ ἠγαπημένῳ ᾆσμα τοῦ Ἀγαπητοῦ τῷ ἀμπελῶνί μου. Ἀμπελὼν ἐγενήθη τῷ ἠγαπημένῳ·[1]» δι' ὧν σημαίνεται ἀμπελὼν μὲν ὁ οἶκος τοῦ Ἰσραήλ· τοῦτο γὰρ ἑξῆς ὁ λόγος δηλοῖ· ἠγαπημένος δὲ καὶ Ἀγαπητὸς ὁ Μονογενὴς τοῦ Θεοῦ Υἱός, οὗ μερὶς γέγονε καὶ κλῆρος πρότερος ὁ δηλωθεὶς ἀμπελών. Ἐπεὶ δὲ πᾶς ἠγαπημένος καὶ ἀγαπητὸς ἔχει τὸν ἀγαπῶντα, σαφῶς διὰ τούτων ὁ λόγος παρίστησι τὸν ἀμπελῶνα κτῆμα γεγονέναι τοῦ Ἀγαπητοῦ τοῦ Θεοῦ, περὶ οὗ ἡ προκειμένη ᾠδὴ εἴρηται, «ὑπὲρ τοῦ Ἀγαπητοῦ.[2]» Καὶ ἐν Ψαλμοῖς δὲ λέλεκται· «Κύριος δώσει ῥῆμα τοῖς εὐαγγελιζομένοις δυνάμει πολλῇ. Ὁ βασιλεὺς τῶν δυνάμεων τοῦ Ἀγαπητοῦ.» Σαφῶς δὲ κἀνταῦθα ἰδίως μνημονευομένου Κυρίου τοῦ Θεοῦ τῶν ὅλων· καὶ πάλιν ἰδίως τοῦ Ἀγαπητοῦ, καὶ ἐν τῇ τρίτῃ τάξει τῶν εὐαγγελιζομένων τὸν Ἀγαπητόν, οἷς δίδοσθαι ῥῆμα ἐξ αὐτοῦ τοῦ Θεοῦ ἄνωθεν λέλεκται, καὶ ἡ περὶ τοῦ Σωτῆρος ἡμῶν συνίσταται μαρτυρία. Καὶ ἐν ἑτέρῳ δὲ αὖθις εἴρηται· «Καὶ ὁ ἠγαπημένος ὡς υἱὸς μονοκερώτων.[3]»

---

1. Ἡσ. 5, 1. 2. Ψαλμ. 67, 12-13. 3. Ψαλμ. 28, 6.

Προκείσθω τούτοις καὶ τὸ ἐπισφράγισμα τῶν ὅλων, τὸ σωτήριον Εὐαγγέλιον ἐν φωνῇ πατρικῇ τὸν Ἀγαπητὸν ἄνωθεν παρ' ἀνθρώποις ἐδείκνυ, βοώσῃ· «Οὗτός ἐστιν ὁ Υἱός μου ὁ ἀγαπητός, ἐν ᾧ εὐδόκησα.[1]» Τοσούτων ἀποδεδειγμένων περὶ τοῦ Ἀγαπητοῦ, σαφὴς ἂν εἴη λοιπὸν καὶ ἀναμφίλεκτος ἡ προκειμένη προφητεία διὰ τῆς προγραφῆς φήσασα· «Ὠδὴ ὑπὲρ τοῦ Ἀγαπητοῦ.» Ὅτι δὲ ὁ Χριστὸς ἦν οὗτος, ἕτερος ὢν παρὰ τὸν χρίσαντα αὐτὸν Πατέρα, προϊὼν ἑξῆς ὁ λόγος ἐν αὐτῷ τῷ ψαλμῷ παρέστησε. Ταῦτα μὲν οὖν εἰς τὴν προγραφὴν εἰρήσθω· τὰ δ' ἑξῆς πάλιν ὁ χορὸς ὁ προφητικὸς διεξέρχεται, ὁ καὶ τὰ πρῶτα διεξελθών.

Τινὲς ᾠήθησαν, ὡς ἐκ προσώπου τοῦ Πατρὸς λέγεσθαι τὸν ψαλμὸν ἤτοι τὴν ᾠδὴν περὶ τοῦ ἐν ἀρχῇ ὄντος πρὸς αὐτὸν Λόγου, ὃν ἐκ τῆς οἱονεὶ καρδίας, ἢ αὐτῶν τῶν σπλάγχνων, φησί, προήγαγε· καὶ ἀπὸ ἀγαθῆς καρδίας ἀγαθὸς λόγος προῆλθεν. Ἐμοὶ δὲ δοκεῖ ταῦτα ἐπὶ τὸ προφητικὸν ἀναφέρεσθαι πρόσωπον· τὰ γὰρ ἐφ' ἑξῆς τοῦ ῥητοῦ οὐκέτι ὁμοίως ἐξομαλίζει ἡμῖν τὴν περὶ τοῦ Πατρὸς ἐξήγησιν. Οὔτε γὰρ ἂν περὶ τῆς ἑαυτοῦ γλώσσης ὁ Πατὴρ εἶπεν, ὅτι·

Στίχ. γ'-η'. «Ἡ γλῶσσά μου κάλαμος γραμματέως ὀξυγράφου. Ὡραῖος κάλλει παρὰ τοὺς υἱοὺς τῶν ἀνθρώπων.»

Οὐ γὰρ ἐκ τῆς πρὸς τοὺς ἀνθρώπους συγκρίσεως τὴν ὑπεροχὴν τοῦ κάλλους ἔχει. Καὶ προϊὼν δέ φησι· «Διὰ τοῦτο ἔχρισέ σε ὁ Θεὸς ὁ Θεός σου ἔλαιον ἀγαλλιάσεως·» οὐ γὰρ εἶπεν· «Ἔχρισά σε ἐγὼ ὁ Θεός», ἀλλ' «ἔχρισέ σε·» ὥστε ἐκ τούτου παρίστασθαι ἕτερον εἶναι τὸ διαλεγομένον πρόσωπον. Ποῖον οὖν ἐστι τοῦτο ἢ ὁ προφήτης, ὁ χωρήσας τὴν τοῦ ἁγίου Πνεύματος εἰς ἑαυτὸν γενομένην ἐνέργειαν;

Ἀντὶ δὲ τοῦ· «Ἐξηρεύξατο ἡ καρδία μου», ὁ Σύμμαχος· «Ἐκινήθη», φησίν, «ἡ καρδία μου λόγῳ ἀγαθῷ.» Ὡς γὰρ ἑτέρου ἀπαγγείλαντος τὸν λόγον, αὐτὸς κεκινῆσθαί φησι διὰ τῆς ἀκοῆς. Ἐν τῷ φάσκειν· «Λέγω ἐγὼ τὰ ἔργα μου τῷ βασιλεῖ», οὐδέτερον δηλοῦσι βασιλέα, ἢ τὸν Ἀγαπητὸν αὐτόν, ᾧ καὶ τὰ ἑξῆς πεφώνηται. Τούτῳ γάρ, φησί, τὰ ἔργα μου διηγήσομαι· ἢ κατὰ τὸν Ἀκύλαν καὶ τὸν Σύμμαχον, «τὰ δικαιώματά μου ἐξαγγελῶ.» Πολλῆς δὲ γέμων παρρησίας ἐπ' ἀγαθοῖς ἔργοις ὁ τῶν προφητῶν χορός, ταῦτα λέγειν τεθάρσηκεν. Εἰ δὲ καὶ γνῶναι ποθεῖς τίνα ἦν τῶν προφητῶν τὰ ἔργα, μάθοις ἂν διὰ τῶν ἔμπροσθεν, ἐν οἷς ἔφασκον· «Ταῦτα πάντα ἦλθεν ἐφ' ἡμᾶς, καὶ οὐκ ἐπελαθόμεθά σου, καὶ οὐκ ἠδικήσαμεν ἐν Διαθήκῃ σου·[2]» καὶ πάλιν· «Ὅτι ἕνεκά σου θανατούμεθα ὅλην τὴν ἡμέραν.[3]» Μέγα δὲ ἦν ἔργον καὶ τὸ διὰ γλώττης τὰ μέλλοντα προφητεύειν, καὶ τῷ βασιλεῖ διακονεῖσθαι τὴν εὐαγγελικὴν ᾠδήν. Ἀντὶ δὲ τοῦ· «Κάλαμος γραμματέως ὀξυγράφου», ὁ μὲν Ἀκύλας· «Σχοῖνος γραμματέως ταχινοῦ·» ὁ δὲ Σύμμαχος· «ἡ γλῶσσά μου», φησί, «γραφεῖον γραφέως

1. Ματθ. 17, 5. 2. Ψαλμ. 43, 18. 3. Ψαλμ. 43, 23.

ταχινοῦ.» Σφόδρα δὲ θαυμαστῶς τὴν ἑαυτοῦ γλῶσσαν, οὐ χεῖρα γραμματέως ἐπιστήμονος, οὐδὲ γραμματέα φησίν, ἀλλὰ κάλαμον γραμματέως ὀξυγράφου· δηλῶν, ὅτι ὄργανον ἦν ἡ προφητικὴ γλῶσσα ἑτέρου τοῦ χρωμένου αὐτῇ, ἁγίου Πνεύματος· ὅπερ ὁ γραμματεύς, οὗ γραφεῖον καὶ κάλαμος ἐτύγχανεν ἡ τῶν προφητῶν γλῶσσα, ὥσθ' ἕτερον εἶναι τὸν ὀξυγράφον γραμματέα, δηλαδὴ τὸ Πνεῦμα τὸ ἅγιον, καὶ ἕτερον τὸν προφήτην, καὶ τρίτον τὴν γλῶσσαν τὴν προφητικήν, ἣ καλάμου καὶ γραφείου χώραν ἐπεῖχεν, ὄργανον τυγχάνουσα τοῦ χρωμένου αὐτῇ ἁγίου Πνεύματος.

Εἰδέναι δὲ δεῖ, ὡς κατὰ τὴν τῶν Ἑβδομήκοντα ἑρμηνείαν συνῆπται ἡ διάνοια τῷ καλάμῳ τοῦ γραμματέως, ὑφ' ἕνα τε στίχον τὸν ὅλον ἀπείληπται λόγιον οὕτως ἔχον· «Ἡ γλῶσσά μου κάλαμος γραμματέως ὀξυγράφου· ὡραῖος κάλλει παρὰ τοὺς υἱοὺς τῶν ἀνθρώπων.» Ἐπεὶ δὲ ἡ Ἑβραϊκὴ λέξις καὶ οἱ λοιποὶ ἑρμηνευταί, τὴν τῶν ἀνωτέρω διάνοιαν περιγράψαντες, ἀπὸ ἑτέρας ἀρχῆς τὴν ἔκθεσιν ἐποιήσαντο· εἰκότως καὶ ἡμεῖς ἐξ ἑτέρας ἀρχῆς τό· «Ὡραῖος κάλλει παρὰ τοὺς υἱοὺς τῶν ἀνθρώπων», παρεθήκαμεν. Ὁ μὲν οὖν Ἀκύλας τοῦτον ἡρμήνευσε τὸν τρόπον, «Κάλλει ἐκαλλιώθης ἀπὸ υἱῶν ἀνθρώπων·» ὁ δὲ Σύμμαχος· «Κάλλει καλὸς εἶ παρὰ τοὺς υἱοὺς τῶν ἀνθρώπων·» ὥστε εἶναι τὰ πρῶτα τῆς ᾠδῆς ἀντὶ προοιμίου λελεγμένα. Μέλλων γὰρ εὐαγγελίζεσθαι τὸν ὑπὲρ τοῦ Ἀγαπητοῦ λόγον, καὶ τὴν ὑπὲρ αὐτοῦ προφέρειν ᾠδὴν ὁ προφητικὸς χορός, προοιμίῳ κέχρηται, στήσας τὸ προοίμιον ἕως τοῦ· «Ἡ γλῶσσά μου κάλαμος γραμματέως ὀξυγράφου.» Ἐντεῦθεν δὲ λοιπὸν ἀπάρχεται τῆς εἰς πρόσωπον τοῦ Ἀγαπητοῦ ᾠδῆς· ἀναφωνεῖ τε πρὸς αὐτόν· Ὡραῖος εἶ κάλλει, καλὸς εἶ, ἢ κάλλει ἐκαλλιώθης, ἢ κάλλει ὡραιώθης, ὦ Ἀγαπητέ, παρὰ τοὺς υἱοὺς τῶν ἀνθρώπων. Εἰ γὰρ καὶ τὰ μάλιστα εἷς τις γέγονας καὶ αὐτὸς υἱῶν τῶν ἀνθρώπων, καὶ κατηριθμήθης τοῖς ἐπὶ γῆς πολιτευσαμένοις· ἀλλ' οὐκ ἔστι παραβάλλειν τῷ κάλλει σου ἕτερον. Δῆλον δέ, ὅτι κατὰ τὴν ἀρετήν· οὕτω γὰρ οὔτε δόξει ἐναντία τούτοις Ἡσαΐας λέγειν φήσας· «Καὶ εἴδομεν αὐτόν, καὶ οὐκ εἶχεν εἶδος οὐδὲ κάλλος· ἀλλὰ τὸ εἶδος αὐτοῦ ἄτιμον, ἐκλεῖπον παρὰ τοὺς υἱοὺς τῶν ἀνθρώπων.[1]» Ἐκεῖνα γὰρ τὸν σταυρὸν καὶ τὸ πάθος προανεφώνει, ἃ παροινίας καὶ ὕβρεως ὑπῆρχε μεστά· διὸ δὴ καὶ ἐπήγαγεν ὁ προφήτης· «Ἄνθρωπος ἐν πληγῇ ὤν, καὶ εἰδὼς φέρειν μαλακίαν, ἠτιμάσθη καὶ οὐκ ἐλογίσθη.[2]» Ὁ δὲ ψαλμὸς κάλλος αὐτοῦ καλεῖ, καθ' ἃ εἴρηται, οὐ τὸ τοῦ σώματος, ἀλλὰ τὸ τῆς ἀρετῆς, ἁμαρτίας οὐ δεξάμενον σπῖλον. Τούτοις ἑξῆς εἴρηται· «Ἐξεχύθη ἡ χάρις ἐν χείλεσί σου· διὰ τοῦτο εὐλόγησέ σε ὁ Θεὸς εἰς τὸν αἰῶνα.» Μωϋσῆς μὲν οὖν εὗρε μίαν τινὰ χάριν· καὶ Νῶε πάλιν εὗρέ τινα χάριν ἐνώπιον τοῦ Θεοῦ· καὶ ἕκαστος τῶν δικαίων χάριτος μετέσχεν. Ἐπεὶ δὲ τοῦ Ἀγαπητοῦ πᾶσα ἡ πατρικὴ εἰς αὐτὸν ἐκενώθη χάρις· ἦν γὰρ

1. Ἡσ. 53, 2-3. 2. Ἡσ. 53, 3.

ὁ Πατὴρ λαλῶν ἐν Υἱῷ· ἔνθεν καὶ ἡ διακονησαμένη τὴν εἰς ἀνθρώπους αὐτοῦ πάροδον κεχαριτωμένη ἐλέχθη. Ἐν αὐτῷ γὰρ εὐδόκησε πᾶν τὸ πλήρωμα τῆς θεότητος κατοικῆσαι σωματικῶς· διὸ πάντες οἱ ἅγιοι ἐκ τοῦ πληρώματος αὐτοῦ εἰλήφασιν.

Ἐπιβαλεῖς δὲ καὶ οὕτως· Τὸ πρῶτον ἔργον τοῦ Ἀγαπητοῦ ἡ χάρις ἡ ἐν τοῖς χείλεσιν αὐτοῦ κεχυμένη, κατὰ τὴν ἀποδοθεῖσαν διάνοιαν· καὶ καθ' ἕτερον δὲ τρόπον, «ἡ χάρις καὶ ἡ ἀλήθεια διὰ Ἰησοῦ Χριστοῦ ἐγένετο.[1]» Ἐπειδὴ πάντα χαριζόμενος ἔπραττε τοῖς μὲν ἀφιεὶς τὰς ἁμαρτίας, τῶν δὲ τὰς νόσους καὶ τὰς μαλακίας ἰώμενος, τοῖς δὲ τὸ ἅγιον Πνεῦμα δωρούμενος. Δι' ὃ πρὸς αὐτὸν εἰκότως εἴρητο· «Ἐξεχύθη ἡ χάρις ἐν χείλεσί σου.» Τούτοις ἑξῆς οἱ πρόσθεν ἀποκλαυσάμενοι, καὶ τὴν ὑπὸ τοῖς πολεμίοις δουλείαν ἑαυτῶν ὑπογράψαντες, εὐκαίρως τὸν Ἀγαπητὸν ἱκετεύουσι σπεῦσαι καὶ μέχρις αὐτῶν ἐλθεῖν, φραξάμενον ὅπλοις πολεμικοῖς διὰ τοὺς ἐπικειμένους ἐχθρούς, ὡς ἂν τροπωσάμενος αὐτούς, τὴν ὑπ' αὐτοῖς αἰχμαλωσίαν ὑπεξαγάγοι. Διό φασι· «Περίζωσαι τὴν ῥομφαίαν σου ἐπὶ τὸν μηρόν σου, δυνατέ·» ὡραῖος μὲν γὰρ εἶ καὶ καλός, πλὴν ἀλλὰ πρὸς τῇ ὡραιότητί σου καὶ πρὸς τῷ κάλλει σου ἀνάλαβε τὴν σαυτοῦ πανοπλίαν δι' ἡμᾶς τοὺς σοὺς ἱκέτας· «ῥομφαίαν τε περίθου τῷ σαυτοῦ μηρῷ», καὶ οὕτω τὴν σὴν δύναμιν ἀναλαβών, ἔντεινόν σου τὰ τόξα. Ἔπειτα βαλὼν τοὺς ἐχθρούς, «κατευοδοῦ καὶ βασίλευε.» Ῥομφαίαν δὲ τοῦ Ἀγαπητοῦ νόει τὴν δύναμιν τὴν τῶν ἐχθρῶν καθαιρετικὴν καὶ κολαστήριον. «Ζῶν γὰρ ὁ λόγος τοῦ Θεοῦ καὶ ἐνεργής, καὶ τομώτερος ὑπὲρ πᾶσαν μάχαιραν δίστομον.[2]» Καὶ ἄλλως δὲ ῥομφαίας Θεοῦ ὁ προφήτης μέμνηται Ἰεζεκιὴλ ὧδε λέγων· «Τάδε λέγει Ἀδοναΐ Κύριος· Εἶπον· Ῥομφαία, ῥομφαία, ὀξύνου καὶ θυμώθητι, ὅπως σφάξῃς σφάγια· ὀξύνου, ὅπως γένῃ εἰς στίλβωσιν ἑτοίμη εἰς παράλυσιν·[3]» καὶ πάλιν· «Ἀνάκραγε καὶ ὀλόλυξον, υἱὲ ἀνθρώπου· ὅτι αὐτὴ ἐγένετο ἐν τῷ λαῷ μου· αὕτη ἐν τοῖς ἀφηγουμένοις τοῦ Ἰσραήλ·[4]» καὶ ἑξῆς· «Διάταξον σεαυτῷ δύο ὁδοὺς τοῦ εἰσελθεῖν ῥομφαίαν βασιλέως Βαβυλῶνος· ἐκ χώρας μιᾶς ἐξελεύσονται·[5]» καὶ τὰ τούτοις ἀκόλουθα, δι' ὧν ῥομφαίαν τοῦ Κυρίου λέγει τὴν ῥομφαίαν τοῦ Ναβουχοδονόσορ τὴν ἐπαχθεῖσαν τῷ λαῷ. Ἔχεις δὲ καὶ ἐν τοῖς Εὐαγγελίοις, ὡς ὁ ποιῶν γάμους τῷ υἱῷ αὐτοῦ βασιλεὺς τοὺς παραιτησαμένους τὴν κλῆσιν, καὶ ἀνελόντας τοὺς βασιλικοὺς δούλους, παραδίδωσιν εἰς σφαγήν· «Καὶ πέμψας», φησί, «τὸ στράτευμα αὐτοῦ, ἐνέπρησε τὴν πόλιν αὐτῶν.[6]» Στράτευμα δὲ τοῦ βασιλέως τὴν Ῥωμαϊκὴν χεῖρα σημαίνει τὴν πολιορκήσασαν τὴν Ἱερουσαλήμ. Ἐπεὶ τοίνυν χρεία ἦν καὶ τοιαύτης ῥομφαίας κατὰ τῶν ἐπαναστάντων τῷ Ἀγαπητῷ, εἰκότως φησὶν ἡ προφητεία εἰς αὐτοῦ πρόσωπον· «Περίζωσαι τὴν ῥομφαίαν ἐπὶ τὸν

---

1. Ἰω. 1, 17. 2. Ἑβρ. 4, 12. 3. Ἰεζ. 21, 9-10. 4. Ἰεζ. 21, 12. 5. Ἰεζ. 21, 19-20. 6. Ματθ. 22, 7.

μηρόν σου, δυνατέ. Τῇ ὡραιότητί σου καὶ τῷ κάλλει σου, καὶ ἔντεινον, καὶ κατευοδοῦ καὶ βασίλευε.»

Εἶτ' ἐπιλέγει· «Ἕνεκεν ἀληθείας καὶ πραότητος καὶ δικαιοσύνης, καὶ ὁδηγήσει σε θαυμαστῶς ἡ δεξιά σου.» Ταῦτα δὲ ὁμοίως τοῖς ἄλλοις ἐξηγήσατο· «Τὰ βέλη σου ἠκονημένα, καὶ λαοὶ ὑποκάτω σου πεσοῦνται, ἐν καρδίᾳ τῶν ἐχθρῶν τοῦ βασιλέως·» ὃ δὴ καθ' ὑπερβατὸν κεῖται. Συνάψεις δὲ τὴν διάνοιαν τοῦτον τὸν τρόπον· Τὰ βέλη σου ἠκονημένα ἐν καρδίᾳ τῶν ἐχθρῶν τοῦ βασιλέως. Πρῶτον μὲν γάρ φησι· Τὰ βέλη σου ἠκονημένα γενήσεται κατὰ τῆς καρδίας τῶν σῶν ἐχθρῶν· ἔπειτα, «λαοὶ ὑποκάτω σου πεσοῦνται», ἐλαθέντων τοῖς σοῖς βέλεσι τῶν ἐχθρῶν. Τὸ τηνικαῦτα γοῦν ἐλευθερίας τυχόντες οἱ λαοί, καὶ ἀναπνεύσαντες τῶν πιεζόντων αὐτοὺς κακῶν, τοῖς σοῖς ὑποδραμοῦνται ποσί. Βέλη δὲ τοῦ Ἀγαπητοῦ ἀποστελλόμενα κατὰ τῆς καρδίας τῶν ἐχθρῶν ἀοράτους τινὰς καὶ ἀφανεῖς πληγὰς νοήσεις κατὰ τῶν ἀρχόντων τοῦ αἰῶνος τούτου· οἷς βέλεσι τιτρωσκόμενοί ποτε οἱ δαίμονες ἔλεγον· «Ἔα, τί ἡμῖν καὶ σοί, Υἱὲ τοῦ Θεοῦ; Ἦλθες πρὸ καιροῦ βασανίσαι ἡμᾶς.[1]»

Ὅτι ὡραῖος καὶ καλὸς καὶ χάριτος πλήρης, εὐλογημένος τε βασιλεὺς καὶ τῶν ἐχθρῶν νικητὴς ὁ Ἀγαπητὸς τοῦ Θεοῦ ἦν, ἐκ τῶν ἔμπροσθεν μεμαθήκαμεν· ὅτι δὲ πρὸς ἐκείνοις πᾶσι καὶ Θεὸς ἦν, διὰ τῶν προκειμένων διδασκόμεθα. Εἰς αὐτοῦ γὰρ πρόσωπον τὸ Πνεῦμα τὸ ἅγιον ἀναφωνεῖ λέγον· «Ὁ θρόνος σου, ὁ Θεός, εἰς τὸν αἰῶνα τοῦ αἰῶνος·» ἢ κατὰ τὸν Ἀκύλαν· «Ὁ θρόνος σου, Θεέ, εἰς αἰῶνα καὶ ἔτι.» Ἐπεὶ δὲ καὶ βασιλέα αὐτὸν ὠνόμασε διὰ τῶν ἔμπροσθεν, εἰκότως ἐπιλέγει· «Ῥάβδος εὐθύτητος ἡ ῥάβδος τῆς βασιλείας σου.» Οὐδὲν γὰρ ἐν αὐτῷ σκολιὸν οὐδὲ στραγγαλιῶδες. Καὶ ἵνα μή τις Ἰουδαϊκῶς ἐκδεξάμενος ὑπολάβοι θνητόν τινα τοῖς πολλοῖς ὅμοιον ἔσεσθαι βασιλέα τὸν Ἀγαπητὸν τοῦ Θεοῦ, ἀναγκαίως διδάσκει, ὡς ἄρα ἐξ αἰῶνος ἦν ὁ θρόνος τῆς βασιλείας αὐτοῦ, διαρκῶν τε καὶ διαμένων ἔσται εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. Ταῦτα δὲ ὅτι μὴ εἰς πρόσωπον τοῦ Πατρὸς ἀναπεφώνηται, ἀλλ' εἰς τὸ τοῦ ἀγαπητοῦ καὶ μονογενοῦς Υἱοῦ, προϊὼν διασαφεῖ λέγων· «Ἠγάπησας δικαιοσύνην, καὶ ἐμίσησας ἀνομίαν· διὰ τοῦτο ἔχρισέ σε ὁ Θεὸς ὁ Θεός σου.» Θεὸς γὰρ ἐν τούτοις χριόμενος ὑπὸ Θεοῦ τίς ἂν εἴη ἢ ὁ ἐν Εὐαγγελίοις θεολογούμενος· «Καὶ ὁ Λόγος ἦν πρὸς τὸν Θεόν, καὶ Θεὸς ἦν ὁ Λόγος;[2]» Οὗτος οὖν ὁ Θεὸς Λόγος ἠγάπησε δικαιοσύνην, καὶ ἐμίσησεν ἀνομίαν. Ἀνθ' οὗ ὁ Ἀκύλας ἀκριβέστερον ἡρμήνευσεν εἰπών· «Ἠγάπησε δικαιοσύνην, καὶ ἐμίσησεν ἀσέβημα.» Κρίσει γὰρ ὀρθῇ τοὺς ὑπ' αὐτοῦ δικαίους ἀγαπᾷ, μισεῖ δὲ τοὺς ἐναντίους· διὸ χρίεται κρείττονι ἢ παρὰ τοὺς μετόχους αὐτοῦ ἐλαίῳ τῷ καλουμένῳ «ἀγαλλιάσεως», καὶ χρίεται ὑπὸ τοῦ Θεοῦ τοῦ ἑαυτοῦ Πατρός, ἢ «ἐλαίῳ χαρᾶς» κατὰ τὸν Ἀκύλαν, ἢ «ἐλαίῳ

1. Ματθ. 8, 29. 2. Ἰω. 1, 1.

ἀγλαϊσμοῦ» κατὰ τὸν Σύμμαχον· Πολλῶν δὲ ὄντων τῶν μετόχων αὐτοῦ, ἢ ἑταίρων αὐτοῦ τῶν τῆς αὐτοῦ χάριτος μετεσχηκότων, οἳ καὶ εἴποιεν ἄν· «Μέτοχοι τοῦ Χριστοῦ γεγόναμεν.[1]» Ἀνέγνωσαν δέ τινες τὴν προκειμένην λέξιν ὧδέ πως· «Διὰ τοῦτο ἔχρισέ σε, Θεέ, ὁ Θεός σου», καὶ ταύτῃ γε κέχρηνται ἀναγνώσει, τῇ Ἑβραϊκῇ λέξει δουλεύσαντες. Ἐπειδήπερ «Ἐλωεὶμ» ὁ Θεὸς ἐν τῇ Ἑβραϊκῇ ὠνόμασται γραφῇ, εἰπών· «Ἐν ἀρχῇ θρόνος σου, Θεέ, εἰς αἰῶνα καὶ ἔτι.» Οἱ μὲν οὖν Ἑβδομήκοντα καὶ ὁ Σύμμαχος· «Ὁ θρόνος σου, ὁ Θεός», εἰρήκασιν· ὁ δὲ Ἀκύλας· «Θεέ», δουλεύσας τῇ Ἑβραϊκῇ λέξει, περιεχούσῃ «Ἐλωείμ.» Ἀλλ' ὁ αὐτὸς Ἀκύλας, ὁ νῦν «Θεὲ» εἰρηκώς, προϊὼν ἑξῆς δεύτερον εἰρημένου τοῦ «Ἐλωείμ», ἐν τῷ, «Διὰ τοῦτο ἔχρισέ σε ὁ Θεός;», οὐκέτι. «Θεέ», ἡρμήνευσεν, ἀλλὰ «Θεός», εἰπών· «Ἐπὶ τούτῳ ἤλειψέ σε ὁ Θεὸς ὁ Θεός σου», δέον ἑαυτῷ συμφώνως καὶ ἐνταῦθα «Θεὲ» εἰπεῖν ἐπὶ τῆς αὐτῆς λέξεως· οὕτω δὲ ἑρμηνεύσας, εἶπεν ἄν· «Διὰ τοῦτο ἔχρισέ σε, Θεέ, ὁ Θεός σου.»

Στίχ. θ'. «Σμύρνα καὶ στακτὴ καὶ κασία ἀπὸ τῶν ἱματίων σου, ἀπὸ βάρεων ἐλεφαντίνων.»

Ἀντὶ δὲ «βάρεων ἐλεφαντίνων», ὁ Ἀκύλας· «Ἀπὸ ναῶν ὀδόντος», εἴρηκε. Ναοὶ γὰρ ἐνταῦθα εἴρηνται τοῦ Νυμφίου αἱ Ἐκκλησίαι, καὶ αἱ Χριστῷ ἀνακείμεναι ψυχαί, ἐν λογικῇ τροφῇ πᾶσαν ἔχοντες τὴν δύναμιν. Τροφῆς δὲ καὶ λόγων σύμβολον οἱ ὀδόντες. Ἔνθεν καὶ αὐτοῦ τοῦ Χριστοῦ οἱ ὀδόντες λευκοὶ λέγονται εἶναι ὑπὲρ γάλα ἐν τῇ περὶ αὐτοῦ φασκούσῃ προφητείᾳ· «Χαροποιοὶ οἱ ὀφθαλμοὶ αὐτοῦ ἀπὸ οἴνου, καὶ λευκοὶ οἱ ὀδόντες αὐτοῦ ἢ γάλα.[2]» Κατὰ δὲ τοὺς λοιποὺς ἑρμηνευτάς, ἐλεφάντινοι οἱ ναοὶ ἢ αἱ βάρεις αὐτοῦ λέγονται, διὰ τὸ νεκροῦ ζῴου τυχεῖν τὸν ἐξ ἐλέφαντος κόσμον· οἵ τε ἐν τῇ Ἐκκλησίᾳ εὐδοκιμοῦντες οὐκ ἄλλως διαλάμπουσιν ἢ «νεκρώσαντες τὰ μέλη τὰ ἐπὶ τῆς γῆς», κατὰ τὴν ἀποστολικὴν παραγγελίαν.[3]

Στίχ. ι'. «Παρέστη ἡ βασίλισσα ἐκ δεξιῶν σου, ἐν ἱματισμῷ διαχρύσῳ περιβεβλημένη, πεποικιλμένη.»

Αἱ μὲν θυγατέρες τῶν βασιλέων, Χριστοῦ δηλαδὴ καὶ τῆς Ἐκκλησίας αὐτοῦ, αἱ κατὰ μέρος ἦσαν ψυχαί. Αὐτὴ δὲ ἡ βασίλισσα ἡ μήτηρ τῶν θυγατέρων παρέστη ἐκ δεξιῶν αὐτοῦ «ἐν ἱματισμῷ διαχρύσῳ περιβεβλημένη, πεποικιλμένη.» Τίς δ' ἂν εἴη αὐτὴ ἀλλ' ἢ πᾶσα καθολικὴ Ἐκκλησία, ἡ ἀπὸ περάτων γῆς ἕως περάτων ἐκ πάντων ἐθνῶν συνειλεγμένη; ἣν αὐτὸς ἑαυτῷ ᾠκοδόμησεν ἐπὶ τὴν πέτραν, πρὸς τὸ μὴ πύλας ᾅδου κατισχύειν αὐτῆς· Κυριώτερον δ' ἂν εἴποις διὰ τούτου τὴν ἐπουράνιον δηλοῦσθαι Ἐκκλησίαν, ἥτις ἐστὶ μήτηρ τῶν ἐπὶ γῆς ἁγίων ἀνδρῶν. Τοῦτο γοῦν ἐδίδαξεν ὁ θεῖος Ἀπόστολος εἰπών· «Ἡ δὲ ἄνω Ἱερουσαλὴμ ἐλευθέρα ἐστίν, ἥτις ἐστὶ μήτηρ ἡμῶν.[4]» Καλεῖ δ' αὐτὴν καὶ «πόλιν Θεοῦ ζῶντος Ἱερουσαλὴμ ἐπουράνιον ἐν

1. Ἑβρ. 3, 14. 2. Γεν. 49, 12. 3. Κολ. 3, 5. 4. Γαλ. 4, 26.

μυριάσιν ἀγγέλων πανηγύρει, καὶ Ἐκκλησίαν πρωτοτόκων ἀπογεγραμμένων ἐν οὐρανοῖς[1]», συνεστῶσαν. Αὕτη μὲν οὖν εἴη ἂν ἡ τελεία Χριστοῦ νύμφη. Ταύτης δ' οὐκ ἂν ἁμάρτοις θυγατέρα φήσας ὑπάρχειν τὴν ἐπὶ γῆς Ἐκκλησίαν. Βασίλισσα δ' ἐκείνη, ὡς ἂν ἤδη συμβασιλεύουσα τῷ ἑαυτῆς νυμφίῳ· διὸ ἐκ δεξιῶν παρεστάναι τοῦ Βασιλέως εἴρηται· ἅτε νύμφη οὖσα αὐτοῦ, καὶ τὰ παρ' αὐτοῦ σπέρματα δεχομένη, κύουσά τε καὶ τίκτουσα διὰ παντὸς πνεῦμα σωτηρίας· ἣ καὶ τὸ βασιλικὸν ἔνδυμα περιτίθησι, τὸ φωτοειδὲς τῆς ἀφθαρσίας ἔνδυμα· ὃ δή, πνευματικὸν διόλου τυγχάνον, τοῖς κατ' οὐρανὸν ἀγγελικαῖς δυνάμεσι περιβέβληται. Τοῦτο καὶ διάχρυσον ὁ παρὼν λόγος ὠνόμασε. Τὸ δέ, «περιβεβλημένη» καὶ «πεποικιλμένη», οὔτε ἐν τῇ Ἑβραϊκῇ ἀναγνώσει οὔτε παρὰ τοῖς λοιποῖς ἑρμηνευταῖς φέρεται· διὸ ὠβέλισται.

Στίχ. ιδ'. «Πᾶσα ἡ δόξα αὐτῆς θυγατρὸς τοῦ βασιλέως Ἐσεβὼν ἐν κροσσωτοῖς χρυσοῖς περιβεβλημένη, πεποικιλμένη.»

Νοήσεις, φησί, πῶς κροσσοῖς χρυσοῖς περιβέβληται, Παύλου λέγοντος ἀκούων· «Ἐκ μέρους γινώσκομεν, καὶ ἐκ μέρους προφητεύομεν.[2]» Ἡ γὰρ γνῶσις ἡ ἐκ μέρους ἐν ἄκροις μόνοις χρυσίου τὸν κόσμον αὐτῇ περιτίθησιν· «Ὅταν δ' ἔλθῃ τὸ τέλειον», φησί, «τὸ ἐκ μέρους καταργηθήσεται.[3]» Ἐπειδὰν εἰς τὴν ἐπουράνιον Ἐκκλησίαν μεταστῇ ἡ τέως ἐκ γῆς παιδοτροφουμένη, τὸ τηνικαῦτα ἀποθήσεται μὲν τὰ κροσσωτὰ τὰ χρυσᾶ, τὴν ἐκ μέρους γνῶσιν, ἐν ἱματισμῷ δὲ χρυσῷ.

Στίχ. ιε', ις'. «Ἀπενεχθήσονται τῷ Βασιλεῖ παρθένοι ὀπίσω αὐτῆς, αἱ πλησίον αὐτῆς ἀπενεχθήσονταί σοι.»

Ἡ διὰ τῶν ἔμπροσθεν πολλάκις ὠνομασμένη θυγάτηρ οὐκ ἐπὶ γῆς εἰς τὸ παντελὲς διαμένει, μετατεθήσεται δὲ κατὰ καιρόν. Ἀλλ' οὐ πᾶσα ἀθρόως τῆς τοιαύτης μεταβάσεως ἀξιωθήσεται· ἐν μέρει δὲ αἱ πρώτῳ βαθμῷ ἐν αὐτῇ τετιμημέναι ἀπενεχθήσονται τῷ Βασιλεῖ. Αὗται δέ εἰσιν αἱ τὴν ἐν Χριστῷ ἁγνείαν κατορθώσασαι ψυχῇ καὶ σώματι, καὶ πνεύματι καθηγιασμέναι. Μετὰ δὲ τὸ πρῶτον τάγμα αἱ πλησίον αὐτῶν ἀπενεχθήσονται· πολλαὶ γὰρ μοναὶ παρὰ τῷ Πατρί.[4] Αὗται δέ εἰσιν αἱ τὸν ἔγγιστα τόπον τῶν παρθένων ἐπέχουσαι διὰ σεμνοῦ καὶ σώφρονος βίου. Ὅπως δὲ ἀπενεχθήσονται παρίστησι λέγων· «ἐν εὐφροσύνῃ καὶ ἀγαλλιάσει.» Νοήσεις δὲ ὅπως εἴρηται τοῦτο, παραθεὶς τὴν ἀποστολικὴν φωνὴν ᾗ φησιν· «Ἁρπαγησόμεθα ἐν νεφέλαις εἰς ἀπάντησιν τοῦ Κυρίου εἰς ἀέρα, καὶ οὕτω πάντοτε σὺν Κυρίῳ ἐσόμεθα.[5]» Οὐ γὰρ ἐλεύσονται οὐδὲ ἀπελεύσονται τῷ Βασιλεῖ παρθένοι, ἀλλ' ἀπενεχθήσονται, ἄλλων αὐτὰς ἀπαγόντων· ἀγγέλων δηλαδὴ θείων μετεωριζόντων αὐτὰς καὶ εἰς ὕψος ἐπαιρόντων, ὡς ἂν εὐμαρῆ τὴν ἄνω ποιήσαιντο πορείαν. «Ἀπενεχθήσονται δ' ἐν

1. Ἑβρ. 12, 22. 2. Α' Κορ. 13, 9. 3. Α' Κορ. 13, 10. 4. Ἰω. 14, 2. 5. Α' Θεσσ. 4, 17.

εὐφροσύνῃ καὶ ἀγαλλιάσει», καὶ εἰσαχθήσονται εἰς ναὸν βασιλέως, εἰς τὸν οἶκον τὸν βασιλικὸν τῆς τῶν οὐρανῶν βασιλείας καταξιούμεναι. Ναὸς δὲ οἶκος Θεοῦ ἐστιν· ὥστε Θεὸς ὁ Βασιλεύς, ᾧ ἀπάγονται. Ἄγουσι δὲ αὐτὰς καὶ οἱ τὰ παιδεύματα παραδιδόντες αὐταῖς, ὅ τε Νόμος καὶ οἱ προφῆται.

Στίχ. ιζ'. «Ἀντὶ τῶν πατέρων σου ἐγεννήθησάν σοι υἱοί.»

Τούτων τὴν διάνοιαν σαφέστερον ἀποδεδώκασιν οἱ λοιποί· ὁ μὲν Ἀκύλας εἰπών· «Ἀντὶ τῶν πατέρων σου ἔσονταί σοι υἱοί·» ὁ δὲ Σύμμαχος· «Ἀντὶ πατέρων ἐγένοντο υἱοί σου.» Ἡ δ' ἑρμηνεία τοῦ λόγου ταύτην ἔχει τὴν διάνοιαν· Οἱ υἱοί σου οἱ ἐν σοὶ καὶ ὑπὸ σοῦ γεγεννημένοι ἀντὶ πατέρων γενήσονταί σοι. Ἕξεις γὰρ αὐτοὺς πατέρας, οὓς αὐτὴ γεγέννηκας. Νοήσεις δὲ τοῦ λόγου τὸ ἀποτέλεσμα, ἐπιστήσας ὅπως οἱ ἐξ ἐθνῶν ἀλλόφυλοι, προσελθόντες τῇ Ἐκκλησίᾳ τοῦ Θεοῦ, καὶ ἀναγεννηθέντες ἐν αὐτῇ, υἱοὶ αὐτῆς γίγνονται· κἄπειτα ἐπιδιδόντες τῇ προκοπῇ, πατέρες αὐτῆς καθίστανται, προαγόμενοι εἰς τὴν αὐτῆς προστασίαν, καὶ τῆς ἱερατικῆς λειτουργίας καταξιούμενοι. Πῶς δ' ἕξεις αὐτοὺς ἀντὶ πατέρων διερμηνεύει, σαφέστερον λέγων· «Καταστήσεις αὐτοὺς ἄρχοντας ἐπὶ πᾶσαν τὴν γῆν.» Λέγει δὲ ταῦτα πρὸς τὴν ἐπὶ γῆς Ἐκκλησίαν ὁ λόγος, τὴν ἀπὸ περάτων ἕως περάτων διήκουσαν· ἐφ' ἣν ἄρχοντας καὶ πατέρας τοὺς ἰδίους υἱοὺς αὐτὴ ἡ Ἐκκλησία τοῦ Θεοῦ καθίστησιν.

Στίχ. ιη'. «Διὰ τοῦτο λαοὶ ὑμνήσουσί σε εἰς αἰῶνα διηνεκῶς.»

Ἡ προλεχθεῖσα θυγάτηρ τῶν βασιλέων, αὕτη δὲ ἦν ἡ ἐπὶ γῆς Ἐκκλησία, συναισθομένη τῆς δυνάμεως τοῦ πατρικοῦ ὀνόματος, ἐπειδήπερ «ἐχαρίσατο αὐτῷ ὄνομα τὸ ὑπὲρ πᾶν ὄνομα· ἵνα ἐν τῷ ὀνόματι Ἰησοῦ πᾶν γόνυ κάμψῃ ἐπουρανίων καὶ ἐπιγείων καὶ καταχθονίων [1]», μετὰ τὰς πρὸς αὐτὴν λεχθείσας ἐπαγγελίας, πιστεύσασα φωναῖς, χαρᾶς τε καὶ εὐφροσύνης πληρωθεῖσα.

ΕΙΣ ΤΟ ΤΕΛΟΣ, ΥΠΕΡ ΤΩΝ ΥΙΩΝ ΚΟΡΕ, ΥΠΕΡ ΤΩΝ ΚΡΥΦΙΩΝ, ΨΑΛΜΟΣ ΜΕ'.

Στίχ. β', γ'. «Ὁ Θεὸς ἡμῶν καταφυγὴ καὶ δύναμις, βοηθὸς ἐν θλίψεσι ταῖς εὑρούσαις ἡμᾶς σφόδρα. Διὰ τοῦτο οὐ φοβηθησόμεθα ἐν τῷ ταράσσεσθαι τὴν γῆν, καὶ μετατίθεσθαι ὄρη ἐν καρδίαις θαλασσῶν.»

Εὐχαριστήριον ὕμνον ἀναπέμπει τῷ μεγάλων αὐτὸν καταξιώσαντι ὁ λόγος· ὅτι φροῦδος ἔσται, καθάπερ τινὶ παραπεμφθεῖσα βυθῷ, ἡ πάλαι κρατήσασα τῶν δαιμόνων ἀσέβεια, ἡ τῶν ὀρῶν μιμουμένη τὸ ὕψος, καὶ τῆς οἰκουμένης ἐπὶ πλεῖστον ἐσχηκυῖα τὸ κράτος. Εἶτα λέγει ὁ προφητικὸς λόγος, ὡς τὰ ὕδατα ζάλην ἐδέξατο, καὶ τὰ ὄρη

1. Φιλιπ. 2, 10.

κλόνον ὑπέμεινε, τοῦ εὐαγγελικοῦ διαπορθμευομένου κηρύγματος. Ἐνταῦθα δὲ ὄρη τὸ τῶν δαιμόνων προσηγόρευσε στῖφος διὰ τὸν τῆς ἀλαζονείας ὄγκον καὶ τοῦ τύφου τὸ ὑψηλόν· ὕδατα δὲ τῶν ἀνθρώπων τὰς γνώμας, τὰς δίκην ὑδάτων τῆδε κἀκεῖσε φερομένας ῥαδίως, καὶ ὑπὸ τῶν τῆς ἀπάτης κυκωμένας πνευμάτων. Ταῦτα δὲ διδάσκει ἡμᾶς καὶ ἡ τῶν «Πράξεων» ἱστορία· ὅπως, τῶν ἱερῶν ἀποστόλων τὴν οἰκουμένην περινοστούντων, ζάλης ἐμπίπλαντο καὶ θορύβων αἱ πόλεις. Καὶ γὰρ ἐν Ἐφέσῳ Δημήτριος πᾶσαν τὴν πόλιν ἐκύκωσε· καὶ ἐν Λύστροις καὶ Δέρβῃ ταὐτὸ τοῦτο γεγένηται. Καὶ πάλιν ἐν Φιλίπποις καὶ Θεσσαλονίκῃ, καὶ Ἀθήναις, καὶ Κορίνθῳ, τῶν τῆς ἀπάτης πνευμάτων ταῦτα διεγειρόντων τὰ κύματα, ὑπὸ τούτων τινὲς ἐνεργούμενοι κατὰ τῶν ἱερῶν ἐβόων ἀποστόλων· «Οἱ τὴν οἰκουμένην ἀναστατώσαντες, οὗτοι καὶ ἐνθάδε πάρεισι.[1]» Ταῦτα καὶ ὁ μακάριος προηγόρευσεν Ἀβακούμ· «Ἐπεβίβασας», γάρ φησιν, «εἰς θάλασσαν τοὺς ἵππους σου, ταράσσοντας ὕδατα πολλά.[2]» Ἵππους δὲ προσηγόρευσεν ὄχημα θεῖον γεγενημένους τοὺς ἱεροὺς ἀποστόλους· ἐπ' αὐτῶν γὰρ ὀχούμενος ὁ Δεσπότης, τὰ πολλὰ καὶ διάφορα τῆς ἀσεβείας δόγματα διεσκέδασε. Νοήσεις δὲ καὶ ἄλλως τὴν σύγχυσιν τῆς γῆς καὶ τὴν ταραχὴν αὐτῆς, ἀκούων τοῦ Σωτῆρος λέγοντος· «Πῦρ ἦλθον βαλεῖν ἐπὶ τὴν γῆν· καὶ τί θέλω εἰ ἤδη ἀνήφθη;[3]» καὶ πάλιν· «Μὴ νομίσητε, ὅτι ἦλθον βαλεῖν εἰρήνην ἐπὶ γῆν· οὐκ ἦλθον βαλεῖν εἰρήνην, ἀλλὰ μάχαιραν. Ἦλθον γὰρ διχάσαι ἄνθρωπον κατὰ τοῦ πατρός, καὶ θυγατέρα κατὰ τῆς μητρός, καὶ νύμφην κατὰ τῆς πενθερᾶς, καὶ ἐχθροὶ τοῦ ἀνθρώπου οἱ οἰκιακοὶ αὐτοῦ·[4]» ὡσεὶ σαφέστερον ἔλεγε· Καὶ ἐχθροὺς ἑκάστου ποιῆσαι τοὺς οἰκιακοὺς αὐτοῦ. Τί χρὴ λέγειν, ὡς καὶ πόλεις ὅλαι καὶ δῆμοι ἔθνη τε παντοῖα ἐπὶ τῷ εὐαγγελικῷ λόγῳ συνεχύθησαν, λυομένης αὐτοῖς τῆς παλαιᾶς δεισιδαιμονίας; Ἀλλὰ τούτων ταραττομένων καὶ συγχεομένων, οἱ τῆς Ἐκκλησίας υἱοὶ καὶ προεστῶτες αὐτῆς φασιν· «Οὐ φοβηθησόμεθα.» Ἰδιοποιοῦνται δὲ τὸν Θεὸν λέγοντες· «Ὁ Θεὸς ἡμῶν», πρὸς ἀντιδιαστολὴν τῶν πεπλανημένως παρὰ τοῖς ἔθνεσιν ὀνομαζομένων θεῶν. Καὶ εἰ μὲν ἄνθρωποι μόνον ἐταράσσοντο, ἀπήρκει εἰπεῖν· Ἐν τῷ ταράττεσθαι τὴν γῆν οὐ φοβηθησόμεθα· ἐπεὶ δὲ καὶ ἀφανεῖς δυνάμεις καὶ δαίμονες πονηροὶ ἐπὶ τῷ σωτηρίῳ λόγῳ κλόνον καὶ σάλον ἐπεπόνθεσαν, εἰκότως καὶ περὶ τούτων, ὥσπερ κρυφίων καὶ λανθανόντων τοὺς τῶν ἄλλων ὀφθαλμούς, ᾐνίττετο φάσκων, καὶ μετατίθεσθαι ὄρη ἐν καρδίᾳ θαλασσῶν.

Στίχ. δ'. «Ἤχησαν καὶ ἐταράχθησαν τὰ ὕδατα αὐτῶν· ἐταράχθησαν τὰ ὄρη ἐν τῇ κραταιότητι αὐτοῦ.»

Νοήσεις δὲ ταῦτα τὰ ὄρη τὰ πνευματικὰ τῆς πονηρίας ἀπὸ τῆς εὐαγγελικῆς διδασκαλίας. Ὁπηνίκα γὰρ τὸν σεληνιαζόμενον ὁ Σωτὴρ

---

1. Πράξ. 17, 5. 2. Ἀββ. 3, 15. 3. Λουκ. 12, 49. 4. Ματθ. 10, 34-36.

ἰάσατο, ἐπιφέρει λέγων τοῖς μαθηταῖς· «Ἀμὴν λέγω ὑμῖν, ἐὰν ἔχητε πίστιν ὡς κόκκον σινάπεως, ἐρεῖτε τῷ ὄρει τούτῳ· Μετάβηθι ἐντεῦθεν ἐκεῖ· καὶ μεταβήσεται, καὶ οὐδὲν ἀδυνατήσει ὑμῖν·[1]» ὄρος ὀνομάζων τὸ προδηλωθὲν δαιμόνιον. Πῶς δ' ἐν καρδίᾳ θαλασσῶν μετατίθεται τὰ ὄρη, μάθοις ἂν ἀπὸ τοῦ κατὰ Λουκᾶν Εὐαγγελίου, ἔνθα εἴρηται, ὅτι παρεκάλουν τὸν Σωτῆρα οἱ δαίμονες, «ἵνα μὴ ἐπιτάξῃ αὐτοῖς εἰς τὴν ἄβυσσον ἀπελθεῖν.[2]» Τὴν δὲ ἄβυσσον εἴωθεν ἡ Γραφὴ καλεῖν θαλάσσας, ὡς ἐν τῷ Ἰὼβ εἴρηται· «Ἦλθες δ' ἐπὶ τῆς θαλάσσης· ἐν δὲ ἴχνεσιν ἀβύσσου περιεπάτησας.[3]» Περὶ ταύτης τῆς ἀβύσσου καὶ Μωϋσῆς ἐν τῇ κοσμοποιΐᾳ ἐδίδασκε λέγων· «Καὶ σκότος ἐπάνω τῆς ἀβύσσου.[4]» Ἀλλὰ τούτων γινομένων· «Ἡμεῖς», φησίν, «οὐ φοβηθησόμεθα, ἠχούντων καὶ θολουμένων τῶν ὑδάτων αὐτῶν, καὶ σειομένων ὀρέων ἐν τῷ παραδοξασμῷ αὐτοῦ», κατὰ τὸν Σύμμαχον. Ἐνδοξασμὸς δὲ ἦν τοῦ Σωτῆρος ἡ τῆς Ἐκκλησίας αὔξησις καὶ πληθυσμὸς τῶν εἰς αὐτὸν πιστευόντων, ἥ τε ἀνατροπὴ τῆς πολυθέου πλάνης.

Τὸ διάψαλμα διαστολὴν εἰργάσατο τῆς τῶν προλεχθέντων διανοίας πρὸς τὰ μέλλοντα ῥηθήσεσθαι. Διόπερ ὡς ἐπὶ ἕτερον τάγμα διαβὰς ὁ λόγος, πάλιν δι' αἰνιγμῶν τῆς Ἐκκλησίας τοῦ Θεοῦ τὴν εἰρηνικὴν κατάστασιν σημαίνει, ἣν πόλιν τοῦ Θεοῦ ὀνομάζει διὰ τὸ θεοσεβὲς πολίτευμα. Θεοῦ δὲ πόλις τὸ τῶν κατὰ Θεὸν πολιτευομένων σύστημα· τοῦτο δὲ τὴν σύμπασαν οἰκουμένην πληροῖ. Ἐπειδήπερ ἀπὸ ἀνατολῶν ἡλίου μέχρι δυσμῶν ἔστιν εὑρεῖν διὰ τῆς Ἐκκλησίας συνισταμένην τὴν τοιαύτην Θεοῦ πόλιν, ἥτις, τὸν οὐράνιον ἔχουσα λόγον πηγάζοντα ἐν αὐτῇ καὶ ἀνομβροῦντα, πάσης θεϊκῆς εὐφροσύνης πληροῦται. Ἀκύλας δὲ καὶ Σύμμαχος· «Τοῦ ποταμοῦ», φασίν, «αἱ διαιρέσεις εὐφραίνουσι τὴν πόλιν τοῦ Θεοῦ.» Νοήσεις δὲ τὰς διαιρέσεις ἀκούων Παύλου λέγοντος· «Διαιρέσεις χαρισμάτων εἰσί, τὸ δ' αὐτὸ Πνεῦμα· καὶ διαιρέσεις διακονιῶν εἰσιν, ὁ δὲ αὐτὸς Κύριος· καὶ διαιρέσεις εἰσὶν ἐνεργημάτων, ὁ δ' αὐτὸς Θεός, ὁ ἐνεργῶν τὰ πάντα ἐν πᾶσιν.[5]»

«Ἡγίασε τὸ σκήνωμα αὐτοῦ ὁ Ὕψιστος.» Κατὰ δὲ τὸν Σύμμαχον· «Τὸ ἅγιον τῆς κατασκηνώσεως τοῦ Ὑψίστου.» Μεγάλης γὰρ οὔσης καὶ πολλῆς τῆς πόλεως, ἔστι τι αὐτῆς τὸ ἐξαίρετον. Τῶν γὰρ ἐν τῇ Ἐκκλησίᾳ πολὺ μὲν τὸ ἄλλο πλῆθος, σπανίοι δὲ οἱ τῇ ἁγιοσύνῃ προσανακείμενοι, καὶ τὴν ἐντολὴν τὴν λέγουσαν· «Ἅγιοι ἔσεσθε, ὅτι ἐγὼ Κύριος ὁ Θεὸς ὑμῶν ἅγιος[6]», φυλάττοντες. Καὶ ἐν τούτοις τε τοῖς ἁγίοις ἡ κατασκήνωσις λέλεκται εἶναι τοῦ Ὑψίστου· ἐν μόνοις γὰρ αὐτοῖς χώραν ἔχει ἡ φάσκουσα τοῦ Θεοῦ φωνή· «Ἐνοικήσω ἐν αὐτοῖς καὶ ἐμπεριπατήσω· καὶ ἔσομαι αὐτῶν Θεός, καὶ αὐτοὶ ἔσονταί μοι λαός.[7]»

1. Ματθ. 17, 20. 2. Λουκ. 8, 31. 3. Ἰὼβ 38, 16. 4. Γεν. 1, 2. 5. Α' Κορ. 12, 4-6. 6. Λευϊτ. 11, 42. 7. Λευϊτ. 26, 12.

Στίχ. ς΄. «Ὁ Θεὸς ἐν μέσῳ αὐτῆς οὐ σαλευθήσεται· βοηθήσει αὐτῇ ὁ Θεὸς τῷ πρωΐ, πρωΐ.»

Ἕτερος δὲ πάλιν φησίν· Οἶμαι αὐτὸν αἰνίττεσθαι τὰς πρωϊνὰς συνόδους, ἐν αἷς εἰώθαμεν κατὰ τὰς ἁπανταχοῦ γῆς ἐκκλησίας συγκροτεῖσθαι. Καὶ ἄλλως δὲ διεγείρει ἡμᾶς τὸ λόγιον καὶ παρορμᾷ ἐπὶ τὰς ἑωθινὰς προσευχάς· ἵν' ὥσπερ τὰς ἀπαρχὰς τῆς ἑαυτῶν ζωῆς ἀναφέροιμεν αὐτῷ· κατὰ γὰρ τούτους τοὺς καιροὺς ἀτάραχος οὖσα μάλιστα ἡ κεκαθαρμένη διάνοια, ἱερέως τρόπον λειτουργεῖν εἴωθε τῷ Θεῷ. «Διάψαλμα».

Στίχ. ζ΄, η΄. «Ἐταράχθησαν ἔθνη, ἔκλιναν βασιλεῖαι· ἔδωκε φωνὴν αὐτοῦ, ἐσαλεύθη ἡ γῆ.»

Ἐνταῦθα τοὺς τὴν γῆν οἰκοῦντας ἀνθρώπους εἰσάγει ταραττομένους, τάς τε ἐπὶ γῆς βασιλείας ὁπλιζομένας κατὰ τῆς Ἐκκλησίας, καὶ πόλεμον αἱρομένας κατὰ τοῦ εὐαγγελικοῦ λόγου. Εἶθ' ὥσπερ ἐν ταῖς συμβολαῖς, ἐπικρατοῦντος τοῦ τῶν νικώντων μέρους, τὸ ἐναντίον ταράττεται καὶ εἰς φυγὴν χωρεῖ· οὕτω καὶ νῦν, νικῶντος τοῦ εὐαγγελικοῦ λόγου, «ἐταράχθησαν ἔθνη καὶ ἔκλιναν βασιλεῖαι», ἤ, «περιετράπησαν βασιλεῖαι», κατὰ τὸν Σύμμαχον. Ἀλλὰ καὶ διδόντος φωνὴν αὐτοῦ διελύθη ἡ γῆ. Τοῦ γὰρ εὐαγγελικοῦ λόγου νεωστὶ περιιόντος εἰς τὸν βίον, ξενιζόμενα τὰ ἔθνη καὶ τὴν προτέραν αὐτῶν δεισιδαιμονίαν διεκδικοῦντα συνεκινήθη· οἵ τε τούτων βασιλεῖς ἐπανέστησαν τῇ Ἐκκλησίᾳ. Ἀλλ' ἐπεὶ ὁ Θεὸς καταφυγὴ αὐτῆς ἦν, οἱ πάντες ἀνετράπησαν, πλέον οὐδὲν ἢ φωνὴν μόνην τοῦ Σωτῆρος ἡμῶν δεδωκότος. «Ἔδωκε» γὰρ «φωνὴν αὐτοῦ, ἡ δ' ἐσαλεύετο.» Ποίαν δὲ φωνὴν ἢ τὴν διὰ τοῦ κηρύγματος τῶν ἀποστόλων αὐτοῦ; Εἰκότως οὖν πάλιν ἡμεῖς οἱ ἀνωτέρω εἰρηκότες· «Ὁ Θεὸς ἡμῶν καταφυγὴ καὶ δύναμις», τὴν αὐτὴν ὁμολογίαν ἐπαναλαμβάνομεν λέγοντες, ὅτι μὴ ἐξ ἡμετέρας δυνάμεως τὰ τοσαῦτα κατορθώματα, ἀλλ' ἦν μεθ' ἡμῶν ὁ ταῦτα ἐνεργῶν Κύριος τῶν δυνάμεων. Αὐτός τε ἦν «ἀντιλήπτωρ ἡμῶν ὁ Θεὸς Ἰακώβ.» Εὐκαίρως δὲ καὶ ἐνταῦθα τοῦ Θεοῦ Ἰακὼβ ἐμνημόνευσαν, ἀναπέμποντες ἡμᾶς ἐπὶ τὸν ὀφθέντα τῷ Ἰακὼβ ἐν σχήματι ἀνδρός. Ἐπάλαισε γάρ, φησίν, ἄνθρωπος μετ' αὐτοῦ, ὃς καὶ εἶπεν αὐτῷ· «Οὐκ ἔτι κληθήσεται τὸ ὄνομά σου Ἰακώβ, ἀλλ' Ἰσραὴλ ἔσται τὸ ὄνομά σου· ὅτι ἐνίσχυσας μετὰ Θεοῦ. Καὶ ἀναστὰς Ἰακὼβ ἐκάλεσε τὸ ὄνομα τοῦ τόπου ἐκείνου, Εἶδος Θεοῦ, εἰπών· Εἶδον γὰρ Θεὸν πρόσωπον πρὸς πρόσωπον.[1]» Οὗτος γὰρ αὐτὸς ἐκεῖνος ὁ ἐν ἀνθρώπου σχήματι τῷ Ἰακὼβ φανείς. Αὐτὸς δέ ἐστιν «ὁ Κύριος τῶν δυνάμεων ὁ μεθ' ἡμῶν»; καὶ αὐτός ἐστιν «ἀντιλήπτωρ ἡμῶν ὁ Θεὸς Ἰακώβ.» Δι' αὐτοῦ γὰρ τὰ προγεγραμμένα πάντα κατωρθώσαμεν.

Στίχ. θ΄, ι΄. «Δεῦτε καὶ ἴδετε τὰ ἔργα τοῦ Κυρίου, ἃ ἔθετο τέρατα ἐπὶ τῆς γῆς, ἀνταναιρῶν πολέμους μέχρι τῶν περάτων τῆς γῆς.

---

1. Γεν. 32, 28-30.

Τόξον συντρίψει, καὶ συγκλάσει ὅπλον, καὶ θυρεοὺς κατακαύσει ἐν πυρί.»

Ἔστι γε, ἐπιστήσαντα τοῖς χρόνοις, καὶ πρὸς λέξιν αὐτὰ ταῦτα πεπληρωμένα παραλαβεῖν· εἴ γε πρὸ τῆς τοῦ Σωτῆρος ἡμῶν ἐπιφανείας τοποκρατίαι καὶ τοπαρχίαι κατὰ χώρας ἦσαν καὶ κατὰ πόλεις· πόλεμοί τε συνίσταντο καθ' ἑκάστην γωνίαν τῆς γῆς· ὡς καὶ αὐτοὺς τοὺς γεωπόνους, τὴν χώραν ἐργαζομένους, δοράτων καὶ ξιφῶν καὶ παντοίων πολεμικῶν ὅπλων ἐπιμελεῖσθαι. Μετὰ δὲ τὴν σωτήριον θεοφάνειαν μόναρχος μὲν ἡ Ῥωμαίων βασιλεία ἐπικρατεῖν πλείστων ἐθνῶν ἤρξατο· διέτρεχε δὲ συναρξάμενον αὐτῇ τὸ σωτήριον Εὐαγγέλιον εἰς πάντα τὰ ἔθνη. Ἐπληροῦτο δὲ καὶ ἄλλη προφητεία, ὧδέ πη ἀναφωνοῦσα διὰ Ἠσαΐου· «Καὶ συγκόψουσι τὰς μαχαίρας αὐτῶν εἰς ἄροτρα, καὶ τὰς ζιβύνας αὐτῶν εἰς δρέπανα· καὶ οὐ μὴ λήψεται ἔθνος ἐπὶ ἔθνος μάχαιραν, καὶ οὐ μὴ μάθωσιν ἔτι πολεμεῖν.[1]» Ταῦτα δὴ οὖν καὶ διὰ τῶν παρόντων δηλοῦται, καὶ τέλους ἐτύγχανε, ῥητῶς μὲν κατὰ τὴν ἀποδοθεῖσαν ἱστορίαν, πρὸς δὲ διάνοιαν, κατὰ τὴν τῶν νοητῶν καὶ ἀοράτων πολεμίων καθαίρεσιν. Δόρατα δὲ καὶ ὅπλα, καὶ θυρεοὺς τῶν ἀντικειμένων δυνάμεων ἐποίησαν εἶναι τὰ ἄψυχα ξόανα καὶ τὰ ἀγάλματα τῆς πολυθέου πλάνης, ἢ καὶ τοὺς ἀθέους ἄνδρας καὶ τοὺς δυσσεβεῖς λογισμοὺς τοὺς ταῖς διανοίαις τῶν ἀνθρώπων ὑποβαλλομένους ὑπὸ τῶν ἀοράτων πνευμάτων, δι' ὧν κατατοξεύουσιν ἀκοντίζοντες τὰ πεπυρωμένα βέλη κατὰ τῶν ἀφράκτων καὶ μὴ τῇ πίστει πεφραγμένων ψυχῶν.

Στίχ. ια'. «Σχολάσατε καὶ γνῶτε, ὅτι ἐγώ εἰμι ὁ Θεός, ὑψωθήσομαι ἐν τοῖς ἔθνεσιν, ὑψωθήσομαι ἐν τῇ γῇ.»

Ἐπειδὴ λοιπὸν πέπαυτο τὰ τοῦ πολέμου καὶ λέλυτο τὰ τῆς ταραχῆς, εἰρήνη δὲ βαρεῖα δέδοτο τοῖς ἐπὶ γῆς ἅπασιν· εἰκότως βούλεται εἰς ἀγαθὸν χρῆσθαι τῷ καιρῷ, καὶ σχολὴν ἀναλαβεῖν ψυχῆς σωτήριον. Διό φησι· «Σχολάσατε καὶ γνῶτε·» οὐδὲ γὰρ ἑτέρως ἔστι γνώσεως μετασχεῖν θείας, μὴ σχολάσαντα τῶν ἀφελκόντων ἐπὶ τἀναντία. Ἔνθεν εἰκότως ὁ τῆς Αἰγύπτου βασιλεύς, πρὸς τὴν τοιαύτην διαβεβλημένος σχολήν, τοῖς φάσκουσιν· «Ὁδὸν τριῶν ἡμερῶν πορευσόμεθα, καὶ λατρεύσομεν Κυρίῳ τῷ Θεῷ ἡμῶν[2]», ἀποκρίνεται λέγων· «Σχολάζετε, σχολασταί ἐστε.[3]» Εἶτα, μὴ βουλόμενος αὐτοὺς τῷ Θεῷ σχολάζειν, καταπονεῖ τῷ πηλῷ καὶ τῇ πλινθείᾳ. Ἀλλ' ἡμῖν γε οἱ καταστάντες ἄρχοντες ἐπὶ πᾶσαν τὴν γῆν ἐπιβοῶσι σχολάζειν καρπὸν τῆς σχολῆς ἐπαγγελλόμενοι τὴν ἔνθεον γνῶσιν. Λαλεῖ δὲ ὁ Θεὸς δι' αὐτῶν λέγων· «Γνῶτε, ὅτι ἐγώ εἰμι ὁ Θεός·» ἀλλὰ καὶ «ὅτι ὑψωθήσομαι ἐν τοῖς ἔθνεσιν, ὑψωθήσομαι ἐν τῇ γῇ. » Πάλαι μὲν γὰρ παρὰ Ἰουδαίοις ἐγινωσκόμην μόνοις, ὅτε «γνωστὸς ἐν τῇ Ἰουδαίᾳ ὁ Θεός, ἐν τῷ Ἰσραὴλ μέγα τὸ ὄνομα αὐτοῦ·[4]» νυνὶ δὲ ὑμῖν παρακε-

1. Ἠσ. 2, 4. 2. Ἔξ. 5, 3. 3. Ἔξ. 5, 8. 4. Ψαλμ. 75, 2.

λεύομαι σχολὴν ἄγειν, ὡς ἂν μάθοιτε καὶ γνῶτε τίνα τρόπον καὶ παρὰ πᾶσι τοῖς ἔθνεσιν ὑψωθήσομαι, δοξαζόμενος παρ' αὐτοῖς μᾶλλον ἢ παρὰ τοῖς πάλαι με εἰδέναι νομιζομένοις.

ΕΙΣ ΤΟ ΤΕΛΟΣ, ΥΠΕΡ ΤΩΝ ΥΙΩΝ ΚΟΡΕ, ΨΑΛΜΟΣ ΜΞ΄.

Στίχ. β΄, γ΄. «Πάντα τὰ ἔθνη, κροτήσατε χεῖρας· ἀλαλάξατε Θεῷ ἐν φωνῇ ἀγαλλιάσεως· ὅτι Κύριος ὕψιστος, φοβερός, βασιλεὺς μέγας ἐπὶ πᾶσαν τὴν γῆν.»

Δοκεῖ μοι τὰ τῆς προγραφῆς ἐσφαλμένως ἔχειν. Οὐ γὰρ «ὑπὲρ τῶν υἱῶν Κορέ», ἀλλά, «τοῖς υἱοῖς Κορέ», ἢ «τῶν υἱῶν Κορέ», ἐχρῆν ἐπιγεγράφθαι κατὰ τὰς ἔμπροσθεν προγραφάς. Οἱ γὰρ λοιποὶ ἑρμηνευταὶ καὶ τὸ Ἑβραϊκὸν ὁμοίως ἔχουσι τοῖς ἔμπροσθεν. Καὶ ἐπειδήπερ σαφέστατα τοῖς ἔθνεσιν ὁ λόγος παρακελεύεται, οὐδὲν ἔχων ἐπικεκαλυμμένον, εἰκότως οὐδὲ τὰ τῆς προγραφῆς «εἰς σύνεσιν» ἡμᾶς παρορμᾷ, οὐδὲ «ὑπὲρ τῶν κρυφίων·» ψαλμὸς δὲ ἁπλῶς εἴρηται, ἢ μελῴδημα, ἢ ᾆσμα κατὰ τοὺς λοιπούς. Τὸ δέ, «εἰς τέλος», ἀναγκαίως πρόκειται, διὰ τὸ ἐν ὑστέροις χρόνοις μέλλειν ἀποπληροῦσθαι τὴν πρόρρησιν. Προστάττει δὲ τὸ Πνεῦμα τὸ ἅγιον σφόδρα ἀκολούθως μετὰ τὰ προλεχθέντα περὶ τοῦ Ἀγαπητοῦ, καὶ περὶ τῶν τούτου κηρύκων, πᾶσι τοῖς ἔθνεσιν εὐφροσύνης σύμβολα πράττειν, διὰ τοῦ κροτεῖν μὲν τὰς χεῖρας ὡς ἐπὶ γάμοις συντελουμένοις νυμφίου καὶ νύμφης· ἀλαλάζειν δὲ τῷ Θεῷ, ὡς ἐπὶ βασιλέως εὐφημουμένου ἐπὶ τῇ κατὰ τῶν πολεμίων νίκῃ. Καὶ εἰκότως μετὰ τὴν κατὰ τῶν πολεμίων νίκην τοῦ Σωτῆρος, νύμφην ἑαυτοῦ δηλαδὴ τὴν Ἐκκλησίαν ἀπειληφότος, πάντας παρακαλεῖ τὸ Πνεῦμα τὸ ἅγιον σπεύδειν ἐπὶ τὴν ἑορτήν. Διὸ βοᾷ πᾶσι τοῖς κατὰ τὴν οἰκουμένην ἔθνεσι λέγον· «Πάντα τὰ ἔθνη, κροτήσατε χεῖρας, ἀλαλάξατε τῷ Θεῷ ἐν φωνῇ ἀγαλλιάσεως.» Τὸ δ' αἴτιον τῆς παρακελεύσεως διδάσκει ἑξῆς φάσκον· «Ὅτι Κύριος ὕψιστος, φοβερός, βασιλεὺς μέγας ἐπὶ πᾶσαν τὴν γῆν.» Πρότερον μὲν γὰρ Κύριος αὐτὸς ὁ ὕψιστος μόνων τῶν κατ' οὐρανὸν ἐβασίλευεν· ἠγνοεῖτο δὲ τοῖς ἐπὶ τῆς γῆς, ὅτε δαίμονες ἐκράτουν ἐπὶ γῆς ἀνθρώπων· νυνὶ δὲ διὰ τοῦ Ἀγαπητοῦ ἐπέλαμψε τοῖς ἐπὶ γῆς τὴν αὐτοῦ χάριν καὶ αὐτὸς ὁ Ὕψιστος, φοβερὸς γέγονεν ἐκείνοις τοῖς πολεμίοις τοῖς τὴν πολύθεον ἐνεργοῦσι πλάνην· πάντας γὰρ αὐτοὺς ἤλασε, καὶ μακρὰν τῆς τῶν ἀνθρώπων ἐποίησεν ἀγέλης. Σχολῆς δὲ γενομένης, βασιλεὺς μέγας τῶν ἐπὶ πᾶσαν τὴν γῆν ἐθνῶν ἀνεκηρύττετο. Διὸ τοῖς βασιλευομένοις κροτεῖν ταῖς χερσὶν ὁ λόγος παρακελεύεται, τουτέστιν ἔργοις καὶ πράξεσι· ὥσπερ εἰ φωνὰς ἀφιέναι ἀξίας τῆς τοῦ Ὑψίστου βασιλείας, καὶ ἀλαλάζειν δὲ αὐτῷ ἐν φωνῇ ἀγαλλιάσεως προστάττει, ὡς ἂν μὴ μόνον ἔργοις καὶ βίῳ, ἀλλὰ καὶ δόγμασιν ὀρθοῖς καὶ θεολογίαις ἀνυμνεῖν αὐτόν.

Στίχ. δ΄, ε΄. «Ὑπέταξε τοὺς λαοὺς ἡμῖν, καὶ ἔθνη ὑπὸ τοὺς πόδας

ἡμῶν. Ἐξελέξατο ἡμῖν τὴν κληρονομίαν αὐτοῦ, τὴν καλλονὴν Ἰακώβ, ἣν ἠγάπησεν.»

Ὅτι τοῖς υἱοῖς Κορὲ οὔτε λαοὶ ὑπετάγησαν, οὔτε ἔθνη ὑπὸ τοὺς πόδας αὐτῶν γεγένηνται, παντί τῳ δῆλον. Οὐκοῦν ὡς ἐκ προσώπου τῶν ἀποστόλων ταῦτα εἴρηται. Οὗτοι γὰρ προσταχθέντες ὑπ' αὐτοῦ τοῦ Σωτῆρος μαθητεῦσαι πάντα τὰ ἔθνη, ὑπὸ τῆς αὐτοῦ δυνάμεως ἐμπνευσθέντες, τὴν εἰς πάντα τὰ ἔθνη πορείαν στειλάμενοι, διῆλθον καὶ τὰ βάρβαρα φῦλα, καὶ τὴν οἰκουμένην διέδραμον σύμπασαν. Εἰκότως οὖν ἐξ αὐτῶν προσώπου τοῖς τὸ κήρυγμα παραδεξαμένοις λέγεται ταῦτα· Ὅτι εἰ καὶ μὴ σώματι καταλαμβάνεται καὶ σαρκὸς ὀφθαλμοῖς ὁ ὑφ' ἡμῶν κηρυττόμενος Κύριος· ἀλλ' αὐτῷ ἔργῳ μάθετε τίς ποτέ ἐστι καὶ πηλίκος, οὗτος. Οὐχ ὁρᾶτε τοὺς κήρυκας ἡμᾶς τίνες ἐσμὲν καὶ ὁποῖοι ἄνδρες εὐτελεῖς καὶ ἰδιῶται; ὅμως γοῦν τοσοῦτον ὁ δι' ἡμῶν ἰσχύει λόγος, ὡς τὴν σύμπασαν οἰκουμένην πληρῶσαι. Πόθεν οὖν ἡ τοσαύτη δύναμις, ἡ «ὑποτάξασα ἡμῖν λαοὺς καὶ ἔθνη ὑπὸ τοὺς πόδας ἡμῶν», τοὺς μὲν προτέρους λαοὺς τοὺς πειθηνίους γενομένους τῇ ἡμετέρᾳ διδασκαλίᾳ· τὰ δὲ ἔθνη τοὺς ἔτι ἐν ἀπιστίᾳ μείναντας· οὓς ἐπαναστάντας πολλάκις, καὶ πολεμῆσαι βεβουλημένους ἡμᾶς τε καὶ τὸν ὑφ' ἡμῶν κηρυττόμενον λόγον, ὁ μέγας Βασιλεὺς ὑπέταξε τοῖς ἡμετέροις ποσίν, ὡς ἐπελθεῖν ἡμᾶς καὶ ἐπιβῆναι αὐτοῖς; Αὐτίκα δ' οὖν καὶ μὴ βουλομένων αὐτῶν ἡμεῖς ἐν μέσαις ταῖς αὐτῶν πόλεσί τε καὶ χώραις τῷ ἡμετέρῳ Θεῷ συνεστησάμεθα Ἐκκλησίας. Ἐξελέξατο δὲ ἡμῖν τὴν κληρονομίαν ἑαυτοῦ, ἣν ἐπηγγείλατο τῷ ἑαυτοῦ Ἀγαπητῷ εἰπών· «Αἴτησαι παρ' ἐμοῦ, καὶ δώσω σοι ἔθνη τὴν κληρονομίαν σου, καὶ τὴν κατάσχεσίν σου τὰ πέρατα τῆς γῆς.[1]» Ταύτην οὖν δηλαδὴ τὴν ἐξ ἐθνῶν Ἐκκλησίαν ἡμῖν τοῖς ἀποστόλοις αὐτοῦ ἐκλεξάμενος διένειμεν. Ἐκλεκτὴ γάρ ἐστιν αὕτη, κατ' ἐκλογὴν ἐκ πάντων τῶν ἐθνῶν ὑποστᾶσα, καὶ οὐ κατὰ διαδοχὴν γένους. Ἀντὶ δὲ τοῦ, «κληρονομίαν ἑαυτοῦ», οἱ λοιποί, «τὴν κληρονομίαν ἡμῶν», ἤ, «τὴν κληρουχίαν ἡμῶν», ἐκδεδώκασιν. Ὥσπερ γὰρ ἐπὶ τοῦ προτέρου λαοῦ τὴν γῆν ἐπαγγελίας κλήρῳ διενείμαντο οἱ μετὰ Ἰησοῦ τοῦ Ναυῆ, τοὺς πρὶν οἰκήτορας ἐκβάλλοντες, τὸν αὐτὸν τρόπον καὶ οἱ τῆς τοῦ Θεοῦ βασιλείας κήρυκες, τὴν σύμπασαν οἰκουμένην διελθόντες, κατεκληρώσαντο τοὺς προλεχθέντας λαούς, τοὺς ἀφανεῖς καὶ ἀοράτους πολεμίους ἐλάσαντες. Ταύτην τὴν κληρονομίαν τὴν καλλονὴν Ἰακὼβ εἶναί φησιν· ἢ κατὰ τὸν Ἀκύλαν, «τὸ ὑπερφερὲς Ἰακώβ·» κατὰ δὲ τὸν Σύμμαχον, «τὸν ἐνδοξασμὸν Ἰακώβ·» κατὰ δὲ τὴν πέμπτην ἔκδοσιν, «τὸ καύχημα Ἰακώβ.» Ἡ γὰρ Ἐκκλησία Χριστοῦ καύχημα καὶ δόξα τοῦ παλαιοῦ προφήτου Ἰακὼβ γέγονε διὰ τὰς αὐτοῦ Ἰακὼβ περὶ τῶν ἐθνῶν προαναφωνήσεις· ἀδοξία γὰρ ἦν αὐτῷ τὸ μὴ ἐπαληθεῦσαι αὐτοῦ τοὺς λόγους· τὸ δὲ εἰς ἔργα κεχωρηκέναι δόξα καὶ καύχημα αὐτοῦ.

---

1. Ψαλμ. 2, 8.

Στίχ. ι΄. «Ἄρχοντες λαῶν συνήχθησαν μετὰ τοῦ Θεοῦ Ἀβραάμ, ὅτι τοῦ Θεοῦ οἱ κραταιοὶ τῆς γῆς σφόδρα ἐπήρθησαν.»

Μετὰ τῶν ἄλλων τῶν προλεχθέντων, καὶ ἄρχοντες λαῶν ὑπὸ μίαν συνήχθησαν Ἐκκλησίαν, γενόμενοι λαὸς τοῦ Θεοῦ Ἀβραάμ· οὕτως γὰρ ἡρμήνευσε θαυμαστῶς ἀποδοὺς ὁ Σύμμαχος εἰπών· «Ἄρχοντες λαῶν ἠθροίσθησαν, λαὸς τοῦ Θεοῦ Ἀβραάμ.» Οἱ γὰρ πάλαι ἄρχοντες τῶν λαῶν οἱ εἰδωλολάτραι, καὶ πάσῃ δεισιδαιμονίᾳ πλάνης ἐκδεδομένοι, οὗτοι λαοὶ γεγόνασι τοῦ Θεοῦ Ἀβραάμ, τὸν Θεὸν Ἀβραὰμ ἐπιγνόντες, καὶ τοῦτον ἐν ταῖς εὐχαῖς ἀναβοώμενοι, καὶ μετ' αὐτοῦ ποιούμενοι τὴν σύνοδον. Καὶ ὁ Θεοδοτίων δέ, εἷς καὶ αὐτὸς τῶν ἐπιμελῶς ἑρμηνευσάντων τυγχάνων, ὁμοίως τῷ Συμμάχῳ ἡρμήνευσεν εἰπών· «Ἄρχοντες λαῶν συνήχθησαν, λαὸς τοῦ Θεοῦ Ἀβραάμ.» Διὰ τί δὲ οἱ Ἑβδομήκοντα, «μετὰ τοῦ Θεοῦ Ἀβραάμ», εἰρήκασι; Ἐπειδὴ ἡ Ἑβραϊκὴ φωνὴ τοῖς αὐτοῖς στοιχείοις γράφει τό, «μετά», καὶ τό, «λαός.» Εἴρηται γάρ, «ἀμ' Ἐλοΐμ·» ὃ δύναται καί, «μετὰ τοῦ Θεοῦ», λέγεσθαι, καὶ «λαὸς τοῦ Θεοῦ.»

ΩΔΗ ΨΑΛΜΟΥ ΤΟΙΣ ΥΙΟΙΣ ΚΟΡΕ ΜΖ΄.

Στίχ. β΄, γ΄. «Μέγας Κύριος, καὶ αἰνετὸς σφόδρα, ἐν πόλει τοῦ Θεοῦ ἡμῶν, ἐν ὄρει ἁγίῳ αὐτοῦ εὐρίζω· ἀγαλλιάματι πάσης τῆς γῆς, ὄρη Σιών, τὰ πλευρὰ τοῦ Βορρᾶ, ἡ πόλις τοῦ βασιλέως τοῦ μεγάλου.»

Τρεῖς μὲν οἱ πρῶτοι ἐπιγεγραμμένοι «τῶν υἱῶν Κορὲ» συμφορᾶς καὶ λύπης περιεῖχον λόγους· ὁ δὲ τέταρτος μεταβολὴν ἐπὶ τὸ φαιδρότερον ἐδήλου· διὸ «ᾠδὴ» ἐτύγχανεν «ὑπὲρ τοῦ Ἀγαπητοῦ·» ὡσαύτως καὶ ὁ πέμπτος, «ὑπὲρ τῶν κρυφίων» ἦν· ἀλλὰ καὶ ὁ ἕκτος ὁμοίως ψαλμὸς ἦν. Ὁ δὲ μετὰ χεῖρας, μείζονα τῶν ἔμπροσθεν θεολογίαν περιέχων, εἰκότως «Ὠδὴ ψαλμοῦ τοῖς υἱοῖς Κορὲ» ἐπιγέγραπται· κατὰ τὸ αὐτὸ γὰρ οἱ μὲν διὰ φωνῆς ἀναβοῶντες ὕμνουν τὸν Θεόν, οἱ δὲ δι' ὀργάνων μουσικῶν τὴν αὐτὴν ἀνεκρούοντο ᾠδήν, τῷ μέλει σύμφωνον ποιούμενοι τὴν ἁρμονίαν. Ὕμνον δὲ ὑπὲρ τῆς Ἐκκλησίας ἀναπέμπουσι τῷ τὰς κατὰ τῶν πολεμίων νίκας ἀραμένῳ, καὶ τὴν Ἐκκλησίαν αὐτοῦ τῆς πικρᾶς καὶ χαλεπῆς δουλείας λυτρωσαμένῳ. Ὁ μὲν οὖν πρὸ τούτου παρεκελεύετο τοῖς ἔθνεσι κροτεῖν καὶ ἀλαλάζειν τῷ Θεῷ ἐν φωνῇ ἀγαλλιάσεως, καὶ ψάλλειν αὐτῷ, «ὅτι βασιλεὺς πάσης τῆς γῆς ὁ Θεός·» ψάλλειν τε συνετῶς, ἐπείπερ ἐβασίλευσεν ἐπὶ τὰ ἔθνη. Ἔδει δὲ τοὺς κεκελευσμένους ταῦτα πράττειν, καὶ τὸν τρόπον τοῦ ἀλαλαγμοῦ, καὶ τὸν ψαλμὸν αὐτὸν ὡς παρὰ διδασκάλου μαθεῖν· διὸ ἀναγκαίως ὁ παρὼν λόγος τοῦτο διδάσκει. Παιδεύεται τοίνυν τὰ ἔθνη τὰ ἐξ ἀθεότητος ἐπὶ τὴν ἔνθεον διδασκαλίαν μεταβεβλημένα τὸν ἑαυτῶν θεολογεῖν Κύριον καὶ λέγειν· «Μέγας Κύριος καὶ αἰνετὸς σφόδρα·» ἤ, «καὶ ὑμνητὸς σφόδρα», κατὰ τοὺς λοιπούς. Νοήσεις δὲ ὅπως μέγας εἴρηται, ἀναβλέψας εἰς τὸν οὐρανόν, καὶ τὸν σύμπαντα περιαθρήσας κόσμον, κατὰ τὸν Ἡσαΐαν φήσαντα· «Ἐπάρατε εἰς ὕψος

τοὺς ὀφθαλμοὺς ὑμῶν, καὶ ἴδετε τίς κατέδειξε ταῦτα πάντα· ἐκ μεγέθους γὰρ καὶ καλλονῆς κτισμάτων ἀναλόγως ὁ γενεσιουργὸς θεωρεῖται· [1]» οὐ σωματικῷ μεγέθει, δυνάμει δὲ ἀκαταλήπτῳ· ἀλλὰ καὶ σοφίᾳ μέγας ἐστὶ καὶ ἀγαθότητι καὶ ἀνεξικακίᾳ καὶ φιλανθρωπίᾳ, ταῖς τε λοιπαῖς ἐπινοουμέναις ἐν αὐτῷ θεϊκαῖς δυνάμεσι· διὸ λέλεκται· «Καὶ τοῖς διαλογισμοῖς σου οὐκ ἔστι τίς ὁμοιωθήσεται.[2]»

Ἀθέους τινὰς ὄντας δαίμονας ἐπῳδῶν (sic) πεποιημένους ὁ τὴν ἑαυτοῦ βασιλείαν ἐπὶ γῆν συστησάμενος, καὶ τὰ καθ' ἕκαστον τῶν ἔμπροσθεν κατηριθμημένων ἐν ἀνθρώποις ἐπιτελέσας. Οὐ μόνον δὲ μέγας ἐστίν, ἀλλὰ καὶ ὑμνητὸς σφόδρα· οὐ μὴν παρὰ πᾶσιν, οὐδὲ ἐν παντὶ τόπῳ, ἀλλ' ἐν τῇ πόλει τοῦ Θεοῦ ἡμῶν, καὶ ἐν τῷ ὄρει ἁγίῳ αὐτοῦ. Ἐπείπερ οἱ ἔξω τῆς αὐτοῦ πόλεως, ἀμαθεῖς ὄντες τῆς ἐνθέου διδασκαλίας, οὐκ ἴσασιν αὐτὸν ὑμνεῖν, οὐδ' ἐπαξίως θεολογεῖν· διόπερ τὴν σεβάσμιον προσηγορίαν ἐπὶ τὴν ἄψυχον ὕλην καταβεβλήκασιν, ἢ ζῴων ἀλόγων γένη, ἢ ἐπὶ τὰ στοιχεῖα, γῆν, ὕδωρ, ἀέρα, πῦρ, ἢ ἐπὶ τὰ μέρη τοῦ κόσμου· καὶ ἄλλοι ἄλλως πως περὶ Θεοῦ ἐδόξασαν ἀσεβῶς· καὶ διὰ τοῦτο, τῆς πόλεως ὄντες ἀλλότριοι τοῦ Θεοῦ, ἀποπεπτώκασι τοῦ ἀληθοῦς ὕμνου. Πόλις δὲ τοῦ Θεοῦ ἡμῶν ἡ Ἐκκλησία, ἣν καὶ τὰ ἀνωτέρω ἐδήλου λόγια, δι' ὧν εἴρητο· «Τοῦ ποταμοῦ τὰ ὁρμήματα εὐφραίνουσι τὴν πόλιν τοῦ Θεοῦ· ἡγίασε τὸ σκήνωμα αὐτοῦ ὁ Ὕψιστος.[3]» Καὶ ταῦτα μὲν περὶ τῆς κατὰ γῆν Ἐκκλησίας· περὶ ἧς εἴρηται· «Ἐνοικήσω ἐν αὐτοῖς καὶ ἐμπεριπατήσω· καὶ ἔσομαι αὐτῶν Θεός, καὶ αὐτοὶ ἔσονταί μοι λαός.[4]» Εἰ δ' ἔστι τις ἄλλη κρείττων ταύτης πόλις, ἧς τεχνίτης καὶ δημιουργὸς αὐτός· θέα ὅπως καὶ ἐν ταύτῃ μέγας καὶ ὑμνητός, καὶ αἰνετός ἐστι σφόδρα, κατ' ἀξίαν νοούμενος ἐν αὐτῇ καὶ θεολογούμενος. Ποῖ δὲ γῆς ᾠκοδόμηται ἡ πόλις αὕτη, ὁ μὲν ψαλμὸς διδάσκει λέγων· «Ἐν ὄρει ἁγίῳ αὐτοῦ εὐρίζῳ·» τουτέστι τῷ εὖ τεθεμελιωμένῳ καὶ ἐρριζωμένῳ, καὶ «τῷ ἀγαλλιάματι πάσης τῆς γῆς.» Ποῖον δ' ἂν εἴη τοῦτο τὸ ὄρος, ὁ μέγας Ἀπόστολος διδάσκει λέγων· «Προσεληλύθαμεν Σιὼν ὄρει καὶ πόλει Θεοῦ ζῶντος Ἱερουσαλὴμ ἐπουρανίῳ, καὶ μυριάσιν ἀγγέλων πανηγύρει καὶ Ἐκκλησίᾳ πρωτοτόκων ἀπογεγραμμένων ἐν οὐρανοῖς.[5]» Ταύτην δὲ αὐτὴν εἶναι τὴν πόλιν τοῦ Θεοῦ τὴν ἀληθινὴν ὁ αὐτὸς παρίστη λέγων· «Ἡ δὲ ἄνω Ἱερουσαλὴμ ἐλευθέρα ἐστίν, ἥτις ἐστὶ μήτηρ ἡμῶν.[6]» Ὄρος δὲ τοῦ Θεοῦ ἐπάξιον αὐτὸς ὁ οὐρανός. Ἐπειδὴ δὲ καὶ τοὺς ἐπὶ γῆς ἀνθρώπους οὐκ ἀπηξίωσε τῆς οἰκείας βασιλείας· τοῦτο γὰρ ἐδήλου ὁ πρὸ τούτου ψαλμὸς λέγων· «Βασιλεὺς πάσης τῆς γῆς ὁ Θεός, ψάλατε συνετῶς· ἐβασίλευσεν ὁ Θεὸς ἐπὶ τὰ ἔθνη·[7] εἰκότως καὶ ἐπὶ τῆς γῆς συνέστη αὐτῷ πόλις, τὸ θεοσεβὲς δηλαδὴ πολίτευμα τὸ καθ' ὅλης τῆς οἰκουμένης διὰ τοῦ εὐαγγελικοῦ συστὰν κηρύγματος. Ὄρος δὲ τοῦ Θεοῦ

1. Ἡσ. 40, 26. 2. Ψαλμ. 39, 6. 3. Ψαλμ. 45, 5. 4. Λευϊτ. 26, 12.
5. Ἑβρ. 12, 22-23. 6. Γαλ. 4, 26. 7. Ψαλμ. 46, 8-9.

ἐν ᾧ τὸ πολίτευμα τοῦτο συνέστηκε, μὴ ὄκνει λέγειν τὸν Λόγον τοῦ Θεοῦ, ἤτοι τὸν Χριστόν· ἐπείπερ ἐπὶ τὴν πέτραν ᾠκοδόμηται αὐτοῦ ἡ Ἐκκλησία· αὐτός τε ἦν ἡ πέτρα. Οὗτος οὖν καὶ ὄρος καὶ πέτρα καὶ θεμέλιος τῆς Ἐκκλησίας, αὐτὸς ἂν μόνος εἴη κατὰ τὸν φάσκοντα· «Θεμέλιον γὰρ ἄλλον οὐδεὶς δύναται θεῖναι παρὰ τὸν κείμενον, ὅς ἐστιν Ἰησοῦς Χριστός·[1]» καὶ ἀγαλλίαμα δὲ τυγχάνει πάσης τῆς γῆς.

«Τὰ πλευρὰ τοῦ Βορρᾶ.» Διόπερ καὶ τὰ πλευρὰ τοῦ Βορρᾶ ἐπέχειν λέγεται. Παρὰ μὲν οὖν τοῖς παλαιοῖς ἐλέγετο· «Ἀπὸ Βορρᾶ ἐκκαυθήσεται τὰ κακὰ ἐπὶ πάντας τοὺς κατοικοῦντας τὴν γῆν.[2]» Ἐπεὶ δὲ ἡ βασιλεία τοῦ Θεοῦ, ἐπὶ τῆς γῆς συστᾶσα, ἤλασε τοὺς τὰ πλευρὰ τοῦ Βορρᾶ πάλαι κρατοῦντας, καὶ τὸν ἐν αὐτοῖς λέβητα τὸν ὑποκείμενον ἔσβεσε, κρείττων τε γεγένηται τῶν κακῶν τῶν πάλαι τὸν Βορρᾶν πληρούντων· εἰκότως ἐνταῦθα τὸ προλεχθὲν ὄρος διήκειν λέγεται ἐπὶ τὰ πλευρὰ τοῦ Βορρᾶ. Ἐπεὶ δὲ καὶ μέχρι τῶν πάλαι εἰδωλολατρῶν ἐθνῶν ἡ τοῦ βασιλέως ἐξεχύθη χάρις· δύο δὲ νοουμένων κατὰ τὰς γεωγραφίας τῆς ὅλης γῆς μερῶν, τοῦ μὲν κατὰ τὸ μεσημβρινὸν καὶ νότιον κλῖμα, ὃ δή φασιν εἶναι τῆς ἀντοικουμένης· τοῦ δ' ἑτέρου κατὰ τὸ βόρρειον, ὃ οἰκοῦμεν ἡμεῖς· εἰκότως ὁ παρὼν λόγος τὴν καθ' ἡμᾶς οἰκουμένην σημαίνων τὰ πλευρὰ τοῦ Βορρᾶ ὠνόμασεν. Ἄλλως δὲ οὐκ ἔστι ταῦτα δέξασθαι ἢ μόνως οὕτως· ἐπειδήπερ ἡ Ἐκκλησία τοῦ Θεοῦ, πεπληρωκυῖα τὰ πλευρὰ τοῦ Βορρᾶ καὶ πᾶσαν τὴν βόρρειον οἰκουμένην, ὀφθαλμοῖς ὁρᾶται· διὸ λέλεκται· «Ὄρη Σιών, τὰ πλευρὰ τοῦ Βορρᾶ, ἡ πόλις τοῦ βασιλέως τοῦ μεγάλου.»

Στίχ. δ'-η'. «Ὁ Θεὸς ἐν ταῖς βάρεσιν αὐτῆς γινώσκεται.»

Πάλιν κἀνταῦθα σημεῖα τῆς παρουσίας τοῦ Θεοῦ τῆς ἐν τῇ πόλει αὐτοῦ τῇ προλεχθείσῃ δίδωσιν. Ὥσπερ γὰρ ἐν τοῖς ἀνωτέρω εἴρητο· «Ὁ Θεὸς ἐν μέσῳ αὐτῆς, καὶ οὐ σαλευθήσεται· βοηθήσει αὐτῇ ὁ Θεὸς τὸ πρὸς πρωῒ πρωΐ. Ἐταράχθησαν ἔθνη, ἔκλιναν βασιλεῖαι, ἔδωκε φωνὴν αὐτοῦ, ἐσαλεύθη ἡ γῆ·[3]» τὸν αὐτὸν τρόπον καὶ νῦν τὸ ἐναργὲς τῆς παρουσίας τοῦ Θεοῦ ἐν τῇ πόλει αὐτοῦ παρίστησι λέγων· «Ὁ Θεὸς ἐν βάρεσιν αὐτῆς γινώσκεται, ὅταν ἀντιλαμβάνηται αὐτῆς.» Ἀντὶ δὲ τοῦ, «Ἐν ταῖς βάρεσιν αὐτῆς», ὁ Σύμμαχος· «Ἐν τοῖς βασιλείοις αὐτῆς γνωσθήσεται», εἴρηκεν. Ἀφανοῦς γὰρ ὄντος τοῦ Θεοῦ καὶ ἀοράτου, τότε μάλιστα ἡ παρουσία αὐτοῦ γινώσκεται, ὅταν, πολεμίων ἐπιθεμένων τῇ αὐτοῦ πόλει, τὴν ἀντίληψιν αὐτῇ παρέχει. Βάρεις δὲ τῆς πόλεως τίνας ἂν εἴποις ἢ τὰς ἀφωρισμένας κατὰ χώρας καὶ κατὰ τόπους ἐκκλησίας; Τὸ μὲν γὰρ πᾶν θεοσεβὲς πολίτευμα τὸ καθ' ὅλης τῆς οἰκουμένης συνεστὼς ἡ μεγάλη νοεῖται πόλις τοῦ βασιλέως· αἱ δὲ κατὰ τόπον ἐκκλησίαι τυγχάνουσιν αἱ βάρεις, ὧν μέσος ἀεὶ ὢν ὁ εἰρηκὼς Θεός· «Ὅπου δύο ἢ τρεῖς συνηγμένοι, ἐκεῖ εἰμι ἐν μέσῳ αὐτῶν·[4]» καί, «Ἰδοὺ ἐγὼ μεθ' ὑμῶν εἰμι πάσας τὰς

---

1. Α' Κορ. 3, 11. 2. Ἱερ. 1, 14. 3. Ψαλμ. 45, 6-7. 4. Ματθ. 18, 20.

ἡμέρας ἕως τῆς συντελείας τοῦ αἰῶνος·[1]» τότε γινώσκεται, ἐπειδάν, πολεμίων ἐπιθεμένων, ἀντιλαμβάνηται τῆς ἑαυτοῦ πόλεως καὶ τῶν βάρεων αὐτῆς.

Ἑξῆς τούτοις συνῆπται ἡ τῶν πολεμίων κατὰ τῆς Ἐκκλησίας τοῦ Θεοῦ ἔφοδος· εἴρηται· «Ὅτι ἰδοὺ οἱ βασιλεῖς συνήχθησαν, διῆλθοσαν ἐπὶ τὸ αὐτό.» Κατὰ δὲ τὸν Σύμμαχον· «Ἰδοὺ γάρ», φησίν, «οἱ βασιλεῖς συνετάξαντο, ἦλθον ὁμοῦ.» Ποῖοι δὲ βασιλεῖς ἢ οἱ ἐχθροὶ τοῦ θεοσεβοῦς πολιτεύματος συνετάξαντο ἀλλήλοις καὶ νόμους ἐγγράφους ἔθεντο τοῦ πολεμεῖν τὴν Ἐκκλησίαν τοῦ Θεοῦ; Πλὴν τὸ μέγα θαῦμα τοῦ ἐν ταῖς βάρεσιν αὐτῆς γινωσκομένου Θεοῦ τότε δείκνυται, ἐπειδὰν οἱ βασιλεῖς, συναχθέντες, πόλεμον ἄρωνται κατὰ τῆς Ἐκκλησίας αὐτοῦ, διωγμούς τε κινοῦντες, καὶ μυρίας ἐπιβουλὰς κατ' αὐτῆς βουλευόμενοι, μηδὲν ἰσχύωσι. Διὸ ἐπιλέγει· «Αὐτοὶ ἰδόντες οὕτως ἐθαύμασαν·» ἔργῳ γὰρ τὴν δύναμιν αὐτοῦ παραλαβόντες, «οὕτως ἐθαύμασαν», πρὸ τούτου μὴ θαυμάσαντες. Εἶτα «ἐταράχθησαν», ὡς ἂν Θεοῦ πολέμιοι καταστάντες· «Ἐσαλεύθησάν τε καὶ τρόμος ἐπελάβετο αὐτῶν. Ἐκεῖ ὠδῖνες ὡς τικτούσης.» Λοιπὸν γὰρ ὑπέπιπτεν αὐτῶν τοῖς ὀφθαλμοῖς ὁ περὶ τῆς κρίσεως τοῦ Θεοῦ λόγος, τοῦ ὑπ' αὐτῶν πολεμουμένου. Διὸ κατὰ τὸν Σύμμαχον εἴρηται· «Αὐτοὶ ἰδόντες οὕτως ἐθαύμασαν, ἐταράχθησαν, ἐξεπλάγησαν, φρίκη κατέσχεν αὐτούς, ὠδῖνες ὡς τικτούσης.» Ὤδινον γὰρ κατὰ τὸ λελεγμένον· «Ἰδοὺ ὠδίνησεν ἀδικίαν, συνέλαβε πόνον καὶ ἔτεκεν ἀνομίαν. Λάκκον ὤρυξε καὶ ἀνέσκαψεν αὐτόν, καὶ ἐμπεσεῖσαι εἰς βόθρον ὃν εἰργάσατο. Ἐπιστρέψει ὁ πόνος αὐτοῦ εἰς κεφαλὴν αὐτοῦ, καὶ ἐπὶ κορυφὴν αὐτοῦ ἡ ἀδικία αὐτοῦ καταβήσεται.[2]» Ταῦτα δι' ἔργων πληρούμενα ὀφθαλμοῖς αὐτοῖς ἡμεῖς παρειλήφαμεν· ἃ καὶ εἰκὸς τοῖς μεθ' ἡμᾶς ἀπίστοις μηδὲ ἀκοῇ πιστεύεσθαι λεγόμενα. Πάντες γοῦν οἱ καθ' ἡμᾶς τῆς Ἐκκλησίας τοῦ Θεοῦ πολέμιοι καταστάντες, ἄρχοντες τοῦ αἰῶνος τούτου καὶ τύραννοι, θεηλάτοις μάστιξιν αἰκισθέντες· οἱ μὲν σήψεις τοῦ σώματος ὑπέμειναν, ὡς καὶ σκώληκας ἐξ αὐτῶν ἔτι ζώντων μετ' ἀφορήτου δυσωδίας βρύειν· οἱ δὲ τὰς ὄψεις ἔτι ζῶντες ἐπηρώθησαν, ὡς καὶ εἰς συναίσθησιν ἐλθεῖν τῆς καταλαβούσης αὐτοὺς θεηλάτου μάστιγος, παλινῳδίαν τε ᾆσαι καὶ τὸν τῆς Ἐκκλησίας Θεὸν μέγαν εἶναι καὶ ἀληθῆ καὶ μόνον Κύριον ὁμολογῆσαι· προστάξαι δὲ σὺν πολλῇ σπουδῇ ἀνανεοῦσθαι καὶ οἰκοδομεῖν τὴν πάλαι πρὸς αὐτῶν πολεμηθεῖσαν τοῦ Θεοῦ πόλιν. Τὸ δ' ἑξῆς εἰρημένον· «Ἐν πνεύματι βιαίῳ συντρίψεις πλοῖα Θαρσεῖς·» ἢ κατὰ τὸν Ἀκύλαν· «Ἐν πνεύματι καύσωνος συντρίβεις νῆας Θαρσεῖς·» ἢ κατὰ τὸν Σύμμαχον· «Δι' ἀνέμου βιαίου κατεάξεις ναῦς Θαρσεῖς·» νοήσεις ἐπιστήσας ὡς νῆες Θαρσεῖς ἐλέγοντο πλοῦτον μέγαν φέρειν τῷ Σολομῶντι ποτὲ κατὰ τὴν ἱστορίαν τὴν ἐν ταῖς Βα-

---

1. Ματθ. 28, 20. 2. Ψαλμ. 7, 15-17.

σιλείαις κειμένην. Οὕτως οὖν καὶ τῶν προλεχθέντων βασιλέων τὸν πλοῦτον καὶ τὴν δυναστείαν συντριβήσεσθαι, ὁλόστολόν τε καὶ κατὰ βυθῶν χωρήσειν, παντελῶς τε ἀφανισθήσεσθαι, ὁ λόγος ἠνίξατο διὰ τῶν νηῶν Θαρσεῖς τῶν συντριβομένων.

Στίχ. θ'. «Καθάπερ ἠκούσαμεν, οὕτως καὶ εἴδομεν ἐν πόλει Κυρίου τῶν δυνάμεων, ἐν πόλει τοῦ Θεοῦ ἡμῶν· ὁ Θεὸς ἐθεμελίωσεν αὐτὴν εἰς τὸν αἰῶνα.»

Οἱ πάλαι μὲν ἤκουον αὐτὸ μόνον τῶν προφητικῶν φωνῶν ἐκ τῶν ἱερῶν ἀναγνωσμάτων· νυνὶ δὲ αὐτοῖς πράγμασι τὰ ἀποτελέσματα τῶν προρρήσεων ὀφθαλμοῖς ὁρῶντες φασί· «Καθάπερ ἠκούσαμεν, οὕτως καὶ εἴδομεν.» Διὸ τοῖς ταῦτα φάσκουσιν ἔλεγεν ὁ Σωτήρ· «Πολλοὶ προφῆται καὶ δίκαιοι ἐπεθύμησαν ἰδεῖν ἃ ὑμεῖς βλέπετε·[1]» καί, «Ὑμῶν δὲ μακάριοι οἱ ὀφθαλμοί, ὅτι βλέπουσιν.[2]» Ἁρμόζοι δ' ἂν καὶ ἡμῖν ἡ τοιαύτη φωνή, τὰ ὅμοια τεθεαμένοις κατὰ τοὺς ἡμετέρους χρόνους· ἃ δὴ καὶ ἐπληροῦτο ἐν τῇ προλεχθείσῃ πόλει, ἣν οὐκ ἄνθρωπος, ἀλλ' αὐτὸς ὁ Θεὸς ἐθεμελίωσεν εἰς τὸν αἰῶνα. Μάλιστα γὰρ τότε αὐτῆς φαίνεται ὁ θεμέλιος αἰώνιος, ἥ τε οἰκοδομὴ οὐκ ἐξ ἀνθρώπων ἱδρυμένη, ἀλλ' ἐξ αὐτοῦ τοῦ Θεοῦ, ἐπειδάν, τοσούτων πολεμίων πολιορκούντων, ἀήττητος καὶ ἀκαθαίρετος διαμένῃ.

Στίχ. ια', ιβ'. «Κατὰ τὸ ὄνομά σου, ὁ Θεός, οὕτως καὶ ἡ αἴνεσίς σου ἐπὶ τὰ πέρατα τῆς γῆς· δικαιοσύνης πλήρης ἡ δεξιά σου.»

Ἐπειδήπερ ἡ δεξιὰ αὐτοῦ, ἡ εὐεργετικὴ καὶ πάντων τῶν ἀγαθῶν πάροχος, πεπλήρωται ἰσότητος καὶ δικαιοσύνης, οὐκ ἔστι τε προσωποληψία παρ' αὐτῷ· εἰκότως τὸ Εὐαγγέλιον πᾶσιν ἐκηρύττετο τοῖς ἔθνεσι. Διό φησιν ὁ Ἀπόστολος· «Οὐ γὰρ ἐπαισχύνομαι τὸ Εὐαγγέλιον. Δύναμις γὰρ Θεοῦ ἐστιν εἰς σωτηρίαν παντὶ τῷ πιστεύοντι, Ἰουδαίῳ τε πρῶτον καὶ Ἕλληνι. Δικαιοσύνη γὰρ Θεοῦ ἐν αὐτῷ ἀποκαλύπτεται.[3]» Τούτοις ἀκολούθως ἐπιλέγεται ἑξῆς· «Εὐφρανθήτω ὄρος Σιών·» τοῦτο δὲ καὶ διὰ τῶν ἔμπροσθεν ἐδηλοῦτο, ἐφ' ᾧ τεθεμελίωτο ἡ Ἐκκλησία. Ἡ πέτρα οὖν καὶ τὸ ὄρος αὐτὸς ἦν ὁ Χριστός. Χαίρει τοίνυν καὶ πάσης εὐφροσύνης πληροῦται ἐπὶ τῇ μεγάλῃ ἐπ' αὐτῷ οἰκοδομῇ, καὶ τῇ ἀκαταμαχήτῳ πόλει, καὶ συγχαίρει τοῖς σῳζομένοις ὁ σῴζων αὐτοὺς Κύριος· ἀλλὰ καὶ αἱ θυγατέρες τῆς Ἰουδαίας ἀγαλλιῶνται ἕνεκεν τῶν κριμάτων τοῦ Θεοῦ. Τίνες δ' ἂν εἶεν αὗται ἀλλ' ἢ αἱ ἀποστολικαὶ ψυχαὶ καὶ πᾶς ὁ τῶν μαθητῶν καὶ εὐαγγελιστῶν τοῦ Κυρίου καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ χορὸς ἐξ Ἰουδαίων γεγενημένος; Ἔχαιρόν γε μὴν καὶ πάσης ἀγαλλιάσεως καὶ θυμηδίας ἐπληροῦντο διὰ τὰ δίκαια κρίματα τοῦ Θεοῦ· ἐπείπερ δι' αὐτῶν πᾶσιν ὁμοῦ τοῖς ἔθνεσι καὶ πᾶσιν ἀνθρώποις ἐκηρύττετο τὸ σωτήριον Εὐαγγέλιον.

Στίχ. ιγ'-ιε'. «Κυκλώσατε Σιών, καὶ περιλάβετε αὐτήν, διηγή-

1. Λουκ. 10, 24. 2. Λουκ. 10, 23. 3. Ῥωμ. 1, 16-17.

σασθε ἐν τοῖς πύργοις αὐτῆς. Θέσθε τὰς καρδίας ὑμῶν εἰς τὴν δύναμιν αὐτῆς, καὶ καταδιέλεσθε τὰς βάρεις αὐτῆς, ὅπως ἂν διηγήσησθε εἰς γενεὰν ἑτέραν. Ὅτι οὗτός ἐστιν ὁ Θεὸς ἡμῶν, αὐτὸς ποιμανεῖ ἡμᾶς εἰς τοὺς αἰῶνας.»

Τὰ μὲν προλεχθέντα πάντα θεολογίαν περιέχει τοῦ τὰ τοσαῦτα ἐν ἀνθρώποις κατωρθωκότος· τὰ δὲ προκείμενα προσφωνεῖται εἰς πρόσωπόν τινων, ὡς ἂν τὴν προλεχθεῖσαν πόλιν τοῦ Θεοῦ διαλάβοιεν κυκλώσαντες αὐτήν, καὶ ταῖς χερσὶ περιλαβόντες· ὡς ἄν, πανταχόθεν αὐτὴν περιστοιχισάμενοι, φυλάττοιεν. Τίσι δὲ ἆρα προστάττεται ταῦτα ποιεῖν; Οἶμαι, ὅτι ταῖς τὴν Ἐκκλησίαν τοῦ Θεοῦ καὶ τὸ ἐν αὐτῇ θεοσεβὲς πολίτευμα φρουρούσαις θείαις δυνάμεσιν, ἀγγέλοις τε ἁγίοις. Τούτοις οὖν αὐτοῖς τὸ Πνεῦμα τὸ ἅγιον προσφωνεῖ λέγον· «Κυκλώσατε Σιών, καὶ περιλάβετε αὐτήν·» ἤγουν, «περιτειχίσατε», κατὰ τὸν Σύμμαχον. Ἀντὶ δὲ τοῦ· «Διηγήσασθε ἐν τοῖς πύργοις αὐτῆς», ὁ μὲν Ἀκύλας, «Ψηφίσατε», φησί, «πύργους αὐτῆς·» ὁ δὲ Σύμμαχος· «Ἀριθμήσατε.» Μάλιστα γὰρ τὰ ἐξοχώτατα τῶν οἰκοδομημάτων καὶ τὰ ὀχυρώτατα τῆς πόλεως, ὡς ἂν κρείττονα καὶ τῶν λοιπῶν ἀναγκαιότερα, δέδοται σὺν ἀριθμῷ τοῖς εἰρημένοις φρουροῖς φυλάττειν ἐπιμελῶς, ὡς ἂν παραδῶσιν ἔμπαλιν σῶον καὶ πλήρη ὃν παρειλήφασι ἀριθμόν. Νοήσεις δὲ τὸ λεγόμενον ἀπὸ τῆς σωτηρίου φωνῆς, δι' ἧς τοῖς αὐτοῖς μαθηταῖς καὶ ἀποστόλοις, τοῖς ὡσπερεὶ πύργοις ἐξέχουσι καὶ διαφέρουσι τῆς λοιπῆς οἰκοδομῆς, ἔλεγεν· «Ὑμῶν δὲ καὶ αἱ τρίχες τῆς κεφαλῆς πᾶσαι ἠριθμημέναι εἰσίν.[1]» Ὁ γὰρ εἰς τοσοῦτον ὕψος αὐτοὺς ἐπάρας, καὶ πύργους τῆς Ἐκκλησίας αὐτοῦ καταστήσας, ὡς ἂν μή τινα πάθοιεν ὑπὸ τῶν ἐχθρῶν, μείζοσιν αὐτοὺς φύλαξιν, ἁγίοις ἀγγέλοις, παραδίδωσιν. Ἔνθεν ἐν ταῖς Πράξεσι τῶν ἀποστόλων, εἰδότες, ὡς ἕκαστος τῶν μαθητῶν τοῦ Σωτῆρος ἀγγέλοις τισὶ παραδέδοται τῆς παιδίσκης ἀπαγγειλάσης, ὡς ἄρα Πέτρος εἴη ὁ τὴν θύραν παίσας, οἱ λοιποὶ μαθηταὶ ἔφασαν· «Μήποτε ἄγγελος αὐτοῦ ἐστι;[2]» Διδάσκει δ' οὖν καὶ περὶ τῶν μικρῶν ἐν τῇ Ἐκκλησίᾳ ὁ Σωτὴρ λέγων· «Οἱ γὰρ ἄγγελοι αὐτῶν διὰ παντὸς βλέπουσι τὸ πρόσωπον τοῦ Πατρός μου τοῦ ἐν τοῖς οὐρανοῖς.[3]» Εἰκότως οὖν προστάττει ὁ παρὼν λόγος τούτοις αὐτοῖς λέγων· «Ἀριθμήσατε τοὺς πύργους αὐτῆς·» εἶθ' ἑξῆς τό· «Τάξατε τὰς καρδίας ὑμῶν εἰς τὴν δύναμιν αὐτῆς, καὶ καταδιέλεσθε τὰς βάρεις αὐτῆς·» κατὰ δὲ τὸν Σύμμαχον· «Τάξατε τὰς καρδίας ὑμῶν εἰς τὸν περίβολον αὐτῆς· διαμετρήσατε τὰ βασίλεια αὐτῆς.» Πάντα ταῦτα προστάττονται ποιεῖν οἱ φρουροὶ τῆς Ἐκκλησίας· «Παρεμβαλεῖ» γὰρ «ἄγγελος Κυρίου κύκλῳ τῶν φοβουμένων αὐτόν, καὶ ῥύσεται αὐτούς.[4]» Ποίας δὲ βάρεις φησίν, ἢ περὶ ὧν καὶ ἀνωτέρω ἐλέγετο· «Ὁ Θεὸς ἐν ταῖς βάρεσιν αὐτῆς γινώσκεται, ὅταν ἀντιλαμβάνηται αὐτῆς;» Ἐλέγομεν δὲ πόλιν μὲν νοεῖσθαι πᾶν τὸ θεοσεβὲς

1. Ματθ. 10, 30. 2. Πράξ. 12, 15. 3. Ματθ. 18, 10. 4. Ψαλμ. 33, 8.

πολίτευμα τὸ καθ' ὅλης τῆς οἰκουμένης, βάρεις δὲ αὐτῆς τὰς κατὰ μέρος καὶ κατὰ τόπον ἐκκλησίας. Αὐτὸς οὖν ταύτας τὰς κατὰ μέρος ὁ παρὼν προστάττει λόγος καταδιελέσθαι. Βούλεται γὰρ ἕκαστον τῶν ἀγγέλων ἀφωρισμένως ἐκκλησιῶν τινων φρουρὸν ἐπιστῆσαι. Εἶτ' ἐπιλέγει τούτοις· «Ὅπως ἂν διηγήσησθε εἰς γενεὰν ἑτέραν.» Ἀγγέλων γὰρ ἦν τὸ εἰς γενεὰς διαφόρους δύνασθαι τὰς ἀρετὰς τοῦ Θεοῦ διηγήσασθαι. «Καὶ ὅτι οὗτός ἐστιν ὁ Θεὸς ὁ Θεὸς ἡμῶν εἰς τὸν αἰῶνα καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος· αὐτὸς ποιμανεῖ ἡμᾶς εἰς τοὺς αἰῶνας.» Ὑμεῖς μὲν γὰρ φρουροὶ ἂν εἴητε καὶ ὥσπερ ποίμνης φύλακες· ὁ δὲ τῶν θρεμμάτων ποιμὴν ἄλλος ἂν εἴη. Τίς δὲ οὗτος ἢ ὁ εἰπών· «Ἐγώ εἰμι ὁ ποιμὴν ὁ καλός;[1]»

ΕΙΣ ΤΟ ΤΕΛΟΣ, ΤΟΙΣ ΥΙΟΙΣ ΚΟΡΕ ΨΑΛΜΟΣ ΜΗ'.

Ἔδει δὲ τοὺς υἱοὺς Κορέ, τὰ πρῶτα κατὰ καιρὸν ἐκθεμένους, καὶ τὰ δεύτερα εὐαγγελισαμένους, ἐπὶ τούτοις τε τὴν τῶν ἐθνῶν κλῆσιν κηρύξαντας, τὰ περὶ τῆς Ἐκκλησίας τοῦ Θεοῦ παραδόντας, μετὰ πάντα διαμαρτύρεσθαι τὰ περὶ τῆς συντελείας τοῦ παρόντος βίου καὶ τοῦ θείου δικαιωτηρίου· ἐν ᾧ «πᾶν τὸ ποίημα ἄξει ὁ Θεὸς εἰς κρίσιν[2]», «καὶ πάντες παραστησόμεθα τῷ βήματι τοῦ Θεοῦ, ἵνα κομίσηται ἕκαστος τὰ διὰ τοῦ σώματος, πρὸς ἃ ἔπραξεν, εἴτ' ἀγαθόν, εἴτε φαῦλον.[3]» Ἀναγκαίως τοίνυν πάντα καλεῖ τὰ ἔθνη ἐπὶ τὴν τῶν λεχθησομένων ἀκρόασιν. Ὡς γὰρ ἐπὶ τὴν σωτηρίαν πᾶν γένος ἀνθρώπων παρεκάλει, τὸν αὐτὸν τρόπον καὶ ἐπὶ τὴν διδασκαλίαν τῆς θείας κρίσεως ὁμοῦ πάντας ἀνακαλεῖται φάσκων·

Στίχ. β', γ'. «Ἀκούσατε ταῦτα, πάντα τὰ ἔθνη, ἐνωτίσασθε, πάντες οἱ κατοικοῦντες τὴν οἰκουμένην· οἵ τε γηγενεῖς καὶ υἱοὶ τῶν ἀνθρώπων, ἐπὶ τὸ αὐτὸ πλούσιος καὶ πένης.»

Ἐπειδὴ τῶν ἐθνῶν τὰ μὲν ἀγριώτερα τυγχάνει ἐν ἐρήμοις σκηνοποιούμενα, τὰ δὲ τὸν πολιτικὸν μετέρχεται βίον καὶ τὰς γεωργουμένας χώρας οἰκεῖ, ἀναγκαίως διαστολῇ κέχρηται, καὶ μετὰ τὴν κοινὴν κλῆσιν τῶν ἐθνῶν, ἴδιον εἰσάγει τάγμα τὸ τῶν οἰκούντων τὴν οἰκουμένην· διό φησιν· «Ἐνωτίσασθε, πάντες οἱ κατοικοῦντες τὴν οἰκουμένην·» ἢ κατὰ τὸν Ἀκύλαν καὶ τὸν Σύμμαχον, «οἱ κατοικοῦντες τὴν κατάδυσιν·» οὕτω δὲ καλεῖ τὰς πόλεις καὶ τὰς κώμας καὶ τοὺς οἴκους, ἐν οἷς καταδύνουσιν οἱ ἐν αὐτοῖς κατοικοῦντες. Εἶτα πάλιν διαιρεῖ τοὺς οἰκήτορας τῆς γῆς φάσκων· «Οἵ τε γηγενεῖς καὶ υἱοὶ τῶν ἀνθρώπων·» ἐπεὶ μὴ μόνον ἐλευθέρους, ἀλλὰ καὶ τὸ οἰκετικὸν γένος προσίεται ἐπὶ τὴν ἀκρόασιν, ἢ τοὺς ἀγροικώτερον μετερχομένους βίον, καὶ τοὺς ἄλλως εὖ γεγονότας καὶ τροφῆς ἠξιωμένους ἐλευθερίου· ἢ γηγενεῖς μὲν τοὺς τὴν ἔρημον οἰκεῖν ᾑρημένους, τοὺς δὲ ἀνθρώπων

1. Ἰω. 10, 11. 2. Ἐκκλ. 12, 14. 3. Β' Κορ. 5, 10.

τοὺς ἡμερωτέρους. Ὁ δὲ Σύμμαχος τοῦτον ἡρμήνευσε τὸν τρόπον· «Ἤ τε ἀνθρωπότης καὶ προσέτι καὶ υἱοὶ ἑκάστου ἀνδρός·» ἵν' ᾖ διὰ μὲν τοῦ προτέρου καθολικῶς πᾶν γένος ἀνθρώπων δηλούμενον, διὰ δὲ τοῦ δευτέρου ὁ κατὰ μέρος ἕκαστος.

Στίχ. δ', ε'. «Τὸ στόμα μου λαλήσει σοφίαν, καὶ ἡ μελέτη τῆς καρδίας μου σύνεσιν. Κλινῶ εἰς παραβολὴν τὸ οὖς μου, ἀνοίξω ἐν ψαλτηρίῳ τὸ πρόβλημά μου.»

Ταῦτα δὲ καὶ ἀπὸ τῶν ἀποστόλων δύναται λέγεσθαι. Παραβολὰς δὲ καλεῖ τοὺς αἰνιγματώδεις λόγους. Καὶ γὰρ ὁ Κύριος, παραβολικῶς τοῖς ὄχλοις διαλεγόμενος, τοῖς ἀποστόλοις κατ' οἶκον ταύτας διέλυε. Τούτῳ νῦν ὁ χορὸς τὴν τοῦ Θεοῦ σοφίαν τὸν Χριστὸν ἐπὶ στόματος φέρων· «Χριστὸς γὰρ Θεοῦ δύναμις καὶ Θεοῦ σοφία[1]», ἐλέγετο· «Τὸ στόμα μου λαλήσει σοφίαν.» Τοῦτον γὰρ πᾶσιν ἀνθρώποις ἐκήρυττον. Ἠκονημένοι δὲ τὸν νοῦν, πάσας τοῦ Χριστοῦ συνίεσαν τὰς παραβολὰς καὶ πρὸ τῆς αὐτοῦ ἑρμηνείας. Διὸ μετὰ ταύτας ὁ μὲν Σωτὴρ ἔλεγε· «Συνήκατε ταῦτα πάντα; Οἱ δὲ λέγουσιν αὐτῷ, ναί.[2]» Ἡ καρδία τοίνυν αὐτῶν ἐμελέτα συνέσεις, ἃς ἤνοιγον τοῖς μὴ παρακολουθεῖν δυναμένοις, τοῦ σωματικοῦ ὀργάνου τῇ ἐνοικούσῃ πρὸς τοῦτο διακονοῦντος ψυχῇ. Τοῦτο γὰρ ἀντὶ ψαλτηρίου παρέλαβε πρὸς τὴν διὰ τούτων θείων ὕμνων ἀνάκρουσιν, ἑκάστου μέρους ἐπιστημονικῶς ἐν αὐτῷ κινουμένου.

Στίχ. ς'. «Ἵνα τί φοβοῦμαι ἐν ἡμέρᾳ πονηρᾷ; ἡ ἀνομία τῆς πτέρνης μου κυκλώσει με.»

Εἰ δὲ πρόσωπον Κυρίου τὸ λέγον, πτέρναν αὐτοῦ εὕρῃς τὸν ἔσχατον τοῦ σώματος καὶ τῇ γῇ πλησιάζοντα Ἰούδαν· σῶμα γὰρ Κυρίου οἱ ἀπόστολοι. Οὐ φοβοῦμαι οὖν τὴν Ἰούδα προδοσίαν ἐν τῷ καιρῷ τοῦ σταυροῦ· ἐπεὶ μηδὲ ἕκαστος τὴν τοῦ Ἀδὰμ παρακοήν. Ταύτην γὰρ ὑπηνιξάμεθα πτέρναν ἀνομίας εἶναι. Οὐδεὶς γὰρ δι' ἄλλου κακίαν καταδικάζεται. Ἀνομίαν δὲ πτέρνης τὴν παρακοὴν εἶπον Ἀδάμ, τῷ τὸν ὄφιν ἐξουσίαν ἔχειν κατὰ τῆς πτέρνης αὐτοῦ.

Στίχ. η', θ'. «Ἀδελφὸς οὐ λυτροῦται, λυτρώσεται ἄνθρωπος; οὐ δώσει τῷ Θεῷ ἐξίλασμα αὐτοῦ, καὶ τὴν τιμὴν τῆς λυτρώσεως τῆς ψυχῆς αὐτοῦ.»

Νοήσεις δὲ καὶ οὕτως· οὐκ ἀδελφὸς ἀδελφόν, οὐ φίλος φίλον λυτρώσεται· ἕκαστος γὰρ τὸν ἴδιον μισθὸν λήψεται, καὶ ἑκάστου τὸ ἔργον ὁποῖόν ἐστι, τὸ πῦρ δοκιμάσει· καὶ οὐ δώσει τις «ἐξίλασμα» τῷ Θεῷ ὑπὲρ ἑαυτοῦ κατ' ἐκείνην τὴν ἡμέραν· οὐδὲ τιμὴν καταθήσεται καθάπερ ἑαυτὸν ἐξωνούμενος. Μάταιος ἄρα τοῖς κεκτημένοις ὁ πλοῦτος· πλὴν εἰ μή τις κατὰ τὸν παρόντα βίον εὑρεθῇ πιστὸς καὶ φρόνιμος οἰκονόμος, ὃς ἐν καιρῷ δώσει τὸ σιτομέτριον τοῖς συνδούλοις. Οὗτος γάρ, ἐντεῦθεν ἤδη σπείρας ἑαυτῷ εἰς δικαιοσύνην, τρυγήσει τότε καρποὺς ζωῆς. «Λύτρον» γὰρ «ἀνδρός», φησὶν ὁ Σοφός, «ὁ ἴδιος

1. Α' Κορ. 1, 24. 2. Ματθ. 13, 51.

πλοῦτος.[1]» Οἱ δὲ μήτε πλούτῳ μήτε δυνάμει σώματος ἀλαζονευόμενοι, ἐπίπονον δὲ τὸν παρόντα κτησάμενοι βίον, καταξιωθήσονται τῆς ἐν ἐπαγγελίᾳ ζωῆς. Ἀντὶ δὲ τοῦ· «Ἐκοπίασεν εἰς τὸν αἰῶνα», ὁ Σύμμαχος, «Ἀλλὰ παυσάμενος», φησί, «τῷ αἰῶνι, ζῶν εἰς αἰῶνα διατελέσει ὁ τοιοῦτος.» Ὁ κοπιῶν διὰ τῆς πρακτικῆς ζήσεται εἰς τέλος διὰ τῆς γνώσεως.

Στίχ. ια', ιβ'. «Καὶ καταλείψουσιν ἀλλοτρίοις τὸν πλοῦτον αὐτῶν, καὶ οἱ τάφοι αὐτῶν οἰκίαι αὐτῶν εἰς τὸν αἰῶνα.»

Ἕτερος ἔφη· Καταλείψουσιν ἑτέροις τὸν αἰσθητόν τε πλοῦτον αὐτῶν καὶ τὸν ἐν συγγράμμασιν. Οὐδὲν γὰρ ἐξ αὐτῶν αἱρήσουσι κέρδος κατὰ τὴν ἡμέραν τῆς κρίσεως. Ἀπαχθήσεται γὰρ ἡ τούτων ψυχή, οὐδὲν πλέον ἢ τὸν ἑαυτῆς τάφον ἐπαγομένη· δηλαδὴ τὸ σῶμα καὶ τὴν φθοράν, ἐν ᾗ ὥσπερ ἐν τάφῳ κατώρυκτο. Καὶ ἄλλως δὲ οὐδὲν πλέον ἕξει τις ἐκ τῶν γηΐνων κτημάτων, ἢ τοῦ τάφου τὸν τόπον, ἐν ᾧ τελευτήσας κείσεται νεκρὸς ἐφθαρμένος. Τὰ δὲ σκηνώματα αὐτῶν, ἐν οἷς ἔτι ζῶντες κατῴκουν, εἰς ἑτέρους ἀλλοτρίους ἥξει, καὶ διαδοθήσεται εἰς γενεὰν καὶ γενεάν.

Στίχ. ιε'. «Ὡς πρόβατα ἐν ᾅδῃ ἔθεντο, θάνατος ποιμανεῖ αὐτούς.»

Εἰπὼν τῶν ἀσεβῶν τὰ πρὸ τοῦ θανάτου, νῦν οἷα πείσονται λέγει ἐν αὐτῷ τῷ ᾅδῃ γενόμενοι. Θρέμματα γὰρ ἔσονται θανάτου ὑπὸ αὐτοῦ ποιμαινόμενοι· κατὰ δὲ Σύμμαχον, «ὡς βοσκήματα ᾄδου ἔταξαν ἑαυτούς.» Οὐ γὰρ ἠθέλησαν ὑπὸ τῷ καλῷ ποιμένι τετάχθαι· καὶ διὰ τοῦτο γεγόνασι θρέμματα θανάτου, καὶ τοὺς μὲν ἀπάξει εἰς τὸ πῦρ τὸ αἰώνιον, τοὺς δὲ «ὅπου ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς τῶν ὀδόντων», τοὺς δὲ «εἰς τὸ σκότος τὸ ἐξώτερον.» Ἀντὶ δὲ τοῦ· «Καὶ ἡ βοήθεια αὐτῶν παλαιωθήσεται ἐν τῷ ᾅδῃ ἐκ τῆς δόξης αὐτῶν», ὁ μὲν Ἀκύλας, «Καὶ χαρακτὴρ αὐτῶν κατατρίψαι ᾅδην ἐκ κατοικητηρίου αὐτῶν.» Ὁ γὰρ χαρακτὴρ αὐτῶν ὃν ἑαυτοῖς ἐξετύπωσαν, τὸ μὲν κατ' εἰκόνα καὶ ὁμοίωσιν τοῦ Θεοῦ ἐξ αὐτῶν ἀφανίσαντες, εἴδη δὲ καὶ μορφὰς ἀλόγων ζῴων καὶ ἑρπετῶν διὰ τρόπων μοχθηρίας τῇ ψυχῇ περιθέμενοι, κατατριβήσεται ἐν τῷ κατοικητηρίῳ τοῦ ᾅδου. Κατὰ δὲ Σύμμαχον· «Τὸ δὲ κρατερὸν αὐτῶν παλαιώσει ᾅδης ἀπὸ τῆς οἰκήσεως τῆς ἐντίμου αὐτοῦ.» Ὃ γὰρ ἔδοξαν περιποιεῖν ἑαυτοῖς κραταιὸν διὰ τῆς ἐμφυείσης ἐν αὐτοῖς κακίας, τοῦτο παλαιώσει ὁ ᾅδης ἐν ταῖς οἰκήσεσι ταῖς παρ' αὐτῷ. Καὶ τοῦτο μὲν τῶν ἀσεβῶν τὸ τέλος. Οἱ δὲ εὐσεβεῖς κατ' ἐκεῖνο καιροῦ πρωΐας ἀξιωθέντες καὶ νέου φωτός, ἀνατολῆς τῆς τῶν ἀσεβῶν κατακυριεύσουσι· ἢ κατὰ τὸν Ἀκύλαν· «ἐνὶ κρατήσουσιν», ἢ κατὰ τὸν Σύμμαχον· «ὑποτάξουσιν αὐτοῖς.» Τῶν γὰρ ἐνταῦθα ταπεινωσάντων τοὺς εὐθεῖς ἀσεβῶν, ἐκεῖ ῥύσεται τὴν ψυχὴν πρὸς τὸ μὴ συναπαχθῆναι τοῖς ἀσεβέσιν, ἀλλ' ἐν ἑτέροις εἶναι χωρίοις τε καὶ ποιμνίοις.

---

1. Παρμ. 13, 8.

Στίχ. ιθ'. «Ὅτι ἡ ψυχὴ αὐτοῦ ἐν τῇ ζωῇ αὐτοῦ εὐλογηθήσεται, ἐξομολογήσεταί σοι ὅταν ἀγαθύνῃς αὐτῷ.»

Ὁ μὲν δίκαιος εὐλογεῖ τὸν Κύριον ἐν παντὶ καιρῷ· ὁ δὲ ἁμαρτωλὸς τοτηνικαῦτα ἐξομολογούμενος, εὐλογεῖ τὸν Θεὸν ὁπηνίκα ἂν ἀγαθόν τι αὐτῷ ἐκ Θεοῦ ἀποβῇ.

ΨΑΛΜΟΣ ΤΩ ΑΣΑΦ ΜΘ'.

Οἱ ἐπιγεγραμμένοι τοῦ Ἀσάφ εἰσι μὲν οἱ πάντες τὸν ἀριθμὸν ιβ'· ἐφεξῆς δὲ οἱ ια' ἀρχόμενοι ἀπὸ τοῦ οβ'· ἐξ ὧν ὁ παρὼν ἀπεσπάσθη ψαλμός, οὐχ ἁπλῶς· ἀλλ' ἐπείπερ ὁ πρὸ τούτου ψαλμὸς περὶ κρίσεως τοῦ Θεοῦ διεστέλλετο, τοιοῦτος δὲ καὶ ὁ παρών, εἰκότως κατὰ τοῦτο ἀκολουθίαν ἐδέξατο. Ἀλλὰ καὶ τὴν διὰ Μωϋσέως ἀνατρέπων νομοθεσίαν, παραδίδωσι τῆς καινῆς Διαθήκης τὸν δοθέντα τοῖς ἔθνεσι τρόπον. Καὶ τοῦτο δὲ ἦν ἐν τοῖς τῶν υἱῶν Κορὲ ψαλμοῖς· οἵτινες καὶ αὐτοὶ τυγχάνουσι μὲν ιβ'. Ἀλλ' η' οἱ προλαβόντες ἐφεξῆς κατετάγησαν, ὧν ἀποσπασθέντες οἱ λείποντες τέσσαρες, μετὰ τοὺς τοῦ Ἀσάφ ψαλμοὺς κατετάγησαν· ἴσως ἐπεὶ οἱ τοῦ Ἀσάφ πάντες, ὡς εἰπεῖν, τοῦ Ἰσραὴλ ἐθέσπιζον τὴν ἀποβολήν, καὶ τὴν εἰς πάντα τὰ ἔθνη διασποράν, μεθ' ἣν ἡ χάρις τοῦ Θεοῦ τὰ ἔθνη πάντα μετῆλθεν· ὅθεν οἱ λοιποὶ τῶν υἱῶν Κορὲ ψαλμοὶ διεδέξαντο, τὴν τῶν ἐθνῶν ἁπάντων προαγορεύοντες κλῆσιν.

Στίχ. β'. «Θεὸς θεῶν Κύριος ἐλάλησε, καὶ ἐκάλεσε τὴν γῆν.»

Οἱ λοιποὶ δὲ τρεῖς ἡρμήνευσαν· «Ἰσχυρὸς Θεὸς λαλήσας ἐκάλεσε τὴν γῆν.» Οἱ δὲ Ἑβδομήκοντα θεοὺς ἐκάλεσαν τούς τε ἄρχοντας καὶ κριτάς, ὅπερ ἴδιον μόνου Θεοῦ. Τοιγαροῦν ἐν πα' ψαλμῷ προφήσας· «Ὁ Θεὸς ἔστη ἐν συναγωγῇ θεῶν, ἐν μέσῳ δὲ θεοὺς διακρινεῖ[1]», ἐπήγαγεν· «Ἕως πότε κρίνετε ἀδικίαν; [2]» Οὕτω καὶ ὁ νόμος διαγορεύει· «Θεοὺς οὐ κακολογήσεις, καὶ ἄρχοντας τοῦ λαοῦ σου οὐκ ἐρεῖς κακῶς.[3]» Εὐλόγως δ' ἂν κληθεῖεν οἱ τὸ κατ' εἰκόνα φυλάξαντες· ὁ τούτων Θεὸς πᾶσαν συνάγει τὴν οἰκουμένην εἰς τὸ κριτήριον· αὐτὸς ὢν ὁ Κύριος ὁ τοῦ Θεοῦ Λόγος ἐνανθρωπήσας ἐλάλησε διὰ τοῦ Εὐαγγελίου, καὶ πάντας μὲν καλεῖ, οὐ πάντες ὑπήκουσαν τῷ Εὐαγγελίῳ. Ἀλλ' οἱ μὲν ὑπακούσαντες τῶν ἐπηγγελμένων τυγχάνουσι· τοῖς δὲ τὴν χάριν ἀθετοῦσι, τὸ πῦρ ἀπειλεῖ κατὰ τὴν ἔνδοξον αὐτοῦ παρουσίαν, ἥξων ἐκ τῆς ἐπουρανίου Σιών, περὶ ἧς ὁ Παῦλος φησίν· «Ἡ δὲ ἄνω Ἱερουσαλὴμ ἐλευθέρα ἐστίν, ἥτις ἐστὶ μήτηρ ἡμῶν·[4]» καί, «Προσεληλύθατε Σιὼν ὄρει καὶ πόλει Θεοῦ ζῶντος, Ἱερουσαλὴμ ἐπουρανίῳ.[5]» «Εὐπρέπεια δὲ ὡραιότητος» ἡ ἔνδοξος αὐτοῦ θεοφάνεια· ταύτην καὶ τό, «Ὁ Θεὸς ἐμφανῶς ἥξει», δηλοῖ· Κατὰ μὲν οὖν τὴν

---

1. Ψαλμ. 81, 1. 2. Ψαλμ. 81, 2. 3. Ἔξ. 22, 28. 4. Γαλ. 4, 26. 5. Ἑβρ. 12, 22.

πρώτην αὐτοῦ παρουσίαν ὑπὸ ἀνθρώπων κρινόμενος ἐσιώπα· οὐδὲ τοσαῦτα πάσχων ἠμύνατο, οὐδὲ πᾶσιν ἐδείκνυ τὴν ἰδίαν θεότητα· «Τότε δέ», φησίν, «ἐμφανῶς ἥξει, καὶ οὐ παρασιωπήσεται.» Προλαμβάνον δὲ τὸ πῦρ τὴν αὐτοῦ βασιλείαν καθαίρει, πᾶσαν ὕλην καυστὴν ἀναλίσκον, πρὸς τὸ μὴ ξύλα, μὴ χόρτον, μὴ καλάμην πρὸ προσώπου αὐτοῦ φαίνεσθαι. Ἐλέγξει δὲ ἢ ἀποδέξεται, τοῖς μὲν λέγων· «Δεῦτε, οἱ εὐλογημένοι τοῦ Πατρός μου [1]», τοῖς δέ, «Πορεύεσθε ἀπ' ἐμοῦ.[2]» «Πῦρ ἐναντίον αὐτοῦ καυθήσεται· πῦρ ἦλθον βαλεῖν ἐπὶ τὴν γῆν.[3]» Πῦρ δὲ ἐνταῦθα τὴν διδασκαλίαν τοῦ Θεοῦ Λόγου λέγει· ὅτι περ πῦρ καίει μὲν τὰς μοχθηρὰς ἕξεις, δοκιμάζει δὲ τοὺς καθαρούς· Διὰ γὰρ τοῦτο, «κύκλῳ αὐτοῦ καταιγὶς σφόδρα·» ὅσοι γὰρ «θέλουσι εὐσεβῶς ζῆν ἐν Χριστῷ, διωχθήσονται· [4]» ἀλλὰ καὶ «θλῖψιν», φησίν, «ἕξετε ἐν τῷ κόσμῳ.[5]»

«Προσκαλέσεται τὸν οὐρανὸν ἄνω, καὶ τὴν γῆν διακρῖναι τὸν λαὸν αὐτοῦ. Συναγάγετε αὐτῷ τοὺς ἁγίους αὐτοῦ, τοὺς διατιθεμένους τὴν Διαθήκην αὐτοῦ ἐπὶ θυσίαις.» Ἄλλως, τοῦ προτέρου λαοῦ τὴν κρίσιν ἰδιάζουσαν δείκνυσι, τὸν οὐρανὸν προσκαλούμενος καὶ τὴν γῆν· ἐπειδὴ τὸν νόμον διὰ Μωϋσέως παραδιδοὺς ἔλεγε· «Μαρτύρομαι ὑμῖν σήμερον τόν τε οὐρανὸν καὶ τὴν γῆν· [6]» καὶ πάλιν ἐν μεγάλῃ ᾠδῇ· «Πρόσεχε, οὐρανέ, καὶ λαλήσω· καὶ ἀκουέτω γῆ ῥήματα ἐκ στόματός μου.[7]» Διὸ καὶ Ἡσαΐας, «Ἄκουε», φησίν, «οὐρανέ, καὶ ἐνωτίζου, ἡ γῆ, ὁ Κύριος ἐλάλησεν· Υἱοὺς ἐγέννησα καὶ ὕψωσα, αὐτοὶ δέ με ἠθέτησαν.[8]» Καὶ νῦν τοίνυν τοὺς αὐτοὺς ἐπικαλέσεται μάρτυρας· καὶ ὥσπερ ὁ Σωτὴρ ἐν Εὐαγγελίοις τὸ ποίμνιον αὐτοῦ διακρίνει, δηλαδὴ τοὺς τῆς Ἐκκλησίας, τὰ πρόβατα μὲν ἱστῶν ἐκ δεξιῶν, τὰ δὲ ἐρίφια ἐξ εὐωνύμων· τὸν αὐτὸν τρόπον ὁ αὐτὸς Κύριος καὶ νῦν διακρίνει τὸν λαὸν αὐτοῦ. Τὸ Ἑβραϊκὸν καὶ οἱ λοιποί, «Συναγάγετέ μοι», φασίν· ὡς γὰρ ἐν Εὐαγγελίοις εἴρηται· «Καὶ ἀποστελεῖ τοὺς ἀγγέλους αὐτοῦ, καὶ συνάξουσι πάντα τὰ ἔθνη· [9]» οὕτω καὶ νῦν τοῖς αὐτοῖς ἐπιτάττει. Πρώτους δὲ βούλεται ἀφορισθῆναι πρὸ τῶν ἀσεβῶν τοὺς ὁσίους αὐτοῦ, τυχεῖν τῶν ἐπηγγελμένων ὀφείλοντας.

Στίχ. ιγ'. «Μὴ φάγομαι κρέα ταύρων, ἢ αἷμα τράγων πίομαι;»

Τροφὴ δὲ Θεοῦ, περὶ ἧς εἶπεν· «Ἐπείνασα, καὶ ἐδώκατέ μοι φαγεῖν· ἐδίψησα, καὶ ἐποτίσατέ με· [10]» ὑφ' ὧν τρεφόμενος λέξω· «Ἐφ' ὅσον ἐποιήσατε ἑνὶ τούτων τῶν ἐλαχίστων, ἐμοὶ ἐποιήσατε.[11]» Ἔστι δὲ θῦσαι λογικῶς καὶ διὰ θεολογίας καὶ εὐχαριστίας· καὶ ἐπεὶ δ' ἄν τις τῷ Θεῷ πρέπον ὑποσχόμενος ἔργοις ἐπιτελέσειεν. Εὐχὰς γὰρ ἡ Γραφὴ τὰς ἐπαγγελίας φησίν, ἐν τῷ· «Ἐὰν εὔξῃ εὐχήν, μὴ βραδύνῃς ἀποδοῦναι.[12]» Ἀγαθὸν τὸ μὴ εὔξασθαι, ἢ τὸ εὔξασθαι καὶ μὴ ἀποδοῦ-

1. Ματθ. 25, 34. 2. Ματθ. 25, 42. 3. Λουκ. 12, 49. 4. Β' Τιμ. 3, 12. 5. Ἰω. 16, 33. 6. Δευτ. 30, 19. 7. Δευτ. 32, 1. 8. Ἠσ. 1, 2. 9. Ματθ. 24, 31. 10. Ματθ. 25, 35-36. 11. Ματθ. 25, 40. 12. Δευτ. 23, 22.

ναι. Οὕτως οὖν σπείρας εἰς δικαιοσύνην, ἔλπιζε τρυγήσειν καρπὸν ζωῆς.

Στίχ. ιϛ΄. «Τῷ δὲ ἁμαρτωλῷ εἶπεν ὁ Θεός· Ἵνα τί σὺ διηγῇ τὰ δικαιώματά μου, καὶ ἀντιλαμβάνεις τὴν Διαθήκην μου διὰ τοῦ στόματός σου;»

Μετάβασιν ὁ λόγος ἔχει ἀπὸ τοῦ τῶν δικαίων τάγματος ἐπὶ τὸ τάγμα τῶν πονηρῶν. Ἐκεῖνο γάρ τι πλέον ἔσχε, τῆς καινῆς Διαθήκης τὴν ἐπιστήμην. Ἁμαρτωλὸν δὲ οὐ τὸν ἀλλότριον τῶν Γραφῶν, ἀλλὰ τὸν παραβάτην καλεῖ. Ἐλέγχει δὲ αὐτὸν οὐκ ἐπὶ παραβάσει σαββάτων ἢ θυσιῶν, ἢ τοιῶνδε βρωμάτων, ἀλλὰ τῶν φυσικῶν νόμων, ἐφ' οἷς ἀνόητα ἦν αὐτῷ τοῦ Θεοῦ τὰ μαθήματα· ταῦτα γὰρ ἁμαρτάνων ἀπέρριπτε. Φυσικὸς γὰρ ὁ νόμος τὸ μὴ δεῖν ποιεῖν, ἃ δὴ παθεῖν οὐ βουλόμεθα. Μοιχοὶ δὲ καὶ οἱ ἄθεοι εἰδωλολάτραι· κλέπται δὲ καὶ οἱ κλέπτοντες τὴν ἀλήθειαν. Ποτὲ μὲν οὖν, Ἐπαρρησιάζου, φησί, τῇ κακίᾳ, ποτὲ δέ, Δολίως ἐπεβούλευες, προσεποιοῦ δὲ γνησίως καὶ ὡς ἀδελφοῖς ὁμιλεῖν, λάθρα τούτων καταλαλῶν· ἐνήδρευες δὲ καὶ τοὺς ἐκ τῆς αὐτῆς σοι μητρός, ἤτοι συναγωγῆς, ἢ καὶ ἐκκλησίας· ἐφ' οἷς ἐμοῦ σιωπῶντος ἡνίκα ἐνηνθρώπησα· ἢ καὶ ἄλλως· Ἐπὶ τὸ χεῖρον ἐβάδιζες καταφρονῶν τῆς ἐμῆς χρηστότητος καὶ τῆς ἀνοχῆς καὶ τῆς μακροθυμίας· διὸ λοιπὸν οὐκ ἀνέξομαι. Καὶ γὰρ διέκεισό με τὰς σὰς ἀποδέχεσθαι πράξεις, ἢ καὶ μηδένα τούτων μεμνῆσθαι. Ἀλλ' ἐγώ σε διελέγχων πρὸ τῶν σῶν ὀφθαλμῶν ἅπαντα θήσω, ὅπως ὁρῶν αἰσχυνθῇς.

ΕΙΣ ΤΟ ΤΕΛΟΣ, ΨΑΛΜΟΣ ΤΩ ΔΑΥΙΔ Ν΄.

«Ἐν τῷ ἐλθεῖν πρὸς αὐτὸν Ναθὰν τὸν προφήτην, ἡνίκα εἰσῆλθε πρὸς Βηρσαβεέ.»

Στίχ. γ΄. «Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου.»

Ὡς ἐπὶ μεγάλῳ δὲ ψυχῆς τραύματι μεγάλου δεῖσθαι ἐλέου ὁμολογεῖ.

Στίχ. δ΄. «Ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου, καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με.»

Ὅρα δὲ πρὸς τὸ Χριστοῦ πάλιν μυστήριον· τὴν γὰρ ἐν νόμῳ κάθαρσιν ἡ τοῦ βαπτίσματος ὑπερβαίνουσα δύναμις, καὶ ταύτης τῆς ψυχῆς ἐργάζεται κάθαρσιν. Ἐκείνη γὰρ πρὸς τῆς ψυχῆς προσελαμβάνετο καθαρότητα.

Στίχ. ε΄. «Σοὶ μόνῳ ἥμαρτον καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα, ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου, καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε.»

Οὐ τοῦτό φησιν, ὅτι τὸν Οὐρίαν οὐκ ἠδίκησα· ἀλλ' ὅτι τὴν μεγίστην παρανομίαν εἰς αὐτὸν τετόλμηκε τὸν Θεόν, ἀπὸ προβατέως μὲν γενόμενος βασιλεύς, κρατήσας δὲ τῶν ἐχθρῶν, παντοδαποῖς

δὲ κοσμηθεὶς ἀγαθοῖς, καὶ τοιούτοις τὸν εὐεργέτην ἀμειψάμενος. Τὸ δέ, «ἐνώπιόν σου», καὶ ἐν τῇ ἱστορίᾳ δεδήλωται· «Ὤφθη», γὰρ φησί, «τὸ γεγονὸς πονηρὸν ἐνώπιον Κυρίου.[1]» Ἢ οὕτως· Ἐδόκουν τις εἶναι πάλαι σκεπόμενος ὑπὸ σοῦ. Νενόμικα δὲ λοιπὸν ἀσάλευτος εἶναι, λέγων «ἐν τῇ εὐθηνίᾳ μου. Οὐ μὴ σαλευθῶ·» διὸ «ἀπέστρεψας τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ, καὶ ἐγενήθην τεταραγμένος·[2]» διδαχθεὶς ἐλέῳ τῷ σῷ· «Ἐὰν μὴ Κύριος οἰκοδομήσῃ οἶκον, εἰς μάτην ἐκοπίασαν οἱ οἰκοδομοῦντες.[3]»

Στίχ. ζ'. «Ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην, καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου.»

Ὅμοια δ' ἂν εἴη καὶ ταῦτα τοῖς παρὰ τῷ Ἰώβ· «Ἐπικατάρατος ἡ ἡμέρα ἐν ᾗ ἐγεννήθην, καὶ ἡ νὺξ ἐν ᾗ εἶπαν· Ἰδοὺ ἄρσεν.[4]» Διὰ τί γὰρ ἦν ἐπικατάρατος, ἀλλ' ὅτι ἐν ἀνομίαις συνελήφθη; Ἀκόλουθον γὰρ ἦν κατάραν ἕπεσθαι ἁμαρτίᾳ. Τοῖς αὐτοῖς Ἱερεμίας ἐχρήσατο φήσας· «Ἐπικατάρατος ἡ ἡμέρα ἐν ᾗ ἐτέχθην ἐν αὐτῇ, καὶ ἡ νὺξ ἐν ᾗ συνέλαβέ με μήτηρ μου.[5]» Μακάριον γὰρ ἦν τὸ μηδὲ τὴν πρώτην γυναῖκα παραβᾶσαν τῇ φθαρτῇ γενέσει διακονήσασθαι, μένειν δὲ ἐν παραδείσῳ θείοις ὁμοιωθεῖσαν ἀγγέλοις· ἀλλὰ «φθόνῳ διαβόλου θάνατος εἰσῆλθεν εἰς τὸν κόσμον.[6]» Θανάτῳ δὲ ἡ δι' αἱμάτων καὶ σαρκὸς ὑπηρετεῖτο γένεσις εἰς τοῦ θνητοῦ γένους διαμονήν. Διὸ καὶ ἡ σύλληψις, ὡσανεὶ θανάτῳ ὑποκειμένη, τοῖς μακαρίοις διεβάλλετο. Ὁ δὲ Σύμμαχος· «Εἰς ἀδικίαν ὠδυνήθην, καὶ ἐν ἁμαρτίαις ἐκύησέ με ἡ μήτηρ μου.» Ὠδυνήθην γὰρ καὶ ἐκυήθην, φησίν, ἵνα παρέλθω εἰς ἀδικίαν, καὶ ἵνα, ἐν ἁμαρτίαις γενόμενος, ἐλεγχθῶ κατὰ ταύτην τὴν ἔννοιαν· Οὐκ ἐν ἀνομίαις, φησί, τῆς ἐμῆς συνελήφθην μητρός, οὐδὲ ταῖς ἑαυτῆς ἀνομίαις ἐκίσσησέ με· ἀλλ' ἐγὼ εἰς ἀδικίαν ἐγεννήθην, θνητήν, περιβαλλόμενος σάρκα καὶ ταῦτά φημι, «ἐπείπερ ἀλήθειαν ἠγάπησας.»

Στίχ. θ'. «Ῥαντιεῖς με ὑσσώπῳ καὶ καθαρισθήσομαι, πλυνεῖς με καὶ ὑπὲρ χιόνα λευκανθήσομαι.»

Τὸ ὕσσωπόν ἐστι σύμβολον ἀπαθείας, καὶ ἡ πλύσις γνῶσιν σημαίνει· καὶ διὰ μὲν ἀπαθείας καθαριζόμεθα, διὰ δὲ τῆς γνώσεως λευκαινόμεθα.

Στίχ. ια'. «Ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου, καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον.»

Ἄλλως, ὁ μὲν τὴν ψυχὴν κεκαθαρμένος ἀπὸ συνειδήσεως πονηρᾶς εἴποι ἂν τῷ Θεῷ· «Τὸ πρόσωπόν σου, Κύριε, ζητήσω μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ·[7]» ὁ δὲ τὸ αἰσχρὸν τῶν τῆς ψυχῆς τραυμάτων ὁρῶν ἐκκαλυπτόμενος εἰκότως λέγει τῷ μεγάλῳ κριτῇ· «Ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου», ἀλλὰ μὴ ἐξ ἐμοῦ αὐτοῦ· ἀλλ' ὡς νοσοῦντα θεράπευσον.

---

1. Β' Βασ. 11, 27. 2. Ψαλμ. 29, 7. 3. Ψαλμ. 126, 1. 4. Ἰὼβ 3, 3. 5. Ἱερ. 20, 14. 6. Σοφ. Σολ. 2, 24. 7. Ψαλμ. 26, 8-9.

Στίχ. ιδ'. «Ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου.»

Πλείστης δὲ παρ' Ἑβραίοις «τῆς» κοινότερον «σωτηρίας σου» λεγομένης καὶ «τοῦ σωτηρίου σου» δηλοῦται διαφορά. Γράφεται γὰρ «τὸ» μὲν «σωτήριόν σου» παρ' αὐτοῖς, «Ἰησουάχ», σαφῶς δηλοῦν τοὔνομα τοῦ Σωτῆρος ἡμῶν Ἰησοῦ· συμφώνως γὰρ οὕτως ἑρμηνεύουσιν ἅπαντες· τὸ δέ, «σωτηρία σου, Οἰσουάθ.»

Στίχ. ιθ'. «Θυσία τῷ Θεῷ πνεῦμα συντετριμμένον· καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει.»

Ἄλλος εἶπεν· Ὑγιέσι μὲν ἁρμόττει τῆς αἰνέσεως ἡ θυσία· νοσοῦσι δὲ ἡ διὰ τῆς τεταπεινωμένης καὶ συντετριμμένης καρδίας. Καὶ ἐπειδὴ «κατεαγυῖα γέγονεν ἡ καρδία μου», κατὰ Σύμμαχον, εἰκότως εὐξάμην καρδίαν καθαρὰν ἐν ἐμοὶ ὁ Θεὸς ἀντὶ τῆς κατεαγυίας· καὶ ἀντὶ τοῦ συντετριμμένου πνεύματος κατὰ Σύμμαχον, ἔλεγον· «Καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου.» Συντετριμμένον δὲ πνεῦμα τὸ δι' ἐξομολογήσεως ἑαυτὸ συντρῖβον τυγχάνει· τοιαύτη καὶ ἡ διὰ τῆς μετανοίας ἑαυτὴν ταπεινοῦσα καρδία. Τοιαύτην γὰρ αὐτὴν γενομένην μετὰ τὸ τῆς ἁμαρτίας οἴδημα ἀντὶ θυσίας προσδέξεται ὁ Θεός.

Στίχ. κα'. «Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης, ἀναφορὰν καὶ ὁλοκαυτώματα.»

Ἀλλὰ πρὸς ταῦτα φήσειεν ἄν τις, πῶς ἀρτίως εἰπών, «Ὅτι, εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν», νῦν ὡς μέλλοντος θυσίαν δέχεσθαι τοῦ Θεοῦ μετὰ τὸ τὴν πόλιν ἀνακτισθῆναι φησί, «Τότε εὐδοκήσεις θυσίαν;» Ἀλλ' οὐχ ἁπλῶς ἔφη «θυσίαν», ἀλλὰ «δικαιοσύνης.» Ὅτε γὰρ εὐδοκήσεις τὴν Σιὼν καὶ οἰκοδομηθῇ τὰ τείχη Ἱερουσαλήμ, τοιαύτη σοι θυσία προσενεχθήσεται. Τὸ γὰρ θεοσεβὲς πολίτευμα εἰκόνα φέροι ἂν τῆς ἐπουρανίου πόλεως τοῦ Θεοῦ· διὸ καὶ ταύτης ὁμώνυμος ἡ τοῦ Θεοῦ Ἐκκλησία, ἧς τείχη λέγει τοὺς περιφράττοντας ταύτην ἀγγέλους ἢ καὶ τοὺς ἱερωμένους καὶ προμαχοῦντας αὐτῆς, «Προσδέξῃ» δέ, εἶπεν, ἀντὶ τοῦ, «εὐδοκήσεις», ὁ Σύμμαχος. Καὶ τὴν ἀναφορὰν δέ, καὶ τὰ ὁλοκαυτώματα, «δικαιοσύνης» νοητέον, καὶ προσέτι τοὺς μόσχους. Πάντα γὰρ «δικαιοσύνης» ἐκτελεῖται, κατὰ τὰς ἀναίμους καὶ πνευματικὰς θυσίας, τὰς ἐν τῇ τοῦ Θεοῦ Ἐκκλησίᾳ καθ' ὅλης τῆς οἰκουμένης προσφερομένας. Καὶ ἐν ἄλλῳ γὰρ εἴρηται πρὸς Ἰουδαίους προφήτῃ· «Οὐκ ἔστι μου θέλημα ἐν ὑμῖν, λέγει Κύριος παντοκράτωρ, καὶ θυσίας οὐ προσδέξομαι ἐκ τῶν χειρῶν ὑμῶν. Διότι ἀπὸ ἀνατολῶν ἡλίου μέχρι δυσμῶν δεδόξασται τὸ ὄνομά μου ἐν τοῖς ἔθνεσι· καὶ ἐν παντὶ τόπῳ θυμίαμα προσφέρεται τῷ ὀνόματί μου, καὶ θυσία καθαρά.[1]» Αὕτη νῦν λέγεται «θυσία δικαιοσύνης», ἔστι δὲ καὶ αἰνέσεως, καθὰ πρόσθεν ἔλεγε· «Θῦσον τῷ Θεῷ θυσίαν αἰνέσεως.[2]»

---

1. Μαλ. 1, 10-11. 2. Ψαλμ. 49, 14.

ΕΙΣ ΤΟ ΤΕΛΟΣ, ΣΥΝΕΣΕΩΣ ΤΩ ΔΑΥΙΔ ΝΑ΄.

«Ἐν τῷ ἐλθεῖν Δωὴκ τὸν Ἰδουμαῖον, καὶ ἀναγγεῖλαι τῷ Σαούλ, καὶ εἰπεῖν αὐτῷ· Ἦλθε Δαυῒδ εἰς τὸν οἶκον Ἀχιμέλεχ.»

Ὁ μὲν λγ΄ ψαλμὸς εἴρηται τῷ Δαυΐδ, «ὁπότε ἠλλοίωσε τὸ πρόσωπον αὐτοῦ ἐναντίον Ἀβιμέλεχ, καὶ ἀπέλυσεν αὐτόν, καὶ ἀπῆλθεν.[1]» Οὗτος δὲ ἐκείνῳ ἀκόλουθος ἂν εἴη κατὰ τὴν ἱστορίαν. Λέγει γὰρ ἡ Γραφὴ τῶν Βασιλειῶν, «Καὶ ἐκεῖ ἦν ἓν τῶν παιδαρίων τοῦ Σαοὺλ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ.[2]» Ἐπισημαίνεται δὲ τὸν καιρὸν ἐν ᾧ ἦλθε Δαυῒδ εἰς τὸν οἶκον τοῦ Ἀβιμέλεχ, καὶ τοὺς ἄρτους τῆς προθέσεως ἔφαγε λαβὼν παρὰ τοῦ ἀρχιερέως. Κατ' αὐτὸ γὰρ ἐκεῖνο τοῦ καιροῦ φθάσας Δωὴκ ὁ Σύρος, ὁ νέμων τὰς ἡμιόνους Σαούλ, καὶ ἐλθὼν πρὸς Σαοὺλ εἶπεν· «Ἑώρακα τὸν υἱὸν Ἰεσσαὶ παραγενόμενον εἰς Νοβὰν πρὸς Ἀβιμέλεχ τὸν υἱὸν Ἀχιτὼβ τὸν ἱερέα, καὶ πάντας τοὺς υἱοὺς τοῦ πατρὸς αὐτοῦ· καὶ ἠρώτα αὐτῷ διὰ τοῦ Θεοῦ, καὶ ἐπισιτισμὸν ἔδωκεν αὐτῷ. Καὶ ἀπέστειλεν ὁ βασιλεὺς καλέσαι τὸν Ἀβιμέλεχ τὸν ἱερέα, καὶ πάντας τοὺς υἱοὺς τοῦ πατρὸς αὐτοῦ ἱερεῖς τοῦ Κυρίου τοὺς ἐν Νοβάν, καὶ παρεγένοντο πάντες πρὸς τὸν βασιλέα.[3]» Ὅτε κελεύσαντος τοῦ Σαούλ, αὐτὸς ἐκεῖνος ὁ Δωήκ, ἐθανάτωσε τοὺς ἱερεῖς τοῦ Κυρίου «τ΄ καὶ ε΄ ἄνδρας φέροντας ἐφούδ, καὶ τὴν Νοβὰν πόλιν τῶν ἱερέων ἐπάταξεν ἐν στόματι ῥομφαίας ἀπὸ ἀνδρὸς ἕως γυναικός, ἀπὸ νηπίου ἕως θηλάζοντος, καὶ μόσχου καὶ ὄνου καὶ προβάτου.[4]» Ταῦτ' οὖν μαθὼν Δαυῒδ τοῦτον πεπραγμένα τὸν τρόπον, τοὺς προκειμένους προσφέρεται λόγους, οὔτε ᾠδὴν περιέχοντας, οὔτε ὕμνον, οὔτε ἄλλο τοιοῦτον. Πῶς γὰρ καὶ οἷόν τε ἦν ἐπὶ συμφορᾷ τοσούτων ἱερέων, ᾠδὰς αὐτῶν καὶ ψαλμοὺς ᾄδειν; διὸ οὐδὲν τοιοῦτον ἐπιγέγραπται· μόνον δὲ «εἰς τὸ τέλος» εἴρηται καὶ «συνέσεως·» ἐπειδὴ τὰ τελευταῖα τῶν λόγων ἀγαθῶν ἐστιν ἀπαγγελτικὰ ἐν οἷς φησιν· «Ἐγὼ δὲ ὡσεὶ ἐλαία κατάκαρπος», καὶ τὰ ἑξῆς. Καὶ συνέσεως δὲ τῆς ἐκ Θεοῦ δεῖται ἡ τῶν ἐμφερομένων λόγων διάνοια. Ὅτε μὲν οὖν παρὰ τῷ Ἀβιμέλεχ γενόμενος, τῆς ἱερατικῆς ἀπεγεύσατο τροφῆς, ἀλλοιώσας τὴν γεῦσιν αὐτοῦ ἢ τὸν τρόπον αὐτοῦ κατὰ τὴν τῶν λοιπῶν ἑρμηνείαν· εὐλογίας καὶ εὐχαριστίας ἀνέπεμπεν τῷ Θεῷ λέγων· «Εὐλογήσω τὸν Κύριον ἐν παντὶ καιρῷ, διαπαντὸς ἡ αἴνεσις αὐτοῦ ἐν τῷ στόματί μου[5]», καὶ τὰ ἑξῆς. Νυνὶ δέ, ὅτε τοῦ διαβόλου Δωὴκ τὴν πρᾶξιν ἔγνω, καὶ ὡς τοσούτους ἀνεῖλεν ἱερεῖς, ἔργῳ διαβολικῷ χρησάμενος, ὡς πρὸς αὐτὸν συντάττει τοὺς προκειμένους λόγους φάσκων·

Στίχ. γ΄. «Τί ἐγκαυχᾷ ἐν κακίᾳ ὁ δυνατός; ἀνομίαν ὅλην τὴν ἡμέραν, καὶ ἀδικίαν ἐλογίσατο ἡ γλῶσσά σου.»

Καὶ λέλεκται μὲν τὰ μετὰ χεῖρας πολὺ πρότερον τοῖς χρόνοις

---

1. Α΄ Βασ. 21, 7-13. 2. Α΄ Βασ. 21, 7. 3. Α΄ Βασ. 22, 9-11. 4. Α΄ Βασ. 22, 18, 19. 5. Ψαλμ. 33, 2.

τῆς ἱστορίας τοῦ ν' ψαλμοῦ. Ἔτι γὰρ ζῶντος τοῦ Σαούλ, καὶ πρὸ τοῦ βασιλεῦσαι τὸν Δαυΐδ, καὶ πέπρακτο καὶ εἴρητο. Μακροῖς δὲ ὕστερον χρόνοις, μετὰ τὸν θάνατον Σαούλ, καὶ πρὸς τοῖς τελευταίοις τῆς αὐτοῦ βασιλείας, ὁ Δαυΐδ τὴν ἐν τῷ ν' ποιεῖται ἐξομολόγησιν, ἣν προὔταξε διὰ τὴν πρὸς τὸν μθ' ψαλμὸν ἀκολουθίαν, ὥσπερ οὖν καὶ ἀποδέδεικται. Οἱ δ' ἀπὸ τοῦ α' καὶ ν' τὸν ἀριθμὸν εἴκοσι, τοῦ Δαυΐδ ἐπιγεγραμμένοι, μέχρι τοῦ ο' ἐξ ἑτέρας ἀρχῆς τὴν ὑπόθεσιν εἰλήφασιν· ἐοίκασι γοῦν ἔτι ζῶντος Σαοὺλ εἰρῆσθαι, πρὶν ἢ βασιλεῦσαι τὸν Δαυΐδ. Ὅ τε γὰρ μετὰ χεῖρας ἔτι ζῶντος Σαοὺλ ἐλέχθη, «Ἐν τῷ ἐλθεῖν Δωὴκ τὸν Ἰδουμαῖον καὶ ἀναγγεῖλαι τῷ Σαούλ, ὅτι ἦλθε Δαυΐδ εἰς τὸν οἶκον Ἀβιμέλεχ.[1]» Ἀλλὰ καὶ ὁ νγ'· «Ἐν τῷ ἐλθεῖν τοὺς Ζιφαίους, καὶ εἰπεῖν τῷ Σαούλ· Οὐχὶ ἰδοὺ Δαυΐδ, κέκρυπται παρ' ἡμῖν;[2]» εἴρητο. Καὶ ὁ ε' δὲ καὶ ν'· «Ὅτε ἐκράτησαν αὐτὸν οἱ Ἀλλόφυλοι ἐν Γέθ», ἐπιγέγραπται· ἦν δὲ καὶ οὗτος ὁ χρόνος ὁ πρὸ τῆς βασιλείας τοῦ Δαυΐδ, ἔτι τοῦ Σαοὺλ περιόντος τῷ βίῳ, καὶ ὁ νς' ἐπιγράφει· «Τῷ Δαυΐδ, ἐν τῷ αὐτὸν ἀποδιδράσκειν ἀπὸ προσώπου Σαοὺλ εἰς τὸ σπήλαιον.» Ὡσαύτως καὶ ὁ νη', «Ὁπότε», φησίν, «ἀπέστειλε Σαούλ, καὶ ἐφύλαξε τὸν οἶκον αὐτοῦ, τοῦ θανατῶσαι αὐτόν.» Ὅ γε μὴν νθ', εἰ καὶ μετὰ τὸν θάνατον Σαοὺλ εἴρητο, ἤδη βασιλεύοντος τοῦ Δαυΐδ, ἀλλὰ καὶ αὐτὸς πρὸ τῆς κατὰ τὸν Οὐρίαν πράξεως· ὃ δὴ σημαίνεται ἀπὸ τῆς προγραφῆς, ἥτις δηλοῖ τὸν χρόνον φάσκουσα· «Ὁπότε ἐνεπύρισε τὴν Μεσοποταμίαν Συρίας, καὶ τὴν Συρίαν Σωβᾶ, καὶ ἀπέστρεψεν Ἰωὰβ καὶ ἐπάταξε τὴν φάραγγα τῶν Ἁλῶν, δώδεκα χιλιάδας.» Ταῦτα δὲ τοῖς χρόνοις προάγει τὴν ἐν τῷ ν' ψαλμῷ ἐξομολόγησιν. Ἔτι μὴν καὶ ὁ ξβ' ψαλμὸς ἐλέχθη τῷ Δαυΐδ «ἐν τῷ εἶναι αὐτὸν ἐν τῇ ἐρήμῳ τῆς Ἰδουμαίας», ζῶντος ἔτι τοῦ Σαούλ. Καὶ θέα ὅπως σχεδὸν οἱ πλεῖστοι τοῦ δευτέρου μέρους τῆς βίβλου τῶν ψαλμῶν τοῦ Δαυΐδ, παρεκτὸς τοῦ ν', τοὺς πρόπαλαι εἰρημένους αὐτῷ πρὸ τῶν χρόνων τῆς κατὰ τὸν Οὐρίαν πράξεως περιειλήφασι. Τό γε μὴν πρῶτον μέρος τῆς αὐτῆς βίβλου τὸ ἀπὸ πρώτου καὶ μέχρι μ' τὴν ἐναντίαν εἶχε τάξιν· τοὺς γὰρ μετὰ τὴν ἐξομολόγησιν τοῦ ν' ἐκεῖνο περιεῖχε τὸ μέρος. Ὁ γοῦν τρίτος ψαλμὸς λέλεκτο τῷ Δαυΐδ, «ὁπότε ἀπεδίδρασκεν ἀπὸ προσώπου Ἀβεσσαλὼμ τοῦ υἱοῦ αὐτοῦ.» Ἔφευγε δὲ τὸν υἱὸν μετὰ τὴν ἱστορίαν τοῦ Οὐρίου. Ἀλλὰ καὶ ἐν τῷ ς' τῆς αὐτῆς ἕνεκα πράξεως ἀπεκλάετο λέγων· «Ἐκοπίασα ἐν τῷ στεναγμῷ μου, λούσω καθ' ἑκάστην νύκτα τὴν κλίνην μου, ἐν δάκρυσί μου τὴν στρωμνήν μου βρέξω.[3]» Καὶ ὁ ζ' δέ· «Ὑπὲρ τῶν λόγων Χουσὶ υἱοῦ Ἰεμινεὶ» λελεγμένος, τῶν αὐτῶν εἴη ἂν χρόνων. Χουσὶ γὰρ ἀρχιεταῖρος γεγονὼς τοῦ Δαυΐδ, τῷ Ἀβεσσαλὼμ συνεγένετο. Ἔτι μὴν καὶ ὁ ιζ' ἀποδέδεικται περὶ τὰ τελευταῖα τῆς ζωῆς Δαυΐδ λελεγμένος. Ἀλλὰ καὶ ὁ λζ', ἐπιγεγραμμένος «εἰς ἀνάμνησιν»,

1. Α' Βασ. 21, 1. 2. Α' Βασ. 21, 11. 3. Ψαλμ. 6, 7.

τὴν αὐτὴν ἔχων διάνοιαν τῷ ς', ἄρχεται μὲν ἀπὸ τῶν αὐτῶν ῥημάτων λέγων· «Κύριε, μὴ τῷ θυμῷ σου ἐλέγξῃς με, μηδὲ τῇ ὀργῇ σου παιδεύσῃς με.» Προϊὼν δὲ τὴν αὐτὴν ἐξομολόγησιν τῇ ἐν τῷ ν' φερομένῃ ποιεῖται ἔν τε τοῖς ἄλλοις καὶ δι' ὧν φησιν· «Ὅτι αἱ ἀνομίαι μου ὑπερῆσαν τὴν κεφαλήν μου. Προσώζεσαν καὶ ἐσάπησαν οἱ μώλωπές μου ἀπὸ προσώπου τῆς ἀφροσύνης μου.[1]» Καὶ σὺ δ' ἂν κατὰ σαυτὸν συναγαγὼν εὕροις ἂν τὰ πλεῖστα τῶν ἐν τῷ πρώτῳ μέρει τῶν ψαλμῶν μετὰ τοὺς χρόνους τῆς κατὰ τὸν Οὐρίαν ἱστορίας εἰρημένα, τὰ δὲ μετὰ τὸν ν' τοῖς χρόνοις προάγοντα τὴν κατὰ τὸν Οὐρίαν πρᾶξιν. Τί δήποτε οὖν οὐ κατὰ τὴν τῶν χρόνων ἀκολουθίαν οἱ πρῶτοι τοῖς χρόνοις πρῶτοι κατετάγησαν· ἀλλ' οἱ τὴν πρῶτοι λελεγμένοι ἔτι ζῶντος Σαοὺλ ἐν τῷ δευτέρῳ μέρει τῶν ψαλμῶν· ἐν δὲ τῷ πρώτῳ οἱ τοῖς χρόνοις ὕστατοι; ἡγοῦμαι δὲ ταύτην εἰληφέναι τὴν τάξιν, ὡς ἂν μὴ ἀπὸ τῶν κρειττόνων ἐπὶ τὰ χείρω φέροιτο ὁ λόγος· τὸ γάρ, «εἰς τὸ τέλος μὴ διαφθείρῃς», καὶ ἐπὶ τῆς τῶν ψαλμῶν τάξεως πεφυλάχθαι ἔοικεν. Διὸ καὶ τὰ σκυθρωπότερα πρῶτα τέθειται· ἵνα δεύτερα τὰ χρηστότερα φυλαχθῇ, καλυπτομένων καὶ ἐξαφανιζομένων τῶν χειρόνων, διὰ τῶν ἐν τοῖς δευτέροις κρειττόνων. Εἰκὸς δὲ τὸν Δαυῒδ τὸ πλημμεληθὲν αὐτῷ ὕστερον διὰ τῶν προτέρων αὐτοῦ κατορθωμάτων ἐθέλειν καλύπτειν. Εἴποι δ' ἄν τις, ὅτι καθ' ὑπερβολὴν εὐλαβείας πρώτας ἔταττε τὰς ἐξομολογήσεις ἑαυτοῦ· «Ἐπειδὴ δίκαιος ἑαυτοῦ κατήγορος ἐν πρωτολογίᾳ.[2]» Ἀλλὰ τοσούτων ἡμῖν εἰς τὴν ἀποδοθεῖσαν τάξιν γεγυμνασμένων, καιρὸς ἤδη καὶ ἐπὶ τὰς προκειμένας φωνὰς τοῦ να' παρελθεῖν.

Γράφει τοίνυν τοὺς προκειμένους λόγους, μαθὼν ὁποῖα διεπράξατο Δωὴκ ὁ Σύρος ἐν ταῖς κατ' αὐτοῦ διαβολαῖς. Διὸ ὡς πρὸς αὐτὸν ἀποτείνεται λέγων· «Τί ἐγκαυχᾷ ἐν κακίᾳ, ὁ δυνατός;» ἢ ὡς πρὸς τὸν ἐνεργήσαντα ἐν αὐτῷ διάβολον. Οὐ γὰρ ἠγνόει τὸν πάντοτε αὐτῷ ἀντικείμενον, καὶ διὰ παντὸς αὐτὸν πολεμοῦντα, ποτὲ μὲν διὰ τοῦ Σαούλ, νυνὶ δὲ διὰ τοῦ Δωήκ, καὶ ἄλλοτε ἄλλως δι' ἑτέρων. Ὁ μὲν οὖν ἀδύνατος καὶ ἄτονος καὶ ὀλίγος ἐν κακίᾳ, πλεονάζοντος ἐν αὐτῷ τοῦ κρείττονος τρόπου, ὡς ἂν ἀσθενέστερος ἐν κακίᾳ, ἐγκαλύψεται ἁμαρτάνων, καὶ ὑπὸ τῆς συνειδήσεως κεντούμενος, μετανοήσειεν ἄν, καὶ τῆς ἑαυτοῦ κακίας περινοήσειεν ἑαυτῷ φάρμακον δι' ἐξομολογήσεως καὶ εἰλικρινοῦς μετανοίας· ὁ δὲ δυνατὸς ἐν κακίᾳ τυφοῦται ἐπ' αὐτῇ, καὶ ἐγκαυχᾶται, ὡς ἐπὶ μεγάλῳ κατορθώματι σεμνυνόμενος. Καί μοι δοκεῖ τὸν ἐναντίον τρόπον διαγράφειν ὁ παρὼν λόγος τῷ προεξομολογησαμένῳ ἐν τῷ ν' ψαλμῷ. Ἐν ἐκείνῳ μὲν γὰρ ὀλισθήσας ἐν κακίᾳ ἅπαξ, ποτὲ μετεγίνωσκε καὶ ἑαυτὸν ἔκοπτεν ἐξομολογούμενος, καὶ τὰ ἑαυτοῦ κακὰ ἀποκλαόμενος· (sic) ὁ δὲ παρὼν ἐν κακίᾳ ὢν φησι·

1. Ψαλμ. 37, 5, 6. 2. Παρμ. 18, 17.

Στίχ. ζ'-θ'. «Καὶ ἀποξύσει σε ἀπὸ τῆς σκηνῆς, καὶ ἐκριζώσει ἐκ γῆς ζώντων εἰσαεί·»

Ἵνα δίκαιοι βλέποντες ἀεὶ φοβῶνται, καὶ καταγελῶσιν αὐτοῦ λέγοντες· «Ἰδοὺ ἄνθρωπος, ὃς οὐ προέθετο τὸν Θεὸν ἰσχὺν αὐτοῦ· ἀλλ' ἐπεποίθησε τῷ πλήθει τοῦ πλούτου αὐτοῦ, καὶ ἐνισχυρεύσατο τῇ συμφορᾷ ἑαυτοῦ.» Λέλεκται δὲ ταῦτα ὡς πρὸς τὸν Δωήκ, ὄντα μὲν Σύρον τὸ γένος, ἀναστρεφόμενον δὲ ἐν μέσῳ τοῦ Ἰσραήλ· καί που τάχα καὶ παραβάλλοντα μετὰ τοῦ πλήθους εἰς τὴν σκηνὴν τοῦ Θεοῦ, θεοσεβεῖν τε προσποιούμενον. Λέλεκται δὲ καὶ πρὸς πάντα τὸν ἐν κακίᾳ δυνατόν, τῇ γλώσσῃ χρώμενον ἀντὶ ξίφους ἐπὶ ψυχῶν ἀπωλείᾳ, ὥσπερ τινὰ πικρὰν καὶ λυμαντικὴν ῥίζαν, ὁ τῶν ψυχῶν γεωργὸς ἐκτῖλαι, κἂν δοκῇ πρὸς βραχύν τινα χρόνον ἐν τῷ σκηνώματι τοῦ Θεοῦ καὶ ἐν τῇ Ἐκκλησίᾳ αὐτοῦ πεφυτεῦσθαι. Ἐκτιλεὶς δὲ ὁ τοιοῦτος καὶ μακρὰν ἀπορριφεὶς τοῦ τῶν ἁγίων σκηνώματος, θέαμα κείσεται οἰκτρὸν ἐπ' ὠφελείᾳ καὶ σωφρονισμῷ τῶν ὁρώντων, οἵ, τὴν ἀπότομον τοῦ Θεοῦ κατὰ τοῦ τοιούτου κρίσιν ὀφθαλμοῖς παραλαβόντες, ἀγωνιάσουσι καὶ φυλάξονται μὴ τοῖς ὁμοίοις περιπεσεῖν. Εἶτα ἀναφέροντες τῇ μνήμῃ τὴν προτέραν τοῦ δυνατοῦ ἐν κακίᾳ μεγαλαυχίαν, τό τε ὕψος καὶ τὴν ὑπερηφανίαν αὐτοῦ, ὁρῶντες δὲ καὶ τὴν μετὰ ταῦτα μετελθοῦσαν αὐτὸν ταπείνωσίν τε καὶ ἀπώλειαν, καταγέλαστον αὐτὸν ἡγήσονται, ἐξ οἵων εἰς οἷα μεταπέπτωκε θεώμενοι· ἀποδέξονται δὲ τοῦ Θεοῦ τὴν κρίσιν, δικαίαν αὐτὴν εἶναι ὁμολογοῦντες. Εἶτα καὶ τὰς αἰτίας διελεύσονται, δι' ἃς ταῦτα πέπονθεν ὁ ἀσεβής, δικαιοῦντες τὴν τοῦ Θεοῦ κρίσιν. Δέον γὰρ μὴ ἐπὶ πλούτῳ μέγα φρονεῖν, μηδ' ἐπὶ τῇ ματαιότητι τοῦ παρόντος βίου ἐπαίρεσθαι, μόνον δὲ τὸν Θεὸν ἐλπίδα καὶ βοηθὸν αὐτοῦ τίθεσθαι, καὶ ἐπὶ ταύτῃ μὴ σαλεύειν τῇ ἐλπίδι· ὁ δὲ τὴν μὲν ἀγαθὴν ἄγκυραν τῆς ἑαυτοῦ ψυχῆς καταλέλοιπεν, ἐπὶ ματαίῳ δὲ πλούτῳ τὰς ἐλπίδας ἀναρτήσας, ἑαυτὸν ἔπαιξε, πλέον οὐδὲν ἢ γέλωτα ὀφλήσας ἐπὶ τῇ αὐτοῦ ματαίᾳ καὶ ἄφρονι μεγαλαυχίᾳ.

Στίχ. ι'. «Ἐγὼ δέ, ὡσεὶ ἐλαία κατάκαρπος ἐν τῷ οἴκῳ τοῦ Θεοῦ, ἤλπισα ἐπὶ τὸ ἔλεος τοῦ Θεοῦ εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.»

Ὁ μὲν ἐν κακίᾳ δυνατὸς ὁποίου τέλους τεύξεται, διὰ τῶν εἰρημένων μεμαθήκαμεν. Ἐγὼ δέ, φησὶν ὁ Δαυΐδ, ταῦτα παιδευθεὶς πρὸς τοῦ ἁγίου Πνεύματος, οὔτε ἐπὶ πλήθει πλούτου προσκαίρου ἐπαρθείην ποτέ, οὔτε ἐπὶ ματαιότητι τοῦ θνητοῦ βίου· «Ματαιότης» γὰρ «ματαιοτήτων, τὰ πάντα ματαιότης.[1]» Ἀλλὰ καὶ φεύγων τὴν ὁδὸν τοῦ δυνατοῦ ἐν κακίᾳ, τὴν ἐμαυτοῦ γλῶτταν καὶ τὰ ῥήματα οὐκ εἰς ἀπώλειαν ἑτέρων ἀκονήσαιμι, ἀλλ' ἐπ' ὠφελείᾳ ψυχῶν, καὶ εἰς διακονίαν σωτηρίων λόγων. Καὶ ταῖς λοιπαῖς δὲ πράξεσιν οὕτως ἂν

1. Ἐκκλ. 1, 2.

γενοίμην εὐθαλὴς καὶ εὔκαρπος, ὡς παραβάλλεσθαί μου τὴν ψυχὴν ἀειθαλεῖ καὶ πολυκάρπῳ φυτῷ ἐν οἴκῳ Θεοῦ πεφυτευμένῳ. Διό φημι· «Ἐγὼ δὲ ὡσεὶ ἐλαία κατάκαρπος ἐν τῷ οἴκῳ τοῦ Θεοῦ·» ἢ κατὰ τὸν Σύμμαχον· «Ἐγὼ δὲ ὡσεὶ ἐλαία εὐθαλὴς ἐν τῷ οἴκῳ τοῦ Θεοῦ.» Οὐδὲ γὰρ ἀπένευον τοῦ οἴκου τοῦ Θεοῦ· ἀλλ' ἔνδον ἐν αὐτῷ ὥσπερ ἐν γεωργίῳ Θεοῦ πεφυτευμένος, καὶ τῶν ναμάτων τῆς ἐν οἴκῳ τοῦ Θεοῦ πηγῆς ἀπολαύων, πολύκαρπος ἐγινόμην καὶ ἀειθαλής, κατὰ τὸ παράδειγμα τοῦ τῆς ἐλαίας φυτοῦ, ὅπερ ἐν τοῖς ἀειθαλέσι παρείληπται. Τήρει δέ, ὅτι ταῦτα λέγων ὁ Δαυΐδ, οὔτε ἐπὶ τῆς Ἱερουσαλὴμ ἐτύγχανεν, ἣν ἐνόμιζον εἶναι Ἰουδαίων παῖδες οἶκον τοῦ Θεοῦ· οὔτε γὰρ ᾠκοδόμητο· ἀλλ' οὐδὲ ἐν τῇ σκηνῇ τῇ ὑπὸ Μωϋσέως κατεσκευασμένῃ, εἰσέτι τότε παρὰ Ἰουδαίοις οὔσῃ. Φεύγων γὰρ τὸν Σαοὺλ παρ' ἑτέροις τὰς διατριβὰς ἐποιεῖτο· ὅμως δ' οὖν οὐκ ἠγνόει ἑαυτὸν ἐν τῷ οἴκῳ τοῦ Θεοῦ πεφυτευμένον· οἶκον Θεοῦ νοῶν τὸ θεοσεβὲς πολίτευμα. Καὶ ἐπειδήπερ κατάκαρπος, οὐδὲ πικροὺς φέρων καρπούς, γλυκεῖς δὲ καὶ πολλῆς γέμοντας φιλανθρωπίας, εἰκότως ἐλαίας φυτῷ κατακάρπῳ παρεβάλλετο, τὸν εἰς τοὺς πέλας ἔλεον σημαίνοντος, καὶ τὴν εἰς ἅπαντας φιλανθρωπίαν τοῦ παραδείγματος. Ὡς οὖν τοσούτοις βρίθων ἀγαθοῖς, ἀκολούθως ἐπιλέγει· «Ἤλπισα ἐπὶ τὸ ἔλεος τοῦ Θεοῦ εἰς τὸν αἰῶνα καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.»

Τοῦ μὲν γὰρ ἐν κακίᾳ δυνατοῦ τὸ τέλος ἐκρίζωσιν αὐτῷ καὶ ἀφανισμὸν ἐδήλου. Ἐχρῆν γὰρ τὴν τῶν πικρῶν οἰστικὴν ῥίζαν καρπῶν πρὸς τοῦ τῶν ὅλων σοφοῦ γεωργοῦ ἀποκταλῆναι. Ὁ δὲ ὡσεὶ ἐλαία κατάκαρπος ἐν τῷ οἴκῳ τοῦ Θεοῦ, ἤλπισεν ἐπὶ τὸ ἔλεος τοῦ Θεοῦ εἰς τὸν αἰῶνα καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος, ἀθανασίαν καὶ ζωὴν αἰώνιον ποριζόμενος ἀπὸ τῆς ἀγαθῆς ἐλπίδος, ἧς οὔποτε ἐκπεσεῖται· «Ἡ γὰρ ἐλπίς», κατὰ τὸν Ἀπόστολον, «οὐ καταισχύνει.[1]» Εἶθ' ὡς ἐπ' ἀγαθοῖς καρποῖς, ἀγαθὰς ἐλπίδας ἑαυτῷ ὑποτυπωσάμενος, τὴν αἰτίαν ἐξάπτει τῷ πάντων τῶν ἀγαθῶν χορηγῷ λέγων· «Ἐξομολογήσομαί σοι εἰς τὸν αἰῶνα, ὅτι ἐποίησας.» Οὐ γὰρ ἐγώ, φησίν, ἐποίησα ἐμαυτὸν ὡσεὶ ἐλαίαν κατάκαρπον, ἀλλὰ σὺ ἐποίησας· παρὰ σοῦ γὰρ ἡ χάρις· διὸ οὐδέποτε παύσομαί σοι τὴν χάριν εἰδώς, καὶ σοι ἐξομολογούμενος· ἅπαξ δὲ ἐλπίσας ἐπὶ τὸ ἔλεος τοῦ Θεοῦ, «ὑπομενῶ τὸ ὄνομα αὐτοῦ.» Τῆς γὰρ ἀγαθῆς ἐλπίδος ὑποκειμένης, ὑπομονῆς ἡμῖν χρεία. Διὸ «ὑπομενῶ τὸ ὄνομά σου», φησίν, «ὅτι χρηστόν ἐστιν ἐναντίον τῶν ὁσίων σου·» ἢ κατὰ τὸν Σύμμαχον, «Ὅτι ἀγαθὸν τὸ ὄνομά σου ἄντικρυς τῶν ὁσίων σου.» Εἰδὼς οὖν, ὅτι ἀγαθόν ἐστι, καὶ ἀγαθῶν ποιητικόν, οὐ τοῖς δυνατοῖς ἐν κακίᾳ, οὐδὲ τοῖς ἀποβλήτοις τῶν ζώντων, ἀλλὰ τοῖς ὁσίοις, εἰκότως «ὑπομενῶ τὸ ὄνομά σου», εὔελπις ὢν μήποτε ἐκπεσεῖν τοῦ σοῦ ἐλέους. Οὕτω γοῦν ἤλπισα ἐπ' αὐτῷ εἰς τὸν αἰῶνα καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

1. Ῥωμ. 5, 5.

ΕΙΣ ΤΟ ΤΕΛΟΣ, ΥΠΕΡ ΜΑΕΛΕΘ, ΣΥΝΕΣΕΩΣ ΤΩ ΔΑΥΙΔ ΝΒʹ.

Στίχ. βʹ-ϛʹ. «Εἶπεν ἄφρων ἐν καρδίᾳ αὐτοῦ· Οὐκ ἔστι Θεός. Διεφθάρησαν καὶ ἐβδελύχθησαν ἐν ἀνομίαις, οὐκ ἔστι ποιῶν ἀγαθόν.»

Ὁ μὲν νʹ ἐξομολόγησιν τρόπου μεταγινώσκοντος ἐφ' οἷς ἥμαρτεν, περιεῖχεν· ὁ δὲ ἑξῆς αὐτῷ, ἀπόνοιαν τοῦ ἐν κακίᾳ δυνατοῦ καὶ ἀθέου τρόπου· ὁποῖόν τε τοῦτον διεδέχετο τὸ τέλος, καὶ ὁποῖον τὸν πρότερον. Τῷ μὲν γὰρ καυχησαμένῳ ἐπὶ τοῖς ἑαυτοῦ κακοῖς ἐλέγετο· «Διὰ τοῦτο ὁ Θεὸς καθελεῖ σε εἰς τὸ τέλος, ἐκτῖλαί σε καὶ μεταναστεῦσαί σε ἀπὸ σκηνώματος·[1]» ἐκ προσώπου δὲ τοῦ ἐξομολογησαμένου ἐπήγετο ἑξῆς τό, «Ἐγὼ δὲ ὡσεὶ ἐλαία κατάκαρπος ἐν τῷ οἴκῳ τοῦ Θεοῦ, ἤλπισα ἐπὶ τὸ ἔλεος αὐτοῦ εἰς τὸν αἰῶνα.[2]» Ὁ δὲ παρὼν οὐκ ὢν ψαλμός, οὐ γὰρ οὕτως ἐπιγέγραπται, ἀλλ' οὐδὲ ᾠδή, οὐδέ τι τῶν τοιούτων, προφητείαν περιέχει τῆς σωτηρίου θεοφανείας, ἣν πολλοὶ προφῆται καὶ δίκαιοι ἐπεθύμησαν ἰδεῖν. Ὥσπερ οὖν καὶ ὁ μετὰ χεῖρας ἐπὶ τῇ πάντων ἀνθρώπων διαπτώσει, καὶ ὥσπερ ἐπὶ κοινῷ ναυαγίῳ εὐχόμενος καὶ λέγων· «Τίς δώσει ἐκ Σιὼν τὸ Σωτήριον τοῦ Ἰσραήλ; ἐν τῷ ἐπιστρέψαι Κύριον τὴν αἰχμαλωσίαν τοῦ λαοῦ αὐτοῦ, ἀγαλλιάσεται Ἰακώβ, καὶ εὐφρανθήσεται Ἰσραήλ·» ὅτε γάρ, ἐξομολογούμενος καὶ ἐξαγορεύων τὰ ἑαυτοῦ ἁμαρτήματα διὰ τῆς σωτηρίου θεοφανείας, καθάρσεως ἔμελλε τεύξεσθαι· ὅτε ἄθεος ἐν ἀνθρώποις καὶ ἐν κακίᾳ δυνατὸς τρόπος οὐδ' ἄλλως οἷός τε ἦν ἢ διὰ μόνου τοῦ Σωτῆρος θεραπείας τυχεῖν, τοῦ καὶ τὰ ἀνίατα τῆς ψυχῆς πάθη ἰάσασθαι δυναμένου. Καὶ ταῦτα μὲν εἰς τὴν ἀκολουθίαν εἰρήσθω.

Σημειώσῃ δέ, ὅτι δεύτερον ἤδη ἡ προκειμένη προφητεία ἔγκειται τῇ βίβλῳ τῶν Ψαλμῶν· ἐν μὲν τῷ πρώτῳ μέρει κατὰ τὸν ιγʹ, ἐν δὲ τῷ δευτέρῳ κατὰ τὰ προκείμενα. Σχεδὸν γὰρ αὐτοῖς ῥήμασιν ἀπ' ἀρχῆς μέχρι τέλους καὶ ὁ ιγʹ ὁμοίως ἔχει τῷ παρόντι· ἀρχόμενος μὲν ἀπὸ τοῦ· «Εἶπεν ἄφρων ἐν καρδίᾳ αὐτοῦ· Οὐκ ἔστι Θεός·» τελευτῶν δὲ εἰς τό· «Τίς δώσει ἐκ Σιὼν τὸ Σωτήριον τοῦ Ἰσραήλ; ἐν τῷ ἐπιστρέψαι Κύριον τὴν αἰχμαλωσίαν τοῦ λαοῦ αὐτοῦ, ἀγαλλιάσεται Ἰακώβ, καὶ εὐφρανθήσεται Ἰσραήλ.» Βραχεῖαι δὲ λέξεις τὴν ἐν ἀμφοτέροις διαφορὰν ἐργάζονται. Ἐν μὲν γὰρ τῇ προγραφῇ ὁ μὲν ιγʹ «εἰς τὸ τέλος τῷ Δαυῒδ» ἐλέγετο· ὁ δὲ παρὼν ἔχει μὲν τὴν αὐτὴν ῥῆσιν, πλεονάζει δὲ ἐν τῷ λέγειν, «ὑπὲρ Μαελέθ, συνέσεως.» Ὁ μὲν Ἀκύλας, «ἐπὶ χορείᾳ», ἡρμήνευσεν· ὁ δὲ Σύμμαχος, «διὰ χοροῦ·» ὁ δὲ Θεοδοτίων, «ὑπὲρ τῆς χορείας», καὶ ἡ πέμπτη ἔκδοσις ὡσαύτως. Ἀναγκαίως δὲ πρόκειται τό, «συνέσεως·» ἐπειδήπερ συνέσεως ἡμῖν δεῖ πρὸς τὸ νοῆσαι τίς ἐστιν ἡ χορεία ἡ διὰ τῆς προγραφῆς δηλουμένη, καὶ τίς ὁ λόγος, καθ' ὃν ἅπαξ προλεχθείσης τῆς προφητείας κατὰ τὸν

---

1. Ψαλμ. 51, 7. 2. Ψαλμ. 51, 10.

ιγ' δεύτερον ἐνταῦθα παρείληπται. Τὸ δέ, «εἰς τέλος», ἐν ἀμφοτέροις κείμενον, σημαντικὸν ἂν εἴη τοῦ χρόνου καθ' ὃν ἤμελλεν ἀποτελεῖσθαι τὰ προφητευόμενα. Ἐπειδὴ γὰρ κατὰ τὴν συντέλειαν τοῦ αἰῶνος, τὸ Σωτήριον τοῦ Θεοῦ, ἐπιφανὲν τοῖς ἐπὶ γῆς ἀνθρώποις, χορείαν συνεστήσατο τὴν ἐξ ἁπάντων τῶν ἐθνῶν ἐν τῇ Ἐκκλησίᾳ αὐτοῦ συγκροτουμένην, εἰς ὕμνους καὶ δοξολογίας τοῦ αὐτοῦ Πατρός· εἰκότως ἐπὶ σύνεσιν ἡμᾶς ταύτης τῆς χορείας ὁ λόγος παρορμᾷ. Καὶ ὅρα τὸ παράδοξον· προγράφει μὲν γὰρ «ὑπὲρ τῆς χορείας», ἢ «ὑπὲρ τοῦ χοροῦ», εἰσάγει δὲ οὐδένα ἐπὶ γῆς ἄνθρωπον ἀγαθόν, οὐδὲ ποιοῦντα χρηστότητα ἕως ἑνός, λέγων ἑξῆς· «Κύριος ἐκ τοῦ οὐρανοῦ διέκυψεν ἐπὶ τοὺς υἱοὺς τῶν ἀνθρώπων, τοῦ ἰδεῖν εἰ ἔστι συνιὼν καὶ ἐκζητῶν τὸν Θεόν. Πάντες ἐξέκλιναν, ἅμα ἠχρειώθησαν, οὐκ ἔστι ποιῶν ἀγαθόν, οὐκ ἔστιν ἕως ἑνός.»

Εἰ δὲ οὖν τοιαῦτα ἦν τὰ ἐν ἀνθρώποις, ὡς μηδένα ἀγαθὸν εὑρίσκεσθαι ἐν τοῖς υἱοῖς τῶν ἀνθρώπων, πῶς ὑπὲρ τῆς χορείας τὰ τῆς προγραφῆς λέγεσθαι σημαίνει; Ἀλλ' ἐρεῖς, ὅτι, ἐπειδὴ πάντες ἐξέκλιναν ἕως ἑνός, διεφθάρησάν τε οἱ ἐπὶ γῆς καὶ ἐβδελύχθησαν ἐν ἀνομίαις, εἰκότως ὁ προφήτης ἐπηύξατο ἐν τοῖς μετὰ ταῦτα εἰπών· «Τίς δώσει ἐκ Σιὼν Σωτήριον τοῦ Ἰσραήλ; ἐν τῷ ἐπιστρέψαι Κύριον τὴν αἰχμαλωσίαν τοῦ λαοῦ αὐτοῦ, ἀγαλλιάσεται Ἰακώβ, καὶ εὐφρανθήσεται Ἰσραήλ.» Συνεῖδε γὰρ τῇ προγνώσει τοῦ πνεύματος τοῦ προφητικοῦ, ὡς ἄρα διὰ τοῦ Σωτηρίου ἤμελλεν ἡ αἰχμαλωσία τοῦ λαοῦ ἐπιστρέφειν καὶ ἐλευθεροῦσθαι τῆς τῶν πολεμίων δυναστείας· ὧν ἐπιτελουμένων, ἡ τοῦ Θεοῦ χορεία συνίστατο ἐξ αὐτῶν ἐκείνων τῶν ἐλευθερουμένων τῆς αἰχμαλωσίας. Εἰκότως οὖν εἰς τὸ τέλος ἀναπέμπεται τὰ λεγόμενα, καὶ «ὑπὲρ Μαελέθ», τουτέστιν «ὑπὲρ τῆς χορείας», λέλεκται· ὡσεὶ σαφέστερον ἡρμήνευτο, ὑπὲρ τῶν ἐλευθερωθησομένων τῆς αἰχμαλωσίας· διόπερ καὶ εἰς σύνεσιν ἡμᾶς ἀναπέμπει. Εἴρηται δέ, «τῷ Δαυΐδ», ἡ προφητεία, ὑπ' αὐτοῦ λεχθεῖσα. Διὸ παρὰ τοῖς λοιποῖς ἑρμηνευταῖς, «τοῦ Δαυΐδ», ἐπιγέγραπται. Καὶ ἔστιν εἰπεῖν ὡς ἄρα αὐτὸς ὁ Δαυΐδ, προφήσας τό· «Ἐγὼ δὲ ὡσεὶ ἐλαία κατάκαρπος ἐν τῷ οἴκῳ τοῦ Θεοῦ, ἤλπισα ἐπὶ τὸ ἔλεος τοῦ Θεοῦ», οὐκ ἄλλως τεύξεσθαι τοῦ ἐλέους ἠπίστατο ἢ διὰ τοῦ προφητευομένου σωτηρίου. Διὸ ἐν μὲν τῷ ν' ἔλεγεν· «Ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ Σωτηρίου σου·[1]» ἐν δὲ τῷ προκειμένῳ· «Τίς δώσει ἐκ Σιὼν τὸ Σωτήριον τοῦ Ἰσραήλ;» Ηὔχετο γὰρ καὶ αὐτῷ δοθῆναι τὸ κοινὸν ἀγαθόν. Καὶ ὁ ιγ' δὲ πρὸς τὸν πρὸ αὐτοῦ, λέγω δὲ τὸν ιβ', πολλὴν εἶχεν ἀκολουθίαν. Εὐξάμενος γὰρ ἐν τῷ ιβ', ὁ αὐτὸς καὶ εἰπών· «Ἕως πότε, Κύριε, ἐπιλήσῃ μου εἰς τέλος;[2] ἕως πότε ἀποστρέψεις τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ;» καὶ τὰ τούτοις ἑξῆς συνάψας, ἐπιλέγει· «Ἐγὼ δὲ ἐπὶ τῷ ἐλέει σου ἤλπισα. Ἀγαλλιάσεται ἡ καρδία μου ἐπὶ τῷ

1. Ψαλμ. 50, 14. 2. Ψαλμ. 12, 1.

Σωτηρίῳ σου.[1]» Καὶ ἐπειδήπερ ἐμνημόνευσε τοῦ Σωτηρίου ἐν τῷ ιβ', ἐν τῷ ιγ' ἀκολούθως φησί· «Τίς δώσει ἐκ Σιὼν τὸ Σωτήριον τοῦ Ἰσραήλ;»

Ἡ μὲν οὖν προγραφή, πολλῆς συνέσεως δεομένη, ὑπὲρ τῆς χορείας ἐλέγετο, τῆς μελλούσης διὰ τοῦ Σωτηρίου συνίστασθαι ἐν ἀνθρώποις· ἥτις ἔργῳ ἐπετελέσθη μετὰ τὴν ἐπιφάνειαν τοῦ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ· δι' οὗ καθ' ὅλης τῆς οἰκουμένης μία συνέστη τῷ Θεῷ χορεία, οἵα οὐδεπώποτε, ἡ καθολικὴ τοῦ Θεοῦ Ἐκκλησία ἐπὶ τὴν ἀρραγῆ καὶ ἄσειστον πέτραν τοῦ σωτηρίου λόγου τεθεμελιωμένη. Τὰ δὲ ἐν ἀρχῇ τῆς προφητείας λεγόμενα ἁπάντων τῶν ἐπὶ γῆς ἀνθρώπων ὥσπερ τι ναυάγιον εἰσάγει. Εἶπε γάρ· «Φησὶν ἄφρων ἐν καρδίᾳ αὐτοῦ· Οὐκ ἔστι Θεός. Διεφθάρησαν καὶ ἐβδελύχθησαν ἐν ἀνομίᾳ· οὐκ ἔστι ποιῶν ἀγαθόν.» Τὰ αὐτὰ δὲ καὶ ἐν τῷ ιγ' ἐδηλοῦτο, μάλιστα κατὰ τὴν Ἑβραϊκὴν γλῶσσαν, ἐν ᾗ αἱ αὐταὶ λέξεις ἐμφέρονται καὶ τὰ αὐτὰ στοιχεῖα ἐν ἀμφοτέροις· εἰ καὶ μάλιστα τῆς παρ' ἡμῖν ἑρμηνείας, λέξεις τινὰς ἐνηλλαγμένας περιέχειν δοκεῖ. Ἀντὶ γὰρ τοῦ, «Διέφθειραν καὶ ἐβδελύχθησαν ἐν ἀνομίᾳ», ὁ ιγ', «Διεφθάρησαν καὶ ἐβδελύχθησαν ἐν ἐπιτηδεύμασι·[2]» καὶ πάλιν ἀντὶ τοῦ, «Οὐκ ἔστι ποιῶν ἀγαθόν», «Οὐκ ἔστι ποιῶν χρηστότητα[3]», περιέχει· παρὰ γὰρ τοὺς ἑρμηνεύσαντας ἡ ἐναλλαγὴ φέρεται. Σημαίνει δὲ διὰ τούτων ὁ λόγος τὴν ἔκπτωσιν τῶν κοινῶν περὶ Θεοῦ ἐννοιῶν, καὶ τὸν δυσσεβῆ καὶ ἄθεον λογισμὸν τῆς ἀνθρωπότητος ἁπάσης πρὸ τῆς τοῦ Σωτῆρος ἡμῶν ἐπιφανείας ἐπικρατήσαντα. Τοῦ γὰρ Θεοῦ ταῖς κοιναῖς ἐννοίαις ἀγαθὰ σπέρματα τῆς περὶ αὐτοῦ γνώσεως καταβαλλομένου, τοσαύτη τις κατέσχεν διαστροφὴ πάντα τὸν ἐν ἀνθρώποις ἄφρονα, ὡς δόξαν ἄθεον ἐν τῷ ἑαυτοῦ λογισμῷ κτήσασθαι, καὶ ὅτι μηδείς ἐστι μηδὲ ὑφέστηκεν ἐν τῷ παντὶ ὁ Θεὸς διανοηθῆναι. Οὗτος μὲν οὖν ἀληθῶς ἄθεός τις ἦν καὶ παντελῶς ἄφρων, οὔτε πρόνοιαν τὰ πάντα ἐφορῶσαν, οὔτε νοῦν τὸν καθόλου, οὔτε τὴν ἐπέκεινα τῶν ὅλων οὐσίαν τὴν ἁπάντων ποιητικήν, ὑφεστάναι ὁριζόμενος· οἱ δὲ λοιποὶ τῶν ἀνθρώπων, πολυθέῳ πλάνῃ τῇ κατὰ τὴν εἰδωλολατρείαν ἑαυτοὺς ἐκδόντες, ἑτέρῳ ἀφροσύνης τρόπῳ εἰς ἀθεότητα πεπτώκασιν· οἳ καὶ αὐτοὶ διέφθειραν τὰ σπαρέντα ἐν αὐτοῖς ὑγιῆ περὶ Θεοῦ σπέρματα, καὶ τῇ τῶν νεκρῶν εἰδώλων βδελυρίᾳ ἑαυτοὺς παραδεδώκασιν, ἄτιμα καὶ ἀληθῶς βδελύγματα σεβασθέντες. Διὸ εἴρηται· «Διέφθειραν καὶ ἐβδελύχθησαν ἐν ἀνομίᾳ·» ὃ δὴ σαφέστερον ἡρμήνευσεν ὁ Σύμμαχος εἰπών· «Διεφθάρησαν καὶ βδελυρίαν ἐπετήδευσαν μετὰ ἀδικίας.» Ἐπετήδευσαν γὰρ τὴν βδελυρίαν, τὰ μὴ ὄντα ὡς ὄντα ἂν εἰδωλοποιήσαντες μετὰ τῆς ἀνωτάτω ἀδικίας. Τίς γὰρ ἂν γένοιτο ταύτης ἑτέρα χείρων ἀδικία, καθ' ἣν φάσκοντες εἶναι σοφοί, «ἐμωράνθησαν, καὶ ἤλλαξαν τὴν δόξαν τοῦ ἀφθάρτου Θεοῦ ἐν ὁμοιώματι εἰκόνος φθαρτοῦ

1. Ψαλμ. 12, 6. 2. Ψαλμ. 13, 1. 3. Ψαλμ. 13, 3.

ἀνθρώπου, καὶ πετεινῶν, καὶ τετραπόδων, καὶ ἑρπετῶν[1]», κατὰ τὸν ἱερὸν Ἀπόστολον;

«Εἶτ' ἀκόλουθα δρῶντες τοῖς ἀθέοις καὶ διαστρόφοις ἑαυτῶν ἐπιτηδεύμασιν, εἰς πᾶν εἶδος βίου μοχθηρίας περιπεπτώκασι.» Διὸ ἐπιλέγεται ἑξῆς· «Οὐκ ἔστι ποιῶν ἀγαθόν· Ὁ Θεὸς ἐκ τοῦ οὐρανοῦ διέκυψεν ἐπὶ τοὺς υἱοὺς τῶν ἀνθρώπων, τοῦ ἰδεῖν εἰ ἔστι συνιὼν ἢ ἐκζητῶν τὸν Θεόν. Πάντες ἐξέκλιναν, ἅμα ἠχρειώθησαν, οὐκ ἔστι ποιῶν χρηστότητα ἕως ἑνός.» Ὁ μὲν ἄφρων ἠπάτα ἑαυτόν, λέγων ἐν τῇ καρδίᾳ αὐτοῦ μὴ εἶναι Θεόν· καὶ οἱ λοιποὶ δὲ πάντες ἐβδελύχθησαν βδελυρίαν ἐπιτηδεύσαντες. Ὁ δὲ ἀληθὴς λόγος τὸν ἐπὶ πάντων Θεὸν καὶ Κύριον οὐχ ὑφεστάναι μόνον καὶ τὰ πάντα περιέχειν, ἀλλὰ καὶ ἐφορᾶν καὶ ἐπισκέπτεσθαι, οὐ τὰ καθόλου μέρη τοῦ παντὸς μόνον, ἀλλὰ καὶ τὰ κατὰ μέρος, καὶ τοὺς ἐπὶ τῆς γῆς τὰς διατριβὰς ποιουμένους υἱοὺς τῶν ἀνθρώπων, διδάσκει. Εἶτ' ἐπειδήπερ πρόνοιαν ποιούμενος τῶν υἱῶν τῶν ἀνθρώπων, τοῦ ἰδίου μεγέθους ὑποβαίνων, καὶ ὥσπερ ἐξ ὑψηλοτάτης ἀκρωρείας τῆς ἀνωτάτω καὶ ὑπὲρ πάντα δυνάμεως ἑαυτοῦ, καθίησιν ἐπὶ τὴν διάκρισιν τῶν ἐπὶ γῆς ἀνθρώπων, ἐπισκοπῶν εἴ πού τίς ἐστι τῆς αὐτοῦ προνοίας τὴν διοίκησιν συνιών, καὶ εἴ πού τις, πάντα δεύτερα θέμενος τὰ τῆς τοῦ βίου ἀπάτης, τὴν περὶ αὐτοῦ ζήτησιν ἀνείληφε. Καὶ ἐπειδή, ζητῶν, οὐδένα τοιοῦτον εὗρεν, τῷ πάντας ἐκκλῖναι, ὁμοῦ τε καὶ κατὰ τὸ αὐτὸ ἀχρειωθῆναι, ὡς μὴ ποιοῦντα ἀγαθὸν ἕως ἑνὸς εὑρεῖν· εἰκότως ἐπαπειλεῖ τοῖς διαφθείρασιν αὐτούς, τὰ ἑξῆς λέγων· «Οὐχὶ γνώσονται πάντες οἱ ἐργαζόμενοι τὴν ἀνομίαν, οἱ ἐσθίοντες τὸν λαόν μου βρώσει ἄρτου;» Τὸν Κύριον οὐκ ἐπεκαλέσαντο· ἐκεῖ φοβηθήσονται φόβῳ οὗ οὐκ ἦν φόβος.» Ἐπειδή, διακύψας ἐκ τοῦ ἰδίου κατοικητηρίου ὁ Θεός, τουτέστιν ἐκ τοῦ οὐρανοῦ, ἔνθα κατοικεῖν λέγεται διὰ τοὺς αὐτόθι χωροῦντας αὐτοῦ τὴν βασιλείαν, πάντας εἶδε τοὺς υἱοὺς τῶν ἀνθρώπων ἀχρειωθέντας καὶ τῆς εὐθείας καὶ ὀρθῆς ἀποκλίναντας ὁδοῦ· εἰκότως οἷά τις ποιμὴν ἀγαθὸς κηδόμενος τῆς ἐν ἀνθρώποις αὐτοῦ ἀγέλης, ἐπαπειλεῖ τοῖς αἰτίοις τῆς διαστροφῆς, λέγων· «Οὐχὶ γνώσονται οἱ ἐργαζόμενοι τὴν ἀνομίαν, οἱ ἐσθίοντες τὸν λαόν μου βρώσει ἄρτου;» Καί μοι δοκεῖ ταῦτα περὶ δυνάμεων ἀντικειμένων λέγεσθαι τῶν ἀοράτων ἐχθρῶν καὶ πολεμίων τοῦ γένους τοῦ ἀνθρωπείου. Οὗτοι γὰρ τὸ τῶν ἀνθρώπων γένος κατάβρωμα ἑαυτοῖς ἐποιήσαντο, οἷα δεινοὶ θῆρες τὰς ψυχὰς αὐτῶν κατεσθίοντες, κατὰ τὸ εἰρημένον ἐν προφητείαις· «Οἱ κατεσθίοντες τὸν λαόν μου ὅλῳ τῷ στόματι.[2]»

Οὗτοι οὖν αὐτοὶ νῦν μέν, φησίν, ὡς οὐκ ἂν τὸν Θεὸν πρὸ ὀφθαλμῶν θέμενοι, ταῦτα κατὰ τοῦ λαοῦ καὶ κατὰ τῆς ἐμῆς ἐν ἀνθρώποις λογικῆς ἀγέλης διεπράξαντο. Μήτι οὖν καὶ εἰς τὸ παντελὲς ταῦτα πράττοντες διατελέσουσιν; Ἔστω δὲ νῦν, τὸν Θεὸν οὐκ ἐπεκαλέσαντο,

1. Ῥωμ. 1, 22-23. 2. Ἠσ. 9, 12.

τἀναντία τῷ Θεῷ καὶ τὰ ἐχθρὰ αὐτῷ ἐνεργοῦντες, μὴ οὐχὶ γνώσονται καιρῷ τινι τὴν ἐπελευσομένην αὐτοῖς δίκην; Καὶ μὴν ἔσται καιρός, ἐν ᾧ φοβηθήσονται φόβον. Ποῖος δ' ἂν εἴη οὗτος ἢ ἐκεῖνος καθ' ὃν ἐπιλάμψαντος τοῦ Σωτηρίου, οὐκέτι τοῖς ἐμοῖς θρέμμασι φόβος ἐπιστήσεται· αὐτοὺς δὲ τοὺς δεινοὺς θῆρας καὶ τοὺς ἀφανεῖς καὶ ἀοράτους δαίμονας φόβος λήψεται ἐκεῖ οὗ οὐκ ἔσται φόβος; Τότε γὰρ τοῖς μὲν τῶν ἀγαθῶν ἀξίοις οὐκ ἔσται φόβος, τοῖς δὲ νῦν ἐπαιρομένοις κατὰ τοῦ λαοῦ μου ἐπιπεσεῖται φόβος ὁ τῆς μετελευσομένης αὐτοὺς ὀργῆς, ἥτις ἐπιστᾶσα «διασκορπίσει ὀστᾶ ἀνθρωπαρέσκων·» ἐν ᾗ καὶ καταισχυνθήσονται, ἐπειδὴ τότε αὐτοὺς ὁ τῶν ἁπάντων ἐξουδενώσει κριτής. Ἀντὶ δὲ τοῦ· «Ὅτι ὁ Θεὸς διεσκόρπισεν ὀστᾶ ἀνθρωπαρέσκων», ὁ Σύμμαχος τοῦτον ἡρμήνευσεν τὸν τρόπον· «Ὁ γὰρ Θεὸς διασκορπίσει ὀστᾶ τῶν παρεμβαλλόντων περὶ σέ· καταισχυνθήσῃ, ὅτι ὁ Θεὸς ἀπεδοκίμασεν αὐτούς.» Καὶ ὁ Ἀκύλας δὲ τῆς αὐτῆς ἔχεται διανοίας λέγων· «Ὅτι ὁ Θεὸς ἐσκόρπισεν ὀστᾶ παρεμβεβληκότων σου· ᾔσχυνας, ὅτι ὁ Θεὸς ἀπέρριψεν αὐτούς.» Ἡ δὲ τοῦ λόγου διάνοια παρίστησι τῶν προλεχθέντων ἐπιβούλων τοῦ λαοῦ, δηλαδὴ τῶν ἀοράτων ἐχθρῶν καὶ τῶν ἀφανῶν πολεμίων, τὰς δυνάμεις καθαιρεθήσεσθαι. Ὀστᾶ γὰρ διασκορπιζόμενα τῶν ἐχθρῶν εἶεν ἂν αἱ τῆς κακίας αὐτῶν δυνάμεις, ἃς διασκορπίζειν κατὰ τὸν σημαινόμενον καιρὸν ὁ λόγος ἀπειλεῖ. Τότε δὲ καὶ καταισχυνθήσονται, ἐπειδὰν ἀποδοκιμάσῃ αὐτοὺς ὁ Θεὸς ἢ ἐξουθενήσῃ, τὸ μηθὲν αὐτοὺς εἶναι ἀποδείξας. Ταῦτα εἰκότως ἠπείλησεν ὁ τῶν ἀνθρώπων κηδεμὼν τοῦ Θεοῦ λόγος· ἐπειδὴ διακύψας ἐκ τοῦ οὐρανοῦ ἐπὶ τοὺς υἱοὺς τῶν ἀνθρώπων, ζητήσας τε ἐν αὐτοῖς εἰ ἔστι συνιὼν ἢ ζητῶν τὸν Θεόν, οὐδένα εὗρε· κατέλαβε δὲ τοὺς πάντας ἐξ ἐπιβουλῆς ἐχθρῶν ἐκκλίνοντας καὶ ἀχρειωθέντας, ὡς μηδὲ ἕως ἑνὸς περιλείπεσθαι ἀγαθῶν ἔργων ποιητήν. Τὰ μὲν οὖν πρῶτα ὁμοίως καὶ ὁ ιγ' περιέχει· παρήλλακται δὲ τὰ ἑξῆς. Ἐν μὲν γὰρ τῷ ιγ' συνῆπται τούτοις τό, «Ὅτι ὁ Θεὸς ἐν γενεᾷ δικαίᾳ, βουλὴν πτωχοῦ κατῃσχύνατε, ὅτι Κύριος ἐλπὶς αὐτοῦ ἐστιν·[1]» ἐνταῦθα δέ, «Ὅτι ὁ Θεὸς διεσκόρπισεν ὀστᾶ ἀνθρωπαρέσκων, κατῃσχύνθησαν, ὅτι ὁ Θεὸς ἐξουδένωσεν αὐτούς.» Ἀλλὰ μὲν εἰς τὸν ιγ' οἰκείας ἔτυχεν ἑρμηνείας κατὰ τοὺς οἰκείους τόπους· τὰ δὲ προκείμενα, ὅπως ἡμῖν παρέστη, πρόκειται τοῖς ἐντυγχάνουσιν.

Στίχ. ζ'. «Τίς δώσει ἐκ Σιὼν τὸ Σωτήριον τοῦ Ἰσραήλ; ἐν τῷ ἐπιστρέψαι τὸν Θεὸν τὴν αἰχμαλωσίαν τοῦ λαοῦ αὐτοῦ, ἀγαλλιάσεται Ἰακώβ, καὶ εὐφρανθήσεται Ἰσραήλ.»

Μεγάλα φαντασθεὶς ὁ Προφήτης ἐκ τῆς τοῦ ἁγίου Πνεύματος ἀποκαλύψεως περὶ τῆς ἀπωλείας τῶν ἐχθρῶν τοῦ τῶν ἀνθρώπων γένους, ἑξῆς ἐπήγαγε τό, «Τίς δώσει ἐκ Σιὼν τὸ Σωτήριον;» ὡσεὶ

---

1. Ψαλμ. 13, 6.

ἔλεγε· Τίς δώσει ποτὲ ταῦτα δι' ἔργων χωρῆσαι; Οὐ γὰρ ἄλλως σεσῶσθαι κακῶν ἐλευθερίαν τοῖς υἱοῖς τῶν ἀνθρώπων ἢ διὰ μόνης τῆς ἐπιφανείας τοῦ Σωτηρίου τοῦ Θεοῦ, περὶ οὗ πολὺς ὁ λόγος διὰ πασῶν φέρεται τῶν Γραφῶν. Ἐπεύχεται τοίνυν λέγων· «Τίς δώσει ἐκ Σιὼν τὸ Σωτήριον τοῦ Ἰσραήλ;» Πολλάκις δὲ ἡμῖν εἴρηται, ὡς ὁ Χριστὸς τοῦ Θεοῦ, ὁ Σωτὴρ καὶ Κύριος ἡμῶν τοῦτον ἐν ταῖς προφητείαις προαγορεύεται τὸν τρόπον· Σωτήριον γὰρ αὐτὸν καλεῖν εἰώθασιν· ὃ καὶ πᾶσι τοῖς ἔθνεσι γνωσθήσεσθαι προεκήρυττον ἔν τε τοῖς ἄλλοις καὶ ἐν οἷς εἴρηται· «Ἄσατε τῷ Κυρίῳ ᾆσμα καινόν, ᾄσατε τῷ Κυρίῳ, πᾶσα ἡ γῆ. Ἄσατε τῷ Κυρίῳ, εὐλογήσατε τὸ ὄνομα αὐτοῦ. Εὐαγγελίσασθε ἡμέραν ἐξ ἡμέρας τὸ Σωτήριον αὐτοῦ. Ἀναγγείλατε τοῖς ἔθνεσι τὴν δόξαν αὐτοῦ·[1]» καὶ πάλιν· «Ἄσατε τῷ Κυρίῳ ᾆσμα καινόν, ὅτι θαυμαστὰ ἐποίησεν. Ἐγνώρισε Κύριος τὸ Σωτήριον αὐτοῦ, ἐναντίον τῶν ἐθνῶν ἀπεκάλυψεν τὴν δικαιοσύνην αὐτοῦ·[2]» καὶ ὁ Ἡσαΐας, «Ἀποκαλύψει», φησί, «Κύριος τὸν βραχίονα τὸν ἅγιον αὐτοῦ ἐνώπιον πάντων τῶν ἐθνῶν[3]», καὶ τὰ ἑξῆς. Ἤδη δὲ πολλάκις παρατεθείμεθα τῶν λόγων τὸ ἀποτέλεσμα, μαρτυρούμενον ὑπὸ τοῦ Συμεών, ὅς, τὸν Σωτῆρα καὶ Κύριον ἡμῶν Ἰησοῦν Χριστόν, ἔτι νήπιον ὄντα, ταῖς ἀγκάλαις λαβών, ἀνεφώνησε λέγων· «Νῦν ἀπολύεις τὸν δοῦλόν σου, Δέσποτα, κατὰ τὸ ὄνομά σου ἐν εἰρήνῃ· ὅτι εἶδον οἱ ὀφθαλμοί μου τὸ Σωτήριον, ὃ ἡτοίμασας κατὰ πρόσωπον πάντων τῶν ἐθνῶν.[4]»

Ἀλλὰ ταῦτα μὲν ἐν Εὐαγγελίοις ἐπληροῦτο. Οἵ γε μὴν παλαιοὶ προφῆται, τὸ μέλλον τῷ Πνεύματι προθεωροῦντες, καὶ τῶν ἀγαθῶν εἰς ἔρωτα καὶ πόθον ἐρχόμενοι, ἐπεβόων ἐν εὐχαῖς, τοτὲ μὲν φάσκοντες· «Δεῖξον ἡμῖν, Κύριε, τὸ ἔλεός σου, καὶ τὸ Σωτήριόν σου δῴης ἡμῖν·[5]» τοτὲ δὲ ἐν εὐχῇ λέγοντες· «Τίς δώσει ἐκ Σιὼν τὸ Σωτήριον τοῦ Ἰσραήλ;» Τί γὰρ καὶ ἔμελλε γίγνεσθαι ἐπιφανέντος τοῦ Σωτηρίου, ἑξῆς ὁ λόγος παρίστησι φάσκων· «Ἐν τῷ ἐπιστρέψαι τὸν Κύριον τὴν αἰχμαλωσίαν τοῦ λαοῦ αὐτοῦ, ἀγαλλιάσεται Ἰακώβ, καὶ εὐφρανθήσεται Ἰσραήλ.» Ὁρᾷς, ὡς, ἐπιφανέντος τοῦ Σωτηρίου, ἐπιστροφὴν γενήσεσθαι τῆς αἰχμαλωσίας θεσπίζει κατὰ τὴν σωτήριον φωνὴν τὴν ἐμφερομένην ἐν τῷ λέγοντι ἐξ αὐτοῦ προσώπου προφήτῃ· «Πνεῦμα Κυρίου ἐπ' ἐμέ, οὗ εἵνεκεν ἔχρισέ με, εὐαγγελίζεσθαι πτωχοῖς ἀπέσταλκέ με, κηρῦξαι αἰχμαλώτοις ἄφεσιν, τυφλοῖς ἀνάβλεψιν;[6]» ἣν μετὰ χεῖρας αὐτὸς ὁ Σωτὴρ ἐπὶ τῆς συναγωγῆς τῶν Ἰουδαίων λαβών, καὶ τὸν τόπον διελθὼν ἐπεσφραγίσατο φήσας· «Σήμερον ἡ Γραφὴ αὕτη πεπλήρωται ἐν τοῖς ὠσὶν ὑμῶν.[7]» Τῆς οὖν αἰχμαλωσίας ἀνεθείσης, χορεῖαι λοιπὸν ἐξ αὐτῆς συνίστανται, τοὺς ὕμνους ἀναπέμπουσαι τῷ ἐλευθερωτῇ βασιλεῖ. «Τότε δὲ καὶ ἀγαλλιάσεται Ἰακώβ,

1. Ψαλμ. 95, 1-3. 2. Ψαλμ. 97, 1, 2. 3. Ἠσ. 52, 10. 4. Λουκ. 2, 29-31. 5. Ψαλμ. 84, 8. 6. Ἠσ. 61, 1. Λουκ. 4, 18, 19. 7. Λουκ. 4, 21.

καὶ εὐφρανθήσεται Ἰσραήλ.» Τότε δέ, πότε, ἢ κατὰ τὸν καιρὸν τῆς δηλουμένης ἐλευθερίας τοῦ λαοῦ τοῦ Θεοῦ, ὡς νοεῖν σε ἕτερον μὲν εἶναι τὸν ἐλευθερούμενον λαόν, καὶ ἑτέρους τοὺς ἐπὶ τῇ αὐτοῦ σωτηρίᾳ εὐφραινομένους; Τοῦτο γὰρ ἡ διάνοια ὑποβάλλει φάσκοντος τοῦ λόγου· «Ἐν τῷ ἐπιστρέψαι τὸν Θεὸν τὴν αἰχμαλωσίαν τοῦ λαοῦ αὐτοῦ», καὶ τὰ ἑξῆς. Οὗτοι γὰρ εὐφρανθήσονται ἐν τῷ ἐπιστρέφειν Κύριον τὴν αἰχμαλωσίαν τοῦ λαοῦ αὐτοῦ. Δύο τοίνυν διὰ τούτων παρίσταται τάγματα, τὸ μὲν τῶν μὴ ὑποπεπτωκότων τῇ αἰχμαλωσίᾳ, τὸ δὲ τῶν ὑποπεπτωκότων μέν, ἐλευθερίας δὲ τετυχηκότων διὰ τοῦ Σωτηρίου. Ἐρεῖς οὖν τοὺς μὲν πάλαι προφήτας καὶ δικαίους, καὶ πατριάρχας, καὶ πάντας τοὺς καθαροὺς τῆς εἰδωλολάτρου πλάνης γενομένους, αὐτοὺς εἶναι τοὺς μὴ ὑποπεπτωκότας τῇ τῶν νοητῶν πολεμίων ἁλώσει· τοὺς δὲ ἐξ ἐθνῶν εἰς ἀθεότητα περιτραπέντας, τούς τε τῇ πολυθέῳ πλάνῃ καταδουλωθέντας, ἢ καὶ τοὺς ἐκ περιτομῆς τοὺς ταῖς ἑαυτῶν ἁμαρτίαις πραθέντας, καὶ ἁπαξαπλῶς ἅπαντας, περὶ ὧν ἀνωτέρω ἐλέγετο· «Εἶπεν ἄφρων ἐν καρδίᾳ αὐτοῦ· Οὐκ ἔστι Θεός, διέφθειραν καὶ ἐβδελύχθησαν ἐν ἀνομίᾳ», τούτους τυγχάνειν τοὺς τὴν αἰχμαλωσίαν πεπονθότας. Ὧν ἐλευθερουμένων διὰ τῆς τοῦ Σωτηρίου ἐπιλάμψεως, ὁ πάλαι παρὰ Θεῷ ἤδη ἀναπεπαυμένος προφητικὸς χορός, Ἰακὼβ καὶ Ἰσραὴλ κυρίως ὀνομαζόμενος διὰ τὰ ἐκ τῶν ὀνομάτων σημαινόμενα πράγματα, ἀγαλλιάσεται καὶ εὐφρανθήσεται, συγχαίρων ὡς οἰκείοις μέλεσι τοῖς διὰ τοῦ Σωτηρίου ἐλευθερουμένοις.

ΕΙΣ ΤΟ ΤΕΛΟΣ ΕΝ ΥΜΝΟΙΣ, ΣΥΝΕΣΕΩΣ ΤΩ ΔΑΥΙΔ, ΕΝ ΤΩ ΕΛΘΕΙΝ ΤΟΥΣ ΖΙΦΑΙΟΥΣ ΚΑΙ ΕΙΠΕΙΝ ΤΩ ΣΑΟΥΛ· ΟΥΚ ΙΔΟΥ ΔΑΥΙΔ ΚΕΚΡΥΠΤΑΙ ΠΑΡ' ΗΜΙΝ; ΝΓ'.

Στίχ. γ', δ'. «Ὁ Θεός, ἐν τῷ ὀνόματί σου σῶσόν με, καὶ ἐν τῇ δυναστείᾳ σου κρῖνόν με.»

Ὥσπερ ἀπεδείκνυντο οἱ κατὰ τὸ πρῶτον μέρος τῆς βίβλου τῶν Ψαλμῶν μετὰ τὸ πταῖσμα τὸ εἰς τὴν τοῦ Οὐρίου γεγονὸς λελεγμένοι ἐκ τῆς ἐφ' ἑκάστῳ κειμένης προγραφῆς· οὕτω καὶ νῦν αἱ καθ' ἕκαστον ψαλμὸν προγραφαὶ δηλωτικαὶ τυγχάνουσι τοῦ χρόνου καθ' ὃν ἐλέχθησαν. Αὐτίκα γοῦν καὶ ὁ προκείμενος ἀνέπεμψεν ἐπὶ τὴν πρώτην βίβλον τῶν Βασιλειῶν· ὡς ἂν ἐκεῖθεν μάθοιμεν, ἐφ' οἵοις πράγμασι τὸν προκείμενον ὕμνον ὁ Δαυῒδ ἀνέπεμψεν. Ἔχει δὲ ἡ ἱστορία τοῦτον τὸν τρόπον· «Καὶ ἐκάθισε Δαυῒδ ἐν τῇ ἐρήμῳ Μασεδὲκ ἐν τοῖς στενοῖς· καὶ ἐκάθητο ἐν τῷ ὄρει ἐν τῇ ἐρήμῳ Ζείφ.[1]» Εἶθ' ὡς «ἦλθεν Ἰωνάθαν ὁ υἱὸς Σαοὺλ πρὸς αὐτόν, καὶ εἶπεν αὐτῷ· Μὴ φοβοῦ, ὅτι οὐ μὴ εὕρῃ σε ἡ χεὶρ Σαοὺλ τοῦ πατρός μου, καὶ σὺ

1. Α' Βασ. 23, 14.

βασιλεύσεις ἐπὶ Ἰσραήλ, καὶ ἐγὼ ἔσομαί σοι εἰς δεύτερον, καὶ Σαοὺλ ὁ πατήρ μου οἶδεν οὕτως.[1]» Καὶ συνέθεντο ἀμφότεροι διαθήκην ἐνώπιον Κυρίου, καὶ Δαυῒδ ἐκάθητο, καὶ Ἰωνάθαν ἀπῆλθεν εἰς τὸν οἶκον αὐτοῦ·» οἷς ἑξῆς ἐπιλέγει· «Καὶ ἀνέβησαν οἱ Ζιφαῖοι ἐκ τῆς αὐχμώδους πρὸς Σαοὺλ ἐπὶ τὸν βουνόν, λέγοντες· Οὐκ ἰδοὺ Δαυῒδ κέκρυπται παρ' ἡμῖν ἐν Μεσαρᾶ ἐν τοῖς στενοῖς, ἐν τῇ καινῇ;[2]» Ὃ δὴ μαθὼν Σαοὺλ ἐπὶ δίωξιν ἐτράπη τοῦ Δαυῒδ. Ἤδη τε λοιπὸν ἐγγὺς ἦν τοῦ λαβεῖν αὐτὸν ὑποχείριον· γέγραπται γάρ· «Καὶ ἤκουσε Σαοὺλ καὶ κατεδίωξεν ὀπίσω Δαυῒδ εἰς τὴν ἔρημον Μαών. Καὶ πορεύονται Σαοὺλ καὶ οἱ ἄνδρες αὐτοῦ ἐκ μέρους τοῦ ὄρους τούτου· καὶ ἐγένετο Δαυῒδ σκεπαζόμενος πορεύεσθαι ἀπὸ προσώπου Σαούλ· καὶ Σαοὺλ καὶ οἱ ἄνδρες αὐτοῦ παρενέβαλλον ἐπὶ Δαυῒδ καὶ τοὺς ἄνδρας αὐτοῦ, συλλαβεῖν αὐτούς. Καὶ ἄγγελος ἦλθε πρὸς Σαοὺλ λέγων· Σπεῦδε καὶ δεῦρο, ὅτι ἐπέθεντο ἀλλόφυλοι ἐπὶ τὴν γῆν. Καὶ ἀνέστρεψε Σαοὺλ μὴ καταδιώκειν ὀπίσω Δαυῒδ, καὶ ἐπορεύθη εἰς συνάντησιν τῶν ἀλλοφύλων.[3]» Ταῦτα μὲν τὰ ἀπὸ τῆς ἱστορίας. Ἐφ' οἷς τὸν προκείμενον ὕμνον διασωθεὶς ἐκ χειρὸς Σαοὺλ ὁ Δαυῒδ γραφῇ παραδίδωσιν, ἐπισημηνάμενος τὸν καιρὸν καὶ τὸ πρᾶγμα δηλώσας διὰ τῆς προγραφῆς. Διὸ καὶ ἐπὶ σύνεσιν ἡμᾶς παρορμᾷ τῶν ἐμφερομένων, λέγων· «Εἰς τὸ τέλος ἐν ὕμνοις συνέσεως τῷ Δαυῒδ.» Κατὰ δὲ τὸν Ἀκύλαν· «Τῷ νικοποιῷ ἐν ψαλμοῖς ἐπιστήμονος τοῦ Δαυῒδ·» κατὰ δὲ τὸν Σύμμαχον· «Ἐπινίκιον διὰ ψαλτηρίων περὶ συνέσεως τοῦ Δαυῒδ.» Ἐπειδὴ καὶ φεύγων καὶ τὴν ἔρημον μεταδιώκων, ἀντὶ φυλακτηρίου ἐπήγετο τὸ τοῦ ψαλτηρίου ὄργανον, αὐτῷ χρώμενος καὶ τοῖς δι' αὐτοῦ εἰς Θεὸν ἀναπεμπομένοις ὕμνοις· καὶ ᾠδαῖς μὲν καὶ ψαλμοῖς πνευματικοῖς ἀντὶ θυσίας χρώμενος, ἀντὶ δὲ εὐώδους θυμιάματος δι' εὐχῶν τὴν πνευματικὴν ἀποτελῶν λειτουργίαν.

«Ἐν τῷ ἐλθεῖν τοίνυν τοὺς Ζιφαίους καὶ εἰπεῖν τῷ Σαούλ· Οὐκ ἰδοὺ Δαυῒδ κέκρυπται παρ' ἡμῖν;» Τοῦτο μαθὼν ὁ Δαυῒδ ἤτοι ἐξ ἀποκαλύψεως τοῦ πνεύματος τοῦ προφητικοῦ ἢ ἔκ τινος τῶν τὰς τοιαύτας ἀπαγγελίας διακονεῖν εἰωθότων, τὸ ψαλτήριον μετὰ χεῖρας παραχρῆμα λαβών, δι' αὐτοῦ τῷ Θεῷ τὴν λογικὴν ἀναφέρει θυσίαν λέγων τὰ προκείμενα, δι' ὧν ἀξιοῖ σωθῆναι ὑπὸ τοῦ Θεοῦ, οὐκ ἄλλως ἢ διὰ τοῦ ὀνόματος αὐτοῦ· διό φησιν· «Ὁ Θεός, ἐν τῷ ὀνόματί σου σῶσόν με·» ᾔδει γὰρ εἶναί τι ὄνομα τὸ ὑπὲρ πᾶν ὄνομα. Ὥσπερ γάρ ἐστί τινα ἐν ταῖς ἐπῳδαῖς κατὰ τῶν ἰοβόλων ἑρπετῶν ῥήματα καὶ ὀνόματα, τοσαύτην ἐμφαίνοντα δυνάμεως ἰσχύν, ὡς κατακοιμίζειν ἢ καὶ νεκροῦν τὰ φοβερώτατα τῶν ἑρπετῶν· τὸν αὐτὸν τρόπον καὶ τὸ ὄνομα τὸ ὑπὲρ πᾶν ὄνομα ἠπίστατο σωτήριον μὲν τυγχάνειν τῶν σωτηρίας ἀξίων, τῶν δὲ ἐχθρῶν καὶ ἐναντίων δυνάμεων ἀπελατικόν. Ἐβούλετο τοίνυν σωθῆναι ἐν τῷ ὀνόματι τοῦ Θεοῦ, καὶ οὐκ ἀκρί-

1. Α' Βασ. 23, 16-18. 2. Α' Βασ 23, 19. 3. Α' Βασ. 23, 25-28.

τως τε ἐβούλετο· ἀλλ' εἰ ἄξιος εὑρίσκοιτο τῆς σωτηρίας. Διὸ ἐπιλέγει· «Καὶ ἐν τῇ δυναστείᾳ σου κρινεῖς μοι·» ἢ κατὰ τοὺς λοιποὺς ἑρμηνευτάς, «δικάσεις μοι.» Πρότερον γὰρ ἀξιοῖ κρίνεσθαι καὶ δικάζεσθαι πρὸς τοὺς ἐλαύνοντας ἢ καὶ διαβεβληκότας αὐτόν· εἶθ' οὕτως εἰ φάνειε ἀδικούμενος ἐκδικήσεως τυχεῖν τῆς παρὰ τοῦ κριτοῦ, μετερχομένου τοὺς ἀδικοῦντας. Ταῦτ' εἰπών, προστίθησιν λέγων· «Ὁ Θεός, εἰσάκουσον τῆς προσευχῆς μου, ἐνώτισαι τὰ ῥήματα τοῦ στόματός μου·» ὥσπερ δικαιολογίαν ποιούμενος ἐνώπιον τοῦ κρίνοντος αὐτῷ τε καὶ τοῖς ἀδικοῦσιν αὐτόν· Καὶ ἵνα γε τὰ τῆς δικαιολογίας παραδεχθῇ, τὴν εὐχὴν ἀναπέμπει, ἣν καὶ εἰσακουσθῆναι ἀξιοῖ λέγων· «Ὁ Θεός, εἰσάκουσον», καὶ τὰ ἑξῆς. Τί δ' ἂν ἐβούλετο ἡ προσευχή, καὶ ποίαν δικαιολογίαν εἶχε, ἑξῆς παρίστησι λέγων·

Στίχ. ε'-ζ'. «Ὅτι ἀλλότριοι ἐπανέστησαν ἐπ' ἐμέ, καὶ κραταιοὶ ἐζήτησαν τὴν ψυχήν μου, καὶ οὐ προέθεντο τὸν Θεὸν ἐνώπιον αὐτῶν.»

Ταῦτ' ἦν τὰ τῆς δικαιολογίας. Καὶ ὅρα πῶς οὐ διὰ μακρῶν ἐκτείνει τοὺς λόγους, ἀλλ' ἅτε Θεῷ τῷ πάντα εἰδότι διαλεγόμενος, αὐτῷ μόνον ὑπόμνησιν ποιεῖται, τὴν μακρὰν τῶν πραγμάτων ἀποσιωπῶν διδασκαλίαν. Μήποτε δὲ τοὺς μὲν ἀλλοτρίους ᾐνίσσετο τοὺς Ζιφαίους τοὺς πρὸς τὸν Σαοὺλ ἐνδιαβάλλοντας αὐτόν; τοὺς δὲ κραταιοὺς τὴν ψυχὴν αὐτοῦ ζητοῦντας αὐτὸν τὸν Σαοὺλ καὶ τοὺς σὺν αὐτῷ, οἵ, μὴ προθέμενοι τὸν Θεὸν ἐνώπιον αὐτῶν, ἤλαυνον τὸν μηδὲν αὐτοὺς ἠδικηκότα, ἑαυτοὺς ἀπατῶντες τῷ νομίζειν, ὅτι καὶ παρὰ τὸ βούλημα τοῦ Θεοῦ δυνήσονταί τι κατ' αὐτοῦ; Τοῦτο δ' ἦν ἀνδρῶν μὴ προθεμένων τὸν Θεὸν ἐνώπιον αὐτῶν.

«Ἐγράφη δὲ ταῦτα», φησὶν ὁ Ἀπόστολος, «εἰς νουθεσίαν ἡμῶν[1]», ὡς ἂν μιμηταὶ γιγνοίμεθα τῶν ἁγίων, εἴποτε τοῖς ὁμοίοις περιπίπτοιμεν. Οὐκ ἔστι γὰρ ὅτε πάντες οἱ θέλοντες εὐσεβῶς ζῆν οὐχὶ διώκονται, καὶ μὴ μισοῦνται μῖσος ἄδικον ὑπὸ τῶν τὸν ἐναντίον αἱρουμένων βίον. Καὶ ἀναγκαῖά γε ἡμῖν τὰ προκείμενα εἰς διδασκαλίαν· ὡς ἂν καὶ αὐτοὶ δίκην ἐπῳδῆς ἑαυτοῖς ἐπᾴδοιμεν τὰς τοιαύτας φωνὰς ἀναπέμποντες τῷ Θεῷ, ἐπειδὰν ἐχθροῖς περιπεσόντες ἐπιβουλευοίμεθα ὑπ' αὐτῶν, καὶ διαβαλλοίμεθα, καὶ κινδυνεύοιμεν· πεπεισμένοι οὐκ ἀργὰ ἔσεσθαι τὰ ῥήματα τῆς προσευχῆς, τὰ μεγάλα δὲ συμβαλοῦνται ἡμῖν, ὥσπερ οὖν καὶ αὐτοῖς τοῖς πρώτοις εὐξαμένοις. Αὐτίκα γοῦν εὐξάμενος ταῦτα ὁ Δαυΐδ, παραχρῆμα ἐπηκόου ἔτυχε τοῦ Θεοῦ, καὶ ἀξιοῦται τῆς παρ' αὐτοῦ βοηθείας. Ἤδη γὰρ μέλλων ἁλίσκεσθαι καὶ ταῖς τοῦ Σαοὺλ χερσὶ παραδίδοσθαι, παραδόξως ἐκ Θεοῦ σῴζεται, ἀγγελίας τὸν Σαοὺλ ἀπαγαγούσης ἐφ' ἑτέρας ἀσχολίας κατὰ τὴν παρατεθεῖσαν ἱστορίαν. Διὸ ἑξῆς φησιν· «Ἰδοὺ γὰρ ὁ Θεὸς βοηθεῖ μοι, Κύριος ἀντιλήπτωρ τῆς ψυχῆς μου. Ἀποστρέψει τὰ κακὰ τοῖς ἐχθροῖς μου, καὶ ἐν τῇ ἀληθείᾳ σου ἐξολό-

1. Α' Κορ. 10, 11.

θρευσον αὐτούς. Διάψαλμα.» Τὸ διάψαλμα μεταβολὴν εἰργάσατο τῆς διανοίας. Τὰ μὲν γὰρ ὡς ἐν προσευχῇ ἀνεπέμπετο τῷ Θεῷ· τὰ δὲ προφητικῶς ἐπιλέγει, τὰ θεσπίζοντα σωτηρίαν μὲν τῷ εὐξαμένῳ, πτῶσιν δὲ τοῖς ἐχθροῖς, ἀφ' ὧν ῥυσθῆναι ηὔξατο. Ταῦτ' οὖν ἐξ ἁγίου Πνεύματος προφητεύει, τὰ μὲν περὶ αὐτὸν σημαίνων ἐν τούτοις· «Ἰδοὺ γὰρ ὁ Θεὸς βοηθεῖ μοι, Κύριος ἀντιλήπτωρ τῆς ψυχῆς μου·» τὰ δὲ περὶ τῶν ἐναντίων αὐτῷ, ἤτοι περὶ τῶν Ζιφαίων τῶν διαβεβληκότων αὐτὸν πρὸς τὸν Σαούλ, ἢ καὶ νοητῶν τινων ἢ καὶ ἀφανῶν ἐχθρῶν τῶν διαφθονουμένων αὐτοῦ τῇ κατὰ Θεὸν προκοπῇ, καὶ διὰ τοῦτο συσκευαζομένων αὐτόν, ἐν τῷ, «Ἀποστρέψει τὰ κακὰ τοῖς ἐχθροῖς μου, καὶ ἐν τῇ ἀληθείᾳ σου ἐξολόθρευσον αὐτούς.» Κατὰ δὲ τὸν Σύμμαχον· «Ἀνταποδώσει», φησί, «κακὰ τοῖς ἀποτειχίζουσί με, ἐν τῇ ἀληθείᾳ σου ἀποσιώπησον αὐτούς.» Καὶ ὅρα εἰ μὴ συμφωνεῖ ταῦτα τῇ ἱστορίᾳ. Ἐπειδήπερ οἱ Ζιφαῖοι βουλόμενον αὐτὸν κρύπτεσθαι παρ' αὐτοῖς, ὥσπερ ἀπογυμνοῦντες καὶ ἀποτειχίζοντες, διέβαλλον πρὸς τὸν Σαούλ, λόγοις διαβολικοῖς κατ' αὐτοῦ χρώμενοι· διόπερ αὐτούς, ὡς εἰκός, αἰνιττόμενος ἔλεγεν· «Ἀνταποδώσει κακὰ τοῖς ἀποτειχίζουσί με, καὶ ἐν τῇ ἀληθείᾳ σου ἀποσιώπησον αὐτούς.» Καλὴ γὰρ αὐτοῖς ἡ σιωπή, ἵνα μὴ τοιαύταις χρῶνται κατ' ἐμοῦ διαβολαῖς. Σφόδρα δὲ καταλλήλως τὸν Θεὸν ἀντιλήπτορα, ἢ «ὑπέρεισμα», κατὰ τὸν Σύμμαχον, ὠνόμασε τῆς ἑαυτοῦ ψυχῆς. Ἐπειδὴ γὰρ ἀνωτέρω οἱ κραταιοὶ ἐζήτουν τὴν ψυχὴν αὐτοῦ, οὐχ οὕτως ἐπιβουλεῦσαι αὐτοῦ τῷ σώματι προῃρημένοι, ὡς τῇ ψυχῇ· εἰκότως καὶ αὐτὸς τὸν Κύριον ἀντιλήπτορα τῆς ἑαυτοῦ ψυχῆς ὠνόμαζεν. Ἔμελε γὰρ αὐτῷ οὐδὲν τοῦ σώματος, οὐδὲ τῶν ἐκτὸς ὑπαρχόντων, οὐδὲ τῆς προσκαίρου ταύτης ζωῆς, μόνης δὲ τῆς ἑαυτοῦ ψυχῆς.

Στίχ. η', θ'. «Ἑκουσίως θύσω σοι, ἐξομολογήσομαι τῷ ὀνόματί σου, Κύριε, ὅτι ἀγαθόν.»

Διὰ τῶν πρώτων δέησιν καὶ ἱκετηρίαν ἀναπέμψας τῷ Θεῷ, καὶ τὴν δικαιολογίαν αὐτοῦ ἐκθέμενος, ἐν τοῖς δευτέροις, πληρωθεὶς τοῦ πνεύματος, θεσπίζει τά τε περὶ αὐτὸν μέλλοντα ἔσεσθαι, τά τε τοῖς ἐχθροῖς αὐτοῦ συμβησόμενα· εἶθ' ἑξῆς καὶ ἀκολούθως ἐν τῷ τρίτῳ μέρει θυσίας καὶ εὐχαριστίας ἀνύσειν ἐπαγγέλλεται τῷ Θεῷ ἐφ' οἷς εὖ πέπονθεν. Ὡς γὰρ δὴ διασωθεὶς καὶ τῆς τῶν ἐχθρῶν ἐπιβουλῆς ἠλευθερωμένος, οὐ μόνον, ἀλλὰ καὶ τὸν ὄλεθρον τῶν ἐχθρῶν ἐπιδών, θύειν καὶ ἐξομολογήσασθαι τῷ ὀνόματι τοῦ Κυρίου ὑπισχνεῖται· καὶ ταῦτα προλέγει θεσπίζων πρὸ τῆς τῶν πραγμάτων ἐκβάσεως. Ὅτε γὰρ οἱ Ζιφαῖοι ἐλθόντες πρὸς τὸν Σαοὺλ εἶπον· «Ἰδοὺ Δαυῒδ κέκρυπται παρ' ἡμῖν·» ἀρχὴν ἔτ' ἐχούσης τῆς κατ' αὐτῶν ἱστορίας καὶ τῶν Ζιφαίων ἄρτι διαβεβληκότων αὐτόν, τότε δὴ τὰ τέλη τῶν πραγμάτων αὐτὸς θεσπίζει, τὰ ὕστερόν ποτε γενησόμενα προλαμβάνων ὡς ἤδη γεγονότα. Διό φησιν· «Ὅτι ἐκ πάσης θλίψεως ἐρρύσω με, καὶ ἐν τοῖς ἐχθροῖς μου ἐπεῖδεν ὁ ὀφθαλμός μου.» Ταῦτα γὰρ ὕστερον μὲν

ποτε γέγονεν· ὅμως δὲ προγνώσει τοῦ ἁγίου Πνεύματος ὡς ἤδη αὐτὰ γεγονότα ἀπαγγέλλει, καὶ ἐπ' αὐτοῖς εὐχαριστεῖ, καὶ θύσειν ἐπαγγέλλεται, καὶ ἐξομολογήσεσθαι τῷ Κυρίῳ, λέγων· «Ἑκουσίως θύσω σοι.» Ὁ δὲ Ἀκύλας, «Ἐν ἑκουσιασμῷ», φησί, «θυσιάσω σοι.» Ἐπειδὴ γὰρ ἄοικος καὶ ἄπολις καὶ ἀνέστιος ὤν, ἐν ταῖς ἐρήμοις ἐποιεῖτο τὰς διατριβάς, καινὸν ἐξεῦρε τρόπον θυσίας. Τίς δ' ἦν οὗτος; «Ἐν ἑκουσιασμῷ», φησί, «θυσιάσω σοι.» Ἀρκεῖ γὰρ ἡ ἑκουσιότης καὶ ἡ προαίρεσις, δι' ἧς ἀναπέμψω σοι τὴν θυσίαν. Οὐ γὰρ ἠγνόει τὸν Θεὸν παραιτούμενον μὲν τὰς δι' αἱμάτων καὶ ζῴων σφαγῆς θυσίας, λογικὴν δὲ θυσίαν τὴν δι' αἰνέσεως ἀσπαζόμενον, ἅτε προμεμαθηκὼς τό, «Θῦσον τῷ Θεῷ θυσίαν αἰνέσεως, καὶ ἀπόδος τῷ Κυρίῳ τὰς εὐχάς σου.[1]» Ταύτην οὖν, φησίν, ἑκουσίως θύσω σοι τὴν θυσίαν, αὐτὸ τὸ ἐπ' ἐμοὶ ἑκούσιον καὶ τὸ θέλημά μου καὶ τὴν ἐμὴν προαίρεσιν ἀνατιθείς σοι, τήν τε εὐχαριστίαν αὐτὴν ἀντὶ θυσίας σοι προσφέρων. Διὸ συνάπτει ἑξῆς λέγων· «Ἐξομολογήσομαι τῷ ὀνόματί σου, Κύριε, ὅτι ἀγαθόν·» σαφέστατα ἐπὶ τοῦ παρόντος τῆς ἐξομολογήσεως ἀντὶ εὐχαριστίας παραλαμβανομένης. Ἐφ' οἷς γὰρ ἐκ πάσης θλίψεως ἐρρύσθη, καὶ ἐν τοῖς ἐχθροῖς αὐτοῦ ἐπεῖδεν ὁ ὀφθαλμὸς αὐτοῦ, ἐπὶ τούτοις εὐχαριστίας ἀναπέμπει, καὶ τὰς τοῦ ἑκουσιασμοῦ θυσίας ἐπαγγέλλεται ἀποδώσειν τῷ Θεῷ.

ΕΙΣ ΤΟ ΤΕΛΟΣ ΕΝ ΥΜΝΟΙΣ, ΣΥΝΕΣΕΩΣ, ΤΩ ΔΑΥΙΔ ΝΔ'.

«Ἐνώτισαι, ὁ Θεός, τὴν προσευχήν μου, καὶ μὴ ὑπερίδῃς τὴν δέησίν μου.» Ὡς μὲν πρὸς τὴν ἱστορίαν, δόξειεν ἂν τὰ προκείμενα εἰρῆσθαι τῷ Δαυῒδ καθ' οὓς ἀπεδίδρασκε χρόνους, φεύγων ἀπὸ προσώπου Σαούλ, ἐν ταῖς ἐρήμοις τὰς διατριβὰς ποιούμενος. Λέγει δ' οὖν ἑξῆς προϊών· «Ἰδοὺ ἐμάκρυνα φυγαδεύων, καὶ ηὐλίσθην ἐν τῇ ἐρήμῳ.» Καὶ ἐπειδὴ μέχρι θανάτου ἐπεβούλευεν αὐτῷ Σαοὺλ καὶ οἱ συμπράττοντες αὐτῷ, εἶπεν ἂν ἐξ οἰκείου προσώπου καὶ τό, «Ἐλυπήθην ἐν τῇ ἀδολεσχίᾳ μου, καὶ ἐταράχθην ἀπὸ φωνῆς ἐχθροῦ καὶ ἀπὸ θλίψεως ἁμαρτωλοῦ. Ὅτι ἐξέκλιναν ἐπ' ἐμὲ ἀνομίαν, καὶ ἐν ὀργῇ ἐνεκότουν μοι.» Ταῦτα μὲν οὖν ἁρμόσαι τῷ τοῦ Δαυῒδ προσώπῳ οὐ δυσχερές· οὐ μὴν καὶ τὰ ἑξῆς, ἐν οἷς ἐπιλέγει· «Ὅτι εἶδον ἀνομίαν καὶ ἀντιλογίαν ἐν τῇ πόλει ἡμέρας καὶ νυκτός· κυκλώσει αὐτὴν ἐπὶ τὰ τείχη αὐτῆς, καὶ ἀνομία καὶ κόπος ἐν μέσῳ αὐτῆς. Καὶ οὐκ ἐξέλιπεν ἐκ τῶν πλατειῶν αὐτῆς τόκος καὶ δόλος. Ὅτι, εἰ ἐχθρὸς ὠνείδισέ με, ὑπήνεγκα ἄν», καὶ τὰ ἑξῆς. Ποίαν γὰρ πόλιν βούλεται σημαίνειν, ἐφ' ἧς ταῦτα τεθέαται, ἅ φησιν ἑωρακέναι, οὐκ ἂν ἔχοι τις ἀπὸ τῆς ἱστορίας εἰπεῖν. Τίς δὲ οὗτος ἦν ᾧ προσεφώνει λέγων· «Σὺ δέ, ἄνθρωπε ἰσόψυχε, ἡγεμών μου καὶ γνωστέ μου, ὃς ἐπὶ τὸ

1. Ψαλμ. 49, 14.

αὐτὸ ἐγλύκανάς μοι ἐδέσματα;» Εἰ μὲν γὰρ ὑπ' ἐχθροῦ ταῦτ' ἔπασχον, φησίν, ἢ εἰ μῖσος ὁμολογῶν τις ἔχειν πρός με ταῦτ' ἐποίει, οὐδὲν ἦν θαυμαστόν· νυνὶ δὲ οὔτε μισῶν οὔτε ἐχθρός, συνήθης δὲ ὢν καὶ φίλος, ἰσόψυχός τε καὶ ἡγεμὼν ὑπ' ἐμοῦ καθεσταμένος, κοινῆς τε τραπέζης ἀξίωμα ἔχων, ἴσον μιᾶς τε καὶ τῆς αὐτῆς ἐν τῷ οἴκῳ τοῦ Θεοῦ εἰσόδου μοι καὶ εὐχῆς κεκοινωνηκώς, τοιαῦτα εἰς ἐμὲ τετόλμηκας; Ταῦτα δὲ τὸν Δαυῒδ λέγειν ἐξ οἰκείου προσώπου, οὐκ οἶδ' εἴ τινα ἔχοι λόγον. Οὔτε γὰρ Σαοὺλ ἰσόψυχος αὐτοῦ ἢ φίλος, ἤ, κατὰ τὸν Σύμμαχον, «ὁμότροπος» ἦν. Ποία γὰρ ὁμοιοτροπία γένοιτ' ἂν ἐν τοῖς ἑκατέρων βίοις πάμπολυ διαλλάττουσιν; Ἀλλ' οὐδὲ ἰσόψυχος πώποτε γέγονε τῷ Δαυῒδ ὁ Σαούλ, οὐδὲ ἐν τῷ οἴκῳ τοῦ Θεοῦ ἱστοροῦνται πώποτε πεπορευμένοι ἐν ὁμονοίᾳ. Προφανῶς δ' ἐχθρὸς ὁ Σαοὺλ τοῦ Δαυῒδ πάντοτε φαίνεται γεγονώς· ἔφευγε δ' οὖν αὐτὸν εἰκότως, καὶ ἐκρύπτετο, ὡς φανερὸν ἐχθρὸν φυλαττόμενος. Ἀλλ' οὐδὲ τὰ περὶ τῆς εἰρημένης πόλεως ἐφαρμόσαι ἄν τις τῇ κατὰ τὸν Δαυῒδ ἱστορίᾳ. Ἐν ποίᾳ γὰρ εἶδε πόλει ἥν φησιν ἀνομίαν καὶ ἀντιλογίαν, οὐ μόνον ἡμέρας, ἀλλὰ καὶ νυκτός, κόπον τε καὶ πόνον, ἀδικίαν τε καὶ τόκον ἐκ τῶν πλατειῶν αὐτῆς μὴ ἐκλείποντα; Ἡ μὲν γὰρ πόλις τοῦ Σαοὺλ ἐλέγετο εἶναι ἡ Ῥαμά, τὸ δ' οἰκητήριον αὐτοῦ ἡ Γαβεέ, οὔπω τῆς Ἱερουσαλὴμ ὑπὸ τῷ Ἰσραὴλ γενομένης, ἀλλ' ἔτι ἀλλοφύλων οὔσης.

Τὸ δ' ἐπαρᾶσθαι δοκεῖν τὸν Δαυῒδ, καὶ λέγειν· «Ἐλθέτω θάνατος ἐπ' αὐτούς, καὶ καταβήτωσαν εἰς ᾅδου ζῶντες», ποίαν ἔχοι συμφωνίαν πρὸς τὸ σεμνολόγημα τῆς ὑμνουμένης αὐτοῦ ἀρετῆς, ἐφ' ἧς λέγων ἀναγέγραπται· «Εἰ ἀνταπέδωκα τοῖς ἀνταποδιδοῦσί μοι κακά, ἀποπεσείην ἄρα ἀπὸ τῶν ἐχθρῶν μου κενός;» τὸ γὰρ τοιαύτας ἀρὰς κατεύχεσθαι τῶν ἐχθρῶν, οὐκ ἂν εἴη τοῦ ἀνεξικάκου Δαυῒδ, ὃς πάντοτε τιμῶν καὶ σέβας ἔχων τοῦ Σαούλ, ὡς μηδὲ τολμᾶν ἐπιβάλλειν αὐτῷ χεῖρας, ὅτε καί ποτε ὑποχείριον αὐτὸν εἴληφεν, ἐξ αὐτῆς δείκνυται τῆς ἱστορίας. Καὶ προϊὼν δὲ ἐπιλέγει· «Ἡπαλύνθησαν οἱ λόγοι αὐτοῦ ὑπὲρ ἔλαιον, καὶ αὐτοί εἰσι βολίδες.» Τίνα οὖν ἄν τις ἔχοι δεῖξαι τὸν ταῦτα τῷ Δαυῒδ πεποιηκότα; Ἐξ ὧν ἁπάντων ἡγοῦμαι μὴ χώραν ἔχειν ἀναφέρεσθαι τὰ προκείμενα ἐπὶ τὸ τοῦ Δαυῒδ πρόσωπον· προφητικῇ δὲ οἶμαι δυνάμει λελέχθαι αὐτά, καὶ ἐπὶ μόνον τὸν Σωτῆρα καὶ Κύριον ἡμῶν συνίστασθαι πεπληρωμένα, ὅτε, κατὰ τὸ αὐτὸ συναχθέντες οἱ τοῦ Ἰουδαίων ἔθνους ἄρχοντες ἐπὶ τῆς Ἱερουσαλὴμ, συνέδριον ἐποιήσαντο καὶ σκέψιν, ὅπως αὐτὸν ἀπολέσωσιν ἐν ᾧ οἱ μὲν θάνατον αὐτοῦ κατεψηφίσαντο· ἕτεροι δὲ ἀντέλεγον, ὡς ὁ Νικόδημος λέγων· «Μὴ ὁ νόμος ἡμῶν κατακρίνει τὸν ἄνθρωπον, εἰ μή τι ἀκούσῃ παρ' αὐτοῦ;[1]» Ταῦτ' οὖν προφητικῶς τὸ Πνεῦμα τὸ ἅγιον ἀποθεσπίζει διὰ τῶν προκειμένων λέγον· «Ὅτι εἶδον ἀνομίαν

1. Ἰω. 7, 51.

καὶ ἀντιλογίαν ἐν τῇ πόλει ἡμέρας καὶ νυκτός.» Σαφῶς δὲ καὶ ἡ τοῦ Εὐαγγελίου γραφὴ μαρτυρεῖ τῇ προφητείᾳ, ἐπὶ τὸν προδότην Ἰούδαν ἐκλαβοῦσα τό, «Εἰ ὁ ἐχθρὸς ὠνείδισέ με, ὑπήνεγκα ἄν· καὶ εἰ ὁ μισῶν με, ἐπ' ἐμὲ ἐμεγαλορρημόνησεν, ἐκρύβην ἂν ἀπ' αὐτοῦ. Σὺ δέ, ἄνθρωπε ἰσόψυχε», καὶ τὰ ἑξῆς. Ἐπεὶ τοίνυν καὶ ἡ σύμφρασις τῶν λόγων οὐκ ἄλλως πεπληρῶσθαι ἀποδείκνυται ἢ διὰ τῶν εἰς τὸν Σωτῆρα πεπραγμένων, ἥ τε μαρτυρία τῆς εὐαγγελικῆς παραθέσεως ἐπὶ τὸν προδότην ἀναφέρει τὸ προλεχθὲν μέρος τοῦ ἀναγνώσματος· ἀκόλουθον ἂν εἴη καὶ ἡμᾶς ἐπὶ τὸν καιρὸν τοῦ Σωτηρίου πάθους τὴν παροῦσαν ἐκλαβεῖν προφητείαν, δεῖξαί τε ἕκαστα τῶν ἐν ταύτῃ φερομένων ἐν καιρῷ τῆς κατὰ τοῦ Σωτῆρος ἡμῶν ἐπιβουλῆς τέλους τετυχηκότα. Τὰ μὲν οὖν τῆς προγραφῆς καὶ νῦν ἡμᾶς ἐπὶ σύνεσιν διεγείρει τῶν ἐμφερομένων, καὶ εἰς τὸ τέλος δὲ παραπέμπει, διὰ τὸ ἐπὶ συντελείᾳ τοῦ αἰῶνος δι' ἔργων αὐτὰ πεπληρῶσθαι. Εἴρηται δὲ καὶ ἐν «ὕμνοις·» ἤ, κατὰ τὸν Ἀκύλαν, «ἐν ψαλμοῖς·» ἤ, κατὰ τὸν Σύμμαχον, διὰ «ψαλτηρίων·» ἐπειδὴ τὸ τέλος τοῦ πάθους τοῦ Σωτηρίου ὕμνων καὶ ψαλτηρίων, καὶ ᾠδῶν μετεῖχε τῆς τε ἀναστάσεως αὐτοῦ ἕνεκα καὶ τῆς σωτηρίας τῶν δι' αὐτῆς λελυτρωμένων. Καὶ τοιαῦτα μὲν τὰ τῆς προγραφῆς.

Τὰ δὲ τῆς προφητείας παρακαλεῖ τὸν Θεὸν ἐνωτίσασθαι τοῦ λέγοντος, καὶ τοῦτ' αὐτῷ πρῶτον παρασχεῖν· εἶτα δεύτερον, γνῶναι τὴν διὰ τῆς προσευχῆς ἀναπεμπομένην δέησιν καὶ ἱκετηρίαν, μὴ ὑπεριδεῖν τε αὐτήν· καὶ τρίτον, τὴν κατάστασιν θεάσασθαι τοῦ τὴν προσευχὴν ἀναπέμποντος, καὶ οὕτως αὐτὸν καταξιῶσαι τῆς ἑαυτοῦ ἀκοῆς· διὸ ἐπιλέγει· «Πρόσχες μοι καὶ εἰσάκουσόν μου.» Ὥσπερ γὰρ δυσωπεῖ τὸν Θεὸν ἑαυτὸν δεικνὺς ὁ τὴν προσευχὴν ἀναπέμπων, καὶ λέγων τῷ Θεῷ· «Πρόσχες μοι·» τὴν δὲ ἑαυτοῦ κατάστασιν παρίστησι καὶ ἑξῆς λέγων· «Ἐλυπήθην ἐν τῇ ἀδολεσχίᾳ μου, καὶ ἐταράχθην ἀπὸ φωνῆς ἐχθροῦ, καὶ ἀπὸ θλίψεως ἁμαρτωλοῦ.» Τὴν γὰρ λύπην ἑαυτοῦ δείκνυσι τῷ Θεῷ καὶ τὴν ταραχήν, καὶ ἥν φησιν ἀδολεσχίαν, καὶ ὡς ἄξια τῆς ἑαυτοῦ θεωρίας. Διό, τούτοις, φησίν, πρόσχες, ὅπως ἐλυπήθην, ὅπως ἐταράχθην, ὅπως ἀδολεσχίας πεπλήρωμαι· ἀποδεξάμενός τε ταῦτα, ἐπάκουσόν μου. Λέγει δὲ ταῦτα Πνεύματι θείῳ ὁ προφήτης, τὰ κατὰ τοῦ Υἱοῦ τοῦ Θεοῦ μέλλοντα ὑπὸ Ἰουδαίων τολμᾶσθαι, ὡς ἤδη παρόντα βλέπων· ἐφ' οἷς συγχεόμενος καὶ ταραττόμενος, λύπης τε πληρούμενος καὶ ἀμηχανίας, ἣν ἀδολεσχίαν ὠνόμασε, διετέλει. Ἐλυπεῖτο γοῦν καὶ ἐταράττετο, καὶ ἠδολέσχει ἀμηχανῶν καὶ ἀπορῶν ἐπὶ τοῖς τολμωμένοις, ἃ μικρὸν ὕστερον διέξεισι φάσκων· «Εἶδον ἀνομίαν καὶ ἀντιλογίαν ἐν τῇ πόλει», καὶ ἑξῆς· ἅπερ, ὕστερόν ποτε δι' ἔργων κεχωρηκότα, προλαβὼν τῷ Πνεύματι τῷ ἁγίῳ ὁ προφήτης, ἐλυπεῖτο καὶ ἐταράττετο καὶ ἠδολέσχει, ἀθυμίας ἐμπιπλάμενος ἐπὶ τοῖς τὰ τοιαῦτα τολμῶσι. Διὸ καὶ τὸν Θεὸν ἐπόπτην τῆς ἑαυτοῦ καταστάσεως γενέσθαι παρακαλεῖ λέγων·

«Ἐνώτισαι, ὁ Θεός, τὴν προσευχήν μου, καὶ μὴ ὑπερίδῃς τὴν δέησίν μου· πρόσχες μοι καὶ εἰσάκουσόν μου.» Ἐν τοιαύτῃ δὲ γεγονὼς καταστάσει, ἠξίου λέγων ἑξῆς· «Καταπόντισον, Κύριε, καὶ καταδίελε τὰς γλώσσας αὐτῶν·» δι' ὧν ἱκέτευε τὴν συμφωνίαν αὐτῶν τὴν κατὰ τοῦ Σωτῆρος διασκεδασθῆναι, τήν τε μεγαλαυχίαν αὐτῶν καὶ τὸ τῆς ἀλαζονείας ἔπαρμα ταπεινωθῆναι, πρὸς τὸ μὴ ἐπιτρίβεσθαι, καὶ αὔξειν αὐτῶν τὰ κακά. Εὔλογα τοίνυν αἰτῶν, διὰ τῆς δεήσεως ἠξίου μὴ ὑπεροραθῆναι· ἀλλὰ καὶ λύπης ἐπληροῦτο καὶ ταραχῆς, καὶ ἀδολεσχίας, φάσκων· «Ἀπὸ φωνῆς ἐχθροῦ καὶ ἀπὸ θλίψεως ἁμαρτωλοῦ», ἐχθροῦ δηλαδὴ καὶ ἁμαρτωλοῦ λαοῦ· θλῖψιν γὰρ παρεῖχον τῷ πνεύματι τῷ προφητικῷ οἱ τὰ τοιαῦτα τολμῶντες. Εἶτ' ἐπιλέγει ἑξῆς· Ὅτι «ἐξέκλιναν ἐπ' ἐμὲ ἀνομίαν, καὶ ἐν ὀργῇ ἐνεκότουν μοι», ἰδιοποιούμενον τὰ κατὰ τοῦ Σωτῆρος τετολμημένα. Καὶ ἐκ προσώπου δὲ τοῦ Σωτῆρος δύναται λέγεσθαι τά τε ἄλλα καὶ τό· «Ὅτι ἐξέκλιναν ἐπ' ἐμὲ ἀνομίαν, καὶ ἐν ὀργῇ ἐνεκότουν μοι·» ἢ κατὰ τὸν Σύμμαχον· «Ὅτι ἐπέγραψαν κατ' ἐμοῦ ἀσέβειαν, καὶ μετ' ὀργῆς ἠναντιώθησάν μοι. Ἡ καρδία μου ἐταράχθη ἐν ἐμοί, καὶ δειλία θανάτου ἐπέπεσεν ἐπ' ἐμέ», καὶ τὰ λοιπά. Πάντα ταῦτα πεπονθέναι ὁ προφήτης ὁμολογεῖ, διὰ τὸ προεωρακέναι τῷ πνεύματι τῷ προφητικῷ τὴν ἑξῆς δηλουμένην πόλιν ἀνομίας πληρουμένην καὶ ἀντιλογίας, καὶ κόπου, καὶ πόνου, καὶ ἀδικίας· καὶ τὸν ἰσόψυχον καὶ γνωστὸν τοῦ Σωτῆρος ἡμῶν τὰ ἐχθρῶν αὐτὸν καὶ πολεμίων διατιθέντα. Ἐπὶ τούτοις γὰρ τὴν συμπάθειαν αὐτοῦ δείκνυσι τῷ Θεῷ, καὶ ἣν ὑπέμεινεν εὔλογον ταραχήν· περὶ ἧς καὶ ἀνωτέρω ἔλεγεν· «Ἐλυπήθην ἐν τῇ ἀδολεσχίᾳ μου, καὶ ἐταράχθην·» καὶ νῦν πάλιν· «Ἡ καρδία μου ἐταράχθη ἐν ἐμοί·» κατὰ δὲ τὸν Ἀκύλαν, «Ἡ καρδία μου», φησίν, «ὠδίνησεν ἐν ἐγκάτῳ μου·» κατὰ δὲ τὸν Σύμμαχον· «Ἡ καρδία μου διεστρωφᾶτο ἔνδον μου.» Ἀλλὰ καὶ δειλία θανάτου εἰσέπεσεν ἐπ' αὐτόν· ἤτοι τοῦ Σωτηρίου θανάτου, ἐφ' ᾧ δειλίας ὁ προφήτης ἐπληροῦτο, ἀνθρωπίνῳ λογισμῷ κινούμενος, ἢ τοῦ τῶν ψυχῶν θανάτου τῶν ἀπόλλυσθαι μελλόντων διὰ τὰ τοιαῦτα τολμήματα. Ἀλλὰ καὶ φόβος καὶ τρόμος δι' ὑπερβολὴν εὐλαβείας ἐπέπιπτε τῷ προφήτῃ, ὁρῶντι τὸν Ἀγαπητὸν τοῦ Θεοῦ τοιαῦτα ὑπὸ τῶν ἀσεβῶν πάσχοντα. Ἐκάλυπτέ τε αὐτὸν σκότος, ἤ, κατὰ τὸν Ἀκύλαν, «εἰλίνδησις·» ἤ, κατὰ τὸν Σύμμαχον, «φρίκη·» ὡσανεὶ φρικτὰ καὶ σκότους ἀληθῶς ἄξια τὰ κατὰ τοῦ Σωτῆρος δρώμενα θεωροῦντα. Νοήσεις δὲ τὰ λεγόμενα ἐκ παραδείγματος τῶν κατὰ τοὺς ὀνείρους ἡμῖν συμβαινόντων· ἐπεὶ πολλάκις ὀνειρώττοντες, κἄπειτά τινα ὁρῶντες φοβερά, ἢ θῆρας διώκοντας, ἢ ἑρπετά, ἢ πολεμίους ἐπιόντας ἡμῖν, θορυβούμεθα τὴν ψυχὴν καὶ ἐξιστάμεθα, τρόμου καὶ ἀγωνίας, καὶ ἱδρῶτος ἐμπιπλάμενοι. Κατὰ τὸν αὐτὸν γάρ, οἶμαι, τρόπον καὶ τὴν τοῦ προφήτου ψυχὴν τῶν μηδέπω παρόντων, μελλόντων δὲ γίγνεσθαι πραγμάτων, τὴν θεωρίαν φωτὶ τοῦ προφητικοῦ πνεύματος τοῖς τῆς

διανοίας ὀφθαλμοῖς ἐντυπουμένην ὁρῶντα τεταράχθαι, καὶ φόβου καὶ δειλίας, καὶ τρόμου πεπληρῶσθαι διὰ τὴν τῶν θεωρουμένων κακῶν ὑπερβολήν.

Εἶθ' ὥσπερ μέσος ἀποληφθεὶς τῶν ταῦτα δρώντων, μηδεμίαν τε ἔχων ἀποφυγήν, μηδὲ ὅποι κλίνας ἑαυτὸν ἐκτὸς τῶν κακῶν γένοιτο, εὔχεται μετέωρος ἀρθῆναι, πτηνός τε δι' ἀέρος ἐκφυγεῖν. Διὸ ἐπιλέγει·

Στίχ. ζ'-ιβ'. «Καὶ εἶπα· Τίς δώσει μοι πτέρυγας ὡς περιστερᾶς, καὶ πετασθήσομαι, καὶ καταπαύσω;»

Περιστερᾶς γὰρ δίκην ἀκάκου πτέρυγας ἐκφεῦξαι καὶ πετασθῆναι, ὡς ἂν φύγοι τὰ κακά, ἠξίου. Οὐκοῦν καὶ περὶ τούτου ἀνωτέρω ἔλεγε τό, «Ἐνώτισαι, ὁ Θεός, τὴν προσευχήν μου», ὡς ἂν τύχοι πτερύγων περιστερᾶς καὶ πετασθείη· μόνως γὰρ οὕτως, καὶ οὐδὲ ἄλλως, πόρρω γίνεσθαι τῆς τῶν ἀσεβῶν πόλεως οἷός τε ἦν. Κατὰ δὲ τὸν Σύμμαχον· «Καὶ εἶπον· Τίς δώσει μοι πτέρυγας ὡς περιστερᾶς, πετασθῆναι, καὶ ἑδρασθῆναι; Πόρρω ἂν ἐποίησα τὴν ἀναχώρησίν μου, ηὐλιζόμην ἂν ἐν τῇ ἐρήμῳ.» Ἐξαίφνης ἂν ἐποίησα τὴν ἔκφευξίν μου ἀπὸ πνεύματος ἐπαίροντος· πόρρω γὰρ ἂν ἐποίησα, φησί, τὴν ἀναχώρησίν μου, εἰ ἔτυχον πτερύγων, φεύγων τοὺς τὰ προλεχθέντα τολμῶντας, καὶ τὰς ἐρήμους μᾶλλον τῆς εἰρημένης πόλεως προετίμων. Οὕτως τε ἐν τῇ ἐρήμῳ γεγονώς, «προσεδεχόμην ἂν τὸν σῴζοντά με ἀπὸ τῆς» γενομένης μοι «ὀλιγοψυχίας, καὶ ἀπὸ τῆς» καταλαβούσης με «καταιγίδος. Καταπόντισον, Κύριε, καὶ καταδίελε τὰς γλώσσας αὐτῶν», καὶ τὰ ἑξῆς. Τὴν αἰτίαν δι' ἣν ηὔξατο πτερύγων τυχεῖν, ὡς ἂν πετασθείη καὶ φύγοι, ἔρημόν τε μᾶλλον οἰκεῖν ἑλέσθαι ἢ τὴν δηλουμένην πόλιν, διὰ τῶν προκειμένων διδάσκει λέγων· Ἐπειδὴ τάδε καὶ τάδε προγνώσει τοῦ προφητικοῦ πνεύματος ἐθεασάμην πραχθησόμενα ἐν τῇ πόλει, τούτου χάριν ἐντεῦθεν ἤδη φεύγειν διανενόημαι τὴν τῶν κακῶν πληθύν. Πρῶτον γὰρ ἀσέβημα τῶν τὴν προλεχθεῖσαν πόλιν οἰκησάντων ὁρῶ τὸ ἐκ τῆς γλώττης αὐτῶν. Πάντες γὰρ ὤξυναν ἑαυτῶν ἐπὶ κακῷ συμφωνήσαντες τὰς γλώττας κατὰ τοῦ Υἱοῦ τοῦ Θεοῦ· διό, μὴ φέρων αὐτῶν τὴν μοχθηρὰν ταύτην καὶ ἀσεβῆ συμφωνίαν, εὔχομαι λέγων· «Ὦ Κύριε, καταπόντισον καὶ καταδίελε τὰς γλώσσας αὐτῶν.» Ἤ, κατὰ τὸν Σύμμαχον· «Καταποντισθῆναι ποίησον, Δέσποτα, καὶ ἀσύμφωνον ποίησον τὴν γλῶσσαν αὐτῶν.» Τῆς γὰρ μοχθηρᾶς συμφωνίας πολὺ κρεῖττον γένοιτ' ἂν ἡ ἀσυμφωνία, ἀτονωτέραν καὶ ἀσθενεστέραν κακίαν ἀπεργαζομένη. Τοῦτο μὲν οὖν τὸ πρῶτον ἦν αὐτῶν κακόν. Οἵ τε γὰρ τοῦ ἔθνους προεστῶτες, νομοδιδάσκαλοι καὶ ἀρχιερεῖς, καὶ λοιποὶ ἄρχοντες τοῦ λαοῦ, δολίως αὐτῷ προσιόντες, πειράζειν αὐτὸν ἐτόλμων, λαβὰς θηρώμενοι, καὶ ἐπιβουλὰς κατ' αὐτοῦ συσκευαζόμενοι. Ὃ δὴ καὶ ἕτερος ᾐνίττετο ψαλμὸς ἐξ αὐτοῦ προσώπου φήσας· «Περιεκύκλωσάν με ταῦροι πολλοί, μόσχοι πίονες περιέσχον με. Ἤνοιξαν ἐπ' ἐμὲ τὸ στόμα

αὐτῶν ὡς λέων ἁρπάζων καὶ ὠρυόμενος.[1]» Κἀκεῖ γὰρ τοὺς ἄρχοντας ᾐνίττετο τοῦ λαοῦ· διὸ πάλιν τοῦ στόματος αὐτῶν ἐμνημόνευε διὰ τὰς κατ' αὐτοῦ ἐπιβουλάς τε καὶ σκέψεις.

Καὶ ὁ πᾶς δὲ τῶν Ἰουδαίων λαὸς ὁποίας ἐπὶ τοῦ Ποντίου Πιλάτου κατ' αὐτοῦ προσήκατο φωνάς, ἱστορεῖ τὰ Εὐαγγέλια. Ὃ δὴ καὶ αὐτὸ παρίστη ἐν κα' ψαλμῷ ὁ εἰπών· «Ὅτι ἐκύκλωσάν με κύνες πολλοί, συναγωγὴ πονηρευομένων περιέσχον με.[2]» Καὶ ταῦτα πάντα ἐν τῇ δηλουμένῃ ἐπράττετο πόλει· διὸ λέλεκται ἐν τοῖς προκειμένοις· «Καταπόντισον, Κύριε, καὶ καταδίελε τὰς γλώσσας αὐτῶν.» Εἶτ' ἐπιλέγει· «Ὅτι εἶδον ἀνομίαν καὶ ἀντιλογίαν ἐν τῇ πόλει· ἡμέρας καὶ νυκτὸς κυκλώσει αὐτήν», καὶ τὰ ἑξῆς· ἀνθ' ὧν ὁ Σύμμαχος τοῦτον ἡρμήνευσε τὸν τρόπον· «Ὅτι ἐθεώρησα βίαιον ἀδικίαν καὶ ἀδικασίαν ἐν τῇ πόλει, ἡμέρας καὶ νυκτὸς κυκλοῦντα αὐτῆς τὰ τείχη, ὀδύνην καὶ ταλαιπωρίαν ἔνδον αὐτῆς, ἐπηρείας ἔνδον αὐτῆς, ἀχώριστον ἀπὸ τῶν πλατειῶν αὐτῆς ζημίαν καὶ ἐπίθεσιν.» Ἀνομίας δὲ ἔργα ἦν τὰ κατὰ τοῦ Σωτῆρος τολμώμενα, καὶ βίαιος ὡς ἀληθῶς ἀδικία. Ἀντὶ γὰρ «τοῦ ἀγαπᾶν», φησίν, «ἐνδιέβαλλόν με· καὶ ἔθεντο κατ' ἐμοῦ κακὰ ἀντὶ ἀγαθῶν, καὶ μῖσος ἀντὶ τῆς ἀγαπήσεώς μου.[3]» Ἀντιλογία δὲ ἦν ἐν αὐτοῖς καὶ ἀδικασία, πολλῶν μαρτύρων παριόντων κατ' αὐτοῦ, καὶ μηδὲν ἀληθὲς σύμφωνον λεγόντων. Καὶ ταῦτα ἐπράττετο οὐ δι' ἡμέρας μόνον, ἀλλὰ καὶ διὰ νυκτός. Οὕτω γὰρ ἐν νυκτὶ Πέτρος ἀρνεῖται, ὅτε Ἰούδας μετὰ φανῶν καὶ λαμπάδων ἐπῄει. Ἀλλὰ καὶ νὺξ ἦν ὅτε ἀπῆγον αὐτὸν ποτὲ μὲν πρὸς Ἄνναν, ποτὲ δὲ καὶ πρὸς Καϊάφαν, ὕβρεσι παντοίαις ἀτιμάζοντες. «Πρωΐας τε γενομένης, δήσαντες αὐτὸν ἤγαγον καὶ παρέδωκαν Πιλάτῳ[4]», τά τε κατὰ τὸ πάθος ἐνήργουν. Ἃ δὴ πάντα τῷ πνεύματι προϊδὼν ὁ προφήτης, ἀνεφώνει λέγων· «Ὅτι εἶδον ἀνομίαν καὶ ἀντιλογίαν ἐν τῇ πόλει ἡμέρας καὶ νυκτὸς κυκλοῦντα αὐτήν», κατὰ τὸν Σύμμαχον. Καὶ ταῦτα μὲν ἐν τῇ πόλει· περὶ δὲ τὰ τείχη αὐτῆς ἀνομία καὶ κόπος, ἤ, κατὰ τὸν Σύμμαχον, «ὀδύνη καὶ ταλαιπωρία.» Σημαίνει δὲ τὰ ἐκτὸς τῆς πόλεως πεπραγμένα, ὁπηνίκα κατεξαγαγόντες αὐτὸν ἤγαγον εἰς τὸν λεγόμενον τόπον Γολγοθᾶ. Καὶ τὰ μὲν ἔξω τοιαῦτα ἦν, μεστὰ ἀληθῶς ὀδύνης καὶ ταλαιπωρίας· πάλιν δὲ τὰ ἔνδον αὐτῆς, ἐπηρείας, φησὶ καὶ ζημίας καὶ ἐπιθέσεως εἶδον μεστά· ἀδικία τε ἦν ἐν μέσῳ αὐτῆς, «καὶ οὐκ ἐξέλιπεν ἐκ τῶν πλατειῶν αὐτῆς τόκος καὶ δόλος·» ἀνθ' οὗ ὁ μὲν Ἀκύλας, «ὄφλημα καὶ ἐπίθεσιν», ἡρμήνευσεν· ὁ δὲ Σύμμαχος, «ζημίαν καὶ ἐπίθεσιν.» Πάντων γὰρ πεπλήρωντο κακῶν οἱ τὴν κατὰ τοῦ Σωτῆρος ἡμῶν ἐπιβουλὴν συσκευασάμενοι.

Στίχ. ιγ'-ιε'. «Ὅτι εἰ ἐχθρὸς ὠνείδισέ με, ὑπήνεγκα ἄν, καὶ εἰ ὁ μισῶν με ἐπ' ἐμὲ ἐμεγαλορρημόνησεν, ἐκρύβην ἂν ἀπ' αὐτοῦ. Σὺ

1. Ψαλμ. 21, 13, 14. 2. Ψαλμ. 21, 17. 3. Ψαλμ. 108, 4, 5. 4. Ματθ. 27, 1, 2.

δέ, ἄνθρωπε ἰσόψυχε, ἡγεμών μου καὶ γνωστέ μου, ὃς ἐπὶ τὸ αὐτὸ ἐλίπανάς μοι ἐδέσματα, ἐν τῷ οἴκῳ τοῦ Θεοῦ ἐπορεύθημεν ἐν ὁμονοίᾳ.»

Εἰς ἑαυτοῦ πρόσωπον ἀναλαβὼν ὁ Προφήτης τὰ κατὰ τοῦ Σωτῆρος ἡμῶν τολμηθησόμενα, εἰκότως ἔφασκε τεταράχθαι καὶ δειλίας θανάτου πεπληρῶσθαι. Μάλιστα μὲν γὰρ καὶ πᾶσα, φησίν, ἡ πόλις πεπλήρωτο ἀνομίας καὶ ἀντιλογίας, οὐ δι' ἡμέρας μόνον, ἀλλὰ καὶ διὰ νυκτός· τὰ δ' ἐκτὸς τῆς πόλεως ἀμφὶ τὰ τείχη αὐτῆς ἀνομίας ἔμπλεα ἦν καὶ ὀδύνης καὶ ταλαιπωρίας· οὐ μὴν ἀλλὰ καὶ πάντων αὐτῶν αἱ ψυχαὶ ζημίας ἐτύγχανον καὶ ἐπιθέσεως μεσταί. Τὸ δὲ πάντων χείριστον, ὅτι καὶ τῶν ἐμῶν ἰσοψύχων εἷς, τῶν τε σφόδρα γνωρίμων καὶ γνωστῶν ἐμοί, τοιαῦτα κατ' ἐμοῦ πεπαρῴνηκεν, ὡς ἀφόρητα εἶναι, καὶ οὐκ οἰστά. Τὰ μὲν γὰρ ὑπ' ἐχθρῶν καὶ ὁμολογούντων ἐναντιοῦσθαι καὶ μισεῖν ἐκ τοῦ προφανοῦς, οἰστὰ ἂν γένοιτό ποτε· ἐπεὶ καὶ προφυλάττεσθαι τοὺς ἐχθροὺς κρύπτεσθαί τε ἀπ' αὐτῶν δυνατόν, καὶ μηδὲν ξένον ἡγεῖσθαι τοὺς τῶν ἐχθρῶν ὀνειδισμούς· ὅταν δὲ φίλος ἰσόψυχος, ὅταν ὁ τῆς παρ' ἐμοὶ τιμῆς τε καὶ ἐκλογῆς κατηξιωμένος, ὅταν ὁμοτράπεζος μαθητής, ὅταν ὁ συνεισελθὼν ἐμοὶ πολλάκις εἰς τὸν τοῦ Θεοῦ οἶκον, συμπροσευξάμενός τε καὶ μυστικῆς ἀπολαύσας τροφῆς, λόγων τε ἀπορρήτων τῶν περὶ τῆς βασιλείας τῶν οὐρανῶν μετασχών, τοιαῦτα κατ' ἐμοῦ δρῶν, οὐκέτ' ἂν γένοιτο ἀνεκτά. Ταῦτα δὲ ἀκολούθως μετὰ τὰ προλεχθέντα περὶ τῶν ἐν τῇ πόλει τετολμημένων, ἰδίως περὶ τοῦ προδότου Ἰούδα ἐθεσπίζετο. Ἃ δὴ καὶ αὐτὰ τοῦτον ὁ Σύμμαχος ἡρμήνευσε τὸν τρόπον· «Οὐ γὰρ ἐχθρὸς προεπηλάκισέ με, ἵνα βαστάξω· οὐδὲ διὰ μίσους μοι ἐπ' ἐμὲ ἐμεγάλυνε πτερνισμόν, ἵνα κρύβωμαι αὐτόν. Ἀλλὰ σύ, ἄνθρωπε, ὁμοιότροπός μοι, συνήθης καὶ γνώριμός μοι, οἵτινες ἐκοινολογούμεθα γλυκεῖαν ὁμιλίαν· ἐν τῷ οἴκῳ τοῦ Θεοῦ ἀναστρεφόμεθα συνδιαιτώμενοι.»

Στίχ. ις'. «Ἐλθέτω θάνατος ἐπ' αὐτούς, καὶ καταβήτωσαν εἰς ᾅδου ζῶντες· ὅτι πονηρία ἐν ταῖς παροικίαις αὐτῶν, ἐν μέσῳ αὐτῶν.»

Ἤδη πολλάκις ἡμῖν καὶ διὰ τῶν ἔμπροσθεν ἀποδέδεικται, ὅτι τὰ προρρητικὰ προστακτικῷ τρόπῳ ἔθος τῇ θείᾳ Γραφῇ προφέρεσθαι· καὶ ἐνταῦθα τοίνυν ἀντὶ τοῦ, «Ἐλεύσεται θάνατος ἐπ' αὐτούς, καὶ καταβήσονται εἰς ᾅδου ζῶντες», προστακτικῶς εἴρηται τὰ προκείμενα. Θεσπίζει δὲ τὸ Πνεῦμα τὸ ἅγιον τὰ συμβησόμενα τοῖς τὰ προλεχθέντα τετολμηκόσιν. Ὁ γοῦν Ἀκύλας ὀρθότερον ἡρμήνευσεν εἰπών· «Ἐπάξει θάνατον ἐπ' αὐτούς.» Τίς δὲ θάνατον ἐπάξει ἐπ' αὐτοὺς ἢ τὰ ἔργα αὐτῶν; Αὐτὰ γὰρ αὐτοῖς αἴτια γεγένηται θανάτου, ἢ ὁ κρίνας αὐτοὺς θανάτου ἀξίους διὰ τὰς ἀσεβεῖς πράξεις αὐτῶν. Θάνατος δὲ τοὺς ἀσεβεῖς μετερχόμενος οὐχ ὁ κοινὸς ἂν λέγοιτο· οὗτος γὰρ καὶ τοὺς δικαίους ἅπαντας μετῆλθεν· οἳ καὶ μετὰ τὸν κοινὸν θάνατον ζῶσι παρὰ τῷ Θεῷ· ὥσπερ οὖν ἐδίδαξεν ὁ Σωτὴρ εἰπών· «Ὁ Θεὸς Ἀβραάμ, καὶ ὁ Θεὸς Ἰσαάκ, καὶ ὁ Θεὸς Ἰακώβ,

οὐκ ἔστι Θεὸς νεκρῶν, ἀλλὰ ζώντων·[1]» ψυχῶν δὲ θάνατος καὶ παρὰ τῷ Ἐζεκιὴλ δεδήλωται φάσκοντι· «Ψυχὴ ἁμαρτάνουσα, αὕτη ἀποθανεῖται.[2]» Ἐπεὶ τοίνυν ἑαυτοὺς τῆς ζωῆς οἱ δηλούμενοι κεχωρίκασιν, ἣν δὲ ὁ Σωτὴρ ἡμῶν ἡ ζωή· «Ὃ γέγονε» γὰρ «ἐν αὐτῷ ζωὴ ἦν, καὶ ἡ ζωὴ ἦν τὸ φῶς τῶν ἀνθρώπων·[3]» εἰκότως, ἀποτμηθέντες αὐτοῦ, τῷ τῆς ψυχῆς θανάτῳ παρεδόθησαν· οὐχ ὥστε φθαρῆναι αὐτὴν καὶ ἀφανισθῆναι εἰς τὸ μὴ ὂν χωρήσασαν, ἀλλ' ὥστε ζῶσαν αὐτὴν καὶ ἀθάνατον τὴν οὐσίαν κεκτημένην ἐν τῷ λεχθέντι θανάτῳ διάγειν. Διὸ λέλεκται· «Καὶ καταβήτωσαν εἰς ᾅδου ζῶντες.» Οὐ τὸν ἀφανισμὸν ψυχῶν ἐδήλου λέγων· «Ἐλθέτω θάνατος ἐπ' αὐτούς», ἀλλὰ τὸν ἀπὸ τῆς κατὰ Θεὸν ζωῆς χωρισμόν, καὶ τὴν εἰς τὸν ᾅδην κατοίκησιν. Μήποτε δὲ καὶ ἄλλως ζῶντες εἰς ᾅδου κατῄεσαν, ἐν γνώσει ἁμαρτάνοντες, καὶ εἰδότες μὲν τὸν Σωτῆρα ὡς αὐτός ἐστι ὁ Χριστὸς τοῦ Θεοῦ, προσποιούμενοι δὲ μὴ εἶναι; Διὸ καὶ ὁμοίως τοῖς περὶ Δαθὰν καὶ Ἀβηρὼν καταποθήσεσθαι καὶ αὐτούς, εἰς ᾅδου τε ζῶντας καταβήσεσθαι προαγορεύει. Ἀντὶ δὲ τοῦ, «Πονηρίαι ἐν ταῖς παροικίαις αὐτῶν ἐν μέσῳ αὐτῶν·» τῶν γὰρ κατὰ τοῦ Σωτῆρος γενομένων αἱ συστάσεις καὶ αἱ κατὰ τὸ αὐτὸ σύνοδοι πονηραὶ γεγόνασι, διὸ καὶ ὁ Ἀκύλας φησίν· «Ὅτι πονηρίαι ἐν συστροφῇ αὐτῶν.» Ἐπεὶ τοίνυν οὐκ ἐπὶ καλῷ συνήρχοντο, συστροφάς τε καὶ συστάσεις πονηρὰς ἐποιοῦντο, εἰκότως ἐθέσπισεν ὁποῖον αὐτοὺς διαλήψεται τέλος.

Στίχ. ιζ΄-κ΄. «Ἐγὼ πρὸς Θεὸν ἐκέκραξα, καὶ ὁ Κύριος ἔσωσε με», καὶ τὰ ἑξῆς.

Εἰ καὶ τὰ μάλιστα, φησί, τῷ πνεύματι τῷ προφητικῷ τὴν μέλλουσαν γενήσεσθαι ἀνομίαν ἐν τῇ προλεχθείσῃ πόλει θεασάμενος, ἐλυπήθην ἐν τῇ ἀδολεσχίᾳ μου, καὶ ἐταράχθην· ὅμως δ' οὖν, τὰ τέλη συνιδὼν τῶν πραγμάτων, εὖ οἶδ', ὅτι, βοήσας πρὸς τὸν Θεόν, οὐ καταλειφθήσομαι, τεύξομαι δὲ σωτηρίας, τῆς τοῦ κοινοῦ Σωτῆρος χάριτος καὶ μέχρις ἐμοῦ διαβησομένης. Λέγει δὲ ταῦτα ὁ προφήτης, κατὰ μὲν τοὺς Ἑβδομήκοντα, τὸ μέλλον ἔσεσθαι ὡς παρῳχηκὸς ἑρμηνεύων· διὸ λέλεκται· «Ἐγὼ πρὸς τὸν Θεὸν ἐκέκραξα, καὶ ὁ Κύριος ἔσωσέ με·» κατὰ δὲ τοὺς λοιποὺς ἑρμηνευτάς, μελλητικῶς προφητεύει καὶ ταῦτα. Ὁ γοῦν Ἀκύλας φησίν· «Ἐγὼ πρὸς τὸν Θεὸν καλέσω, καὶ Κύριος σώσει με·» καὶ ὁ Θεοδοτίων· «Ἐγὼ πρὸς τὸν Θεὸν κεκράξομαι, καὶ Κύριος σώσει με.» Τῶν γὰρ κατὰ τοῦ Σωτῆρος τολμηθησομένων τοιούτων ὄντων, ἐγὼ ὁ πρότερον εἰρηκώς, «Ἡ καρδία μου ἐταράχθη ἐν ἐμοί, καὶ δειλία θανάτου ἐπέπεσεν ἐπ' ἐμέ· φόβος καὶ τρόμος ἦλθεν ἐπ' ἐμέ, καὶ ἐκάλυψέ με σκότος», ταῦτα παθὼν διὰ τὴν τῶν ἀποκαλυφθέντων μοι θέαν, πρὸς τὸν Θεὸν ἐκέκραξα. Ὁ δέ, μὴ παριδών με, κατηξίωσε φανερά μοι καταστῆσαι,

1. Ματθ. 22, 32. 2. Ἰεζ. 18, 4. 3. Ἰω. 3, 4.

ὥσπερ τὰ σκυθρωπὰ πρότερον ἐδείκνυ, οὕτω καὶ τὰ φαιδρότερα· λέγω δὲ καὶ τὴν ἀνάστασιν τοῦ Σωτῆρος καὶ τὴν παρὰ τῷ Πατρὶ δόξαν. Καὶ ταῦτα δὲ ἰδών, ἐσώθην· διό φημι·«Ἐγὼ πρὸς τὸν Θεὸν ἐκέκραξα, καὶ Κύριος ἔσωσέ με.» Σωθεὶς δὲ οὐκέτι ἠρεμῶ, οὐδὲ ἡσυχίαν ἄγειν δύναμαι· ἀλλὰ κηρύττω καὶ πάντας ἀνθρώπους εὐαγγελίζομαι, διηγούμενος ἐφ' ἑκάστης ἡμέρας καὶ ὥρας, ἀπαγγέλλων τε εἰς πάντας ἅπερ ἐν ἁγίῳ πνεύματι τῷ προφητικῷ τεθέαμαι θαυμαστὰ καὶ παράδοξα. Διό φημι· «Ἑσπέρας καὶ πρωὶ καὶ μεσημβρίας διηγήσομαι καὶ ἀπαγγελῶ.» Ἐμοῦ δὲ ταῦτα βοῶντος εἰς πάντας ἐξότε καὶ μέχρις ἑσπέρας, ἐν αὐτῷ τε τῷ ἀκμαιοτάτῳ φωτὶ τῆς μεσημβρινῆς ἡμέρας τὰ σωτήρια τέλη κηρύττοντος, «εἰσακούσεται τῆς φωνῆς μου» ὁ ταύτης τῆς γνώσεως καταξιώσας· καὶ οὐκέτι μὲν ταράττεσθαι ἐν ἐμοὶ ἐάσει τὴν καρδίαν μου, οὐδὲ τὴν δειλίαν τοῦ θανάτου ἐπικεῖσθαί μοι. Ταῦτα δὲ πάντα παραγαγών, καὶ διασκεδάσας τῆς ἐμῆς ψυχῆς, λυτρώσεται αὐτὴν ἐν εἰρήνῃ ἀπὸ τῶν θορυβεῖν αὐτὴν ἐθελόντων. Διό φημι· «Λυτρώσεται τὴν ψυχήν μου ἐν εἰρήνῃ ἀπὸ τῶν ἐγγιζόντων μοι· ὅτι ἐν πολλοῖς ἦσαν σὺν ἐμοί·» ἀνθ' οὗ ἐξέδωκεν ὁ Σύμμαχος· «Πολλοστοὶ γὰρ ἐγένοντο πρὸς ἐμέ. Οἱ γὰρ θορυβεῖν ἐθέλοντές μου τὴν ψυχήν μου βραχεῖς τινες ἦσαν, οὓς ὁ Θεὸς ὁ πρὸ τῶν αἰώνων ὑπάρχων ταπεινώσει, τῆς ἐμῆς κραυγῆς ἐπακούσας.»

Ταῦτα μὲν οὖν ὡς τοῦ Προφήτου ἐξ οἰκείου προσώπου τὰς προκειμένας φωνὰς προενηνεγμένου. Εἰ δὲ ἐξ αὐτοῦ τοῦ Σωτῆρος ταῦτα λέγοιτο διὰ τοῦ προφητικοῦ πνεύματος, ἐπειδήπερ ἐξ αὐτοῦ ἐλέγετο τό, «Εἰ ἐχθρὸς ὠνείδισέ με, ὑπήνεγκα ἄν», καὶ τὰ ἑξῆς, ἀκολούθως καὶ ταῦτα φήσειεν ἂν ὁ Σωτήρ· Ὅτι ὁ μὲν οὐκ ἐχθρός, ἀλλὰ φίλος· καὶ οὐχ ὁ μισῶν, ἀλλ' ὁ μικρῷ πρόσθεν ἀγαπῶν, τοιαῦτα κατ' ἐμοῦ τετόλμηκεν. Ἐγὼ δὲ πλέον οὐδὲν ἔπραττον, ἀλλ' ἐβόων πρὸς τὸν Θεόν· εἶχόν τε αὐτὸν οἷα Πατέρα ἐπήκοον. Ἀλλὰ καὶ οἱ μὲν ἐπεβούλευον ἐμοί, ὁ δὲ ἔσωζέ με· διὸ οὐ παύσομαι ἑσπέρας καὶ πρωῒ καὶ μεσημβρίας τὰς τοῦ Πατρὸς ἀρετὰς διηγούμενος εἰς πάντας, εἰσακουστόν τε πᾶσιν ἀνθρώποις κηρύττων τὸ σωτήριον Εὐαγγέλιον· καὶ ταύτης μου τῆς φωνῆς ἐπακούσας ὁ Πατήρ, «λυτρώσεται ἐν εἰρήνῃ τὴν ψυχήν μου ἀπὸ τῶν ἐγγιζόντων μοι», τουτέστιν ἀπὸ τῶν ἐγγύθεν καὶ οὐ πόρρωθέν με πολεμούντων· οἵτινες ἦσαν πολλοστοί· οὓς καὶ ταπεινώσει ὁ προϋπάρχων πρὸ τῶν αἰώνων Θεός. Οὐδὲ γὰρ ἡ πρὸς ὀλίγον αὐτοῖς γενομένη εὐκαιρία, καθ' ἣν ἐμεγαλαύχησαν, καὶ ἐπλήρωσαν τὴν ἑαυτῶν πόλιν ἀνομίας καὶ ἀντιλογίας, παραμενεῖ αὐτοῖς· ὅσον δὲ οὔπω ταπεινωθήσονται, τῆς ἐκ Θεοῦ ὀργῆς μετελευσομένης αὐτοὺς καὶ τὴν πόλιν αὐτῶν, ὡς καὶ τὸν ἐν αὐτῇ διαβόητον νεὼν ἀφανισθῆναι καὶ πᾶσαν τὴν ἐν αὐτῷ ἐπιτελουμένην λατρείαν καταλυθῆναι. Οὕτως οὖν, τῆς ἐμῆς ἐπακούσας ὁ Θεὸς βοῆς, ταπεινώσει αὐτούς.

Στίχ. κα', κβ'. «Οὐ γάρ ἐστιν αὐτοῖς ἀντάλλαγμα, καὶ οὐκ ἐφοβήθησαν τὸν Θεόν», καὶ τὰ ἑξῆς.

Ταπεινώσει τοὺς προλεχθέντας ἀσεβεῖς ὁ προϋπάρχων πρὸ τῶν αἰώνων Θεός· ἔσονταί τε ταπεινοὶ καὶ διαμενοῦσιν ἐπὶ μήκιστον τοιοῦτοι· ἐπεὶ μηδεὶς ἔσται ὁ ὑπὲρ αὐτῶν διδοὺς ἀντάλλαγμα. Ἅπαξ γὰρ ὁ Υἱὸς τοῦ Θεοῦ λύτρον ἑαυτὸν διδοὺς καὶ ἀντάλλαγμα ὑπὲρ τῶν ἁμαρτωλῶν, τοὺς μὲν εἰς αὐτὸν πεπιστευκότας ἐξηγόρασε, πάντων τε αὐτοὺς τῶν προτέρων ἁμαρτημάτων ἠλευθέρωσεν· τοὺς δὲ εἴασε ταπεινούς, ἐπεὶ μὴ προσήκαντο τὴν ὑπὲρ αὐτῶν δοθεῖσαν τιμήν, μηδὲ ἐπίστευσαν εἰς τὸ τίμιον αἷμα τοῦ πάντων ἀνθρώπων Λυτρωτοῦ καὶ Σωτῆρος. Διό φησι περὶ αὐτῶν ὁ λόγος· «Οὐ γάρ ἐστιν αὐτοῖς ἀντάλλαγμα.» Διὰ τί δὲ οὐκ ἔστιν αὐτοῖς ἀντάλλαγμα, ἑξῆς διδάσκει λέγων· ἐπεὶ «μὴ ἐφοβήθησαν τὸν Θεόν.» Ὁ μὲν γάρ, ἅτε ἀγαθός, «πάντας ἀνθρώπους θέλων σωθῆναι, καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν [1]», «ἐξέτεινε τὴν χεῖρα αὐτοῦ» τὴν σωτήριον εἰς τὸ καὶ αὐτοὺς μεταδοῦναι τῶν ἑαυτοῦ ἀγαθῶν· οἱ δὲ οὐκ ἐδέξαντο παρὰ τῆς δεξιᾶς τοῦ Θεοῦ προτεινόμενα, ἀλλ' «ἐβεβήλωσαν τὴν διαθήκην αὐτοῦ», τὸν καινὸν νόμον τὸν εὐαγγελικὸν παρακρουσάμενοι. Διὸ κατὰ τὸν Σύμμαχον εἴρηται· «Ἐξέτεινε τὴν χεῖρα αὐτοῦ εἰς τοὺς εἰρηνεύοντας πρὸς αὐτόν· παρέβησαν συνθήκην·» καὶ κατὰ τὸν Ἀκύλαν· «Ἀπέστειλε χεῖρα αὐτοῦ ἐν εἰρηνικοῖς αὐτοῦ.» Αὐτὸς μὲν γὰρ εἰρηνικὴν δεξιὰν προύτεινε πρὸς ἐλθόντας παραδέχεσθαι τὴν παρ' αὐτοῦ εἰρήνην· οἱ δὲ παρέβησαν τὴν διαθήκην αὐτοῦ, μὴ καταδεξάμενοι τὴν προτεινομένην αὐτοῖς εἰρήνην. Διό, πόλεμον ἀντικαταλλαξάμενοι εἰρήνης, «διεμερίσθησαν ἀπὸ ὀργῆς τοῦ προσώπου αὐτοῦ.» Ἐπεὶ γὰρ μὴ προσεδέξαντο τὴν χάριν, εἰκότως, ὀργῇ παραδοθέντες, μακρὰν διεσκορπίσθησαν, καὶ εἰς πάντα τὰ ἔθνη διασκεδασθέντες διεσπάρησαν. Ἀντὶ δὲ τοῦ, «Καὶ ἤγγισεν ἡ καρδία αὐτοῦ. Ἡπαλύνθησαν οἱ λόγοι αὐτοῦ ὑπὲρ ἔλαιον, καὶ αὐτοί εἰσι βολίδες», σαφέστερον ἡρμήνευσεν ὁ Σύμμαχος εἰπών· «Λειότερα βουτύρου τὰ στόματα αὐτῶν· πολεμεῖ δὲ ἡ καρδία ἑκάστου αὐτῶν. Ἁπαλώτεροι οἱ λόγοι αὐτοῦ ἐλαίου, ὄντες ἀνατμητικοί.» Ὅρα δέ τίνα τρόπον κἀνταῦθα δύο τάγματα παρίστησιν ὁ λόγος· ἓν μὲν πολλῶν ἀθρόως κατὰ τὸ αὐτό, περὶ ὧν πληθυντικῶς φησι· «Λειότερα βουτύρου τὰ στόματα αὐτῶν· πολεμεῖ δὲ ἡ καρδία ἑκάστου αὐτῶν·» ἕτερον δὲ ὥσπερ ἑνὸς μεμονωμένου, περὶ οὗ ἰδίως ἐπιλέγει· «Ἁπαλώτεροι οἱ λόγοι αὐτοῦ ἐλαίου, ὄντες ἀνατμητικοί.» Καὶ ταῦτ' ἦν τὰ δύο τάγματα τὰ διὰ τῶν ἔμπροσθεν δηλούμενα, τό τε τῶν τὴν πόλιν οἰκούντων, περὶ ὧν ἐλέγετο· «Ὅτι εἶδον ἀνομίαν καὶ ἀντιλογίαν ἐν τῇ πόλει·» καὶ τὸ περὶ τοῦ προδότου, περὶ οὗ ἔφασκεν ὁ λόγος· «Ὅτι, εἰ ἐχθρὸς ὠνείδισέ με, ὑπήνεγκα ἄν.» Καὶ ἐνταῦθα τοίνυν, ἐπειδὴ προσῄεσαν τῷ Σωτῆρι μεθ' ὑποκρίσεως καὶ κολακείας οἱ ἄρχοντες τοῦ Ἰουδαίων ἔθνους, ποτὲ μὲν διδάσκαλον ἀποκαλοῦντες οὐ σὺν καθαρᾷ καρδίᾳ, ποτὲ δὲ λέγοντες αὐτῷ·

---

1. Α' Τιμ. 2, 4.

«Οἴδαμεν, ὅτι ἀληθὴς εἶ, καὶ τὸν λόγον τοῦ Θεοῦ ἐν ἀληθείᾳ διδάσκεις· καὶ οὐ μέλει σοι περὶ οὐδενός· οὐ γὰρ βλέπεις εἰς πρόσωπον ἀνθρώπου·[1]» εἰκότως περὶ αὐτῶν φησιν ἐνταῦθα ὁ λόγος· Λειότερα βουτύρου τὰ στόματα αὐτῶν· πολεμεῖ δὲ ἡ καρδία ἑκάστου αὐτῶν.» Ἰδίως δὲ πάλιν περὶ τοῦ προδότου, ἐπειδὴ καὶ Ῥαββεὶν αὐτὸν καὶ διδάσκαλον ἀποκαλεῖ, σύμβολά τε διαθέσεως καὶ φιλίας παρεῖχε, τὴν προδοσίαν ποιούμενος, εἰκότως περὶ αὐτοῦ λέλεκται· «Ἁπαλώτεροι οἱ λόγοι αὐτοῦ ἐλαίου, ὄντες ἀνατμητικοί·» ἢ κατὰ τοὺς Ἑβδομήκοντα· «Ἡπαλύνθησαν οἱ λόγοι αὐτοῦ ὑπὲρ ἔλαιον, καὶ αὐτοί εἰσι βολίδες.»

Στίχ. κγ΄, κδ΄. «Ἐπίρριψον ἐπὶ Κύριον τὴν μέριμνάν σου, καὶ αὐτός σε διαθρέψει· οὐ δώσει εἰς τὸν αἰῶνα σάλον τῷ δικαίῳ», καὶ τὰ ἑξῆς.

Οἱ μὲν σὺν ἀπάτῃ καὶ ὑποκρίσει ἁπαλύνοντες ἑαυτῶν τοὺς λόγους ἐκ τοῦ φανεροῦ, ἔσωθεν δὲ αὐτοὺς ἀκοντίσαντες ὑπὲρ βολίδας, ἀλλὰ καὶ αὐτὸς ὁ προδότης γεγονὼς τοῦ Σωτῆρος, ὁποίου τέλους τεύξονται δεδήλωται· σὺ δὲ ὁ τούτων ἀκροώμενος, σωφρονισθεὶς ἀπὸ τοῦ τῶν προλελεγμένων τέλους, καὶ ὁ τῷ προφητευομένῳ ὅλον σαυτὸν ἐπιδιδούς, θάρσει, τὴν σαυτοῦ φροντίδα ἐπιρρίψας ἐπ᾽ αὐτόν, οἷα Καινῇ Διαθήκῃ μαθητευθείς, δι᾽ ἧς αὐτὸς ὁ Σωτὴρ παιδεύει λέγων· «Μὴ μεριμνήσητε τί φάγητε, μηδὲ τί πίητε·[2]» καί, «Μὴ κτήσησθε χρυσὸν μηδὲ ἄργυρον, μηδὲ χαλκὸν εἰς τὰς ζώνας ὑμῶν.[3]» Ταῦτ᾽ οὖν φυλάξας, «ἐπίρριψον ἐπὶ Κύριον τὴν μέριμνάν σου, καὶ αὐτός σε διαθρέψει», τὸν ἄρτον σοι διδοὺς τὸν ἐπιούσιον, καὶ τὴν λογικὴν καὶ ἐπουράνιον τροφήν· ἐπαρκῶν δὲ καὶ τὰ πρὸς τὸν βίον χρειώδη. Τούτῳ γὰρ ἐπήγγελται φήσας· «Οἶδε γὰρ ὁ Πατὴρ ὑμῶν ὁ οὐράνιος ὧν χρείαν ἔχετε πρὸ τοῦ τι αὐτὸν αἰτῆσαι ὑμᾶς.[4]» «Αὐτός σε δὲ διαθρέψει», ὡς καὶ πάντα δίκαιον· οὐδένα γὰρ πώποτε τῶν δικαίων καταλέλοιπεν, ὡς ὑπομεῖναι αὐτὸν σάλον πρὸς τὸ σαλευθῆναι καὶ ἐκπεσεῖν. Διὸ λέλεκται ἑξῆς· «Οὐ δώσει εἰς τὸν αἰῶνα σάλον τῷ δικαίῳ·» ἢ κατὰ τὸν Σύμμαχον· «Οὐκ ἐκδώσει εἰς αἰῶνα κλεισθῆναι δίκαιον.» Διὸ λέλεκται ἐν ἑτέροις· «Νεώτερος ἐγενόμην, καὶ γὰρ ἐγήρασα, καὶ οὐκ εἶδον δίκαιον ἐγκαταλελειμμένον, οὐδὲ τὸ σπέρμα αὐτοῦ ζητοῦν ἄρτους.[5]» Ταῦτ᾽ εἰπών, ἑξῆς ἐπάγει περὶ τῶν ἐπιβούλων τοῦ Σωτῆρος τό, «Σὺ δὲ ὁ Θεὸς κατάξεις αὐτοὺς εἰς φρέαρ διαφθορᾶς·» ἢ κατὰ τὸν Σύμμαχον· «Σὺ δὲ ὁ Θεὸς κατενέγκεις αὐτοὺς εἰς λάκκον διαφθορᾶς·[6]» περὶ οὗ λάκκου μυρία διὰ τῶν ἔμπροσθεν εἴρηται· ὥσπερ ἐν τῷ· «Ὑπομένων ὑπέμεινα τὸν Κύριον, καὶ προσέσχε μοι, καὶ ἀνήγαγέ με ἐκ λάκκου ταλαιπωρίας, καὶ ἀπὸ πηλοῦ ἰλύος·[7]» καὶ πάλιν· «Μήποτε παρασιωπήσῃς ἀπ᾽ ἐμοῦ, καὶ ὁμοιωθήσομαι τοῖς καταβαίνουσιν

---

1. Ματθ. 22, 16. 2. Ματθ. 6, 25 3. Ματθ. 10, 9. 4. Λουκ. 12, 30.
5. Ψαλμ. 36, 25. 6. Πρβλ. Ψαλμ. 87, 7. 7. Ψαλμ. 39, 1.

εἰς λάκκον·» καὶ αὖθις· «Κύριε, ἀνήγαγες ἐξ ᾅδου τὴν ψυχήν μου, ἔσωσάς με ἀπὸ τῶν καταβαινόντων εἰς λάκκον.[1]» Ἀλλ' ὁ μὲν δίκαιος διασῴζεται πρὸς τὸ μὴ κατενεχθῆναι εἰς τὸν δηλούμενον λάκκον· οἱ δὲ ἀσεβεῖς κάτω φέρονται εἰς αὐτόν, ὑπὸ τοῦ Θεοῦ καταρασσόμενοι, ὡς εἰς κατάλληλον αὐτοῖς χωρίον. Λάκκον δὲ ταλαιπωρίας καὶ πηλὸν ἰλύος, καὶ φρέαρ διαφθορᾶς τὸν τοῦ θανάτου τόπον καλεῖν εἴωθεν ὁ λόγος· εἰς ὃν καταβάλλονται δίκην τῶν ἄνωθεν καταφερομένων ἐν τοῖς λάκκοις ὑδάτων αἱ τῶν ἀσεβῶν ψυχαί. Καὶ ἐπειδήπερ διὰ τῶν ἔμπροσθεν τοὺς φονευτὰς τοῦ Σωτῆρος ἡμῶν ἐδήλου, ἀκολούθως καὶ νῦν περὶ τῶν αὐτῶν φησιν· «Ἄνδρες αἱμάτων καὶ δολιότητος· οὐ μὴ ἡμισεύσωσι τὰς ἡμέρας αὐτῶν·» ἢ κατὰ τὸν Σύμμαχον· «Μιαιφόνοι καὶ δόλιοι οὐχ ἡμισεύσωσι τὰς ἡμέρας αὐτῶν·» ἢ κατὰ τὸν Ἀκύλαν· «Ἄνδρες αἱμάτων καὶ ἐπιθέσεως οὐχ ἡμισεύσωσιν ἡμέρας αὐτῶν.» Νοήσεις δὲ ὅπως ἐπληροῦντο καὶ ταῦτα ἐπιστήσας, ὡς παραχρῆμα καὶ μετ' οὐ πολὺν χρόνον τῆς κατὰ τοῦ Σωτῆρος ἡμῶν ἐπιβουλῆς ἄρδην τὸ πᾶν γένος τῶν προλεχθέντων ὀλέθρῳ παρεδόθη, μετελθούσης αὐτοὺς τῆς ὀργῆς ἐν τῇ καταλαβούσῃ αὐτοὺς πολιορκίᾳ κατὰ τὸν Ῥωμαϊκὸν πόλεμον. Καὶ τέως μὲν κατὰ τὸν παρόντα καιρόν, καὶ τὸν θνητὸν ἐν ἀνθρώποις βίον, μηδὲ ἡμισεύσαντες τὰς ἡμέρας αὐτῶν τοιαύτῃ παρεδόθησαν ἀπωλείᾳ οἱ ἄνδρες αἱμάτων καὶ δολιότητος· μετὰ δὲ τὴν ἐνταῦθα τελευτήν, ὁποῖα αὐτοὺς διαδέξεται, προδεδήλωται διὰ τοῦ, «Σὺ δὲ ὁ Θεὸς κατάξεις αὐτοὺς εἰς φρέαρ διαφθορᾶς.» Ταῦτα μὲν οὖν ἐκεῖνοι πείσονται. «Ἐγὼ δὲ ἐλπιῶ ἐπὶ σέ·» ἤτοι ὁ ταῦτα θεσπίζων προφήτης, ἢ καὶ αὐτὸς ὁ προφητευόμενος.

ΕΙΣ ΤΟ ΤΕΛΟΣ ΥΠΕΡ ΤΟΥ ΛΑΟΥ, ΤΟΥ ΑΠΟ ΤΩΝ ΑΓΙΩΝ ΜΕΜΑΚΡΥΜΜΕΝΟΥ, ΤΟΥ ΔΑΥΙΔ ΕΙΣ ΣΤΗΛΟΓΡΑΦΙΑΝ, ΟΠΟΤΕ ΕΚΡΑΤΗΣΑΝ ΑΥΤΟΝ ΟΙ ΑΛΛΟΦΥΛΟΙ ΕΝ ΓΕΘ. ΝΕ'.

Στίχ. β'-δ'. «Ἐλέησόν με, ὁ Θεός, ὅτι κατεπάτησέ με ἄνθρωπος, ὅλην τὴν ἡμέραν πολεμῶν ἔθλιψέ με.»

Λαὸς ἀπὸ τῶν ἁγίων μεμακρυμμένος, ὅσον ἐπὶ τῆς ἱστορίας, ἔοικεν εἶναι ὁ σὺν τῷ Δαυὶδ φεύγων ἀπὸ προσώπου Σαούλ· ἦσαν δὲ τὸν ἀριθμὸν ἄνδρες ἑξακόσιοι, ὡς ἡ Γραφὴ μαρτυρεῖ τῶν Βασιλειῶν. Ἐπεὶ δὲ δὶς γέγονεν παρὰ τοῖς ἐν Γὲθ ἀλλοφύλοις· ἅπαξ, ὅτε μόνος ἀποληφθεὶς εἴσω πυλῶν, μανίαν προσεποιήθη, ὅτε καὶ ἐτυμπάνιζεν ἐν ταῖς πύλαις τῆς πόλεως, καὶ κατέρρει τὰ σίελα αὐτοῦ ἐπὶ τὸν πώγωνα αὐτοῦ· ἄλλοτε δέ, σὺν ἀνδράσιν χ' προσέφυγε τῷ βασιλεῖ τῆς Γέθ, ἀφώρισέ τε αὐτῷ οἰκητήριον τὴν Σίκελα. Ταῦτ' ἔοικεν ἡ προκειμένη στηλογραφία εἰρῆσθαι τῷ Δαυίδ, καθ' ὃν καιρὸν ἅμα τοῖς

1. Ψαλμ. 29, 4.

χ' τοῖς σὺν αὐτῷ φεύγουσιν ἐπεδήμει τοῖς ἐν Γέθ· ὑπεδέξαντό τε αὐτὸν καὶ κατέσχον παρ' ἑαυτοῖς ὡς φίλον, ὅτε καὶ τιμῆς ἀξιοῦται παρὰ τῷ βασιλεῖ Γέθ. Διὸ τὰ τῆς προγραφῆς περιέχει· «Εἰς τὸ τέλος, ὑπὲρ τοῦ λαοῦ, τοῦ ἀπὸ τῶν ἁγίων μεμακρυμμένου», τῷ Δαυΐδ, στηλογραφία, ὅτε ἐκράτησαν αὐτὸν οἱ ἀλλόφυλοι ἐν Γέθ. Κατὰ δὲ τὸν Ἀκύλαν εἴρηται· «Τῷ νικοποιῷ ὑπὲρ περιστερᾶς ἀλάλου, μακρυσμῶν τοῦ Δαυΐδ ταπεινοῦ, τελείου, ἐν τῷ κρατῆσαι αὐτὸν Φιλισταίους ἐν Γέθ·» κατὰ δὲ τὸν Σύμμαχον· «Ἐπινίκιον ὑπὲρ τῆς περιστερᾶς, ὑπὲρ τοῦ φύλου ἀπωσμένου τοῦ Δαυΐδ, τοῦ ταπεινόφρονος καὶ ἀμώμου, ὅτε κατέσχον αὐτὸν οἱ Φιλισταῖοι ἐν Γέθ·» ἡ δὲ πέμπτη ἔκδοσις· «Τῷ νικοποιῷ ὑπὲρ τῆς περιστερᾶς τῆς μογιλάλου, κεκρυμμένων τῷ Δαυΐδ, εἰς στηλογραφίαν, ὁπότε ἐκράτησαν αὐτὸν οἱ ἀλλόφυλοι ἐν Γέθ·» καὶ ὁ Θεοδοτίων δὲ ἀντὶ τοῦ, «Ὑπὲρ τοῦ λαοῦ ἀπὸ τῶν ἁγίων μεμακρυμμένου, ὑπὲρ τῆς περιστερᾶς», ὁμοίως τοῖς λοιποῖς ἐξέδωκε. Τάχα δέ που αἰνίττονται οἱ περιστερὰν ἄλαλον ἢ μογιλάλον εἰρηκότες αὐτὸν τὸν Δαυΐδ παρὰ τοῖς ἀλλοφύλοις ὄντα, καὶ μὴ δυνάμενον λαλεῖν συνήθως τὰς ἐν ἁγίῳ Πνεύματι προφητείας, μηδὲ σὺν παρρησίᾳ τοὺς ὕμνους προσφέρεσθαι. Διὸ μογιλάλον περιστερὰν ἢ καὶ ἄλαλον αὐτὸν ὠνόμαζον. Καὶ ἐν τῷ πρὸ τούτου δὲ ψαλμῷ λέλεκτο· «Τίς δώσει μοι πτέρυγας ὡσεὶ περιστερᾶς; Καὶ πετασθήσομαι ἢ καὶ ἐδρασθήσομαι. Πόρρω ἂν ἐποίησα τὴν ἀναχώρησίν μου, ηὐλιζόμην ἂν ἐν τῇ ἐρήμῳ [1]», κατὰ τὸν Σύμμαχον. Ἐπεὶ τοίνυν τὸ Πνεῦμα τὸ ἅγιον τὸ ἐν τῷ Προφήτῃ ἐνεργοῦν, ὃ καὶ ἐν εἴδει περιστερᾶς ἐπὶ τὸν Σωτῆρα κατεληλυθέναι μαρτυρεῖται, τρυφερὸν ὂν καὶ ἄκακον, ἠλαύνετο ὑπὸ τοῦ Σαοὺλ διωκομένου τοῦ Δαυΐδ, ἐλαυνόμενόν τε οὐκ ἠμύνετο, ἀλλ' ἐῴκει περιστερᾷ ἀλάλῳ μακρυνομένῃ καὶ ἀπωθουμένῃ ὑπὸ τῶν διωκόντων· τούτου χάριν κατὰ τοὺς λοιποὺς ἑρμηνευτάς, «ὑπὲρ τῆς περιστερᾶς», εἴρηται. Ἀντὶ δὲ τοῦ, «εἰς στηλογραφίαν», ὁ μὲν Ἀκύλας, «ταπεινοῦ τελείου·» ὁ δὲ Σύμμαχος, «τοῦ ταπεινόφρονος καὶ ἀμώμου», ἡρμήνευσεν, τὸν τρόπον δηλοῦντες δι' ὃν ὥσπερ στήλης καὶ αἰωνίας μνήμης ἠξιοῦτο παρὰ τῷ Θεῷ ἡ τοῦ προφήτου ἀρετή. Τὸ γὰρ μέγιστον τοῦ Δαυΐδ κατόρθωμα ἡ ταπεινότης ἦν καὶ ἡ ταπεινοφροσύνη, καθ' ἣν τελείαν ἐπεδείκνυτο ἀρετήν, οὐδένα μῶμον ἐπαγομένην. Διὸ τοὺς προκειμένους λόγους, ὑπερβαλλούσης καὶ τελείας ταπεινοφροσύνης δείγματα περιέχοντας, ἀνέπεμπε τῷ Θεῷ λέγων·

«Ἐλέησόν με, ὁ Θεός, ὅτι κατεπάτησέ με ἄνθρωπος», ὡς πρὸς τὴν λέξιν τὸν Σαοὺλ σημαίνων, ἐπαναβάντα αὐτῷ, καὶ οὐ μίαν ἡμέραν, ἀλλὰ καὶ πολλὰς ἐπιθέμενον τῷ κατ' αὐτοῦ πολέμῳ· διὸ ἐπιλέγει· «Ὅλην τὴν ἡμέραν πολεμῶν ἔθλιψέ με.» Εἶτ' ἐπειδήπερ τῷ θείῳ Πνεύματι συνεώρα οὐχ οὕτως τὸν Σαοὺλ αἴτιον ὄντα τῆς τοσαύτης

1. Ψαλμ. 54, 7, 8.

κατ' αὐτοῦ σπουδῆς, ὅσον ἀφανεῖς τινας καὶ νοητοὺς ἐχθροὺς ἀοράτους, δηλαδὴ δυνάμεις καὶ πνεύματα πονηρά, τὸν Σαοὺλ ἐνεργοῦντα καὶ διεγείροντα ἐπὶ τὸν κατ' αὐτοῦ πόλεμον, εἰκότως ἐπιλέγει· «Κατεπάτησάν με οἱ ἐχθροί μου ὅλην τὴν ἡμέραν·» ἢ κατὰ τὸν Σύμμαχον· «Ἐπέτριβον οἱ θλίβοντές με κατὰ πᾶσαν ἡμέραν.» Τίνες δὲ οἱ ἐχθροὶ καὶ οἱ θλίβοντες αὐτόν, οἱ τὸν Σαοὺλ ἐνεργοῦντες, διασαφεῖ ἑξῆς λέγων· «Ὅτι πολλοὶ οἱ πολεμοῦντές με ἀπὸ ὕψους.» Οὐ γὰρ ἠγνόει, ὡς οὐκ ἦν αὐτῷ ἡ πάλη πρὸς αἷμα καὶ σάρκα, ἀλλὰ πρὸς τὰς ἀρχὰς καὶ ἐξουσίας, πρὸς τοὺς κοσμοκράτορας τοῦ σκότους τούτου, πρὸς τὰ πνευματικὰ τῆς πονηρίας, ὑφ' ὧν ὁ Σαοὺλ ἀκονώμενος, τὸν μηδὲν αὐτῷ λελυπηκότα πώποτε μάτην ἤλαυνε καὶ ἐπολέμει. Εἶθ' ἑξῆς φησιν· «Ἡμέρας φοβηθήσομαι, ἐγὼ δὲ ἐλπιῶ ἐπὶ σέ.» Ὃ δὴ διεσάφησεν ὁ Σύμμαχος εἰπών· «Ἐν ᾗ ἂν ἡμέρᾳ φοβηθῶ, σοὶ πέποιθα.» Εἰ γὰρ καὶ τὰ μάλιστα δοκεῖ ἄνθρωπός με καταπεπατηκέναι, πολὺς γενόμενος κατ' ἐμοῦ ὁ Σαούλ, ἀλλ' οἱ ἐχθροί μου καὶ οἱ πολεμοῦντές με ἄνωθεν, ἀπὸ ὕψους τὰ ἑαυτῶν βέλη κατὰ τῆς ἐμῆς βάλλοντες ψυχῆς πλεῖστοι τυγχάνουσι. Τούτων δὲ πάντων καταφρονεῖν μεμάθηκα διὰ σὲ τὸν ἐμὸν πρόμαχον καὶ ὑπερασπιστήν. Σοὶ γὰρ πεποιθώς, εἴποτε ἐμπέσοι φόβος τῇ ἐμῇ ψυχῇ, διακρούομαι τοῦτον, σοὶ τῷ ὑπερασπιστῇ μου θαρρῶν.

Στίχ. ε', ς'. «Ἐν τῷ Κυρίῳ ἐπαινέσω τοὺς λόγους μου, ἐπὶ τῷ Θεῷ ἤλπισα· οὐ φοβηθήσομαι τί ποιήσει μοι σάρξ.»

Ἀντὶ τοῦ, «ἐν τῷ Θεῷ ἐπαινέσω τοὺς λόγους μου», ὁ μὲν Σύμμαχος, «διὰ τοῦ Θεοῦ ὑμνήσω τὸν λόγον αὐτοῦ·» ὁ δὲ Ἀκύλας· «ἐν τῷ Θεῷ ὑμνήσω ῥήματα αὐτοῦ·» καὶ ἡ πέμπτη ἔκδοσις· «ἐν τῷ Θεῷ ἐπαινέσω τὸν λόγον μου», ἐκδεδώκασιν. Εἴ ποτε, φησί, φόβος ἐκ τῆς τῶν πολεμούντων με ταραχῆς ἐνέπιπτέ μοι, διεκρουόμην αὐτὸν ἐλπίζων ἐπὶ σέ· καὶ ἀντὶ ἐπῳδῆς καὶ φυλακτηρίων, ὕμνους διεξῄειν· ὑμνῶν γὰρ τὸν λόγον σου ἐβοηθούμην, ὡς μηδένα τῶν διωκόντων ἐπιστρέφεσθαι. Οὕτως ἐπὶ τῷ Θεῷ ἐλπίζων, καὶ τοὺς λόγους αὐτοῦ φέρων ἐν τῷ στόματί μου, πάσης τῆς ἐξ ἀνθρώπων ἐπιβουλῆς κατεφρόνουν, οὐ φοβούμενος «τί ποιήσει μοι σάρξ.» Τί γὰρ ἂν καὶ δύναιτο σὰρξ καὶ αἷμα πρὸς Θεὸν βοηθόν; «Εἰ γὰρ ὁ Θεὸς ὑπὲρ ἡμῶν, τίς καθ' ἡμῶν; [1]» φησὶν ὁ Ἀπόστολος. Σὰρξ δὲ ἦν ὁ Σαούλ, τὰ τῆς σαρκὸς φρονῶν· ὃ δὴ παρίστησιν ὁ Ἀπόστολος γράφων Κορινθίοις· «Ὅπου γὰρ ἐν ὑμῖν ζῆλος καὶ ἔρις, οὐχὶ σάρκινοί ἐστε, καὶ κατὰ ἄνθρωπον περιπατεῖτε; [2]» Ὁ δὲ καὶ τὸν Σαοὺλ ζήλου πεπληρωμένον καὶ ἔριδος, καὶ διὰ ταῦτα τὸν Δαυΐδ ἐλαύνοντα, σάρκα ὠνόμασεν εἰπών· «Οὐ φοβηθήσομαι τί ποιήσει μοι σάρξ.» Εἶτά φησιν· «Ὅλην τὴν ἡμέραν τοὺς λόγους μου ἐβδελύσσοντο, κατ' ἐμοῦ πάντες οἱ διαλογισμοὶ αὐτῶν εἰς κακόν·» ὃ δὴ σαφέστερον ἡρμήνευσεν ὁ Σύμμαχος

1. Ῥωμ. 8, 31. 2. Α' Κορ. 3, 3.

εἰπών· «Διὰ πάσης ἡμέρας λόγους περὶ ἐμοῦ ἐφρόντιζον· κατ' ἐμοῦ πᾶς διαλογισμὸς αὐτῶν εἰς κακόν.» Ὡς γὰρ μηδὲν ἔχοντες ἕτερον πράττειν, μηδὲ περὶ ἑτέρων λόγους κινεῖν, τὴν πᾶσαν ἑαυτῶν σχολὴν τοῖς περὶ ἐμοῦ λόγοις καὶ τοῖς κατ' ἐμοῦ λογισμοῖς ἀνετίθεσαν, οὐδὲν ἀγαθὸν περὶ ἐμοῦ βουλευόμενοι. Ἀλλ' εἰς κακὸν καὶ ἐπὶ κακῷ τὴν ἑαυτῶν ἀναλίσκοντες σπουδήν.

Στίχ. ζ', η'. «Παροικήσουσι καὶ κατακρύψουσιν, αὐτοὶ τὴν πτέρναν μου φυλάξουσι. Καθάπερ ὑπέμειναν τὴν ψυχήν μου, ὑπὲρ τοῦ μηδενὸς σώσεις αὐτούς· ἐν ὀργῇ λαοὺς κατάξεις, ὁ Θεός.»

Καὶ ταῦτα ἀσαφῶς εἰρημένα παρὰ τοῖς Ἑβδομήκοντα, λευκότερον διηρμήνευσεν ὁ Σύμμαχος, εἰπών· «Συνήγοντο λάθρα, καὶ τὰ ἴχνη μου παρετήρουν προσδοκῶντες τὴν ψυχήν μου διὰ τὴν ἀδικίαν. Ῥῦσαι ἀπ' αὐτῶν, ἐν ὀργῇ λαοὺς κατάγαγε, ὁ Θεός.» Οὕτως γάρ, φησί, διὰ πάσης ἡμέρας ἐμοὶ ἐσχόλαζον, τοὺς περὶ ἐμοῦ λόγους κινοῦντες, καὶ πᾶς διαλογισμὸς αὐτῶν κατ' ἐμοῦ ἐγίγνετο· ὡς σπουδάζειν συνάγεσθαι αὐτοὺς ὁμοῦ συσκευάς· καὶ μὴ μέχρι τούτου χωρεῖν, ἀλλὰ καὶ περιεργάζεσθαί μου τὴν πτέρναν, τουτέστι τὴν τοῦ βίου πορείαν, εἴ πως σκελίσαντες δυνηθεῖεν καταβαλεῖν με. Καὶ τὰ ἴχνη δέ μου παρετήρουν, ὅποι ἂν βαδίζοιμι, καὶ ἵν' ὅπως ἐπιλάβοιντό μου. Ταῦτα μὲν οὖν οἱ μάτην διώκοντες κατ' ἐμοῦ ἔπραττον. Σὺ δέ, Κύριε, ἡ ἐμὴ ἐλπίς, ἐμὲ μὲν τῆς ἀδίκου αὐτῶν συσκευῆς ῥῦσαι, αὐτοὺς δὲ μετελθὼν τῇ σεαυτοῦ ὀργῇ, κατάβαλε τῆς μεγαλαυχίας καὶ τῆς ὑψηλοφροσύνης· τοῦτο γὰρ αὐτοῖς συνοίσει. Ὑψούμενοι γὰρ καὶ ἐπαιρόμενοι, ἐπ' ὀλέθρῳ τῷ ἑαυτῶν ταῦτ' ἔπραττον· «ὁ γὰρ Θεὸς ὑπερηφάνοις ἀντιτάσσεται, ταπεινοῖς δὲ δίδωσι χάριν·[1]» διό, ἱκετεύω, πάντας τοὺς ἐπανισταμένους μοι κατάγαγε· ἤ, κατὰ τὸν Ἀκύλαν, «καταβίβασον·» ὡς ἄν, μέτριον φρόνημα λαβόντες καὶ ταπεινὰ φρονοῦντες, τὰ μεγάλα ὠφεληθεῖεν.

Στίχ. θ', ι'. «Τὴν ζωήν μου ἐξήγγειλά σοι, ἔθου τὰ δάκρυά μου ἐνώπιόν σου· ὡς καὶ ἐν τῇ ἐπαγγελίᾳ σου, ἐπιστρέψουσιν οἱ ἐχθροί μου εἰς τὰ ὀπίσω, ἐν ᾗ ἂν ἡμέρᾳ ἐπικαλέσωμαί σε.»

Καὶ ταῦτα ὁ Σύμμαχος σαφέστερον ἡρμήνευσεν, οὕτως εἰπών· «Τὰ ἔνδον μου ἐξηρίθμησας· σὺ ἔθου τὰ δάκρυά μου ἐνώπιόν σου. Μὴ οὐχὶ ὅταν ἐξαριθμῇς, τότε ἀποστραφήσονται οἱ ἐχθροί μου ὀπίσω, ᾗ ἂν ἡμέρᾳ ἐπικαλέσωμαί σε;» Οἱ μὲν ἐχθροί μου, φησί, διὰ πάσης ἡμέρας λόγους περὶ ἐμοῦ ἀνεκίνουν, καὶ κατ' ἐμοῦ πάντες οἱ διαλογισμοὶ αὐτῶν ἦσαν· ἐγὼ δὲ ὁποίους ἐν ἐμαυτῷ συνῆγον λογισμοὺς καὶ ὁποίας ἐνθυμήσεις εἶχον, σὺ αὐτός, ὡς καρδιογνώστης Θεός, οἶδας. Τὰ γὰρ ἔνδον μου ἐξηρίθμησας πάντα, καὶ τὰ κρύφιά μου καὶ τὰς ἐνθυμήσεις τῆς ψυχῆς μου γινώσκεις· διόπερ ἔθου τὰ δάκρυά μου ἐνώπιόν σου, καὶ οὐκ ἀπεστράφης αὐτά· ἀλλ' «ὥσπερ» ἐν τῇ ἐπαγγελίᾳ

---

1. Παρμ. 3, 34. Α' Πέτρ. 5, 5.

σου ὑπισχνοῦ λέγων· «Ἔτι λαλοῦντός σου ἐρῶ· Ἰδοὺ πάρειμι [1]», οὕτως ἀκόλουθα πράττων ταῖς σαῖς ἐπαγγελίαις, «ἔθου τὰ δάκρυά μου ἐνώπιόν σου.» Καὶ κατὰ τὴν τῶν Ἑβδομήκοντα δὲ ἑρμηνείαν, «Τὴν ζωήν μου», φησίν, «ἐξήγγειλά σοι», ὡς ἂν παρρησίαν ἄγων καὶ μὴ ἐπαισχυνόμενος ἐπὶ τῇ ἐμαυτοῦ ζωῇ. Σύ τε ἀποδεχόμενός μου τὴν ζωήν, τὰ δάκρυά μου οὐκ ἀπεσείσω, ἀλλὰ πρὸ τῶν σῶν ὀφθαλμῶν ἔθου αὐτά, πιστούμενος τὰς σὰς ἐπαγγελίας. Διὸ συνέβαινεν, ἐμοῦ εἰσακουομένου, τοὺς ἐχθρούς μου εἰς τὰ ὀπίσω χωρεῖν· ὅθεν φημί· «Ἐν ᾗ ἂν ἡμέρᾳ ἐπικαλέσωμαί σε, ἐπιστρέψουσιν οἱ ἐχθροί μου εἰς τὰ ὀπίσω·» κατὰ δὲ τὸν Σύμμαχον· «Μὴ οὐχὶ ὅταν», φησίν, «ἐξαριθμῇς, τότε ἀποστραφήσονται οἱ ἐχθροί μου ὀπίσω;» Ἐπειδὰν φυλοκρινῶν διακαθάρῃς ἀφορίζων τοὺς σεαυτοῦ ἀξίους, καὶ ἐξαρίθμησιν ποιούμενος τῶν μελλόντων εἰς τὰ δεξιὰ ἵστασθαι, καὶ τῶν εἰς ἀριστερὰ χωρούντων, «τότε», ἐν τῷ σὲ τὴν ἐξαρίθμησιν ταύτην ποιεῖσθαι, «ἀποστραφήσονται οἱ ἐχθροί μου εἰς τὰ ὀπίσω.»

Στίχ. ια'. «Ἰδοὺ ἔγνων, ὅτι Θεός μοί ἐστιν. Ἐπὶ τῷ Θεῷ αἰνέσω ῥῆμα, ἐπὶ τῷ Κυρίῳ αἰνέσω λόγον· ἐπὶ τῷ Κυρίῳ ἤλπισα, οὐ φοβηθήσομαι τί ποιήσει μοι ἄνθρωπος.»

Κατὰ δὲ τὸν Σύμμαχον τοῦτό φησιν· «Οἶδα, ὅτι ἔστι Θεός μοι. Τὸν Θεὸν ὑμνολογήσω, διὰ τοῦ Θεοῦ ὑμνοποιήσομαι λόγον· τῷ Θεῷ πέποιθα, οὐ φοβηθήσομαι τί ποιήσει μοι ἄνθρωπος.» Αὐτοῖς ἔργοις, φησί, παρείληφα, καὶ ἔγνων ἀληθῶς, ὅτι οὐκ ἐπὶ ματαίῳ ἤλπισα· ἀλλὰ Θεὸν βοηθὸν ἐκτησάμην. Τούτου δὲ ἔλεγχος, ἐπεὶ «ἔθου τὰ δάκρυά μου ἐνώπιόν σου.» Εἶτα ἐμοῦ μὲν ἐπήκοος ἐγίγνου, οἱ δὲ ἐχθροί μου ἐχώρουν εἰς τὰ ὀπίσω· διὸ «ἐπὶ τῷ Θεῷ αἰνέσω ῥῆμα·» ἤ, κατὰ τὸν Ἀκύλαν· «Ἐν Θεῷ καυχήσομαι ῥῆμα·» κατὰ δὲ τὸν Σύμμαχον· «Τὸν Θεὸν ὑμνολογήσω·» ἀλλὰ καὶ «ἐπὶ τὸν Κύριον αἰνέσω λόγον·» ἤ, κατὰ τὸν Ἀκύλαν, «ἐν Κυρίῳ ὑμνήσω λόγον·» ἤ, κατὰ τὸν Σύμμαχον, «διὰ τοῦ Κυρίου ὑμνοποιήσομαι λόγον·» καὶ πάλιν, ὡς ἀνωτέρω μοι εἴρηται· «Ἐπὶ τῷ Θεῷ ἤλπισα, οὐ φοβηθήσομαι τί ποιήσει μοι σάρξ·» καὶ νῦν φημι, «Ἐπὶ τῷ Θεῷ ἤλπισα, οὐ φοβηθήσομαι τί ποιήσει μοι ἄνθρωπος.» Σὰρξ γὰρ καὶ ἄνθρωπος ἓν καὶ ταυτόν ἐστιν, ἐπειδὴ λέλεκται· «Ὑμεῖς δὲ ὡς ἄνθρωποι ἀποθνήσκετε· [2]» καί, «Ὅταν γὰρ ᾖ ἐν ὑμῖν ζῆλος καὶ ἔρις, οὐχὶ σαρκικοί ἐστε, καὶ κατὰ ἄνθρωπον περιπατεῖτε; [3]»

Στίχ. ιβ', ιγ'. «Ἐν ἐμοί, ὁ Θεός, αἱ εὐχαί, ἃς ἀποδώσω αἰνέσεώς σοι. Ὅτι ἐρρύσω τὴν ψυχήν μου ἐκ θανάτου, καὶ τοὺς πόδας μου ἐξ ὀλισθήματος, τοῦ εὐαρεστῆσαι ἐνώπιον τοῦ Θεοῦ ἐν φωτὶ ζώντων.»

Ἀντὶ τοῦ, «Ἐν ἐμοί, ὁ Θεός, αἱ εὐχαί, ἃς ἀποδώσω αἰνέσεώς σοι», σαφέστερον ἡρμήνευσεν ὁ Σύμμαχος εἰπών· «Ἀναδέχομαι, Θεέ, ἃ ηὐξάμην· ἀποδώσω αἰνέσεις σοι.» Οὐ γὰρ ἐπιλέλησμαι, φησί, ὧν

1. Ἡσ. 58, 9. 2. Ψαλμ. 81, 7. 3. Α' Κορ. 3, 3.

ηὐξάμην· ἀλλ᾽ ἐν ἐμοί εἰσι, καὶ κατέχω τῇ μνήμῃ πάντα ὅσα ἐπηγγειλάμην εὐξάμενος· ἃ καὶ ὥσπερ τι χρέος ἀποδώσω, θυσίας ἀναφέρων τὰς δι᾽ αἰνέσεως, καὶ κατὰ τὸ φάσκον λόγιον· «Θῦσον τῷ Θεῷ θυσίαν αἰνέσεως, καὶ ἀπόδος τῷ Κυρίῳ τὰς εὐχάς σου.[1]» Ἀποδώσω τοίνυν αἰνέσεώς σοι· ἐπειδὴ πολλὰ σύνοιδα ἐμαυτῷ ὀφείλοντι ὑπὲρ τῆς ἐμαυτοῦ σωτηρίας. Αὐτὴν γοῦν τὴν ψυχήν μου ἐρρύσω ἐκ θανάτου. Οἱ μὲν γὰρ ἐχθροί μου τὸ ὅσον ἐπ᾽ αὐτοῖς ἤλαυνον αὐτήν, καὶ ἐξεβιάζοντο εἰς θάνατον ἐκπεσεῖν. Ἐλαύνοντές με γάρ, καὶ μέσον ἀλλοφύλων καὶ ἀλλογενῶν ἐθνῶν οἰκεῖν καταναγκάζοντες, τὸ ἐπ᾽ αὐτοῖς τὴν ψυχήν μου ἐθανάτουν· ἤγουν ἤμελλον συνάπτεσθαι τῇ τῶν ἀλλοφύλων εἰδωλολατρείᾳ, μέσος αὐτῶν οἰκῶν, καθ᾽ οὓς χρόνους παρὰ τῷ Ἀχοῦς (sic) καὶ ἐν τῇ Γὲθ παρὰ τοῖς ἀλλοφύλοις ἐποιούμην τὰς διατριβάς, πάλαι ἂν τὴν ψυχήν μου τεθνήκειν, τῆς παρὰ σοὶ ζωῆς ἐκπεσών· ἀλλ᾽ ἡ σὴ χάρις καὶ τὸ σὸν ἔλεος οὐ συνεχώρησε τοῦτο γενέσθαι· ἐπεὶ καὶ παρὰ τοῖς ἀλλοφύλοις με ὄντα περιέφραττες, ὡς μηδὲν καταβλάπτεσθαι ἐκ τῆς τούτων συνουσίας. Διό φημι· «Ἐρρύσω τὴν ψυχήν μου ἐκ θανάτου·» ἀλλὰ καὶ «τοὺς πόδας μου ἐρρύσω ἐξ ὀλισθήματος.» Τίς γὰρ οὐκ ἂν διετράπη, ὥσπερ εἰς πηλὸν ἐμβάς, καὶ ὀλισθηροῖς περιπεσὼν χωρίοις, μέσος τοσούτων ἀπολειφθεὶς ἀθέων καὶ εἰδωλολατρῶν ἀνδρῶν; Ἀλλ᾽ ἦν ἄρα καὶ ἐν τούτῳ τὸ σὸν ἔλεος, καὶ ἡ σὴ χάρις ῥυομένη μου τοὺς πόδας ἐξ ὀλισθήματος· οὐ γὰρ ἐμαυτοῦ δυνάμει ἐπιγράφω ταῦτα· ἐπεὶ μηδ᾽ οὕτως ἤμην στερρὸς τὴν ψυχὴν ὡς ἀδιάτρεπτος μένειν, ἐν τῷ μεταξὺ τοσούτων εἰλῆσθαι, εἰ μὴ σὺ ἦσθα βοηθός. Διὸ ἐξομολογούμενος εὐχαριστῶ, ὅτι ἐρρύσω τοὺς πόδας μου ἐξ ὀλισθήματος. Καὶ ταῦτά μοι τὸ σὸν ἔλεος ἐδωρεῖτο «ὑπὲρ τοῦ εὐαρεστῆσαι ἐνώπιόν σου ἐν φωτὶ ζώντων·» ἤ, κατὰ τὸν Σύμμαχον, «ὡς τὸ ὁδεύειν ἔμπροσθεν τοῦ Θεοῦ διὰ φωτὸς τῆς ζωῆς.» Διατρίβων γοῦν καὶ παρὰ τοῖς ἀλλοφύλοις, τῆς ὀρθῆς καὶ βασιλικῆς ὁδοῦ οὐ παρέξεισιν· ἀλλὰ σοὶ εὐαρέστως ὥδευον ὑπὸ σοῦ ποδηγούμενος καὶ φωτιζόμενος, φωτός τε μεταλαγχάνων οὐ τοῦ κοινοῦ καὶ πᾶσιν ἐγκειμένου, λογικοῖς τε καὶ ἀλόγοις, θηρίοις τε καὶ ἑρπετοῖς, νεκροῖς τε καὶ ἀψύχοις, ἀλλὰ τοῦ μόνοις τοῖς παρὰ σοῦ ζῶσιν ἀφωρισμένου. Νοήσεις δὲ τὸ φῶς τῶν ζώντων, ἐν ᾧ καὶ Δαυῒδ καὶ πάντες οἱ θεοφιλεῖς προφῆται καὶ δίκαιοι ἐφωτίσθησαν, ἐπιστήσας τῷ εὐαγγελιστῇ λέγοντι· «Ὃ γέγονεν ἐν αὐτῷ [2]», δηλαδὴ τῷ Λόγῳ τοῦ Θεοῦ τῷ ἐν ἀρχῇ πρὸς τὸν Θεὸν ὄντι, «ζωὴ ἦν, καὶ ἡ ζωὴ ἦν τὸ φῶς τῶν ἀνθρώπων· [3]» καὶ πάλιν· «Ἦν τὸ φῶς τὸ ἀληθινόν, τὸ φωτίζον πάντα ἄνθρωπον ἐρχόμενον εἰς τὸν κόσμον. Ἐν τῷ κόσμῳ ἦν, καὶ ὁ κόσμος δι᾽ αὐτοῦ ἐγένετο, καὶ ὁ κόσμος αὐτὸν οὐκ ἔγνω.[4]» Οὐκοῦν ἦν ἐν τῷ κόσμῳ· κἀκείνῳ τῷ φωτὶ οἱ τῆς παρὰ τῷ Θεῷ ζωῆς καταξιούμενοι ἐφωτίζοντο. Ὕστερον δὲ καὶ «εἰς

1. Ψαλμ. 49, 14. 2. Ἰω. 1, 3, 4. 3. Ἰω. 1, 3, 4. 4. Ἰω. 1, 9, 10.

τὰ ἴδια ἦλθεν· ὅσοι τε ἐδέξαντο αὐτὸν ἔδωκεν αὐτοῖς ἐξουσίαν τέκνα Θεοῦ γενέσθαι.» Τοσαύτη δύναμις παρῆν τῷ φωτὶ τῶν ζώντων, ὡς τέκνα Θεοῦ ἀπεργάζεσθαι τοὺς καταδεχομένους αὐτό· ὅπερ εἰδὼς ὁ Δαυῒδ δι' εὐχῆς εἶχε τοῦ εὐαρεστῆσαι «ἐνώπιον τοῦ Θεοῦ ἐν φωτὶ ζώντων.»

ΕΙΣ ΤΟ ΤΕΛΟΣ, ΜΗ ΔΙΑΦΘΕΙΡΗΣ, ΤΩ ΔΑΥΙΔ ΕΙΣ ΣΤΗΛΟΓΡΑΦΙΑΝ ΕΝ ΤΩ ΑΥΤΟΝ ΑΠΟΔΙΔΡΑΣΚΕΙΝ ΑΠΟ ΠΡΟΣΩΠΟΥ ΣΑΟΥΛ ΕΙΣ ΤΟ ΣΠΗΛΑΙΟΝ. ΝϚ'.

Στίχ. β'. «Ἐλέησόν με, ὁ Θεός, ἐλέησόν με, ὅτι ἐπὶ σοὶ πέποιθεν ἡ ψυχή μου.»

Ὥσπερ ἀπὸ τῆς ἱστορίας ἐδείκνυτο δεύτερον γινόμενος ὁ Δαυῒδ παρὰ τοῖς ἐν Γὲθ ἀλλοφύλοις, παρ' οἷς διατρίβων τὸν νε' ἀναγέγραπται ψαλμὸν εἰρηκώς· οὕτω δὶς φαίνεται ἐν τῷ σπηλαίῳ ἐληλυθώς· ἅπαξ μέν, ὅτε, μανίαν προσποιηθείς, τὰς χεῖρας τοῦ Ἀγχοῦς καὶ τῶν ἐν Γὲθ ἀλλοφύλων διαφεύγει· κἀκεῖθεν διασῴζεται εἰς τὸ σπήλαιον τὸ Ὀδολλάμ, ἔνθα «πάντες οἱ ἀδελφοὶ αὐτοῦ, καὶ πᾶς ὁ οἶκος τοῦ πατρὸς αὐτοῦ καταβαίνουσι πρὸς αὐτόν. Συνήγοντό τε παρ' αὐτῷ πᾶς ἐν ἀνάγκῃ ὢν καὶ πᾶς ὑπόχρεως, καὶ πᾶσα κατώδυνος ψυχή· καὶ ἦν ἐπ' αὐτῶν ἡγούμενος. Ἦσαν δὲ ὡς τετρακόσιοι ἄνδρες·[1]» δεύτερον δέ, «ὅτε ἀνέστρεψεν ὁ Σαοὺλ ἀπὸ ὄπισθεν τῶν ἀλλοφύλων, καὶ ἀπηγγέλθη αὐτῷ, ὅτι Ἰδοὺ Δαυῒδ ἐν τῇ ἐρήμῳ τῇ Γαδδί· καὶ ἔλαβε μεθ' ἑαυτοῦ τρεῖς χιλιάδας ἀνδρῶν ἐκλεκτῶν ἐκ τοῦ Ἰσραήλ, καὶ ἐπορεύθη ζητῶν τὸν Δαυῒδ καὶ τοὺς ἄνδρας αὐτοῦ ἐπὶ πρόσωπον Αἰλείν. Καὶ ἦλθεν εἰς τὰς ἀγέλας τῶν ποιμνίων τὰς ἐπὶ γῆς ὁδοῦ. Καὶ ἦν ἐκεῖ σπήλαιον, καὶ εἰσῆλθε Σαοὺλ παρασκευάσασθαι· καὶ Δαυῒδ καὶ οἱ ἄνδρες αὐτοῦ ἐσώτεροι τοῦ σπηλαίου ἐκάθηντο. Καὶ εἶπαν οἱ ἄνδρες Δαυῒδ πρὸς αὐτόν· Ἰδοὺ ἡ ἡμέρα αὕτη, ἣν εἶπε Κύριος πρὸς σέ, παραδοῦναι τὸν ἐχθρόν σου εἰς τὰς χεῖράς σου, καὶ ποιήσεις αὐτῷ ὡς ἀγαθὸν ἐν ὀφθαλμοῖς σου. Καὶ ἀνέστη Δαυῒδ καὶ ἀφεῖλε τὸ πτερύγιον τῆς διπλοΐδος Σαοὺλ λαθραίως. Καὶ ἐγενήθη μετὰ ταῦτα, καὶ ἐπάταξε καρδία Δαυῒδ αὐτόν, ὅτι ἀφεῖλε τὸ πτερύγιον τῆς διπλοΐδος αὐτοῦ. Καὶ εἶπε Δαυῒδ πρὸς τοὺς ἄνδρας αὐτοῦ· Μηδαμῶς μοι παρὰ Κυρίου, εἰ ποιήσω τὸ ῥῆμα τοῦτο τῷ κυρίῳ μου τῷ χριστῷ Κυρίου, ἐπενεγκεῖν χεῖρά μου ἐπ' αὐτόν· ὅτι Χριστὸς Κυρίου ἐστὶν οὗτος. Καὶ ἔπεισε Δαυῒδ τοὺς ἄνδρας αὐτοῦ ἐν λόγοις, καὶ οὐκ ἔδωκεν αὐτοὺς ἀναστάντας θανατῶσαι τὸν Σαούλ.[2]» Ζητητέον οὖν κατὰ ποίους χρόνους τὴν προκειμένην στηλογραφίαν ὁ Δαυῒδ ἀνέγραψε, καὶ ἐν ποίῳ σπηλαίῳ διατρίβων· πότερον ἐν τῷ σπηλαίῳ τῷ Ὀδολλάμ, ἢ ἐν τῷ σπηλαίῳ τῷ Ἐνγαδδί. Ἀλλὰ καὶ ἐπειδὴ δύο εἴρηνται ψαλμοὶ

1. Α' Βασ. 22, 1, 2. 2. Α' Βασ. 24, 2-8.

αὐτῷ ἐν τῷ σπηλαίῳ, ὁ μὲν προκείμενος στηλογραφία τυγχάνων, ὁ δὲ ρμα΄ ἐπιγεγραμμένος, «Συνέσεως τῷ Δαυῒδ ἐν τῷ σπηλαίῳ προσευχή·» ζητήσαι ἄν τις εὐλόγως εἰ κατὰ τὸν αὐτὸν εἴρηνται χρόνον, καὶ εἰ ἐν τῷ σπηλαίῳ τυγχάνων ἀμφοτέρους συνέταξεν. Δοκεῖ τοίνυν ἐμοί, κινουμένῳ ἐκ τῶν ἑκατέρω φερομένων λόγων, ἡ μὲν μετὰ χεῖρας στηλογραφία ἐν τῷ σπηλαίῳ τῷ Ὀδολλὰμ εἰρῆσθαι, ἡ δὲ ἐν τῷ ρμα΄, προσευχή, ἐν τῷ σπηλαίῳ τοῦ Ἐνγαδδί, ὅτε, τοῦ Σαοὺλ παρασκευαζομένου, ἐν τῷ σπηλαίῳ ἔνδον κρυπτόμενος εὕρηται. Οὕτω δέ μοι παρέστη κινηθέντι ἐκ τῶν παρ' ἑκατέρῳ φερομένων λόγων. Ὁ μὲν ρμα΄ φαίνεται εἰρημένος ἐν πολλῇ συνοχῇ καὶ ἀγῶνι τυγχάνοντι τῷ Δαυῒδ· φησὶ γοῦν ἐν αὐτῷ· «Φωνῇ μου πρὸς Κύριον ἐκέκραξα· φωνῇ μου πρὸς τὸν Θεὸν ἐδεήθην. Ἐκχεῶ ἐνώπιον αὐτοῦ τὴν δέησίν μου· τὴν θλῖψιν μου ἐνώπιον αὐτοῦ ἀπαγγελῶ. Ἐν τῷ ἐκλείπειν ἐξ ἐμοῦ τὸ πνεῦμά μου, καὶ σὺ ἐγίνωσκες τὰς τρίβους μου. Ἐν ὁδῷ ταύτῃ ᾗ ἐπορευόμην, ἔκρυψαν παγίδα μοι.[1]» Διὰ τούτων γὰρ τὴν συνοχὴν ἐν ᾗ ἐξητάζετο παρίστησι· καὶ ἔτι μᾶλλον δι' ὧν ἐπάγει λέγων ἑξῆς· «Ἀπώλετο φυγὴ ἀπ' ἐμοῦ·» πρὸ τῶν θυρῶν γὰρ τοῦ σπηλαίου καθεζομένου τοῦ Σαούλ, ἔνδον κρυπτόμενος, ἀπεγνώκει τὴν ἑαυτοῦ φυγήν. Πλὴν τὴν φυγὴν ἀπογνούς, ἐπὶ τὸν σωτήριον λιμένα καταφεύγει· διὸ ἐπιλέγει· «Ἐκέκραξα πρὸς σέ, Κύριε, εἶπα· Σὺ εἶ ἐλπίς μου·» καὶ προστίθησι λέγων· «Ἐξάγαγε ἐκ φυλακῆς τὴν ψυχήν μου.» Ὁρᾷς ὅπως τὸν εἴσω τοῦ σπηλαίου ἀποκλεισμὸν σημαίνει; Εἰκότως οὖν καὶ προσευχὴν ἐπιγράφει τοὺς λόγους, δηλῶν διὰ τῆς προγραφῆς τὸν καιρόν. Λέγει γοῦν· «Συνέσεως τῷ Δαυῒδ, ἐν τῷ εἶναι αὐτὸν ἐν τῷ σπηλαίῳ, προσευχή.» Ἀλλὰ ταῦτα μὲν προσηύξατο ἐν μεγάλῳ περιστὰς ἀγῶνι κατὰ τὸν δηλωθέντα χρόνον· ἡ δὲ μετὰ χεῖρας στηλογραφία λέλεκτο αὐτῷ, ὡς οἶμαι, ὄντι ἐν τῷ σπηλαίῳ τῷ Ὀδολλάμ, πάντας τε ὑποδεχομένῳ τούς τε ἀδελφοὺς αὐτοῦ καὶ τοὺς συγγενεῖς καὶ τοὺς λοιποὺς φυγάδας, τάχα που δι' αὐτὸν ἐπιβουλευομένους ὑπὸ τοῦ Σαούλ· ἀλλὰ καὶ πᾶσα κατώδυνος ψυχὴ καὶ πᾶς ἀδικούμενος κοινωνὸς ἐγίγνετο τῆς τοῦ Δαυῒδ φυγῆς. Δίκαιον γὰρ ἄνδρα καὶ παρὰ τῷ Θεῷ τετιμημένον, ἐλαυνόμενον ὑπὸ τοῦ Σαοὺλ ἀδίκως ὁρῶντες, τὰ ἑαυτῶν παρεμυθοῦντο κακά. Εἶτα καὶ αὐτοὶ τοὺς ἀδικοῦντας αὐτοὺς φεύγοντές τε, τὸν Δαυῒδ ἐζήλουν, ἠσπάζοντό τε τὴν σὺν αὐτῷ μερίδα, μᾶλλον ἀγαπῶντες ἐλαύνεσθαι σὺν αὐτῷ, ἢ τῷ ἐλαύνοντι συνεῖναι. Ἐπὶ σχολῆς τοίνυν διάγων ἐν τῷ σπηλαίῳ τῷ Ὀδολλὰμ τὴν παροῦσαν ἔγραφε στηλογραφίαν. Παρίστησι δὲ τοῦτο τὰ ἐπιλεγόμενα, τά τε ἄλλα καὶ δι' ὧν φησιν· «Ἐξαπέστειλεν ἐξ οὐρανοῦ, καὶ ἔσωσέ με·» καὶ πάλιν· «Ἐξαπέστειλεν ὁ Θεὸς τὸ ἔλεος αὐτοῦ καὶ τὴν ἀλήθειαν αὐτοῦ, καὶ ἐρρύσατο τὴν ψυχήν μου ἐκ μέσου σκύμνων.» Ὁρᾷς, ὡς τοὺς ἐν Γὲθ ἀλλοφύλους διαφυγών, ἅτε δὴ ἐν ἀσφα-

1. Ψαλμ. 141, 2-4.

λεία τυγχάνων, καὶ ἐν ἀνέσει ὤν, τοιαύτας ἠφίει φωνάς, καὶ ἔτι μᾶλλον τὰς ἑξῆς ἐπιφερομένας δι' ὧν εἴρηται· «Ἑτοίμη ἡ καρδία μου, ὁ Θεός, ᾄσομαι καὶ ψαλῶ. Ἐξεγέρθητι ἡ δόξα μου, ἐξεγέρθητι ψαλτήριον καὶ κιθάρα, ἐξεγερθήσομαι ὄρθρου. Ἐξομολογήσομαι ἐν λαοῖς, Κύριε, ψαλῶ σοι ἐν ἔθνεσι.» Ταῦτα γὰρ πολλῆς σχολῆς ἐμφατικὰ τυγχάνει, ἀλλὰ καὶ θυμηδίας. Λέγει γοῦν ὁ ἱερὸς ἀπόστολος· «Κακοπαθεῖ τις ἐν ὑμῖν; προσευχέσθω· εὐθυμεῖ τις; ψαλάτω.[1]» Ἀλλ' οὐδὲ οἷός τε ἦν ταῦτα λέγειν ἐν τῷ σπηλαίῳ τῷ Ἐνγαδδὶ συνεχόμενος ὑπὸ τοῦ Σαοὺλ πρὸ τῆς εἰσόδου καθεζομένου. Ποία γὰρ ἦν εὐκαιρία τότε, ὡς ψαλτήριον ἀναλαμβάνειν καὶ κιθάραν, κρυπταζόμενον ἐνδοτάτω τοῦ σπηλαίου; ὡς αὖ πάλιν οὐκ εἶχε λόγον, ἐν σχολῇ καὶ ἀνέσει διάγοντα αὐτὸν ἐν τῷ σπηλαίῳ τῷ Ὀδολλὰμ μετὰ τετρακοσίων ἀνδρῶν τῶν συνόντων αὐτῷ, λέγειν· «Ἀπώλετο φυγὴ ἀπ' ἐμοῦ[2]», καί, «Ἐξάγαγε ἐκ φυλακῆς τὴν ψυχήν μου.[3]»

Ταῦτα μὲν οὖν εἰρήσθω εἰς τὴν διαφορὰν τῶν προκειμένων. Ἴωμεν δὲ ἐπὶ τὴν τοῦ μετὰ χεῖρας ἐξήγησιν. «Εἰς τὸ τέλος, μὴ διαφθείρῃς, τῷ Δαυῒδ εἰς στηλογραφίαν», καὶ τὰ ἑξῆς. Ἤλαυνε μὲν ὁ Σαοὺλ τὸν Δαυῒδ· ὁ δ' ἔργοις ἐπιτελῶν τό, «Ἐὰν διώκωσιν ὑμᾶς ἐκ τῆς πόλεως ταύτης[4], φεύγετε εἰς τὴν ἑτέραν», ἀπεδίδρασκεν, ὡς ἂν μὴ παρὼν ἐρεθίζοι τὸν ἐχθρόν, αἴτιός τε αὐτῷ γίγνοιτο μιαιφονίας. Τὸ γάρ, «Μὴ ἔκκαιε ἄνθρακας ἁμαρτωλοῦ[5]», πάντων μᾶλλον Δαυῒδ ἠπίστατο· διὸ ὑπεχώρει καὶ παρεχώρει, καίπερ ἀγαπώμενος ὑπὸ παντὸς τοῦ ἔθνους, πλείστους τε ἔχων τοὺς συμπάσχοντας καὶ συναλγοῦντας, δυναμένους τε αὐτὸν οἴκοι παρ' ἑαυτοῖς ὑποδέχεσθαι καὶ κρύπτειν. Ἀλλὰ ἵνα μὴ καὶ ἑτέροις αἴτιος γίγνοιτο κινδύνων, ἔφυγεν ἐπὶ τὰς ἐρήμους χώρας, καὶ τὰς ἐν τοῖς σπηλαίοις ἠσπάζετο διατριβάς. Καί μοι δοκεῖ καὶ αὐτοῦ τὴν μνήμην αἰνίττεσθαι λέγων ὁ ἱερὸς Ἀπόστολος· «Ἐν ἐρημίαις πλανώμενοι καὶ ὄρεσι καὶ σπηλαίοις καὶ ταῖς ὀπαῖς τῆς γῆς.[6]» Ὥσπερ δὲ ὁ προτεταγμένος τοῦ παρόντος, ψαλμὸς οὐκ ἦν, ἀλλὰ «στηλογραφία», ὅπερ ἡρμήνευσεν ὁ Ἀκύλας, «ταπεινοῦ τελείου·» ὁ δὲ Σύμμαχος, «τοῦ ταπεινόφρονος καὶ ἀμώμου·» οὕτως καὶ ὁ παρὼν λόγος, τὴν εἰς ἄκρον πραότητος καὶ ἀνεξικακίας τοῦ Δαυῒδ ἀρετήν, ταπεινοῦ τελείου, ταπεινόφρονος καὶ ἀμώμου· εἶθ' ὥσπερ αἰωνίου μνήμης τὴν ταπεινοφροσύνην ἀξίαν ἀνατίθησι στηλογραφίᾳ. Ἐπὶ ταύτῃ δὲ τῇ ἀρετῇ καὶ Μωϋσῆς ἐμαρτυρεῖτο, καὶ ὁ Σωτὴρ δὲ καὶ Κύριος ἡμῶν ἐπὶ ταύτην παρεκάλει λέγων· «Μάθετε ἀπ' ἐμοῦ, ὅτι πρᾶός εἰμι καὶ ταπεινὸς τῇ καρδίᾳ.[7]» Ἐπεὶ δὲ ἐδεῖτο παραμονῆς καὶ τῆς ἐπὶ μήκιστον φυλακῆς ἡ τοιαύτη ἀρετὴ («ὁ» γὰρ «ὑπομείνας εἰς τέλος, οὗτος σωθήσεται·[8]») διὰ τοῦτο ἐπιγέγραπται, «Εἰς τὸ τέλος, μὴ διαφθείρῃς.» Πολλοὶ γάρ, καλῶς ἀρξάμενοι, οὐ

1. Ἰακ. 5, 13. 2. Ψαλμ. 141, 5. 3. Ψαλμ. 141, 8. 4. Ματθ. 10, 23. 5. Σοφ. Σειρ. 8, 10. 6. Ἑβρ. 11, 38. 7. Ματθ. 11, 29. 8. Ματθ. 10, 22.

διήρκεσαν εἰς τέλος. Ἀλλὰ τὸ Πνεῦμα τὸ ἅγιον, τοῦ Δαυῒδ τὴν φυγὴν καὶ τὴν ἐν ἐρημίαις διατριβήν, τήν τε ἐν σπηλαίοις καρτερικωτάτην οἴκησιν ἀποδεχόμενον, φησὶν αὐτῷ, «Εἰς τὸ τέλος, μὴ διαφθείρῃς», μένε δὲ δι' ὅλου τοιοῦτος, ὡς ἂν τύχοις στηλογραφίας καὶ μνήμης αἰωνίου. Ὁ δὲ ἐπὶ τούτοις, οὐ κατὰ Κυνικοὺς τῶν τὴν σοφίαν τοῦ αἰῶνος τούτου μετερχομένων τυφούμενος, οὐδὲ μέγα φρονῶν καὶ βρενθυόμενος ἐπὶ τῇ τοῦ βίου καρτερίᾳ, οὐδ' ὅτι πλείους τοὺς παρ' αὐτῷ συνηγμένους μιμητὰς καὶ μαθητὰς τοῦ οἰκείου τρόπου ἐκέκτητο χαυνούμενος· οὐδὲ ὡς ἐπὶ δορυφόροις καὶ συμμάχοις θαρσῶν· τὸν δὲ πρᾶον καὶ ταπεινόν, τέλεόν τε καὶ ὡς ἀληθῶς ταπεινόφρονα καὶ ἄμωμον ἔργῳ παριστάς, ἐβόα πρὸς τὸν Θεὸν λέγων· «Ἐλέησόν με, ὁ Θεός, ὅτι ἐπὶ σοὶ πέποιθεν ἡ ψυχή μου, καὶ ἐν τῇ σκιᾷ τῶν πτερύγων σου ἐλπιῶ.» Οἶδα μὲν γὰρ τὰς σὰς πτέρυγας καὶ τὴν σὴν σκέπην τελείαις ψυχαῖς ἀφωρισμένας· ἐγὼ δέ, μικρὸς ὢν καὶ ταπεινός, οὐκ ἐπὶ ταῖς σαῖς πτέρυξιν, ἀλλ' «ἐπὶ τῇ σκιᾷ τῶν πτερύγων σου ἐλπιῶ, ἕως ἂν παρέλθῃ ἡ ἀνομία·» ἤ, κατὰ τὸν Ἀκύλαν, «ἕως ἂν παρέλθῃ ἡ ἐπιβουλή·» κατὰ δὲ τὸν Σύμμαχον, «ἕως ἂν παρέλθῃ ἐπηρεαστής.» Ἐπειδὰν δὲ παρέλθῃ ἡ ἀνομία, καὶ ἡ κατ' ἐμοῦ ἐπιβουλή, καὶ ὁ ὠνομασμένος ἐπηρεαστής, οὐκέτι ἐν τῇ σκιᾷ, ἀλλ' ἐν αὐταῖς ταῖς σαῖς πτέρυξιν, ὡς ἂν προκόψας καὶ ἠλευθερωμένος πάσης ἀνόμου πράξεώς τε καὶ ἁμαρτίας ἐλπιῶ.

Στίχ. γ,δ'. «Κεκράξομαι πρὸς τὸν Θεὸν τὸν ὕψιστον, τὸν Θεὸν τὸν εὐεργετήσαντά με. Ἐξαπέστειλεν ἐξ οὐρανοῦ καὶ ἔσωσέ με, ἔδωκεν εἰς ὄνειδος τοὺς καταπατοῦντάς με. Διάψαλμα.»

Κραυγὰς καὶ βοὰς εἰώθασιν οἱ δίκαιοι τῷ Θεῷ πέμπειν, οὐ γεγωνῷ τῇ φωνῇ, δυνάμει δὲ ψυχῆς ὑπερβαλλούσῃ. Διὸ καὶ σιωπῶντες πολλάκις τῷ πνεύματι ἐβόων· αὐτὸ γὰρ τὸ «Πνεῦμα στεναγμοῖς ἀλαλήτοις ὑπερεντυγχάνει τῷ Θεῷ [1]», κατὰ τὸν Ἀπόστολον. Οὕτως οὖν καὶ ὁ Δαυῒδ ἐκεκράγει πρὸς τὸν Θεόν. Εἶθ' ὡσανεὶ πολλάκις πεῖραν εἰληφὼς τοῦ ἑαυτοῦ Σωτῆρος, εὐγνωμόνως ἐπάγει λέγων, «τὸν Θεὸν τὸν εὐεργετήσαντά με.» Εἰπὼν δέ, «Ἐξαπέστειλεν ἐξ οὐρανοῦ καὶ ἔσωσέ με», ἐμφαίνει ἀπεστάλθαι τινὰ Σωτῆρα ἐκ τοῦ Θεοῦ. Τίνα δὲ τοῦτον νῦν μὲν οὐ παρέστησεν, ἐν ἑτέρῳ δὲ διδάσκει, ἔνθα φησίν· «Ἀπέστειλε τὸν λόγον αὐτοῦ, καὶ ἰάσατο αὐτούς, καὶ ἐρρύσατο αὐτοὺς ἐκ τῶν διαφθορῶν αὐτῶν.[2]» Οὐκοῦν λόγος ἦν Θεοῦ, ὁ καὶ πάλαι ἀποστελλόμενος, καὶ τῶν ἀξίων τῆς αὐτοῦ σωτηρίας Σωτὴρ γιγνόμενος, ὃν καὶ ὁ Δαυῒδ ἀκριβῶς εἰδὼς ἔλεγεν· «Ἐξαπέστειλεν ἐξ οὐρανοῦ καὶ ἔσωσέ με.» Τὸν μὲν οὖν σωτηρίας ἄξιον ἔσωζε διὰ τοῦ Σωτῆρος ὁ Ὕψιστος· ὁ δὲ αὐτός, δίκαια κρίνων, τοὺς ἐπανισταμένους καὶ καταπατοῦντας τὸν δίκαιον ἐδίδου εἰς ὄνειδος, ὠφελῶν καὶ βελτίους ἀπεργαζόμενος, διὰ τοῦ ὀνειδίζειν καὶ ἐπιστρέφειν εἰς ἑαυτόν.

1. Ῥωμ. 8, 26. 2. Ψαλμ. 106, 20.

Στίχ. ε'. «Ἐξαπέστειλεν ὁ Θεὸς τὸ ἔλεος αὐτοῦ καὶ τὴν ἀλήθειαν αὐτοῦ, καὶ ἐρρύσατο τὴν ψυχήν μου ἐκ μέσου σκύμνων», καὶ τὰ ἑξῆς.

Τὴν ἀνωτέρω λείπουσαν διάνοιαν διὰ τῶν προκειμένων ἀποδέδωκε. Ζητουμένου γὰρ τίνα ἐξαπέστειλεν ἐκ τοῦ οὐρανοῦ, καὶ ἔσωσε τὸν Δαυΐδ, παρέστησεν ἐνταῦθα εἰπών· «Ἐξαπέστειλεν ὁ Θεὸς τὸ ἔλεος αὐτοῦ καὶ τὴν ἀλήθειαν αὐτοῦ.» Ἔλεος δὲ καὶ ἀλήθεια ἐξαποστελλομένη τίς ἂν ἢ εἴη ὁ τοῦ Θεοῦ λόγος, περὶ οὗ ἐλέγετο, «Ἐξαπέστειλε τὸν λόγον αὐτοῦ, καὶ ἰάσατο αὐτούς, καὶ ἐρρύσατο αὐτοὺς ἐκ τῶν διαφθορῶν αὐτῶν;[1]» Ὁ δ' αὐτὸς ὁμοίως καὶ φῶς ἀποστελλόμενον εἴρηται ἐν τῷ φάσκοντι ψαλμῷ· «Ἐξαπόστειλον τὸ φῶς σου καὶ τὴν ἀλήθειάν σου, αὐτά με ὁδηγήσει.[2]» Φῶς δὲ καὶ ἀλήθεια καὶ λόγος ἀποστελλόμενα παρὰ τοῦ ὑψίστου Θεοῦ, οὐκ ἀνούσια, οὐδὲ ἀνυπόστατα· οὐ γὰρ οἷόν τε ἦν πρᾶγμα ἀνυπόστατον ἀποστέλλεσθαι. Ὥσπερ δὲ Λόγος νοεῖται ἰάσεως καὶ σωτηρίας ποιητικός, οὕτως ἐπὶ τοῦ παρόντος ὁ αὐτὸς ἔλεος ὠνόμασται, ὡς ἂν ὑπηρετικὸς ὢν τῆς τοῦ Πατρὸς φιλανθρωπίας· ὁμοίως δὲ καὶ ἀλήθεια, ὡς ἂν ἀληθῶς ὑφεστὼς καὶ κατ' ἐνέργειαν οὐσιωμένος. Ὁ γοῦν ἡμέτερος λόγος ὤν, συλλαβαῖς καὶ ῥήμασι καὶ ὀνόμασι τὴν ὑπόστασιν ἔχων, καὶ διὰ γλώττης καὶ φωνῆς ἐξηχούμενος, οὐκ ἂν λεχθείη κυρίως καὶ ἀληθῶς λόγος. Ἔχει γοῦν ἕτερον τὸν γεννῶντα αὐτόν, ὃν καὶ κυρίως ἄν τις εἴποι ἀληθῆ λόγον· τοῦτον δ' εἶναί φασι τὸν ἐνδιάθετον. Ὥσπερ οὖν ὁ ἐν ἡμῖν ἐνδιάθετος λόγος, ὁ καὶ κυρίως ἂν ῥηθεὶς ἀληθῶς λόγος, ὑπόστατος τυγχάνει, κατ' οὐσίαν ὑφεστώς, ἕτερός τε ὢν παρὰ τὸν ἀποστέλλοντα αὐτόν· διὸ ἀνωτέρω μὲν ἐλέγετο, «Ἐξαπέστειλεν ἐξ οὐρανοῦ καὶ ἔσωσέ με.» Τίνα δὲ ἐξαπέστειλε, ἐπὶ τοῦ παρόντος διδάσκει φάσκων· «Ἐξαπέστειλε τὸ ἔλεος αὐτοῦ καὶ τὴν ἀλήθειαν αὐτοῦ, καὶ ἐρρύσατο τὴν ψυχήν μου ἐκ μέσου σκύμνων·» ὧν μέσος γενόμενος «ἐκοιμήθην», φησί, «τεταραγμένος.» Μέσος γὰρ ἀποληφθεὶς σκύμνων τῶν ἐν Γὲθ ἀλλοφύλων, ἢ τῶν ἄλλως πολεμούντων με ἐχθρῶν, τὸ ὅσον ἐπ' ἐμοὶ καὶ τῇ ἀνθρωπίνῃ ἀσθενείᾳ, «ἐκοιμήθην τεταραγμένος.» Ὁ δὲ ὕψιστος Θεός, τὸν προλεχθέντα λόγον αὐτοῦ καὶ τὴν ἀλήθειαν καὶ τὸν ἔλεον ἐξαποστείλας, ἐρρύσατο τὴν ψυχήν μου, ὡς μηδὲν αὐτὴν παθεῖν ἐκ τῆς ταραχῆς τῶν σκύμνων. Κατὰ δὲ τοὺς λοιποὺς ἑρμηνευτάς· Οὐ τεταραγμένος, φησίν, ἐκάθευδον μέσος ἀποληφθεὶς λεόντων, ἀλλ' ἀπτόητος ἤμην καὶ εὐθαρσής. Λέγει γοῦν ὁ Ἀκύλας· «Ἐν μέσῳ λεαινῶν κοιμηθήσομαι λάβρων·» ὁ δὲ Σύμμαχος· «Ἐν μέσῳ λεόντων εὐθαρσῶν ἐκοιμήθην.» Τίνες δὲ ἦσαν οἱ λέοντες, ἢ οἱ σκύμνοι καὶ αἱ λέαιναι, διασαφεῖ ἑξῆς λέγων· «Υἱοὶ ἀνθρώπων οἱ ὀδόντες αὐτῶν ὅπλον καὶ βέλη, καὶ ἡ γλῶσσα αὐτῶν μάχαιρα ὀξεῖα.» Παντὸς γὰρ θηρὸς ἀγρίου ἰοβόλου τε ἑρπετοῦ, χείρων ἂν γένοιτο φαῦλος καὶ πονηρὸς ἄνθρωπος, μάλιστα ὁ διαβολαῖς καὶ καταλαλιαῖς σχολάζων, καὶ ταῖς

1. Ψαλμ. 42, 3. 2. Ψαλμ. 42, 3.

τῶν θεοφιλῶν ψυχαῖς ἐπιβουλεύων, οὐχ ὅπλοις δὲ καὶ δόρασι, κεκρυμμένοις δὲ καὶ λανθάνουσι τοῖς διὰ λόγων ἀναιρετικοῖς ὀργάνοις. Κέχρηνται γοῦν οἱ τοιοῦτοι τῇ μὲν τῶν ὀδόντων περιβολῇ ὥσπερ τινὶ ὅπλῳ περιφράττοντι, καὶ περικλείοντι τοὺς εἴσω τῶν ὀδόντων κρυπτομένους λόγους· τῇ δὲ γλώττῃ καὶ ταῖς ἐκ ταύτης διαπεμπομέναις διαβολαῖς, ὥσπερ τισὶ βέλεσιν ἀκοντιζομένοις. Ἡ δ' αὐτὴ τῶν τοιούτων γλῶττα μαχαίρας ὀξυτάτης οὐδὲν ἂν διαφέροι κεντούσης, καὶ τὰ πρὸς θάνατον ἐνεργούσης. Ἀλλ' οἱ μὲν ἀνθρώπινοι λέοντες καὶ ὠνομασμένοι σκύμνοι τοιοῦτοι. Ἐγὼ δὲ αὐτῶν διέφερον τὴν ἐπιβουλήν, διὰ τὸν ἐκ τοῦ Θεοῦ ἀπεσταλμένον μοι Σωτῆρα, τὸν ῥυσάμενον τὴν ψυχήν μου ἐκ μέσου σκύμνων. Εἴτε δὲ ταῦτα περὶ τοῦ Σαοὺλ ἐλέγετο, εἴτε περὶ τῶν διαβαλλόντων τὸν Δαυῒδ παρὰ τὸν Σαούλ, εἴτε περὶ τῶν ἐν Γὲθ ἀλλοφύλων, εἴτε περὶ ἀοράτων ἐχθρῶν, καὶ αὐτὸς ἐπιστήσεις.

Στίχ. ς', ζ'. «Ὑψώθητι ἐπὶ τοὺς οὐρανούς, ὁ Θεός, καὶ ἐπὶ πᾶσαν τὴν γῆν ἡ δόξα σου», καὶ τὰς ἑξῆς.

Τῷ ἐξαποσταλέντι ὑπὸ τοῦ Ὑψίστου βοηθῷ ἑαυτοῦ καὶ Σωτῆρι, ὡς ἂν ἑαυτὸν ταπεινώσαντα διὰ τῆς μέχρις ἀνθρώπων καθόδου, ῥυσαμένῳ τε τὴν ψυχὴν αὐτοῦ ἐκ μέσου σκύμνων, ἐπιφωνεῖ λέγων ὁ Προφήτης· Ἐπειδή, τοῦ οἰκείου μεγέθους ὑποκαταβάς, καὶ σεαυτὸν σμικρύνας, τῆς ἐμῆς ταπεινότητος ἐφρόντισας, ἐρρύσω τε τὴν ψυχήν μου ἐκ μέσου τῶν προλεχθέντων, ὑψώθητι λοιπόν, καὶ ἀπολάμβανε τὸν σαυτοῦ θρόνον καὶ τὴν πρέπουσάν σοι ἐν οὐρανῷ βασιλείαν. Οὐδὲ οὕτως γὰρ ἀποστερηθήσεται ἡ γῆ τῆς σῆς δόξης, κἂν ἐν οὐρανῷ διατρίβῃς. Ὥσπερ γὰρ ἥλιος, τὸν οἰκεῖον ἀποτελῶν δρόμον, οὐκ ἀποστερεῖ τοὺς ἐπὶ γῆς τῆς ἑαυτοῦ λαμπηδόνος· τὸν αὐτὸν τρόπον καὶ σύ, ὦ Κύριε, εἰ καὶ τὰ μάλιστα δι' ὑπερβολὴν φιλανθρωπίας τοῦ καταπέμψαντός σε Πατρὸς μέχρι τῆς ἐμῆς σμικρότητος ἐξητάσθης, ἀλλ' ὑψώθητι λοιπὸν ἐπὶ τοὺς οὐρανούς, καὶ τοῖς κόλποις τῆς Πατρικῆς θεότητος ἐνοικῶν, πλήρου τῆς σαυτοῦ δόξης πᾶσαν τὴν γῆν. Λέγω δὲ ταῦτα εἰκότως, ἐν ἀμεριμνίᾳ παντὸς κακοῦ γεγονώς, καὶ τῶν προλεχθέντων σκύμνων καὶ λεόντων διὰ τῆς σῆς ἐπισκοπῆς ῥυσθείς· οἵτινες «παγίδας ἡτοίμασαν τοῖς ποσί μου», καί, τὸ ὅσον ἐπ' αὐτοῖς, «κατέκαμψαν τὴν ψυχήν μου·» ἀλλὰ καὶ «ὤρυξαν πρὸ προσώπου μου βόθρον.» Ταῦτα δὲ καθ' ἑαυτῶν, ἀλλ' οὐ κατ' ἐμοῦ διὰ τὴν σὴν σκέπην εἰργάσαντο. Ἔφθασαν γὰρ αὐτοὶ μᾶλλον εἰς τὸν ἑαυτῶν καταπεσόντες βόθρον. Διόπερ ἐπειδὴ ταῦτα εἰργάσω σὺ ὁ ἀπεσταλμένος ὑπὸ τοῦ Πατρός, ὑψώθητι λοιπόν, καὶ ἀπολάμβανε τὰς οὐρανίους, ὡς οἰκείας καὶ συνήθεις τῇ σῇ θεότητι διατριβάς.

Στίχ. η'-ιβ'. «Ἑτοίμη ἡ καρδία μου, ὁ Θεός, ἑτοίμη ἡ καρδία μου, ᾄσομαι καὶ ψαλῶ», καὶ τὰ ἑξῆς».

Ὁ Σωτὴρ ἐν ταῖς πρὸς τοὺς μαθητὰς διδασκαλίαις ταῦτ' εἰρηκὼς περὶ τοῦ ἁγίου Πνεύματος· «Ἐὰν ἀγαπᾶτε ἐμέ, τὰς ἐντολὰς τὰς ἐμὰς

τηρήσατε· καὶ ἐγὼ ἐρωτήσω τὸν Πατέρα, καὶ ἄλλον Παράκλητον δώσει ὑμῖν, ἵνα ᾖ μεθ' ὑμῶν εἰς τὸν αἰῶνα, τὸ Πνεῦμα τῆς ἀληθείας·[1]» καὶ πάλιν· «Ταῦτα λελάληκα ὑμῖν παρ' ὑμῖν μένων· ὁ δὲ Παράκλητος, τὸ Πνεῦμα τὸ ἅγιον ὃ πέμψει ὁ Πατήρ μου ἐν τῷ ὀνόματί μου, ἐκεῖνος ὑμᾶς διδάξει πάντα καὶ ὑπομνήσει·[2]» καὶ αὖθις· «Ἔτι πολλὰ ἔχω λέγειν ὑμῖν, ἀλλ' οὐ δύνασθε βαστάζειν ἄρτι. Ὅταν δὲ ἔλθῃ ἐκεῖνος τὸ Πνεῦμα τῆς ἀληθείας, διηγήσεται ὑμῖν τὴν ἀλήθειαν, ὅτι ἐκ τοῦ ἐμοῦ λήψει, καὶ ἀναγγελεῖ ὑμῖν.[3]» Δι' ὧν παρίστησι μείζονα μὲν εἶναι τὰ παρ' αὐτοῦ καὶ μὴ χωρούμενα ὑπὸ τῶν ἀποστόλων· Οὐ γὰρ δύνασθε, φησί, βαστάζειν· τὸ δὲ Πνεῦμα τῆς ἀληθείας τὸ ἐξ αὐτοῦ χορηγούμενον καὶ τοῖς ἀποστόλοις ὑπ' αὐτοῦ πεμπόμενον ἀναγγέλλειν αὐτοῖς πᾶσαν τὴν ἀλήθειαν. Εἰ δὴ οὖν ταῦτα νενόηται, εἰκότως καὶ ὁ Δαυῒδ τῷ ἀπεσταλμένῳ Θεῷ εἰς τὴν αὐτοῦ βοήθειαν προφήσας, «Ὑψώθητι ἐπὶ τοὺς οὐρανούς, ὁ Θεός, καὶ ἐπὶ πᾶσαν τὴν γῆν ἡ δόξα σου», ἱκετεύει ἑξῆς τὸν αὐτὸν καταπέμψαι αὐτῷ τὸ Πνεῦμα τὸν Παράκλητον, τὸ προφητικόν, ἕτοιμον εἶναι ἑαυτὸν φάσκων εἰς ὑποδοχὴν αὐτοῦ· κεκαθάρθαι γὰρ τὸν ἐν αὐτῷ ναὸν καὶ τὸ δοχεῖον τῆς αὐτοῦ ψυχῆς· δηλαδὴ τὴν αὐτὴν διάνοιαν, ἣν τροπικῶς καρδίαν εἴωθεν ὀνομάζειν ὁ λόγος· ὃ δὴ παρίστησι λέγων· «Ἑτοίμη ἡ καρδία μου, ὁ Θεός, ἑτοίμη ἡ καρδία μου.» Ἡ μὲν οὖν ἐμὴ καρδία καὶ τὸ διανοητικὸν ἕτοιμον τυγχάνει, φησί. Σὺ δὲ λοιπὸν κατάπεμπέ σου τὸ Πνεῦμα. Ἐπιστάντος γὰρ αὐτοῦ καὶ ἐποχουμένου τῇ ἐμῇ ψυχῇ, συνήθως «ᾄσομαι καὶ ψαλῶ», τὴν ἐμαυτοῦ διακονίαν καὶ ὑπηρεσίαν παρέχων τῇ δυνάμει τοῦ προφητικοῦ Πνεύματος. Καὶ ταῦτ' εἰπών, παραχρῆμά τε εἰσακουσθεὶς κατὰ τό, «Ἔτι λαλοῦντός σου ἐρῶ· Ἰδοὺ πάρειμι[4]», συνῄσθετο τῆς τοῦ ἁγίου Πνεύματος παρουσίας. Εἶθ' ὥσπερ ἐπὶ θύραις ἑστῶτος, ἐπιστρέφεται ὁ Προφήτης, καὶ διεγείρει αὐτὸς ἑαυτὸν ἐπὶ τὴν διακονίαν τῆς προφητείας· διὸ ἐπιφέρει· «Ἐξεγέρθητι, ἡ δόξα μου.» Δόξα μου ἐστὶ τὸ προφητεύειν. Εἶτ' ἐπιλέγει· «Ἐξεγέρθητι, ψαλτήριον καὶ κιθάρα·» τὴν μὲν ψυχὴν διὰ τοῦ ψαλτηρίου, τὴν δὲ κιθάραν διὰ τοῦ σώματος αἰνιττόμενος· ἢ καὶ αὐτὰ τὰ συνήθη ὄργανα ταῖς χερσὶν ἀναλαμβάνων, ἐπὶ τῷ ἀνακρούσασθαι τὰ ὑπὸ τοῦ Πνεύματος ὑποβαλλόμενα. Καὶ τούτοις προστίθησι λέγων· «Ἐξεγερθήσομαι ὄρθρου.» Ἄρτι γὰρ φωτισθεὶς διὰ τῆς τοῦ Πνεύματος παρουσίας ἐν ἡμέρᾳ τε θείου φωτὸς γενόμενος, ἕτοιμός εἰμι προφητεύειν. Καὶ ταῦτ' εἰπών, ἀνατίθησιν ὅλον ἑαυτὸν τῷ Πνεύματι· τὸ δὲ ὡς δι' ὀργάνου διὰ τοῦ προφήτου ἀγαθῶν ἀπαγγέλλει, ἀνὰ πᾶσιν εὐαγγελίζεται τοῖς ἔθνεσι φάσκον· «Ἐξομολογήσομαί σοι ἐν λαοῖς, Κύριε, ψαλῶ σοι ἐν ἔθνεσιν.» Ἐπειδὴ γὰρ ἐπὶ τοῦ παρόντος τὸ Ἰουδαίων ἔθνος καὶ ὁ τούτων λαὸς τοὺς σοὺς ἐλαύνει προφήτας, ὡς μηδενὸς τό-

1. Ἰω. 14, 15-17. 2. Ἰω. 14, 25, 26. 3. Ἰω. 16, 12, 13. 4. Ἠσ. 58, 9.

που παραχωρεῖν αὐτοῖς· ἔσται δὲ καιρὸς καθ' ὃν πάντα τὰ ἐπὶ γῆς ἔθνη καὶ πάντες οἱ ἐν ἀνθρώποις λαοὶ τοῦ σοῦ ἐλέου μεθέξουσιν, ὡς ἐμὲ τὸ προφητικὸν Πνεῦμα πάντας ἀθρόως λαοὺς πληρῶσαι καιρῷ τῷ θεσπιζομένῳ, γενόμενον ἐν αὐτοῖς, καὶ ἐξομολογήσασθαί σοι καὶ εὐχαριστῆσαι, ὅτε καὶ ψαλῶ σοι, οὐκ ἐν τῷ Ἰουδαίων λαῷ, ἀλλ' ἐν πᾶσι τοῖς καθ' ὅλης τῆς οἰκουμένης ἔθνεσι· τούτου χάριν φημί· «Ἐξομολογήσομαί σοι ἐν λαοῖς, Κύριε, ψαλῶ σοι ἐν ἔθνεσι.» Τὸ δὲ τούτου αἴτιον, λέγω δὲ τὸ ἐν πᾶσι τοῖς καθ' ὅλης τῆς οἰκουμένης λαοῖς καὶ παρὰ πᾶσι τοῖς ἔθνεσιν ἐμπολιτεύεσθαι τὸ προφητικὸν πνεῦμα. Καὶ τοὺς πάλαι ἀναφωνηθέντας προφητικοὺς λόγους εἰς ἔργα χωρήσειν ἑξῆς διασαφεῖ φάσκον· «Ὅτι ἐμεγαλύνθη ἕως τῶν οὐρανῶν τὸ ἔλεός σου, καὶ ἕως τῶν νεφελῶν ἡ ἀλήθειά σου.» Τὸ γὰρ παράδοξον τοῦτ' ἦν, ὅτι τὰ μὲν οὐράνια ἐλέους φημὶ ἀξιοῦσθαι, τὰ δὲ ἐπίγεια τῆς ἀληθείας. Εἰ γὰρ καὶ τὰ μάλιστα δοκεῖ τὰ ἐν οὐρανοῖς κεκαθαρμένα τυγχάνειν, καὶ πάντα τέλεια καὶ εἰς ἄκρον ἀρετῆς ἐληλακότα· ὅμως δ' οὖν καὶ αὐτὰ διὰ τὸν σὸν ἔλεον τοιαῦτα ὄντα καθέστηκεν. Οὐ γὰρ ἐξ αὐτῶν, οὐδὲ παρ' ἑαυτῶν τῆς τοιαύτης μετέχει μακαριότητος, ἀλλὰ παρὰ σοῦ τοῦ πάντων ἀγαθῶν χορηγοῦ. Ἢ ἄλλως, «Ὅτι ἐμεγαλύνθη ἕως τῶν οὐρανῶν τὸ ἔλεός σου», τὸ χυθὲν εἰς πάντας ἀνθρώπους. Ὃ δὴ καὶ ἀνωτέρω ἀπεστάλθαι ἐλέγετο ἐν τῷ, «Ἐξαπέστειλεν ὁ Θεὸς τὸ ἔλεος αὐτοῦ καὶ τὴν ἀλήθειαν αὐτοῦ.» Τοιαῦτα γὰρ ἐν ἀνθρώποις κατώρθωσε τὸ ἀποσταλὲν ἔλεος, ὡς ἐν πᾶσι τοῖς λαοῖς ἐμὲ τὸ Πνεῦμα τὸ ἅγιον ἐξομολογήσασθαί σοι, καὶ ἐν πᾶσι τοῖς ἔθνεσι ψάλαι σοι· ὅθεν ἐμεγαλύνθη ἕως τῶν οὐρανῶν· ἐπεὶ μέχρι τῶν οὐρανῶν τοὺς ἐν ἀνθρώποις προκόψαντας εἵλκυσεν, ὡς καὶ ἐπαγγελίαν αὐτοῖς δεδόσθαι βασιλείας οὐρανῶν. Ἀλλὰ καὶ ἕως τῶν νεφελῶν, φησίν, ἡ ἀλήθειά σου. Νεφέλαι δὲ ὑπηρετικαὶ τυγχάνουσιν ὑετῷ, τῷ τῆς θείας Προνοίας βουλήματι διακονούμεναι. Οὕτω δὲ παρίστησιν ὁ λόγος προνοεῖν ἀνθρώπων τὸν Θεόν, ἐκ τοῦ μέχρι τῶν νεφελῶν ἐκτείνεσθαι αὐτοῦ τὴν διοίκησιν, καὶ τὴν ἀλήθειαν τῆς ἐπισκοπῆς αὐτοῦ μέχρι τῆς τῶν νεφελῶν ὑπηρεσίας φθάνειν. Καὶ ἄλλως δὲ τὰς ἐν ἀνθρώποις τελείας ψυχάς, τὰς προφητικὰς ὥσπερ ὑετοὺς τὰς ἐκ Θεοῦ διδασκαλίας χορηγούσας ταῖς τούτων δεομένων ψυχαῖς, νεφέλας εἴωθεν ὀνομάζειν ἡ Γραφή. Ὅτε γοῦν ἠπείλει τῷ Ἰουδαίων ἔθνει ἐρημίαν ὁ προφήτης Ἡσαΐας, τὸν Θεὸν εἰσῆγε λέγοντα· «Καθελῶ τὸν φραγμὸν αὐτοῦ, καὶ ἔσται εἰς διαρπαγήν· καὶ καθελῶ τὸν τοῖχον αὐτοῦ, καὶ ἔσται εἰς καταπάτημα. Καὶ ἀνήσω τὸν ἀμπελῶνά μου, καὶ οὐ μὴ τμηθῇ, οὐδὲ μὴ σκαφῇ· καὶ ἀναβήσεται εἰς αὐτὸν ὡσεὶ χέρσον ἄκανθα. Καὶ ταῖς νεφέλαις ἐντελοῦμαι τοῦ μὴ βρέξαι ἐπ' αὐτὸν ὑετόν.[1]» Ἄντικρυς διὰ τούτων τῶν θείων προφητῶν, νεφελῶν ὠνομασμένων, οἱ πνεύματος οὐρανίου πληρούμενοι λογικοὺς ὑετοὺς ταῖς τῶν ἀνθρώπων ἐχορήγουν

1. Ἡσ. 5, 5-6.

ψυχαῖς. Ἐπειδὴ τοίνυν ἡ ἀλήθεια τοῦ Θεοῦ καὶ τὸ ἔλεος αὐτοῦ, περὶ ὧν μικρὸν πρόσθεν ἔλεγεν, «Ἐξαπέστειλεν ὁ Θεὸς τὸ ἔλεος αὐτοῦ καὶ τὴν ἀλήθειαν αὐτοῦ, καὶ ἐρρύσατο τὴν ψυχήν μου ἐκ μέσου σκύμνων·» πάλαι μὲν τὴν ψυχὴν ἐρρύσατο τοῦ Δαυΐδ, ἤμελλε δὲ καὶ μετὰ ταῦτα καὶ πάντα ἐπισκοπεῖν τὰ ἔθνη· εἰκότως τὸ Πνεῦμα τὸ ἅγιον, ταῦτα εὐαγγελιζόμενον, καὶ ὅτι ἐν λαοῖς ἐξομολογήσεται, καὶ ἐν πᾶσι τοῖς ἔθνεσι ψαλεῖ τῷ Θεῷ, τὴν αἰτίαν προστίθησι λέγον· «Ὅτι ἐμεγαλύνθη ἕως τῶν οὐρανῶν τὸ ἔλεός σου», καὶ τὰ ἑξῆς. Εἶτα τούτοις ἅπασι τὸ ἐπισφράγισμα ἐπάγει λέγον· «Ὑψώθητι ἐπὶ τοὺς οὐρανούς, ὁ Θεός, καὶ ἐπὶ πᾶσαν τὴν γῆν ἡ δόξα σου», δεύτερον ἐπαναλαβὼν τὴν αὐτὴν θεολογίαν. Σοὶ γάρ, φησί, πρέπει ὑψοῦσθαι, εἰ καὶ τὰ μάλιστα δι' ἀνθρώπους συγκαταβαίνεις τῇ ἡμετέρᾳ ταπεινώσει, λαοὺς καὶ ἔθνη προσκαλούμενος τῇ σαυτοῦ χάριτι. Ἀλλ' ὑψώθητι, καὶ ἀπολάμβανε τὸν σαυτοῦ θρόνον. Καὶ οὕτως γὰρ ἐν οὐρανοῖς τὰς διατριβὰς ποιούμενος, καὶ ἐν τῇ σαυτοῦ τυγχάνων θεότητί τε καὶ βασιλείᾳ, πᾶσαν τὴν γῆν πληροῦν δυνήσῃ τῆς σαυτοῦ δόξης. Ὃ δὴ καὶ Μωσῆς ἀναγράφει τὸν Θεὸν εἰσάγων περὶ μὲν Ἰουδαίων λέγοντα δι' ἣν εἰργάσαντο μοσχοποιίαν· «Ἔασόν με, καὶ θυμωθεὶς ὀργῇ ἐκτρίψω αὐτούς·[1]» περὶ δὲ τῆς τῶν ἐθνῶν κλήσεως ἐπάγοντα τό, «Ζῶ ἐγώ, καὶ ζῇ τὸ ὄνομά μου, ὅτι πληρωθήσεται τῆς δόξης μου πᾶσα ἡ γῆ.» Καὶ παρὰ τῷ Ἡσαΐᾳ δὲ τὰ σεραφίμ, κυκλοῦντα τὸν Κύριον Σαβαώθ, ἐβόα· «Ἅγιος, ἅγιος, ἅγιος Κύριος Θεὸς Σαβαώθ, πλήρης πᾶσα ἡ γῆ τῆς δόξης αὐτοῦ.[2]» Οἷς συμφώνως καὶ ἐν οα' ψαλμῷ τὰ περὶ τοῦ Χριστοῦ σαφῶς διαγορεύοντι λέλεκται· «Εὐλογητὸς Κύριος ὁ Θεὸς Ἰσραήλ, καὶ εὐλογητὸν τὸ ὄνομα τῆς δόξης αὐτοῦ, καὶ πληρωθήσεται τῆς δόξης αὐτοῦ πᾶσα ἡ γῆ.[3]» Ταῦτ' οὖν καὶ ἡ παροῦσα προφητεία ἐπισφραγίζεται λέγουσα· «Ὑψώθητι ἐπὶ τοὺς οὐρανούς, ὁ Θεός, καὶ ἐπὶ πᾶσαν τὴν γῆν ἡ δόξα σου.»

ΕΙΣ ΤΟ ΤΕΛΟΣ, ΜΗ ΔΙΑΦΘΕΙΡΗΣ ΤΩ ΔΑΥΙΔ, ΕΙΣ ΣΤΗΛΟΓΡΑΦΙΑΝ. ΝΖ'.

Στίχ. β, γ'. « Εἰ ἀληθῶς ἄρα δικαιοσύνην λαλεῖτε, εὐθέα κρίνετε, υἱοὶ τῶν ἀνθρώπων.»

Εἰς τὸ τέλος μὴ διαφθείρειν, φυλάττειν δὲ ἕκαστον τὰ ἑαυτοῦ τέλη, καὶ ὁ παρὼν παραινεῖ λόγος. Ἄμφω δέ, ὅ τε μετὰ χεῖρας καὶ ὁ πρὸ αὐτοῦ τὴν ἴσην ἔχουσι προγραφήν, ὁμοίως τό, «Εἰς τὸ τέλος, μὴ διαφθείρῃς τῷ Δαυΐδ», καὶ τό, «εἰς στηλογραφίαν», περιέχοντες. Ὅ γε μὴν χρόνος, εἰ καὶ μὴ ἐν τῷ παρόντι, ἀλλ' ἐν τῷ πρὸ τούτου δεδήλωται κατὰ τὴν προσθήκην ᾗ φησιν, «Ἐν τῷ αὐτὸν ἀποδιδράσκειν ἀπὸ προσώπου Σαοὺλ εἰς τὸ σπήλαιον.» Κατὰ τὸν αὐτὸν οὖν εἰρῆσθαι

1. Ἔξ. 32, 9. 2. Ἡσ. 6, 3. 3. Ψαλμ. 71, 18, 19.

χρόνον καὶ ὁ προκείμενος, οὐ μόνον ἐκ τῶν εἰρημένων δοκεῖ μοι, ἀλλὰ καὶ ἐκ τῶν ἑξῆς ἐπιφερομένων. Ἐπειδὴ γὰρ ἡ πρὸ τούτου στηλογραφία περὶ τῶν υἱῶν τῶν ἀνθρώπων ἔλεγεν, «Υἱοὶ ἀνθρώπων, οἱ ὀδόντες αὐτῶν ὅπλον καὶ βέλη·[1]» εἰκότως καὶ ἡ μετὰ χεῖρας τοῖς αὐτοῖς υἱοῖς τῶν ἀνθρώπων εὐθὺς ἐν ἀρχῇ προσφωνεῖ λέγουσα· «Εἰ ἀληθῶς ἄρα δικαιοσύνην λαλεῖτε, εὐθέα κρίνετε, οἱ υἱοὶ τῶν ἀνθρώπων.» Καὶ ἐπειδήπερ ἐν τῷ πρὸ τούτου ἐλέγετο· «Ἐρρύσατο τὴν ψυχήν μου ἐκ μέσου σκύμνων», ἤ, «ἐκ μέσου λεόντων[2]», κατὰ τοὺς λοιπούς, εἰκότως ἐν τῷ μετὰ χεῖρας ἐπιφέρεται, «Τὰς μύλας τῶν λεόντων συνέθλασε Κύριος.» Ἔδει γὰρ ἡμᾶς μαθεῖν ὅπως ἐρρύσατο τὴν ψυχὴν τοῦ Δαυῒδ ἐκ μέσου σκύμνων. Καὶ πάλιν περὶ τῶν ὀδόντων τῶν ἐνδιαβαλλόντων αὐτὸν ἐν μὲν τῷ πρὸ τούτου, «Υἱοὶ ἀνθρώπων, οἱ ὀδόντες αὐτῶν ὅπλον καὶ βέλη», ἐλέγετο, ἐν δὲ τῷ μεταξὺ χεῖρας· «Ὁ Θεὸς συντρίψει τοὺς ὀδόντας αὐτῶν ἐν τῷ στόματι αὐτῶν.» Ἀφ' ὧν δείκνυται ἡ ἐν ἀμφοτέραις ταῖς στηλογραφίαις συμφωνία. Καὶ ἄλλως δ' οὖν τις εἴποι, ἐπειδὴ ἡ πρὸ τούτου περιέχει τὴν κλῆσιν τῶν ἐθνῶν, εἰκότως τῇ τοιαύτῃ προφητείᾳ ἡ παροῦσα στηλογραφία συνῆπται, διαγορεύουσα τοῖς υἱοῖς τῶν ἀνθρώπων τὸν περὶ τῆς δικαιοκρισίας τοῦ Θεοῦ λόγον, διαστελλομένη τε πᾶσι τοῖς λαοῖς σὺν ἀληθινῇ προαιρέσει καὶ συνειδήσει καθαρᾷ τῇ τοῦ λόγου προσιέναι διδασκαλίᾳ, καὶ μὴ καθυποκρίνεσθαι τὴν θεοσέβειαν. Διὸ πρὸς πάντας τοὺς ἀνωτέρω λαοὺς ὠνομασμένους καὶ πρὸς πάντα τὰ ἔθνη, περὶ ὧν ἐλέγετο, «Ἐξομολογήσομαί σοι ἐν λαοῖς, Κύριε, ψαλῶ σοι ἐν ἔθνεσι[3]», τὴν προσφώνησιν ποιούμενος ὁ παρὼν λόγος διαμαρτύρεται λέγων· «Εἰ ἀληθῶς ἄρα δικαιοσύνην λαλεῖτε, εὐθέα κρίνετε, υἱοὶ τῶν ἀνθρώπων.» Εἰ γὰρ ἀληθῶς τις δικαιοσύνην ἐπαγγέλλοιτο, οὐδ' ἄλλοθεν δειχθήσεται, ἢ ἀπὸ τοῦ κρίνειν εὐθέα. Κρίνει δὲ εὐθέα ὁ κρίνας παρ' ἑαυτῷ τὴν κατὰ τὸν ὀρθὸν λόγον, καὶ μηδὲ σκολιὸν μηδὲ διάστροφον πράττειν. Εἶθ' ὡς τῶν υἱῶν τῶν ἀνθρώπων ὀρθὰ μὲν λαλούντων τοῖς χείλεσι, καὶ τῷ στόματι δικαιοσύνην ἐπαγγελλομένων, ἐλεγχομένων δὲ ἀπὸ τῶν ἔργων, ὅτι τἀναντία κατὰ διάνοιαν λογίζονται, ἐπιλέγει· «Καὶ γὰρ ἐν καρδίᾳ ἀνομίας ἐργάζεσθε ἐν τῇ γῇ·» τούτου δέ, φησίν, ἔλεγχος αἱ ὑμέτεραι πράξεις· «Ἀδικίαν αἱ χεῖρες ὑμῶν συμπλέκουσι.» Κρίνατε οὖν εὐθέα, υἱοὶ τῶν ἀνθρώπων, καὶ λογίσασθε παρ' ἑαυτοῖς, εἰ τοῖς ὑμετέροις λόγοις συμφωνεῖ τὰ ἔργα. Εἰ γὰρ δικαιοσύνην λαλεῖτε, πῶς αἱ χεῖρες ὑμῶν ἀδικίαν συμπλέκουσιν; Ἀφ' οὗ δείκνυσθε ἀνομίας ἐν τῇ καρδίᾳ λογιζόμενοι, καὶ ἕτερα μὲν διανοούμενοι, ἕτερα δὲ τῷ στόματι λαλοῦντες. «Εἰ δὴ οὖν ἀληθῶς δικαιοσύνην λαλεῖτε, κρίνατε τὰ εὐθέα», ὦ οὗτοι, καὶ ἅπερ λαλεῖτε, ταῦτα καὶ πράττετε, μηδὲ ἐν καρδίᾳ ἀνομίας ἐργάζεσθε, μηδὲ αἱ χεῖρες ὑμῶν ἀνομίαν συμπλεκέτωσαν.

---

1. Ψαλμ. 56, 5. 2. Ψαλμ. 56, 5. 3. Ψαλμ. 56, 10.

Στίχ. δ'-ς'. «Ἀπηλλοτριώθησαν οἱ ἁμαρτωλοὶ ἀπὸ μήτρας, ἐπλανήθησαν ἀπὸ γαστρός, ἐλάλησαν ψευδῆ.»

Καὶ ταῦτα πρὸς τοὺς υἱοὺς τῶν ἀνθρώπων ἀποτείνεται τοὺς ἐπαγγελλομένους θεοσεβεῖν, καὶ τοὺς τῆς δικαιοσύνης μετέρχεσθαι νόμους, μὴ κρίνοντας δὲ ὀρθῶς. Φησὶν οὖν πρὸς αὐτούς· Ἀκούσατε, ὦ οὗτοι, οἱ λαλοῦντες μὲν δικαιοσύνην τῷ στόματι, ἐργαζόμενοι δὲ ταῖς χερσὶν ἀδικίαν, καὶ πολλὰς κατὰ τὸ αὐτὸ συμπλέκοντες ἁμαρτίας· τὸν μέγαν κριτὴν οὐδὲν λανθάνει τῶν κατὰ διάνοιαν ἑκάστῳ λογιζομένων. Κἂν γὰρ δοκῇ τις ἀνθρώπων ὀφθαλμοὺς κρύπτειν, ἀλλ' ἴστω, ὅτι δεινὴν πλάνην πεπλάνηται ἑαυτὸν ἀπατῶν. Οὐ γὰρ τὸν μέγαν τῶν ὅλων κριτὴν λήσεται, οὗ πάντες πρὸ τοῦ βήματος παραστησόμεθα. Πῶς δ' ἂν καὶ λάθοιεν τὸν Θεὸν οὗτοι, ὁπότε καὶ πρὶν εἰς φῶς προελθεῖν αὐτούς, πάντα εἰδότι πρὸ γενέσεως αὐτῶν ἐγνωρίζοντο; Διὸ πρὶν γεννηθῆναι αὐτούς, ὡς ἤδη ὑφεστῶτας, καὶ τοιούτους ὄντας οἷοι νῦν εἰσι προεώρα· ἤδη τε ἐξ ἐκείνου ἀπόβλητοι ἦσαν παρ' αὐτῷ. «Ἀπηλλοτριώθησαν» γοῦν «οἱ ἁμαρτωλοὶ ἀπὸ μήτρας.» Καὶ εἰ καὶ τὰ μάλιστα σήμερον δικαιοσύνην λαλεῖν προσποιοῦνται, τοῖς ἔργοις τὰ ἐναντία μετερχόμενοι, ἀλλ' οὐ καὶ παρὰ Θεῷ νῦν ἐφάνησαν τοιοῦτοι· πρὶν δὲ ἀπὸ γαστρὸς προελθεῖν αὐτούς, μᾶλλον δὲ καὶ πρὸ τοῦ συλληφθῆναι ἐν τῷ τῆς μήτρας δοχείῳ, ἐν πεπλανημένοις ἐλογίσθησαν παρ' αὐτῷ, καὶ μέλλοντες ἔσεσθαι τοιοῦτοι οὐκ ἠγνοοῦντο. Ἤδη δὲ ἐξ ἐκείνου ὡς ἂν μέλλοντες τὰ ψευδῆ λαλεῖν ἐγινώσκοντο, καὶ ὡς θυμὸς αὐτοῖς ἐστι «κατὰ τὴν ὁμοίωσιν τοῦ ὄφεως.» Θυμὸν δὲ καὶ τὴν ψυχὴν καὶ παῖδες Ἑλλήνων καλεῖν εἰώθασιν. Ἐπεὶ τοίνυν καὶ ὁ παλαιὸς ὄφις, τὴν Εὔαν ἀπατήσας, προσεποιεῖτο μὲν γλυκείᾳ καὶ φιλικῇ κεχρῆσθαι ὁμιλίᾳ, μνήμην τε Θεοῦ ποιεῖσθαι, καί τινα ἐπιδείκνυσθαι εὐλάβειαν, λέγων τῇ γυναικί· «Τί ὅτι εἶπεν ὁ Θεός· Οὐ μὴ φάγητε ἀπὸ παντὸς ξύλου τοῦ ἐν τῷ παραδείσῳ;[1]» καὶ πάλιν· «Ἤδει γὰρ ὁ Θεός, ὅτι ᾗ δ' ἂν ἡμέρᾳ φάγητε ἀπ' αὐτοῦ, διανοιχθήσονται ὑμῶν οἱ ὀφθαλμοί, καὶ ἔσεσθε ὡς θεοί, γινώσκοντες καλὸν καὶ πονηρόν·[2]» καὶ τοιαῦτα μὲν ὑποκρινόμενος, καὶ τὸν Θεὸν εἰδέναι προσποιούμενος, ὡμίλει τῇ γυναικί, ἐν καρδίᾳ δὲ ἀνομίας εἰργάζετο, καὶ τοῖς ἔργοις ἀδικίαν συνέπλεκεν· εἰκότως καὶ οἵδε λέγονται θυμὸν ἔχειν καὶ ψυχὴν ὁμοίαν τῷ προλεχθέντι ὄφει· ὃ δὴ καὶ αὐτὸ προείληφεν ὁ Θεὸς τῇ προγνώσει. Τῶν γὰρ θείων εἰσακούοντες λόγων καὶ τοῖς ἱεροῖς μαθητευόμενοι ῥήμασι, οὐδὲν τικτήσονται πρὸς ὠφελείας, διὰ τὸ βύειν τὰ ὦτα, καὶ μὴ καταδέχεσθαι τῶν θείων ἐπῳδῶν τὰς δυνάμεις, ἀφομοιοῦσθαι δὲ ἀσπίδι κωφῇ καὶ βυούσῃ τὰ ὦτα αὐτῆς, πρὸς τὸ μὴ ἀκοῦσαι φωνῆς ἐπᾳδόντων, «φαρμακοῦται φαρμακευομένου παρὰ σοφοῦ.» Τῷ μὲν οὖν ὄφει ὡμοιώθησαν διὰ τὴν ὑπόκρισιν καὶ τὴν ἐπίπλαστον περὶ Θεοῦ ὁμιλίαν, τῇ δὲ ἀσπίδι διὰ τὸ κρύπτειν ἐν αὐτοῖς τὸν θανατηφόρον ἰόν.

---

1. Γεν. 3, 1. 3. Γεν. 3, 5.

Ἀλλ' εἰ μὲν ἁπλῶς ἀσπίδι παρεβλήθησαν, ἐλπὶς ἂν ἦν ποτε ὠφεληθήσεσθαι· ἐπεὶ καὶ τὸ δεινὸν ἑρπετὸν ἐκεῖνό ἐστιν ὅτε ἐξ ἐπῳδῆς καὶ κατασκευῆς ἑτέρων τινῶν ἀπορρίπτει τὸν ἰόν, καὶ τὸν θυμὸν ἀποτίθεται, καὶ ὥσπερ ἀπονεκροῦται τὴν κακίαν· εἰ δὲ ἡ τοιαύτη τῆς ἀσπίδος πικρία δυνάμει λόγων τινῶν ἐξασθενεῖ καὶ ἀπομαραίνεται, τὸν ἰόν τε ἀπορρίπτει, τί χρὴ λέγειν περὶ ἀνθρώπου ψυχῆς, τῆς κατ' εἰκόνα Θεοῦ γεγενημένης, ἀλλ' ὅτι καὶ αὐτὴ πολὺ μᾶλλον ἢ τὸ ἑρπυστικὸν ἐκεῖνο γένος μετέβαλεν ἂν ἐπὶ τὸ κρεῖττον, τῆς κακίας ἰὸν ἀποθεμένη, εἰ παρεῖχεν ἑαυτὴν τῇ ἐκ τῶν θείων μαθημάτων ὠφελείᾳ, καὶ ταῖς ἀληθῶς θεοπνεύστοις ἐπῳδαῖς; Διὸ δὴ ἀκριβῶς ὁ λόγος ἀσπίδι τὴν τοιαύτην παρέβαλεν, ἀλλ' ἀσπίδι κωφῇ, οὐκ ἐκ φύσεως οὔσῃ τοιαύτῃ, ἀλλ' ἐκ προαιρέσεως ἑαυτὴν ἀποκωφούσῃ. Διὸ εἴρηται, «Ὡς ἀσπίδος κωφῆς καὶ βυούσης τὰ ὦτα αὐτῆς.» Οὕτω γάρ ποτε καὶ ἄνθρωπος τῶν θείων ἀνήκοος λόγων, οὐ παρὰ τὸ κεκωφῶσθαι τὴν ψυχήν, ἐστέρηται τῆς ἀκοῆς, παρὰ δὲ τὴν οἰκείαν βούλησιν· ἑκὼν γὰρ ἑαυτὸν ἀποκωφοῖ βιαζόμενος τὴν ἑαυτοῦ φύσιν. Θεὸς γὰρ κωφὴν ψυχὴν οὐκ εἰργάσατο, ὡς οὐδὲ τυφλήν, οὐδὲ ἀνάπηρον, οὐδὲ ὅλως λελωβημένην· ἐρρωμένην δὲ κατὰ πάσας αὐτῆς τὰς δυνάμεις· ἐπεὶ κατ' εἰκόνα καὶ καθ' ὁμοίωσιν τὴν αὐτοῦ τὸν ἄνθρωπον ὑπεστήσατο. Ἕκαστος δὲ ἑαυτὸν ἀποκωφοῖ καὶ τυφλοῖ, καὶ τὴν οὐσίαν τῆς ἑαυτοῦ ψυχῆς λωβᾶται. Τοῦτο δὲ διὰ Ἡσαΐου τοῦ προφήτου ὁ ἐκ περιτομῆς ἀπελέγχεται πράττων λαός. Διὸ λέλεκται πρὸς αὐτούς· «Ἐπαχύνθη ἡ καρδία τοῦ λαοῦ τούτου, καὶ τοῖς ὠσὶ βαρέως ἤκουσαν, καὶ τοὺς ὀφθαλμοὺς ἐκάμμυσαν, καὶ τὰ ὦτα ἐβάρυναν· μήποτε ἴδωσι τοῖς ὀφθαλμοῖς, καὶ τοῖς ὠσὶν ἀκούσωσι, καὶ τῇ καρδίᾳ συνῶσι, καὶ ἐπιστρέψωσι, καὶ ἰάσωμαι αὐτούς.[1]» Οὕτως οὖν ἀσπίδι κωφῇ ἑαυτὴν ἀποκωφούσῃ ὁ τῶν θείων ἀνήκοος λόγων παρωμοίωται. Διὸ λέλεκται κατὰ τὸν Σύμμαχον· «Ὡς ἀσπίδι κωφῇ, βυούσῃ ὠτίον αὐτῆς, ἵνα μὴ ἀκούσῃ φωνὴν ψιθυριζόντων, ἑκάστου ἐπῳδὰς σεσοφισμένου.» Ἀλλ' ὁ μὲν νῦν ὑφεστὼς ἄνθρωπος, καὶ τοιοῦτον ἑαυτὸν κατασκευάσας ὅτε ταῦτα πράττει, τοῖς πολλοῖς γινώσκεται· τῷ δὲ Θεῷ καὶ πρὸ γενέσεως, καὶ πολὺ πρότερον πρὸ τῆς κατὰ γαστρὸς συλλήψεως, τοιοῦτος ἐσόμενος ἐγνωρίζετο. Μάτην ἄρα ἑαυτὸν ἀπατᾷ ὁ λαλεῖν μὲν δικαιοσύνην ἐπαγγελλόμενος, ταῖς δὲ χερσὶν αὐτοῦ συμπλέκων ἀδικίαν· ἔπειτα κρύπτων ἐν τῇ καρδίᾳ ἑαυτοῦ τὴν ἀνομίαν, ὡς καὶ τὸν Θεὸν λησόμενος ἐν τῷ θείῳ δικαστηρίῳ.

Στίχ. ζ', η'. «Ὁ Θεὸς συντρίψει τοὺς ὀδόντας αὐτῶν ἐν τῷ στόματι αὐτῶν», καὶ τὰ ἑξῆς.

Τὰ προλεχθέντα μαθόντες περὶ τῶν ἁμαρτωλῶν οἱ υἱοὶ τῶν ἀνθρώπων, καὶ ὡς, προγνωσθέντες ὑπὸ τοῦ Θεοῦ, καὶ πρὶν εἰς ἀνθρώπους παρελθεῖν, ἐγνωρίζοντο αὐτῷ ἐσόμενοι τοιοῦτοι, ἀκούετε ὁποῖον τέλος

1. Ἡσ. 6, 10.

αὐτοὺς διαλήψεται. Ἐπειδὴ γάρ, φύσεως ἐλευθέρας καὶ αὐτεξουσίου γενόμενοι, διακριτικοί τε τοῦ καλοῦ καὶ τοῦ ἐναντίου, τήν τε εἰς ἑκάτερα ῥοπὴν τὴν ἐν ἑαυτοῖς κεκτημένοι, οὐκ ὀρθῶς ἐχρήσαντο τῷ κριτηρίῳ, οὐδὲ ἠγάπησαν τὴν εὐθεῖαν, καίπερ εἰδότες αὐτήν, οὐδ' ἔργοις μετῆλθον τὴν δικαιοσύνην, ἣν λόγῳ μόνῳ καὶ χείλεσιν ἐπηγγέλλοντο, τῷ παλαιῷ δὲ ὄφει ὁμοιωθέντες, ἀσπίδος κωφῆς χείρους ἐγένοντο· τούτου χάριν ἐπακούσατε τίνα καὶ αὐτοὺς περιμένει, μαθόντες, ὡς ὁ τῶν ὅλων κριτὴς Θεὸς συντρίψει τοὺς ὀδόντας αὐτῶν κατ' οὐδὲν διαφερόντων λεόντων, καὶ ὡς μετὰ πάντα διαλυθήσονται δίκην ὕδατος ἐκρέοντος. Ἀντὶ γὰρ τοῦ, «Ἐξουδενωθήσονται ὡς ὕδωρ παραπορευόμενον», ὁ Σύμμαχος ἡρμήνευσε, «Διαλυθήτωσαν ὡς ὕδωρ παρερχόμενον ἑαυτῷ.» Ἐπειδὴ γὰρ τῷ στόματι καθυποκρίνονται τὴν δικαιοσύνην, εἰκότως τοὺς ὀδόντας αὐτῶν ὁ Θεὸς ἐν τῷ στόματι αὐτῶν συντρίψει. Καὶ ἐπεὶ μὴ ἀπήρκεσεν αὐτοῖς ὁμοιωθῆναι τῷ ὄφει καὶ τῇ προλεχθείσῃ ἀσπίδι κωφῇ, ἤδη δὲ καὶ ἑτέρους λυμαινόμενοι, λέουσι παρεβλήθησαν καὶ σκύμνοις, ἀφ' ὧν τὴν ἑαυτοῦ ψυχὴν ἐρρῦσθαι εὔχεται ὁ Δαυῒδ λέγων ἐν τῷ πρὸ τούτου· «Καὶ ἐρρύσατο τὴν ψυχήν μου ἐκ μέσου σκύμνων», ἤ, «ἐκ μέσου λεόντων[1]» τὰς μύλας αὐτῶν συνθλάσειν λέγεται ὁ Θεός, δηλαδὴ τὰς τῆς κακίας αὐτῶν δυνάμεις, αἷς ἐπ' ὀλέθρῳ πολλῶν ἐχρήσαντο. Ἐπειδὰν δὲ τοὺς ὀδόντας αὐτῶν καὶ τὰς μύλας συντρίψῃ ὁ Θεός, τότε λοιπὸν ἐξουδενωθήσονται ὡς ἂν νεκρωθέντες, καὶ διαλυθήσονται ὡς ὕδωρ παρερχόμενον ἑαυτῷ. Καὶ τοιοῦτον μὲν ἔσται τῶν ἀσεβῶν πάντων τὸ τέλος. Ὃ δὴ ἀναγκαῖον ὑμᾶς γνῶναι, ὦ υἱοὶ τῶν ἀνθρώπων, ἵν', «εἰ ἀληθῶς ἄρα δικαιοσύνην λαλεῖτε, εὐθέα» κρίνητε, καὶ μὴ μετέρχησθε τὴν τῶν εἰρημένων ἀνδρῶν ὁδόν, μηδὲ ἐν καρδίᾳ ἀνομίας ἐργάζησθε, μηδὲ ἀδικίαν αἱ χεῖρες ὑμῶν συμπλέκωσι, μηδὲ ἑαυτοὺς κατασκευάζητε ὁμοίους τῷ ὄφει, μηδὲ γένησθε ὡς ἀσπὶς κωφὴ βύουσα τὰ ὦτα αὐτῆς, μηδὲ τοῖς προλεχθεῖσιν ἀσεβέσι καὶ ἁμαρτωλοῖς συναπάγοισθε· οὓς προλαβὼν ὁ Θεὸς τῇ προγνώσει, πρὶν εἰς φῶς προελθεῖν, ἔγνω μὲν τοιούτους ἐσομένους, ὅμως δ' οὖν συνεχώρησε γεννηθῆναι καὶ εἰς φῶς προελθεῖν, τὴν παρ' αὐτοῦ χάριν καὶ αὐτοῖς δωρησάμενος, εἰς τὸ φανεροὺς γενέσθαι τὴν προαίρεσιν. Ἐπεὶ καὶ τὸ τῶν δικαίων τάγμα, ἐξ οἰκείας προαιρέσεως τὴν ὀρθὴν καὶ ἀδιάστροφον μέλλον ὁδεύειν, προλαβὼν ὁ Θεὸς ἔγνω. Εἶτ' ἀμφοτέρων τῶν ταγμάτων τὴν αὐτεξούσιον ὁρμὴν ἐλευθέραν ἀνῆκεν, ὡς ἐν σταδίῳ ποιεῖσθαι τὸν δρόμον ἐπιτρέψας αὐτοῖς. Καὶ αὐτὸς μὲν ὁμοίους τὴν φύσιν τοὺς πάντας ὑποστησάμενος, προαιρέσει οἰκείᾳ χρῆσθαι πρὸς τὴν τῶν κρειττόνων αἵρεσιν τοῖς πᾶσιν ὁμοίως συγκεχώρηκεν· οἱ δέ, ἅτε κύριοι ἑαυτῶν καθεστῶτες, ἄφετοί τε καὶ ἐλεύθεροι τὴν ὁρμήν, αὐτοπροαιρέτῳ γνώμῃ διέστησαν, οἱ μὲν τὴν εὐθεῖαν ὁδεύειν, οἱ δὲ τὴν διάστροφον

1. Ψαλμ. 56, 5.

ἑλόμενοι. Τούτου χάριν ὁ δίκαιος κριτής, ἀγωνοθετῶν ἑκατέρῳ τάγματι, τῷ καταλλήλῳ καὶ προσήκοντι τέλει τοὺς ἀξίους παραδίδωσιν· οὐ καθάπερ ἄνθρωποι μαθὼν ἐκ τῆς τῶν πραγμάτων ἀποβάσεως τὸν ἑκάστου τρόπον, οἷα δὲ Θεὸς καὶ πρὸ γενέσεως εἰδὼς ἅπαντα. Διὸ οἱ μὲν ἀπηλλοτριώθησαν παρ' αὐτῷ καὶ πρὶν ἢ τοῖς λοιποῖς γνωσθῆναι· οἱ δὲ ἅγιοι ἐκλογῆς ἠξιώθησαν ὁμοίως Ἱερεμίᾳ τῷ προφήτῃ, ᾧ φησιν ὁ Θεός· «Πρὸ τοῦ με πλάσαι σε ἐν κοιλίᾳ, ἐπίσταμαί σε, καὶ πρὸ τοῦ σε ἐξελθεῖν ἐκ μήτρας, ἡγίακά σε.[1]» Καὶ ὁ Ἀπόστολος τοῦτο ἐδήλου φάσκων· «Καθὼς ἐξελέξατο ἡμᾶς ἐν αὐτῷ πρὸ καταβολῆς κόσμου, εἶναι ἡμᾶς ἁγίους καὶ ἀμώμους κατενώπιον αὐτοῦ ἐν ἀγάπῃ, προορίσας ἡμᾶς εἰς υἱοθεσίαν διὰ Ἰησοῦ Χριστοῦ·[2]» καὶ πάλιν· «Ἐν ᾧ καὶ ἐκληρώθημεν προορισθέντες κατὰ πρόγνωσιν τοῦ τὰ πάντα ἐνεργοῦντος καὶ κατὰ τὴν βουλὴν τοῦ θελήματος αὐτοῦ, εἰς τὸ εἶναι ἡμᾶς εἰς ἔπαινον δόξης αὐτοῦ.[3]» Ὁρᾷς ὅπως πρὸ καταβολῆς κόσμου ἐξειλέχθαι καὶ προωρίσθαι εἰς υἱοθεσίαν, κατὰ πρόθεσιν τοῦ πάντα ἐνεργοῦντός φησι; τὴν αὐτὴν δὲ παρίστησι διάνοιαν ὁ αὐτὸς λέγων· «Οἴδαμεν δέ, ὅτι τοῖς ἀγαπῶσι τὸν Θεὸν πάντα συνεργεῖ εἰς ἀγαθὸν τοῖς κατὰ πρόθεσιν κλητοῖς οὖσιν· ὅτι οὓς προέγνω καὶ προώρισε συμμόρφους τῆς εἰκόνος τοῦ Υἱοῦ αὐτοῦ, εἰς τὸ εἶναι αὐτὸν πρωτότοκον ἐν πολλοῖς ἀδελφοῖς. Οὓς δὲ προώρισε, τούτους καὶ ἐκάλεσε, καὶ οὓς ἐκάλεσε, τούτους καὶ ἐδικαίωσε, οὓς δὲ ἐδικαίωσε, τούτους καὶ ἐδόξασε.[4]» Τὰ ὅμοια δὲ καὶ περὶ ἑαυτοῦ διδάσκει ἐν οἷς φησίν· «Ὅτε δὲ ηὐδόκησεν ὁ ἀφορίσας με ἐκ κοιλίας μητρός μου, ἀποκαλύψαι τὸν Υἱὸν αὐτοῦ ἐν ἐμοί.[5]» Ὥσπερ οὖν τούτους προγνοὺς μέλλοντας ἀγαπᾶν αὐτὸν προώρισεν, οὕτω καὶ τοὺς ἀσεβεῖς, ἐπειδὴ προέγνω μέλλοντας λαλεῖν δικαιοσύνην διὰ τὸ γινώσκειν αὐτήν, οὐ μὴν καὶ τοῖς ἔργοις αὐτὴν μετελευσόμενος, διὰ τὸ ταῖς χερσὶν ἀδικίαν συμπλέκειν, τούτου χάριν ἀπηλλοτρίωσεν ἀπὸ μήτρας, καὶ ἐν πλανωμένοις καὶ λαλοῦσι ψευδῆ παρ' ἑαυτῷ κατηρίθμησε πρὶν γενέσθαι· συνεχώρησέ τε εἰδὼς αὐτοὺς τοιούτους ἐσομένους εἰς φανερὸν ἐλθεῖν, ὡς ἂν τὸ διάφορον τῶν δικαίων καὶ θεοσεβῶν ἀνδρῶν ἐκ τῆς τῶν χειρόνων παραθέσεως διαλάμψειε. Μιᾶς γὰρ ὄντες φύσεως οἱ πάντες, οἱ μὲν ἑκόντες εἵλαντο τὰ κρείττω, οἱ δὲ τὴν ἐναντίαν ὥδευσαν, αὐτεξουσίῳ προαιρέσει χρησάμενοι. Ὑψηλὸς δὲ ὁ μέγας τῶν ὅλων κριτής, προκαθεζόμενος ἑκατέρῳ τάγματι, βραβεύει τὰ πρέποντα. Διὸ τοὺς μὲν ἀγαπήσαντας αὐτὸν ἐδόξασε, συμμόρφους ἀποδείξας τῆς εἰκόνος τοῦ Υἱοῦ αὐτοῦ, ὡς ἂν ἔργῳ τὴν εἰς αὐτὸν ἐνδειξαμένους ἀγάπην· τοὺς δὲ ἐναντίους, ὡς ἂν ἑαυτοὺς ἀπαλλοτριώσαντας τῆς αὐτοῦ χάριτος, καταβάλλει συντρίβων αὐτῶν τοὺς ὀδόντας, οἷς οὐ δεόντως ἐχρήσαντο, καὶ συνθλῶν τὰς μύλας αὐτῶν, δι' ὧν πολλοῖς ἐλυμήναντο· καὶ τέλος εἰς

1. Ἱερ. 1, 5. 2. Ἐφ. 1, 4. 3. Ἐφ. 1, 11-12. 4. Ῥωμ. 8, 28-30. 5. Γαλ. 1, 15.

ἐξουδένωσιν αὐτοὺς παραδιδοὺς καὶ χλεύην καὶ ὄνειδος· ὅτε καὶ δίκην τῶν ῥευστῶν καὶ οὐχ ἑστώτων ὑδάτων ἀπορρέουσιν, αὐτοὶ ἑαυτοῖς τὸ τοιοῦτον προξενήσαντες τέλος.

Στίχ. θ', ι'. «Ἐντενεῖ τὸ τόξον αὐτοῦ ἕως οὗ ἀσθενήσουσιν. Ὡσεὶ κηρὸς τακεὶς ἀνταναιρεθήσονται· ἔπεσε πῦρ ἐπ' αὐτούς, καὶ οὐκ εἶδον τὸν ἥλιον. Πρὸ τοῦ συνιέναι τὰς ἀκάνθας ὑμῶν τὴν ῥάμνον, ὡσεὶ ζῶντας, ὡσεὶ ἐν ὀργῇ καταπίεται ὑμᾶς.»

Ἀσαφῶς τούτων παρὰ τοῖς Ἑβδομήκοντα φερομένων, μετρίως πως τὴν διάνοιαν σαφέστερον ἀποδέδωκεν ὁ Σύμμαχος, τοῦτον ἑρμηνεύσας τὸν τρόπον· «Ὁ τείνων τὸ τόξον αὐτοῦ θορυβηθήτω ὡς τὰ θρυπτόμενα, ὡς περιχωρίον διαλυθέν, διαφωνείη ἔκτρωμα γυναικός, ἵνα μὴ ἴδωσιν ἥλιον. Πρὶν ἢ αὐξήσωσιν αἱ ἄκανθαι ὑμῶν, ὥστε γενέσθαι ῥάμνος, ἔτι ζῶντα ὡς ὁλόξηρον λαίλαψ ἀρεῖ.» Εἴη δ' ἂν ὁ νοῦς τῶν προκειμένων τοιοῦτος. Ἐπειδὴ τὰ τέλη τῶν ἁμαρτωλῶν ὁποῖα ἔσται διαγράφειν πρόκειται, καὶ ταῦτα πρὸς τοῖς προλεχθεῖσι περιμένειν αὐτούς, ὦ υἱοὶ τῶν ἀνθρώπων, μανθάνετε. Ἐλέγετο δὴ πρὸ τούτου, ὅτι «Ὁ Θεὸς συντρίψει τοὺς ὀδόντας αὐτῶν ἐν τῷ στόματι αὐτῶν, καὶ τὰς μύλας τῶν λεόντων συνθλάσει Κύριος», καί, «ἐξουδενωθήσονται ὡς ὕδωρ διαπορευόμενον.» Πρὸς τούτοις οὖν καὶ τάδε πείσονται· ὁ πάλαι πρότερον τὸ ἑαυτοῦ τόξον ἐντείνων, βάλλων τε καὶ ἀναιρῶν ἑτέρους ὥσπερ βέλεσι τοῖς ἑαυτοῦ λόγοις, οὗτος ἐν τῷ τῆς κρίσεως καιρῷ θορυβηθήσεται, καὶ τὰ βέλη αὐτοῦ δι' ὧν ἠκόντιζε καὶ ἀνῄρει πολλούς, θρυπτόμενα ἀφανισθήσεται. Εἶθ' ὥσπερ χωρίον προχωρῆσαν ἀπὸ γυναικός, οὐδεμιᾶς μετέχει ζωῆς, διαλυθὲν δὲ διαφωνεῖ· ἢ ὥσπερ τὸ ἐν τῷ χωρίῳ ἐναποθανὸν ἔκτρωμα, προελθὸν τῆς κατὰ γαστρὸς αὐτὸ φερούσης, οὐδεμιᾶς μετέχει αἰσθήσεως εἰς τὸ ἀπολαῦσαι φωτὸς καὶ ἡλίου· οὕτως οἱ ἀσεβεῖς καὶ ἁμαρτωλοὶ οἱ διὰ τῶν προλεχθέντων δηλωθέντες ἔσονται. Τὸ μὲν γὰρ σῶμα αὐτοῖς διαλυθὲν ὁμοίως χωρίῳ, φθορᾷ παραδοθήσεται, ἐλπίδα τῆς μετὰ τῶν ἁγίων ἀναστάσεως οὐχ ἕξον· ἡ δὲ ἐν τῷ σώματι ὥσπερ ἐν χωρίῳ συνειλημμένη αὐτῶν ψυχὴ ἐκτρώματι γυναικὸς ὁμοιωθήσεται, μήτε ζωῆς, μήτε φωτός, μήτε ἡλίου αὐγῶν ἀπολαύουσα, ἀπὸ σκότους δὲ ἐπὶ σκότος χωρήσει· καὶ οὔτε ἐν χώρᾳ ζώντων ἀναληφθήσεται, οὔτε εὐαρεστήσει τῷ Κυρίῳ ἐν φωτὶ ζώντων· οὐδὲ μὴν ἐρεῖ· «Ἐπίστρεψον, ἡ ψυχή μου, εἰς τὴν ἀνάπαυσίν σου, ὅτι Κύριος εὐηργέτησέ σε·[1]» στερηθεῖσα δὲ τούτων ἁπάντων, σκότῳ παραδοθήσεται. Οὗ μνημονεύσας ὁ Σωτήρ, ἔλεγε· «Δήσαντες αὐτοῦ πόδας καὶ χεῖρας, ἐκβάλετε αὐτὸν εἰς τὸ σκότος τὸ ἐξώτερον· ἐκεῖ ἔσται ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς τῶν ὀδόντων.[2]» Καὶ τοῦτο μὲν ἔσται τῶν ἀσεβῶν τὸ τέλος. Τὸν δὲ καρπὸν αὐτῶν καὶ τὰς πράξεις, ἀκανθῶν οὐδὲν διαφέροντας, πρὶν τελεσφορῆσαι καὶ εἰς τελείωσιν κακίας ἐλθεῖν, ἔτι ἐν ἀρχαῖς οὔσας ξηρανεῖ ἡ καταληψομένη

1. Ψαλμ. 114, 7. 2. Ματθ. 22, 13.

αὐτοὺς ἐκ Θεοῦ ὀργή. Ὃ δὴ σημαίνει ὁ λόγος φάσκων· «Πρὶν ἢ αὐξήσωσιν αἱ ἄκανθαι ὑμῶν, ὥστε γενέσθαι ῥάμνον, ἔτι ζῶντα, ὡς ὁλόξηρον λαίλαψ ἀρεῖ.» Ἐπειδὴ τοίνυν τῆς τοῦ Συμμάχου ἑρμηνείας μετρίως πως τὸν νοῦν κατειλήφαμεν, ὥρα καὶ ἐπὶ τὴν τῶν Ἑβδομήκοντα παρελθεῖν, ἔκ τε τῆς λεχθείσης παραθέσεως καὶ τὴν παρ' αὐτοῖς διάνοιαν συνιδεῖν. Φησὶν οὖν· «Ἐντενεῖ τὸ τόξον αὐτοῦ ἕως ἀσθενήσουσιν.» Ὁ δὴ μέλλων συντρίβειν τοὺς ὀδόντας αὐτῶν ἐν τῷ στόματι αὐτῶν, καὶ τὰς μύλας τῶν λεόντων συνθλᾶν Κύριος, αὐτὸς τὸ ἑαυτοῦ τόξον ἐπὶ τοσοῦτον κατ' αὐτῶν ἐντενεῖ βάλλων αὐτοὺς καὶ τιμωρούμενος, ἕως ἀσθενήσωσιν. Οἱ δὲ βαλλόμενοι τῷ πεπυρωμένῳ βέλει, κηροῦ δίκην ὑπὸ πυρὸς τηκομένου διαλυθήσονται· Διὸ λέλεκται· «Ὡσεὶ κηρὸς τακεὶς ἀνταναιρεθήσονται, ἔπεσε πῦρ.» Ὥσπερ γὰρ πεσόντος πυρὸς διαλυθεὶς κηρὸς ἀφανίζεται, τὸν αὐτὸν τρόπον καὶ οἱ δηλωθέντες ὑπὸ τῆς καταληψομένης αὐτοὺς ὀργῆς ἀνταναιρεθήσονται, ὡς μὴ καταξιωθῆναι αὐτοὺς τὸν τῆς δικαιοσύνης ἥλιον ὀφθαλμοῖς ψυχῆς θεάσασθαι· ἀλλὰ καὶ πρὸ τοῦ αὐξῆσαι τὰς ἀκάνθας αὐτῶν καὶ εἰς ῥάμνον χωρῆσαι, ἔτι νεκρὰς οὔσας αὐτῶν τὰς ἀκανθώδεις πράξεις ἡ ὀργὴ καταλήψεται καὶ καταπίεται.

Στίχ. ια', ιβ'. «Εὐφρανθήσεται δίκαιος, ὅταν ἴδῃ ἐκδίκησιν, εἰς χεῖρας αὐτοῦ νίψεται ἐν τῷ αἵματι τοῦ ἁμαρτωλοῦ. Καὶ ἐρεῖ ἄνθρωπος· Εἰ ἄρα ἐστὶ καρπὸς τῷ δικαίῳ, ἄρα ἐστὶν ὁ Θεὸς κρίνων αὐτοὺς ἐν τῇ γῇ.» Σύμμαχος· «Χαρήσεται δίκαιος ἰδὼν ἐκδίκησιν, τοὺς πόδας αὐτοῦ νίψεται αἵματι ἀσεβοῦς.»

Ὥσπερ οἱ ψευδῶς δικαιοσύνην λαλοῦντες, ἔργοις δὲ ἀδικίαν συμπλέκοντες, προεγράφησαν ὁποῖον ἕξουσι τέλος· οὕτως ἐχρῆν ἐκ παραλλήλου τοῦ ἀληθινοῦ δικαίου, τοῦ δι' ἔργων ἐνδεικνυμένου τὴν δικαιοσύνην, τὸ χρηστὸν τέλος διδαχθῆναι. Τί συνέσται ἀγαθὸν τῷ τοιούτῳ; Νῦν μέν, φησί, κατὰ τὸν παρόντα καιρόν, οὐχ ὁρῶν τὴν κατὰ τῶν ἀσεβῶν ἐκδίκησιν, πολλάκις σχετλιάζει, ἀποκλαιόμενος καὶ λέγων· «Ἵνα τί ἀσεβεῖς εὐθηνοῦσι, πεπαλαίωνται δὲ καὶ ἐν πλούτῳ· ὁ σπόρος αὐτῶν κατὰ ψυχήν, τὰ δὲ παιδία αὐτῶν εὐφραίνεται ἀναλαμβάνοντα ψαλτήριον καὶ κιθάραν;[1]» Καὶ νῦν ὁ αὐτὸς ταπεινούμενός φησιν· «Ἐμοῦ δὲ παρὰ μικρὸν ἐσαλεύθησαν οἱ πόδες, παρ' ὀλίγον ἐξεχύθη τὰ διαβήματά μου, ὅτι ἐζήλωσα ἐπὶ τοῖς ἀνόμοις, εἰρήνην ἁμαρτωλοῦ θεωρῶν.[2]» Ἐπειδὰν δὲ ἴδῃ τὸ τέλος τῶν ἀσεβῶν καὶ τὴν κατ' αὐτῶν ἐκδίκησιν, τηνικαῦτα χαρήσεται καὶ εὐφρανθήσεται, οὐ τῇ τῶν ἀσεβῶν ἀπωλείᾳ ἐπιχαίρων, ἀλλ' ἐπὶ τῇ τοῦ Θεοῦ δικαιοκρισίᾳ εὐφραινόμενος. Καὶ «τοὺς πόδας» δὲ «αὐτοῦ νίψεται ἐν τῷ αἵματι τοῦ ἀσεβοῦς·» οὐχ αἱμοπότης τις ὢν καὶ φιλοπόλεμος, ἀλλὰ καθαιρόμενος διὰ τῆς ἐκείνων τιμωρίας, καὶ βελτιούμενος διὰ τῆς ἑτέρων ἐπιστροφῆς. Ἢ ἄλλως· «Νίψεται τὰς χεῖρας ἐπὶ τῷ αἵματι τοῦ

---

1. Ἰὼβ 21, 7, 8. 2. Ψαλμ. 72, 2, 3.

ἁμαρτωλοῦ», ἀθῷον καὶ ἀναίτιον, καὶ καθαρὸν ἑαυτὸν δεικνὺς τῆς ἀπωλείας αὐτοῦ. Ἐπειδὰν οὖν οἱ μὲν ἀσεβεῖς δίκας δῶσι τὰς προσηκούσας· ὁ δὲ δίκαιος ἐκδικηθείς, εὐφροσύνης καὶ χαρᾶς ἐμπλησθῇ, καὶ τὰς χεῖρας καὶ τοὺς πόδας αὐτοῦ, κατὰ τοὺς λοιποὺς ἑρμηνευτάς, ἐν τῷ αἵματι τοῦ ἁμαρτωλοῦ νίψηται, κατὰ τὴν ἀποδοθεῖσαν διάνοιαν· εὐλόγως τότε πᾶς ἄνθρωπος, καὶ πᾶσα φωνὴ καὶ γλῶσσα ἀποφανεῖται, ὅτι, «Εἰ ἄρα ἐστὶ καρπὸς τῷ δικαίῳ, ἄρα ἐστὶν ὁ Θεὸς ὁ κρίνων αὐτοὺς ἐν τῇ γῇ.» Εἰ γάρ ἐστι καρπὸς τῷ δικαίῳ, περὶ οὗ καρποῦ εἴρηται ἐν πρώτῳ ψαλμῷ· «Καὶ ἔσται ὡς τὸ ξύλον τὸ πεφυτευμένον παρὰ τὰς διεξόδους τῶν ὑδάτων, ὃ τὸν καρπὸν αὐτοῦ δώσει ἐν καιρῷ αὐτοῦ. Καὶ τὸ φύλλον αὐτοῦ οὐκ ἀπορρυήσεται, καὶ πάντα ὅσα ἂν ποιῇ κατευοδωθήσεται.[1]» Εἰ οὖν ἔσται μισθὸς καὶ καρπὸς ἀγαθὸς τῷ τὴν δικαιοσύνην ἐργασαμένῳ, ὃν ἀπολήψεται κατὰ τὸν τῆς δικαιοκρισίας τοῦ Θεοῦ καιρόν, ἀκόλουθόν ἐστι νοεῖν, ὅτι καὶ πρὸ τῆς κρίσεως τοὺς ἐπὶ τῆς γῆς τὸν θνητὸν ἔτι διεξανύοντας βίον ἔστι Θεὸς ἐφορῶν καὶ διακρίνων. Εἰ γὰρ καὶ τὰ μάλιστα οὐχ ὁρῶνται αὐτοῦ αἱ κρίσεις ἐπὶ τοῦ παρόντος, ἀλλ' ὅμως οὐκ ἄκριτα, οὐδὲ ἀνεξέταστα τυγχάνει παρ' αὐτῷ τὰ ἐν ἀνθρώποις. Εἰ μὲν γὰρ ἔμελλον οἱ δίκαιοι τοῖς ἀδίκοις συναπολέσθαι, καὶ μηδεὶς ἦν καρπὸς τῷ δικαίῳ, ἦν ἂν εἰπεῖν μηδὲ ἐφορᾶν τὰ ἀνθρώπινα τὸν Θεόν· ἐπεὶ δὲ ἔσται τις καιρὸς ἐν ᾧ ὁ μὲν δίκαιος χαρήσεται, οἱ δὲ ἁμαρτωλοὶ τὸ προλεχθὲν περὶ αὐτῶν τέλος ἕξουσιν, εἰκότως οὐδὲ ἀμφιβάλλειν προσήκει, ὁμολογεῖν δὲ πάντα ἄνθρωπον καὶ ἀποφαίνεσθαι, ὅτι ἔστι Θεὸς ἔφορος καὶ ἐπίσκοπος τῶν ἐν ἀνθρώποις πραττομένων, κρίνων ἅπαντας τοὺς ἐν τῇ γῇ πολιτευσαμένους. Ταῦτα μὲν οὖν ταύτῃ.

Ἐπιστῆσαι δὲ προσήκει, μήποτε ἡ μετὰ χεῖρας προφητεία, πᾶσα ἀκόλουθος οὖσα καὶ συνημμένη ταῖς πρὸ αὐτῆς, τὰ τέλη διαγράφει τῶν τὰς περὶ Χριστοῦ προφητείας μελετώντων καὶ δικαιοσύνην τῷ στόματι λαλούντων καὶ παραδεξαμένων αὐτὸν ἐλθόντα, μηδὲ ἐπακουσάντων αὐτοῦ τῆς φωνῆς βοῶντος πρὸς αὐτούς, καὶ λέγοντος· «Ὁ ἔχων ὦτα ἀκούειν ἀκουέτω·[2]» οἵτινες ὡμοίωσαν ἑαυτοὺς τῷ ὄφει, καὶ τὰ ὦτα αὐτῶν πεποιήκασιν «ὡσεὶ ἀσπίδος κωφῆς καὶ βυούσης τὰ ὦτα αὐτῆς.» Οἱ δὲ αὐτοὶ καὶ τοὺς ὀδόντας αὐτῶν καὶ τὰς μύλας διὰ τῶν κατὰ τοῦ Σωτῆρος ἡμῶν βλασφημιῶν ἠκόνησαν. Εἰκότως οὖν περὶ αὐτῶν λεχθείη ἄν· «Ὁ Θεὸς συντρίψει τοὺς ὀδόντας αὐτῶν ἐν τῷ στόματι αὐτῶν, τὰς μύλας τῶν λεόντων συνέθλασεν ὁ Κύριος.» Δύναται δὲ ταῦτα καὶ περὶ πάντων τῶν τὰ ἄθεα δόγματα καὶ τὰς ἀσεβεῖς ψευδοδοξίας ἐν ταῖς ἀθέοις αἱρέσεσι συστησαμένων λέγεσθαι, καὶ περὶ τῶν τὴν σοφίαν τοῦ αἰῶνος τούτου ἐπαγγελλομένων, οἳ τὰς γλώσσας αὐτῶν ἠκόνησαν κατὰ τῆς σωτηρίου διδασκαλίας· οὐ παραιτητέον δὲ καὶ τοὺς ἐν τῇ Ἐκκλησίᾳ διαβολαῖς καὶ καταλαλιαῖς ἐπ' ὀλέθρῳ τῶν πλησίον

---

1. Ψαλμ. 1, 3. 2. Ματθ. 11, 15.

σχολάζοντας τούτοις συμπαραλαμβάνειν· πρὸς οὓς ἅπαντας λέγοιτ' ἂν τό, «Εἰ ἀληθῶς ἄρα δικαιοσύνην λαλεῖτε, εὐθέα κρίνετε, υἱοὶ τῶν ἀνθρώπων·» εἰδότες, «ὅτι πᾶν τὸ ποίημα ἄξει ὁ Θεὸς εἰς κρίσιν·[1]» καί, «δεῖ τοὺς πάντας παραστῆναι τῷ βήματι τοῦ Θεοῦ· ἵνα κομίσηται ἕκαστος τὰ διὰ τοῦ σώματος πρὸς ἃ ἔπραξεν, εἴτε ἀγαθὸν εἴτε κακόν.[2]»

ΕΙΣ ΤΟ ΤΕΛΟΣ, ΜΗ ΔΙΑΦΘΕΙΡΗΣ ΤΩ ΔΑΥΙΔ, ΕΙΣ ΣΤΗΛΟΓΡΑΦΙΑΝ, ΟΠΟΤΕ ΑΠΕΣΤΕΙΛΕ ΣΑΟΥΛ, ΚΑΙ ΕΦΥΛΑΞΕ ΤΟΝ ΟΙΚΟΝ ΑΥΤΟΥ, ΤΟΥ ΘΑΝΑΤΩΣΑΙ ΑΥΤΟΝ. ΝΗ'.

Στίχ. β', ε'. «Ἐξελοῦ με ἐκ τῶν ἐχθρῶν μου, ὁ Θεός, καὶ ἐκ τῶν ἐπανισταμένων ἐπ' ἐμὲ λύτρωσαί με.»

Τετηρήκαμεν ἤδη πρότερον, ὅτι οἱ ἀπὸ τοῦ α' καὶ ν' πρὸ τοῦ βασιλεῦσαι τὸν Δαυΐδ, ἔτι ζῶντος τοῦ Σαούλ, εἴρηντο· ὥσπερ οὖν οἱ κατὰ τὸ πρῶτον μέρος τῆς βίβλου σχεδὸν πάντες, παρεκτὸς ὀλίγων, μετὰ τὸ πλημμεληθὲν αὐτῷ σφάλμα, καὶ ὅτι καθ' ὑπερβολὴν εὐλαβείας πρώτους ἔταξεν ἐν τῇ βίβλῳ τοὺς ἐξομολόγησιν περιέχοντας, δευτέρους ὄντας τῷ χρόνῳ· τοὺς δὲ τῷ χρόνῳ πρώτους, δευτέρους συνῆψε, ὡς ἂν καλύπτοιτο τὰ τῆς ἐξομολογήσεως διὰ τῆς τῶν κατορθωμάτων μνήμης. Τοῦτο τοίνυν καὶ ὁ παρὼν συνίστησι ψαλμός· συνήθως δὲ εἰρήσθω, ἐπείπερ καὶ αὐτὸς στηλογραφία τυγχάνει, ἐπισημαινόμενος καθ' ὃν ἐλέχθη καιρόν· ἦν δὲ οὗτος, «Ὁπότε ἀπέστειλε Σαοὺλ καὶ ἐφύλαξε τὸν οἶκον αὐτοῦ, τοῦ θανατῶσαι αὐτόν.» Πλατύτερον δὲ τὴν ἱστορίαν ἡ πρώτη τῶν Βασιλειῶν παρίστησι, τοῦτον ἔχουσα τὸν τρόπον· «Καὶ προσέθετο πόλεμος γενέσθαι· καὶ κατίσχυσε Δαυΐδ, καὶ ἐπολέμησε τοὺς ἀλλοφύλους, καὶ ἐπάταξεν αὐτοὺς πληγὴν μεγάλην σφόδρα, καὶ ἔφυγον ἐκ προσώπου αὐτοῦ. Καὶ ἐγένετο πνεῦμα πονηρὸν ἐπὶ Σαούλ· καὶ αὐτὸς ἐν οἴκῳ καθεύδων, καὶ δόρυ ἐν τῇ χειρὶ αὐτοῦ· καὶ ἰδοὺ Δαυΐδ ἔψαλλεν ἐν ταῖς χερσὶν αὐτοῦ. Καὶ ἐζήτει Σαοὺλ πατάξαι τὸ δόρυ εἰς Δαυΐδ· καὶ ἀπέστη Δαυΐδ ἐκ προσώπου Σαούλ, καὶ ἐπάταξε τὸ δόρυ εἰς τὸν τοῖχον. Καὶ Δαυΐδ ἀνεχώρησε καὶ διεσώθη. Καὶ ἐγενήθη ἐν τῇ νυκτὶ ἐκείνῃ, καὶ ἀπέστειλεν ἀγγέλους εἰς οἶκον Δαυΐδ φυλάξαι αὐτόν, τοῦ θανατῶσαι αὐτὸν πρωΐ. Καὶ ἀνήγγειλε τῷ Δαυΐδ Μελχόλ, ἡ γυνὴ αὐτοῦ, λέγουσα· Ἐὰν μὴ σὺ σωθῇς τὴν ψυχὴν σεαυτοῦ τὴν νύκτα ταύτην, αὔριον θανατωθήσῃ· Καὶ κατάγει ἡ Μελχὸλ τὸν Δαυΐδ διὰ τῆς θυρίδος, καὶ ἀπῆλθε καὶ ἔφυγε, καὶ σῴζεται·[3]» ὅτε καὶ τὴν προκειμένην στηλογραφίαν συντάττει· διὸ προγέγραπται· «Εἰς τὸ τέλος, μὴ διαφθείρῃς, τῷ Δαυΐδ εἰς στηλογραφίαν, ὁπότε ἀπέστειλε Σαούλ, καὶ ἐφύλαξε τὸν οἶκον αὐτοῦ τοῦ θανατῶσαι αὐτόν.» Τὸ μὲν οὖν, «εἰς τὸ τέλος τῷ

1. Ἐκκλ. 12,14. 2. Β' Κορ. 5,10. 3. Α' Βασ. 19, 8-12.

Δαυΐδ», καὶ τό, «μὴ διαφθείρῃς», καὶ ἡ «στηλογραφία», τρίτον ἤδη εἴρηται ἐφεξῆς· ἀλλὰ τὸ μὲν πρῶτον, ἕτερον ἐσήμανε καιρόν, ὃν ἐδήλου ἡ προγραφὴ λέγουσα· «Ὁπότε ἐκράτησαν αὐτὸν οἱ ἀλλόφυλοι ἐν Γέθ·[1]» τὸ δὲ δεύτερον, «Ἐν τῷ ἀποδιδράσκειν αὐτὸν ἀπὸ προσώπου Σαοὺλ εἰς τὸ σπήλαιον·[2]» ἐνταῦθα δέ, «Ὁπότε ἀπέστειλε Σαούλ, καὶ ἐφύλαξε τὸν οἶκον αὐτοῦ τοῦ θανατῶσαι αὐτόν.» Τὸ δὲ αἴτιον τῆς τοῦ Σαοὺλ κατὰ τοῦ Δαυΐδ ἐπιβουλῆς φθόνος ἦν. Ἐπειδὴ γὰρ τὴν κατὰ τοῦ ἀλλοφύλου Γολιὰθ ἤρατο νίκην, ὑμνεῖτό τε ἐπὶ τοῦτο παρὰ τοῖς πᾶσι, τούτου χάριν ὡρμᾶτο θανατῶσαι αὐτόν· καὶ μάλιστα ὅτε εἶδεν, ὡς Κύριος ἦν μετὰ τοῦ Δαυΐδ, καὶ αὐτὸς συνῆκε σφόδρα, καὶ πᾶς Ἰσραὴλ καὶ Ἰούδας ἠγάπα τὸν Δαυΐδ. Ἔτι τε μᾶλλον ἐξήφθη τὰ τῆς ζηλοτυπίας, ὡς ἑώρα αὐτὸν κρατοῦντα ἐν πολέμοις συνεργείᾳ καὶ βοηθείᾳ Θεοῦ. Λέγει δ' οὖν ἡ Γραφή· «Καὶ εἶδε Σαούλ, ὅτι Κύριος μετὰ Δαυΐδ, καὶ πᾶς Ἰσραὴλ ἠγάπα αὐτόν. Καὶ προσέθετο εὐλαβεῖσθαι ἀπὸ Δαυΐδ ἔτι. Καὶ ἐγένετο Δαυΐδ ἐχθρὸς τοῦ Σαοὺλ πάσας τὰς ἡμέρας.[3]» Ἐπεὶ δὲ καὶ «αὖθις προσέθετο πόλεμος γενέσθαι, καὶ κατίσχυσε Δαυΐδ, καὶ ἐπολέμησε τοὺς ἀλλοφύλους, καὶ ἐπάταξεν ἐν αὐτοῖς πληγὴν μεγάλην, καὶ ἔφυγον ἐκ προσώπου αὐτοῦ·[4]» πάλιν τὸ πνεῦμα τοῦ φθόνου τὸν Σαοὺλ ἔπνιγεν, ὡς ἤδη καὶ αὐτόχειρα ἐθέλειν γενέσθαι τοῦ ἀνδρός. Ἐπειρᾶτο γοῦν τῷ δόρατι κατ' αὐτοῦ· ὡς δ' ἠστόχησε τῆς πληγῆς, οὐκέτ' ἐπικεκρυμμένως, ἐκ δὲ τοῦ φανεροῦ ἀποστείλας εἰς τὸν οἶκον τοῦ Δαυΐδ, θανατῶσαι αὐτὸν ὡρμήθη. Ὁ δ' ἐν τοιαύτῃ ἀποληφθεὶς συμφορᾷ, τὴν προκειμένην στηλογραφίαν συντάττει, ἀναβοῶν πρὸς τὸν Θεὸν καὶ λέγων· «Ἐξελοῦ με ἐκ τῶν ἐχθρῶν μου, ὁ Θεός, καὶ ἐκ τῶν ἐπανισταμένων ἐπ' ἐμὲ λύτρωσαί με. Ῥῦσαί με ἐκ τῶν ἐργαζομένων τὴν ἀνομίαν, καὶ ἐξ ἀνδρῶν αἱμάτων σῶσόν με.» Εὔχεται δὲ διὰ τούτων φύλακος τυχεῖν τοῦ Θεοῦ, βοηθοῦ τε καὶ σωτῆρος, εἰς τὸ μὴ ἁλῶναι ὑπὸ τῶν ἐχθρῶν, μηδ' ὑποχείριον αὐτοῖς γενέσθαι· ἢ καὶ ὑπὲρ τοῦ μὴ καὶ αὐτὸν ὅμοιον αὐτοῖς ἀποφανθῆναι, μηδὲ γενέσθαι ἕνα τῶν ἐργαζομένων τὴν ἀνομίαν, μηδὲ τῆς μερίδος τῶν ἀνδρῶν τῶν αἱμάτων, περὶ ὧν καὶ ἐν τοῖς ἀνωτέρω ἐλέγετο· «Ἄνδρες αἱμάτων καὶ δολιότητος, οὐ μὴ ἡμισεύσωσι τὰς ἡμέρας αὐτῶν· ἐγὼ δὲ ἐλπιῶ ἐπὶ σέ.[5]» Ἐχθροὺς δὲ ὅτι μὴ τοὺς ὁρατοὺς μόνους ἐγίνωσκεν, ἀλλὰ τοὺς ἀφανεῖς καὶ ἀοράτους, οἳ καὶ αὐτοὶ ἐνήργουν τὸν Σαούλ· πνεῦμα γὰρ πονηρὸν ἦν ἐπὶ Σαούλ, ὑφ' οὗ κινούμενος ἐξεκαίετο ἐπὶ τὸν κατὰ τοῦ Δαυΐδ φθόνον· πολλάκις ἡμῖν ἀποδέδεικται. Κἀνταῦθα τοίνυν τῶν μὲν πολεμίων περιγενόμενος ἀναγέγραπται, νίκην τε πολλάκις ἀράμενος κατὰ τῶν ἀλλοφύλων. Δεινοὶ δὲ ἦσαν ἄρα ἐχθροὶ καὶ πολέμιοι οἱ ἀφανεῖς αὐτοῦ ἐχθροί, οὓς παριστὰς καὶ διὰ τῶν προκειμένων ἔλεγεν· «Ὅτι ἰδοὺ ἐθήρευσαν τὴν

1. Ψαλμ. 55, 1. 2. Ψαλμ. 56, 1. 3. Α' Βασ. 23, 14, 16, 28. 4. Α' Βασ. 19, 8. 5. Ψαλμ. 54, 24.

ψυχήν μου, ἐπέθεντο ἐπ' ἐμὲ κραταιοί.» Ἐκ μὲν τῆς ἱστορίας οὐδετέρους φαίνεται ἐσχηκὼς ἐχθροὺς ἢ μόνον τὸν Σαούλ. Τοῦτο γὰρ παρέστησεν ἡ Γραφὴ μαρτυραμένη, ὅτι ἠγαπᾶτο ὑπὸ παντὸς τοῦ λαοῦ· καὶ τοῦτ' ἦν μάλιστα τὸ αἴτιον τῆς κατ' αὐτοῦ βασκανίας. Εἰ τοίνυν πάντες ἠγάπων τὸν Δαυΐδ, μόνος δὲ Σαοὺλ καὶ ἐπὶ τούτῳ φθόνῳ πιμπράμενος ἐπεβούλευσεν αὐτῷ, πῶς ἐνταῦθα πληθυντικῶς φησιν, «Ἐξελοῦ με ἐκ τῶν ἐχθρῶν μου καὶ ἐκ τῶν ἐπανισταμένων ἐπ' ἐμέ·» καὶ πάλιν· «Ὅτι ἰδοὺ ἐθήρευσαν τὴν ψυχήν μου, ἐπέθεντο ἐπ' ἐμὲ κραταιοί;» Ἀλλὰ γὰρ σαφῶς διὰ τούτων παρίστανται ἀόρατοι καὶ ἀφανεῖς ἐχθροί, περὶ ὧν καὶ ὁ Ἀπόστολος ἔλεγεν· «Οὐκ ἔστιν ἡμῖν πάλη πρὸς αἷμα καὶ σάρκα, ἀλλὰ πρὸς τὰς ἀρχὰς καὶ τὰς ἐξουσίας, καὶ τοὺς κοσμοκράτορας τοῦ σκότους τούτου, καὶ πρὸς τὰ πνεύματα τῆς πονηρίας.[1]» Οὗτοι γοῦν ἐξέκαον τὸν Σαοὺλ κατὰ τοῦ Δαυΐδ· διὸ ἐξ αὐτῶν ῥυσθῆναι ἐδεῖτο τοῦ Θεοῦ. Πρὸς μὲν γὰρ τὸν Γολιάθ, καὶ πρὸς τοὺς λοιποὺς ἀλλοφύλους ἀπήρκει αὐτὸς ἱστάμενος, καὶ πολέμου νόμῳ τοῖς πᾶσιν ἐπεξιών· πρὸς δὲ τὰς ἀφανεῖς δυνάμεις καὶ τοὺς ἀοράτους ἐχθροὺς Θεὸν ὑπέρμαχον ἠξίου αὐτῷ γενέσθαι. Ὅτι δὲ μηδὲν ἀδικήσας τὸν Σαούλ, μάτην ἠλαύνετο ὑπ' αὐτοῦ, παρίστησι μὲν ἡ ἱστορία, ἐμφαίνει δὲ καὶ αὐτὸς ἑξῆς λέγων· «Οὔτε ἡ ἀνομία μου, οὔτε ἡ ἁμαρτία μου· ἄνευ ἀνομίας ἔδραμον καὶ κατηύθυνα.» Ἀντὶ δὲ τοῦ, «ἄνευ ἀνομίας ἔδραμον καὶ κατηύθυνα», ὁ Σύμμαχος, «μὴ οὔσης», φησίν, «ἁμαρτίας, ἐπιτρέχουσιν, ἵνα ἑλκύσωσί με.» Μηδεμιᾶς γὰρ προφάσεως ὑποκειμένης, τοσαῦτα κατ' αὐτοῦ ἐνεχείρουν οἱ δηλωθέντες. Καὶ θέα τίνα τρόπον ἐπὶ μὲν τοῖς προκειμένοις παρρησίαν ἄγων ὁ Δαυΐδ φαίνεται· ἐν δὲ τῷ πρώτῳ μέρει τῶν Ψαλμῶν ἔλεγεν· «Ὅτι αἱ ἀνομίαι μου ὑπερῆραν τὴν κεφαλήν μου, ὡσεὶ φορτίον βαρὺ ἐβαρύνθησαν ἐπ' ἐμέ. Προσώζεσαν καὶ ἐσάπησαν οἱ μώλωπές μου ἀπὸ προσώπου τῆς ἀφροσύνης μου.[2]» Ταῦτα καὶ τὰ τούτοις παραπλήσια ἐξωμολογεῖτο διὰ τῶν ἔμπροσθεν· ἐπὶ δὲ τοῦ παρόντος φησίν· «Οὔτε ἡ ἀνομία μου, οὔτε ἡ ἁμαρτία μου, Κύριε, ἄνευ ἀνομίας ἔδραμον καὶ κατηύθυνα.» Νοήσεις δὲ τὸν δρόμον, ὃν ἔτρεχε Δαυΐδ, παραθεὶς τὴν ἀποστολικὴν φωνὴν δι' ἧς ἔλεγε· «Τὸν ἀγῶνα τὸν καλὸν ἠγώνισμαι, τὸν δρόμον τετέλεκα, τὴν πίστιν τετήρηκα· λοιπὸν ἀπόκειταί μοι ὁ τῆς δικαιοσύνης στέφανος.[3]»

Στίχ. ς'. «Ἐξεγέρθητι εἰς συνάντησίν μου καὶ ἴδε, καὶ σύ, Κύριε ὁ Θεὸς τῶν δυνάμεων, ὁ Θεὸς Ἰσραήλ.»

Ὡς ἀγαθὸς δρομεὺς καὶ ἀγωνιστὴς ἄριστος τὸν ἀγῶνα τὸν καλὸν ἀγωνιζόμενος, ἐφ' οἷς ἐπαρρησιάσατο εἰπών· «Οὔτε ἡ ἀνομία μου, οὔτε ἡ ἁμαρτία μου· ἄνευ ἀνομίας ἔδραμον καὶ κατηύθυνα·» διεγείρει τὸν ἀγωνοθέτην ἐπὶ τὴν θέαν τῆς οἰκείας ἀρετῆς, καὶ ἰδεῖν ἀξιοῖ ὅπως τοῖς εἰρημένοις λόγοις σύμφωνα ᾖ αὐτῷ τὰ ἔργα. Δείκνυται δὲ τοῦτο καὶ

1. Ἐφ. 6, 12. 2. Ψαλμ. 37, 5-6. 3. Β' Τιμ. 4, 7, 8.

ἀπὸ τῆς ἱσορίας, ἐν ᾗ μυρία μὲν πεπονηκὼς ὑπὸ τοῦ Σαοὺλ φαίνεται, οὐδὲν δὲ αὐτὸς κατ' αὐτοῦ λυπηρὸν δράσας, ἐκ δὲ τοῦ ἐναντίου πολλάκις ἁλόντα αὐτὸν διασώσας αὐτίκα. Καὶ ὅτε τὸ πονηρὸν πνεῦμα ἔπνιγεν αὐτόν, σωτὴρ αὐτῷ παρεφαίνετο Δαυΐδ, ἀνακρουόμενος μὲν τῷ ὀργάνῳ, δυνάμει δὲ τοῦ ἐν αὐτῷ θείου Πνεύματος τὴν ἐν τῷ Σαοὺλ ἐναντίαν δύναμιν ἐλαύνων. Τὸ ἀνεξίκακον τοίνυν ἑαυτοῦ καὶ τὸ πρᾶον, καὶ τὸ ὑπομονητικὸν δεικνὺς τῷ Θεῷ ἔλεγεν· «Οὔτε ἡ ἀνομία μου», καὶ τὰ ἑξῆς. «Ἐξεγέρθητι εἰς συνάντησίν μου, καὶ ἴδε.» Εἶθ' ἑξῆς τοσαύτῃ χρησάμενος παρρησίᾳ, φωτίζεται ὑπὸ τοῦ προφητικοῦ πνεύματος, καὶ διδάσκεται, ὡς ἄρα ἔσται τις καιρὸς ἐν ᾧ καὶ ὁ Χριστὸς τοῦ Θεοῦ διωχθήσεται, καὶ ἐπιβουλευθήσεται ὑπὸ τοῦ Ἰουδαίων ἔθνους, σωτήρ τε καὶ ἐπίσκοπος τῶν ἐθνῶν ἁπάντων γενήσεται· ἐν ᾧ καιρῷ καὶ αὐτοῦ τοῦ Δαυΐδ τὰ κατορθώματα καὶ αἱ ἀρεταὶ ᾀσθήσονται καὶ βοηθήσονται ἐν πᾶσι τοῖς ἔθνεσι. Καὶ τοῦτο γνοὺς καθ' ὑποβολὴν τοῦ ἁγίου Πνεύματος, ἐπιστῆναί ποτε τοῦτον εὔχεται τὸν καιρόν. Διὸ ἑξῆς φησι· «Καὶ σύ, Κύριε ὁ Θεὸς τῶν δυνάμεων, ὁ Θεὸς Ἰσραήλ, πρόσχες ἐπισκέψασθαι πάντα τὰ ἔθνη.» Ὁ μὲν γὰρ Ἰσραήλ, ὁ σὸς χρηματίσας πρότερος λαός, πολλῶν εὐεργεσιῶν τετυχηκώς, καὶ πολλῶν ἀγαθῶν ἀξιωθείς, οὐδένα σου ἄξιον ἐπεδείξατο καρπόν· ἀεὶ δὲ καὶ πάντοτε παντοίαις ὑποπέπτωκεν ἀσεβείαις, τοτὲ μὲν εἰδωλολατρῶν, τοτὲ δὲ τοὺς σοὺς προφήτας ἀναιρῶν· τέλος δὲ καὶ αὐτῷ τῷ Χριστῷ σου χεῖρας ἐπιβαλών. Θαυμαστὰ δὲ ὑπὸ τοῦ σοῦ Πνεύματος προμαθὼν περὶ τῆς τῶν ἐθνῶν ἐπιστροφῆς, εἰκότως ἐπιστῆναι τὸν καιρὸν ἐκεῖνον εὔχομαι, εἰδώς, ὅτι οὐκ ἔστι παρὰ σοὶ προσωποληψία. Δικαιοσύνῃ δὲ τὰ πάντα διέπων, οἶδας καὶ ἔθνη ἀλλόφυλα καὶ ἀλλογενῆ τῆς πλάνης ἐπιστρέφοντα σῴζειν· οἶδας καὶ τοὺς νομιζομένους τῆς σῆς εἶναι μερίδος, εἰ ἀνάξιοι εὑρίσκοιντο, τῆς τοιαύτης κλήσεως μετέρχεσθαι. Διὸ περὶ μὲν τῶν ἐθνῶν εὔχομαι λέγων· «Πρόσχες τοῦ ἐπισκέψασθαι πάντα τὰ ἔθνη·» περὶ δὲ τοῦ ἑτέρου μέρους φημί· «Μὴ οἰκτειρήσῃς πάντας τοὺς ἐργαζομένους τὴν ἀνομίαν.» Λέγων δὲ ἀδιορίστως, «πάντας», καὶ τὸν Ἰσραὴλ συμπαραλαμβάνει, καὶ τοὺς ἐν αὐτῷ πάλαι γενομένους τοιούτους. Τί γὰρ καὶ πλέον γέγονε, φησί, τῷ Σαούλ, τὸ μὲν γένος ἀπὸ τοῦ Ἰσραὴλ ὁρμωμένῳ, καὶ φυλῆς Βενιαμίν, βασιλεῖ δὲ τοῦ τοσούτου ἔθνους καθισταμένῳ, τοσαῦτα δὲ εἰκῇ καὶ μάτην κατὰ τοῦ μηδὲν ἠδικηκότος ἐπιχειροῦντι; Εἰ δὲ οὖν τὰ ἀδελφὰ τῷ Σαοὺλ φρονοῦντές τε καὶ πράττοντες γένοιντό ποτε ἕτεροι, οὐ παρὰ τοῦτο σῴζεσθαι αὐτοὺς ἀνάγκη διὰ τὸ νομίζεσθαι τῆς σῆς μερίδος εἶναι· ὡς ἔμπαλιν ἐν τοῖς ἀλλοφύλοις ἔθνεσιν, εἰ εὑρίσκοιντό τινες ἐπιτηδείως ἔχοντες πρὸς σωτηρίαν, οὐδὲν ἂν κωλύοι τῆς σῆς ἐπισκοπῆς αὐτοὺς τυχεῖν κατὰ τὸν τοῦ δικαίου λόγον. Διό φημι· «Πρόσχες τοῦ ἐπισκέψασθαι πάντα τὰ ἔθνη·» τοὺς δὲ ἐργαζομένους τὴν ἀνομίαν, ὅθεν δήποτε εἶεν, μὴ οἰκτειρήσῃς. Μέμνηται δὲ τῶν ἐργαζομένων τὴν ἀνομίαν καὶ ἀνωτέρω λέγων· «Ῥῦσαί με ἐκ τῶν

ἐργαζομένων τὴν ἀνομίαν, καὶ ἐξ ἀνδρῶν αἱμάτων σῶσόν με.» Οὕτω δὲ ἐκάλει τοὺς κατὰ τοῦ Σωτῆρος ἡμῶν ἀθέους ἐπενέγκαντας χεῖρας. Τοὺς αὐτοὺς δὲ ᾐνίττετο καὶ ἐν νδ' ψαλμῷ λέγων· «Ὅτι εἶδον ἀνομίαν καὶ ἀντιλογίαν ἐν τῇ πόλει. Ἡμέρας καὶ νυκτὸς κυκλώσει αὐτήν·[1]» καὶ πάλιν· «Ἐβεβήλωσαν τὴν διαθήκην αὐτοῦ, διεμερίσθησαν ἀπ' ὀργῆς τοῦ προσώπου αὐτοῦ·[2]» καὶ αὖθις· Ἄνδρες αἱμάτων καὶ δολιότητος οὐ μὴ ἡμισεύσωσι τὰς ἡμέρας αὐτῶν· ἐγὼ δὲ ἐπὶ σὲ ἐλπιῶ.[3]»

Στίχ. ζ'-ιβ'. «Ἐπιστρέψουσιν εἰς ἑσπέραν, καὶ λιμώξουσιν ὡς κύων, καὶ κυκλώσουσι πόλιν.»

Σφόδρα ἀκολούθως ἐπισκοπὴν τῶν ἐθνῶν ἱκετεύσας γενέσθαι, τῶν τε ἐργαζομένων τὴν ἀνομίαν ἐκδίκησιν, ἑξῆς θεσπίζει φάσκων· «Ἐπιστρέψουσιν εἰς ἑσπέραν.» Τίνες δὲ οὗτοι ἀλλ' οἱ ἐργαζόμενοι τὴν ἀνομίαν καὶ οἱ ἄνδρες τῶν αἱμάτων; Διὰ τί δὲ «εἰς ἑσπέραν;» ἐπειδὴ ἐπὶ συντελείᾳ τοῦ αἰῶνος ἤμελλε ταῦτα γίγνεσθαι. Ἀντὶ δὲ τοῦ, «Καὶ λιμώξουσιν ὡς κύων», ὁ μὲν Ἀκύλας, «Καὶ ὀχλασάτωσαν ὡς κύων», ἡρμήνευσεν· ὁ δὲ Σύμμαχος, «Καὶ συνηχήσουσιν ὡς κύνες·» ὁ δὲ Θεοδοτίων, «Καὶ ἠχήσουσιν ὡς κύων·» καὶ ἡ πέμπτη ἔκδοσις ὁμοίως, «Καὶ ἠχήσουσιν ὡς κύνες.» Ἄντικρυς δὲ διὰ τούτων τοὺς ὀψέ ποτε κατὰ τοὺς χρόνους τῆς τοῦ Σωτῆρος ἡμῶν ἀφίξεως ὁμοίως τῷ τότε Σαοὺλ, τὸν ἀναίτιον διώξαντι, μέλλοντας καὶ αὐτοὺς τὸν Χριστὸν τοῦ Θεοῦ πολεμεῖν, κύνας ὠνόμασεν. Ἐπεὶ καὶ διὰ τοῦ προφήτου Ἡσαΐου τὸ αὐτὸ ἅγιον Πνεῦμα περὶ τῶν αὐτῶν διδάσκει λέγον· «Πάντες κύνες ἐνεοὶ οὐκ εἰδότες ὑλακτεῖν·[4]» καὶ ἐν κα' ψαλμῷ, τὰ πάθη τοῦ Σωτῆρος ἡμῶν διαγράφοντι, ἐξ αὐτοῦ προσώπου λέλεκται τοῦ Σωτῆρος· «Περιεκύκλωσάν με κύνες πολλοί, συναγωγὴ πονηρευομένων περιέσχον με.[5]» Οἱ οὖν ἐργαζόμενοι τὴν ἀνομίαν καὶ οἱ ἄνδρες τῶν αἱμάτων, εἰ καὶ τὰ μάλιστα νῦν πολλὰ δύνασθαι δοκοῦσι, καὶ τῆς βασιλείας κρατεῖν ὥσπερ Σαοὺλ τέως ἐπὶ τοῦ παρόντος, ἀλλὰ πάντες γε οἱ τὰ ἀδελφὰ τούτῳ πράξαντες ἐπιστρέψουσιν ὀψέ ποτε, καὶ εἰς ἑσπέραν ὀχλάσουσί τε καὶ συνηχήσουσιν, οὐδὲν μὲν ἔναρθρον φθεγγόμενοι, οὐδὲ ἐκ λογικῆς διανοίας λόγους ἀξίους μνήμης προσφέροντες, κυσὶ δὲ παραπλησίως ὑλαγμοὺς ἀφιέντες, φωνάς τε ὑβριστικὰς καὶ ἀναιδεῖς. Διὸ καὶ λιμώξουσιν τοῦ τῆς ζωῆς ἄρτου στερηθέντες· ἐπεὶ μὴ παρεδέξαντο τὴν σωτήριον καὶ οὐράνιον τροφήν, αὐτὸν τὸν εἰρηκότα· «Ἐγώ εἰμι ὁ ἄρτος ὁ ἐκ τοῦ οὐρανοῦ καταβὰς, καὶ διδοὺς ζωὴν τοῖς ἀνθρώποις.[6]» Ὅθεν καὶ ἕτερος προφήτης τὸν λιμὸν τοῦτον αἰνιττόμενος ἐβόα λέγων· «Ἰδοὺ οἱ δουλεύοντές μοι φάγονται, ὑμεῖς δὲ πεινάσετε· ἰδοὺ οἱ δουλεύοντές μοι πίονται, ὑμεῖς δὲ διψήσετε.[7]» Στερηθέντες δὲ τῆς αἰωνίου τροφῆς καὶ τὸν ἄρτον τῆς ζωῆς παραιτησάμενοι, οὐκέθ' ὡς πρόβατα γενή-

1. Ψαλμ. 54, 10, 11. 2. Ψαλμ. 54, 21, 22. 3. Ψαλμ. 54, 24. 4. Ἡσ. 56, 10. 5. Ψαλμ. 21, 17. 6. Ἰω. 6, 41. 7. Ἡσ. 65, 13.

σονται τοῦ καλοῦ ποιμένος· παραβληθήσονται δὲ κυσίν. Εἶτα δὲ καὶ τῆς ἑαυτῶν πόλεως, ἣν κακῶς ᾤκησαν, ἀπελασθήσονται· ἀποκλεισθήσονταί τε αὐτῆς, ὡς μηκετ' αὐτῆς ἐπιβαίνειν τολμᾶν· ἐπειδήπερ οἱ οἰκοῦντες αὐτὴν αἱμάτων αὐτὴν ἐπλήρουν. Διὸ ἐν τῷ προδηλωθέντι ἐλέγετο· «Ὅτι εἶδον ἀνομίαν καὶ ἀντιλογίαν ἐν τῇ πόλει.[1]» Ἀλλ' ἐκεῖ μὲν τὰ τολμηθέντα τῷ Ἰσραὴλ ἐν αὐτῇ τῇ Ἱερουσαλὴμ κατὰ τοῦ Σωτῆρος ἐδηλοῦτο· ἐνταῦθα δὲ τὸ συμβεβηκὸς αὐτοῖς μετὰ ταῦτα τῇ τοῦ ἁγίου Πνεύματος προγνώσει ἡ Γραφὴ στηλιτεύει· διὸ καὶ «στηλογραφία» κέκληται. Τοῦ δὲ λόγου τὸ ἀποτέλεσμα παρίστησιν ἡ τῶν πραγμάτων ἔκβασις. Μετὰ γοῦν τὴν κατὰ τοῦ Σωτῆρος ἡμῶν ἐπιβουλὴν αὐτῶν, ἐπιστάντες Ῥωμαῖοι τέλος ἐπῆγον τοῖς προφητικοῖς λόγοις. Νόμοις γοῦν τῶν κρατούντων ἐξ ἐκείνου τὸ πᾶν Ἰουδαίων ἔθνος ἀπηγόρευται τοῖς τόποις ἐπιβαίνειν, ἀπαραιτήτου τιμωρίας ἐπαιωρουμένης τοῖς τοῦ νόμου παραβάταις. Διὸ εἰσέτι καὶ σήμερον ἀμφὶ μὲν τοὺς ὅρους καὶ κύκλῳ παριόντες πόρρωθεν ἵστανται· μηδ' ἐξ ἀπόπτου τὸ πάλαι νενομισμένον αὐτοῖς ἱερὸν ἔδαφος θεάσασθαι καταξιούμενοι· ἔξωθεν δὲ κυκλοῦντες, πίστιν ἐπάγουσι τῇ μετὰ χεῖρας λεγούσῃ Γραφῇ· «Ἐπιστρέψουσιν εἰς ἑσπέραν, καὶ λιμώξουσιν ὡς κύων, καὶ κυκλώσουσι πόλιν.» Καὶ τούτοις ἑξῆς ἐπιλέγεται ἡ αἰτία δι' ἣν ταῦτα πείσονται· «Ἰδοὺ» γάρ, φησίν, «ἀποφθέγξονται ἐν τῷ στόματι αὐτῶν, καὶ ῥομφαία ἐν τοῖς χείλεσιν αὐτῶν, ὅτι τίς ἤκουσε;» ταῦτα γὰρ ἅπαντα πεπόνθασι διὰ τὰς ἀθέους αὐτῶν καὶ δυσσεβεῖς φωνάς, ἃς κατὰ τοῦ Σωτῆρος ἡμῶν ἠφίεσαν, ἐπὶ τοῦ Πιλάτου βοῶντες· «Αἶρε, αἶρε, σταύρωσον αὐτόν.[2] Τὸ αἷμα αὐτοῦ ἐφ' ἡμᾶς καὶ ἐπὶ τὰ τέκνα ἡμῶν·[3]» ὃ δὴ σημαίνει φάσκων ὁ λόγος· «Ἰδοὺ ἀποφθέγξονται ἐν στόματι αὐτῶν καὶ ῥομφαία ἐν τοῖς χείλεσιν αὐτῶν.» Ἀντὶ δὲ τοῦ, «Ὅτι τίς ἤκουσε;» σαφέστερον ἡρμήνευσεν ὁ Σύμμαχος εἰπών· «Ὡς οὐδενὸς ἀκούοντος ἐβόων.» Τοιαῦτα γὰρ κατὰ τοῦ Σωτῆρος ὑλάκτουν, ὡς μηδενὸς ὑφορῶντος, καὶ ὡς μὴ τῆς φωνῆς αὐτῶν ἐπακροωμένου τοῦ Θεοῦ. Ἀλλ' ἐκεῖνοι μὲν ὡς μηδενὸς ἀκούοντος ἐβόων· σὺ δὲ αὐτὸς ὁ πάντων ἔφορος κριτὴς οὐ μόνον ἤκουες τὰ τοιαῦτα ὑλακτούντων, ἀλλὰ καὶ καταγελάστους ἐποίεις. Καὶ πῶς γὰρ οὐκ ἦσαν καταγέλαστοι οἱ νομίζοντες δύνασθαι τὸν τῶν τοσούτων παραδόξων ἔργων ποιητὴν τῇ ἑαυτῶν νικήσειν κακίᾳ; Καὶ ἐν τῷ β' δὲ εἴρηται ψαλμῷ· «Ὁ κατοικῶν ἐν οὐρανοῖς ἐκγελάσεται αὐτούς, καὶ Κύριος ἐκμυκτηριεῖ αὐτούς.[4]»

«Ἐξουδενώσεις πάντα τὰ ἔθνη.» Ἀντὶ δὲ τοῦ, «Ἐξουδενώσεις πάντα τὰ ἔθνη», ὁ Σύμμαχος, «Ἐπιφράξει πᾶσι τοῖς ἔθνεσιν», ἡρμήνευσε. Δηλοῖ δὲ ὁ λόγος ἐπιτίμησίν τινα τοῦ Θεοῦ πρὸς πάντα τὰ ἔθνη. Ἐπειδὴ γὰρ ἀνωτέρω ἐλέγετο· «Πρόσχες τοῦ ἐπισκέψασθαι πάντα τὰ ἔθνη·» ἀκολούθως διδάσκει, ὡς ἐπισκοπῶν ὁ Θεὸς ἐπιτιμήσει

1. Ψαλμ. 54, 10. 2. Ἰω. 19, 15. 3. Ματθ. 27, 25. 4. Ψαλμ. 2. 4.

πρότερον πᾶσι τοῖς ἔθνεσιν, εἶτ᾽ ἐπιστρέψει αὐτὰ τῆς πολυθέου καὶ εἰδωλολάτρου πλάνης. Γνῶναι δέ ἐστι τοῦ λόγου τὸ ἀποτέλεσμα ἐπιστήσαντα, ὡς μετὰ τὴν παρουσίαν τοῦ Σωτῆρος ἡμῶν, τὰ μάλιστα περὶ τὴν πολύθεον πλάνην ἐπτοημένα ἔθνη, κατ᾽ ἀρχὰς τοῦ κηρύγματος ἐναντιωθέντα τῇ τοῦ λόγου παραδοχῇ, πολιορκίαις καί τισιν ἄλλαις ἐπιστρεπτικαῖς περιστάσεσιν ἐσωφρονίσθη, τοῦ Θεοῦ τοῦτον τὸν τρόπον ἐπιφθεγγομένου καὶ ἐπιτιμῶντος αὐτοῖς· οὕτω γοῦν, μετὰ ταῦτα σωφρονισθέντες, καθυπετάγησαν τῷ σωτηρίῳ λόγῳ. Διὸ ἐπιλέγεται ἑξῆς ἐκ προσώπου τοῦ Σωτῆρος· «Τὸ κράτος μου πρὸς σὲ φυλάξω, ὅτι ὁ Θεὸς ἀντιλήπτωρ μου, ὁ Θεός μου, τὸ ἔλεος αὐτοῦ προφθάσει με· ὁ Θεὸς δείξει μοι ἐν τοῖς ἐχθροῖς μου·» ἢ κατὰ τὸν Σύμμαχον, «Ἐπιδεῖν ποιήσει με τοῖς ἀποτειχίζουσί με.» Καὶ ἐν ἑτέρῳ δὲ εἴρηται· «Καὶ ἐπεῖδεν ὁ ὀφθαλμός μου ἐν τοῖς ἐπανισταμένοις ἐπ᾽ ἐμὲ πονηρευομένοις, εἰσακούσεται τὸ οὖς μου.[1]» Ἀλλὰ καὶ ὁ Δαυῒδ τοῦ Σαοὺλ τὴν πτῶσιν καὶ τὴν τελευτὴν εἶδεν, ἐπεῖδέ τε αὐτοῦ τῇ καταστροφῇ τοῦ θανάτου. «Μὴ ἀποκτείνῃς αὐτούς, μήποτε ἐπιλάθωνται τοῦ λαοῦ σου.» Πάλιν πληθυντικῶς, «Μὴ ἀποκτείνῃς αὐτούς», φησί, «καὶ διασκόρπισον αὐτούς, καὶ κατάγαγε αὐτούς·» οὐδενὸς ἐχθροῦ τῷ Δαυῒδ καθ᾽ ὃν καιρὸν ταῦτα ἐλέγετο δεικνυμένου ἐκ τῆς ἱστορίας ἢ μόνου τοῦ Σαούλ. Ἀλλὰ γὰρ καὶ ταῦτα τὸ πνεῦμα τὸ προφητικὸν ἐκ προσώπου τοῦ Σωτῆρος ἀναφωνεῖ περὶ τῶν ἐπαναστάντων αὐτῷ, περὶ ὧν ἐλέγετο· «Καὶ λαοὶ ἐμελέτησαν κενά. Παρέστησαν οἱ βασιλεῖς τῆς γῆς, καὶ οἱ ἄρχοντες συνέστησαν ἐπὶ τὸ αὐτὸ κατὰ τοῦ Κυρίου καὶ κατὰ τοῦ Χριστοῦ αὐτοῦ.[2]» Τούτους οὖν τοὺς εἰς κενὸν τὰς περὶ αὐτοῦ προφητείας μελετήσαντας, τούς τε ἄρχοντας αὐτῶν καὶ καθηγουμένους «μὴ ἀποκτείνῃς», φησίν, ἀλλὰ διασκόρπισον καὶ κατάγαγε. Εὔχεται δὲ αὐτοὺς καθαιρεθῆναι τοῦ ἀξιώματος· ὃ δὲ καὶ γέγονεν. Οὐκέτι γοῦν βασιλεύς, οὐδὲ ἀρχιερεύς, οὐδὲ προφήτης, ἀλλ᾽ οὐδὲ γραμματεῖς καὶ Φαρισαῖοι, καὶ Σαδδουκαῖοι παρ᾽ αὐτοῖς εἰσιν. Οὐ μὴν καὶ ἀποκτανθῆναι αὐτούς φησι. Διὸ συνέστηκεν αὐτῶν τὸ γένος, καὶ τῶν παίδων ἡ διαδοχὴ πληθύνει. Οὐ γὰρ ἀπεκτάνθησαν, οὐδὲ ἐξ ἀνθρώπων ἀπεσβέσθησαν· ἀλλ᾽ εἰσὶ μὲν καὶ ὑφεστήκασιν· οὕτω δὲ ὡς καταβεβλημένοι καὶ κατενηνεγμένοι ἧς πάλαι ἠξίωντο παρὰ Θεῷ τιμῆς. Ἀλλὰ καὶ διασκόρπισον αὐτούς, φησίν, ἐν τῇ «δυνάμει σου·» ἢ κατὰ τὸν Σύμμαχον· «Ἀναστάτωσον αὐτοὺς τῇ δυνάμει σου.» Ὃ δὴ καὶ αὐτὸ τὸ πρᾶγμα ἐναργέστερον παντὸς λόγου παρίστησιν, ἁπανταχοῦ γῆς τοῦ Ἰουδαίων ἔθνους διεσκορπισμένου, καὶ ἀναστάτου τυγχάνοντος· ὥστ᾽ εἰ μέγα φρονοῖεν ἐπὶ τούτῳ Ἰουδαῖοι, ὡς πάντα πληροῦντες τὰ ἔθνη παρά τε βαρβάροις καὶ ἐν μέσοις Ἕλλησιν οἰκοῦντες· ἀλλ᾽ ἴστωσαν, ὅτι ἐν κατάρας λόγῳ ταῦτα περὶ αὐτῶν ἐθεσπίζετο. Ἡ γοῦν παροῦσα προφητεία φησὶν περὶ αὐτῶν· «Διασκόρπισον αὐτοὺς ἐν

1. Ψαλμ. 91, 12. 2. Ψαλμ. 2, 1, 2.

τῇ δυνάμει σου, καὶ κατάγαγε αὐτούς, ὁ ὑπερασπιστής μου Κύριε.» Ἀλλὰ καὶ τὸ μὴ πάμπαν αὐτοὺς ἐξ ἀνθρώπων ἠφανίσθαι σημαίνει λέγουσα· «Μὴ ἀποκτείνῃς αὐτούς, μήποτε ἐπιλάθωνται τοῦ λαοῦ σου.» Εἰ γὰρ ἦσαν ἐξ ἀνθρώπων ἀφανισθέντες, καὶ μηδαμῶς ἐν ζῶσιν ὄντες, οὐκ ἂν εἶδον, φησί, τὸν ἐμὸν λαόν, οὐδ' ἂν ἔγνωσαν ἀνθοῦσαν τὴν ἐμὴν Ἐκκλησίαν· ἀλλ' ἵνα βλέπωσιν αὐτὴν καὶ τὸν ἐμὸν θεωρῶσι λαόν, μὴ ἀποκτείνῃς μὲν αὐτούς, διασκόρπισον δὲ αὐτοὺς ἁπανταχοῦ γῆς, ἔνθα μέλλει καὶ ἡ ἐμὴ Ἐκκλησία συνίστασθαι· ὅπως, βλέποντες τὸν ἐμὸν λαὸν καὶ τὴν καθ' ὅλης τῆς οἰκουμένης ὑπ' ἐμοῦ θεμελιωθεῖσαν Ἐκκλησίαν, εἰς ζῆλον ἔρχοιντο θεοσεβείας, καὶ τῷ παραδείγματι τοῦ ἐξ ἐθνῶν ἐπιστρέφοντος λαοῦ καὶ αὐτοὶ παύσοιντό ποτε τοῦ ἀνιάτου παρ' αὐτοῖς καὶ ἀθεραπεύτου κακοῦ τῆς εἰδωλολατρείας. Οὐκοῦν καὶ ταῦτα ὑπὲρ αὐτῶν ὁ Σωτὴρ ηὔκται, δεηθεὶς τοῦ Πατρὸς μὴ ἀναιρεθῆναι μὲν αὐτούς, μένειν δὲ ἐν τῷ βίῳ καὶ φυλάττεσθαι ἐπὶ τῷ θεωρεῖν τὸν αὐτοῦ λαὸν καὶ μεγάλα ἐξ αὐτοῦ ὠφελεῖσθαι.

Στίχ. ιγ'. «Ἁμαρτίαν στόματος αὐτῶν, λόγον χειλέων αὐτῶν· καὶ συλληφθήτωσαν ἐν τῇ ὑπερηφανείᾳ αὐτῶν.»

Πάλιν κἀνταῦθα τὴν αἰτίαν παρίστησιν τῶν προλεχθέντων. Διὰ τί γὰρ ταῦτα παθεῖν αὐτοὺς ἠξίου, ἀναγκαίως διδάσκει λέγων· Δι' ἁμαρτίαν στόματος αὐτῶν, καὶ διὰ τὸν λόγον τῶν χειλέων αὐτῶν. Καὶ ἔστι θαυμάσαι τὸ ἀκριβὲς τῆς τοῦ ἁγίου Πνεύματος προρρήσεως. Ἐπειδὴ γὰρ οὐκ αὐτοὶ Ἰουδαῖοι, κατὰ τὸν τοῦ Σωτῆρος ἡμῶν καιρὸν τὸν θάνατον αὐτῷ εἰργάσαντο, Ῥωμαϊκῇ δὲ χειρὶ τοῦτ' ἐπράττετο, δικάζοντος μὲν Πιλάτου, διαλαβόντων δὲ στρατιωτῶν καὶ ἀπαγαγόντων αὐτῶν, Ἰουδαίων δὲ τούτων μηδ' ὁτιοῦν πεποιηκότων· εἰκότως οὐκ αὐτὸ τὸ ἔργον τοῦ θανάτου τούτοις ἀνατίθησι, ἀλλὰ τὴν αἰτίαν. Οἵ τε γὰρ ἄρχοντες τῶν Ἰουδαίων, συνέδριον ποιησάμενοι, πᾶσαν ἐκίνησαν μηχανήν, ὅπως αὐτὸν ἀπολέσωσιν· οἵ τε τούτοις χαριζόμενοι ψευδομάρτυρες καὶ συκοφάνται εἰς πρόσωπον ἔστησαν τοῦ Σωτῆρος· ὅ τε πᾶς λαὸς φωναῖς καὶ χείλεσιν οἰκείοις τὸ αἷμα αὐτοῦ καθ' ἑαυτῶν καὶ κατὰ τῶν ἰδίων παίδων ἐζητήσαντο. Εἰκότως οὖν ὁ παρὼν λόγος οὐ τῆς τοῦ θανάτου πράξεως, ἣν ὥρισε μὲν Πιλάτος, διεπράξαντο δὲ οἱ ὑπ' αὐτῷ στρατιῶται, μνημονεύει, ἀλλὰ τῆς τῶν ἀρχιερέων συσκευῆς, καὶ τῆς τῶν συκοφαντῶν μαρτυρίας, τῆς τε φωνῆς τοῦ πλήθους ἐπιβοήσαντος κατ' αὐτοῦ. Διό φησιν· «Ἁμαρτίαν στόματος αὐτῶν, λόγον χειλέων αὐτῶν·» ὡσεὶ ἔλεγε σαφέστερον· Δι' ἁμαρτίαν στόματος αὐτῶν, καὶ διὰ λόγον χειλέων αὐτῶν. Διὰ γὰρ ταῦτα «διασκόρπισον αὐτοὺς τῇ δυνάμει σου, καὶ κατάγαγε αὐτούς, ὁ ὑπερασπιστής μου Κύριε.» Κατὰ δὲ τὸν Σύμμαχον, «Ἁμαρτίᾳ», φησί, «τοῦ στόματος αὐτῶν, καὶ τῷ λόγῳ τῶν χειλέων αὐτῶν» τὰ προλεχθέντα αὐτοῖς ἐπαχθήσεσθαι. Καὶ ἐπιλέγει· «Καὶ συλληφθήτωσαν ἐν τῇ ὑπερηφανίᾳ αὐτῶν·» ἤ, κατὰ τὸν Σύμμαχον, «Συλληφθήτωσαν μετὰ τῆς ὑπερηφανίας αὐτῶν.» Ὑπερήφανοι

γάρ τινες ὄντες καὶ ἀλαζόνες, οὐκ ἔφερον τοῦ Σωτῆρος ἡμῶν τὴν παρρησίαν. Διὸ μετὰ πολλῆς ὑπερηφανίας προσελθόντες ἔλεγον αὐτῷ· «Τίς σοι ἔδωκε τὴν ἐξουσίαν ταύτην; καὶ ποίᾳ ἐξουσίᾳ ταῦτα ποιεῖς;[1]» Ἡμῶν γὰρ κρατούντων τοῦ ἱεροῦ καὶ τοῦ παντὸς ἔθνους ἀρχόντων, σὺ τίς ὢν καὶ πόθεν τὰ τοιαῦτα τολμᾷς; Τούτων οὖν ἕνεκα τῶν λόγων ἐνταῦθα εἴρηται· «Καὶ συλληφθήτωσαν ἐν τῇ ὑπερηφανίᾳ αὐτῶν· καὶ ἐξ ἀρᾶς καὶ ψεύδους διαγγελήσονται·» ἀνθ' οὗ ὁ Σύμμαχος ἡρμήνευσε· «Συλληφθήτωσαν μετὰ τῆς ὑπερηφανίας αὐτῶν, ἀρὰν καὶ ψεῦδος λαλοῦντες.» Εἶθ' ἑξῆς ἐπιλέγει· «Ἐν συντελείᾳ, ἐν ὀργῇ συντελείας, καὶ οὐ μὴ ὑπάρξωσιν.» Ἀνθ' οὗ πάλιν ὁ Σύμμαχος λευκότερον ἀπέδωκε φήσας· «Συντέλεσον ἐν θυμῷ, ἀνάλωσον ἵνα μὴ ὦσι.» Ταῦτα δὲ τὸ Πνεῦμα τὸ προφητικὸν οὐκ ἐπαρώμενον τοῖς ταῦτα μέλλουσι πείσεσθαι προαναφωνεῖ, τὰ δὲ συμβησόμενα προαγορεῦον, τῆς διανοίας τοιοῦτον παριστώσης νοῦν. Διὰ τὴν ἁμαρτίαν τοῦ στόματος αὐτῶν, καὶ διὰ τὸν λόγον τῶν χειλέων αὐτῶν συλληφθήσονται ἐν τῇ ὑπερηφανίᾳ αὐτῶν, καὶ συλληφθήσονται ἀρὰν καὶ ψεῦδος λαλοῦντες· γενήσονταί τε ἐν συντελείᾳ καὶ ἐν ὀργῇ ἀναλισκούσῃ αὐτοὺς ὡς μηκέθ' ὑπάρχειν. Κατὰ δὲ τὸν Ἀκύλαν εἴρηται· «Τέλεσον ἐν χόλῳ, τέλεσον, καὶ οὐχ ὑπάρξουσιν.» Ὥσπερ οὖν καὶ κατὰ τὸν Σύμμαχον· «Συντέλεσον ἐν θυμῷ, ἀνάλωσον, ἵνα μὴ ὦσι.» Θεσπίζει δὲ διὰ τούτων ὁ λόγος μηκέτι ὑπάρχειν ἐν τῇ προλεχθείσῃ πόλει τοὺς τὰ τοιαῦτα τετολμηκότας· τέλος δὲ λαβεῖν λοιπὸν τὴν πάλαι σπουδαζομένην ἐν τῇ πόλει λατρείαν καὶ τὴν ἐν αὐτῇ συνεστῶσαν βασιλείαν, καὶ πάντα τὰ πρότερον αὐτοῖς ὑπάρχοντα ἐκ Θεοῦ ἀγαθά, προφητῶν δηλαδὴ παρουσίας, καὶ ἀγγέλων ἐπιφανείας καὶ τὴν λοιπὴν ἐπισκοπήν· ἃ δὴ ἀληθῶς τέλους ἔτυχε διὰ τῆς ἐπενεχθείσης αὐτοῖς ὀργῆς. Ὅτι δὲ περὶ τούτων λέλεκται τό, «Συντέλεσον ἐν θυμῷ, ἀνάλωσον, ἵνα μὴ ὦσι», δῆλον ἀπὸ τοῦ λεγομένου ἑξῆς. Τί δὲ ἦν τοῦτο; «Καὶ γνώσονται, ὅτι ὁ Θεὸς δεσπόζει τοῦ Ἰακὼβ τῶν περάτων τῆς γῆς.» Εἰ γὰρ περὶ αὐτοῦ ἐλέγετο τοῦ ἔθνους καὶ περὶ αὐτῶν τῶν ἀνδρῶν τό· «Συντέλεσον ἐν θυμῷ, ἀνάλωσον, ἵνα μὴ ὦσι», πῶς, συντελεσθέντες, καὶ μηκέθ' ὑπάρχοντες, ἐδύναντο γινώσκειν, ὅτι ὁ Θεὸς δεσπόζει τῶν περάτων τῆς γῆς; πῶς δὲ καὶ ἀνωτέρω ἐλέγετο· «Μὴ ἀποκτείνῃς αὐτούς», ἔδοξε γὰρ ἂν ἐναντίον εἶναι τό, «Μὴ ἀποκτείνῃς αὐτούς», τῷ, «Συντέλεσον ἐν θυμῷ, ἀνάλωσον, ἵνα μὴ ὦσιν.» Ἀλλ' οὐκ εἴρηται ἐνταῦθα, «Συντέλεσον αὐτούς·» ἀλλ' ἀορίστως, «Συντέλεσον ἐν θυμῷ, ἀνάλωσον, ἵνα μὴ ὦσιν», ἐπινοούντων ἡμῶν καὶ προσυπακουόντων ἔξωθεν τό, ἵνα μὴ ὦσιν ὁποῖοι καὶ ἦσαν πρότερον, καὶ ἵνα μὴ ὑπάρχωσιν ἐν ᾗ ἐτύγχανον πάλαι παρὰ τῷ Θεῷ τιμῇ· ἧς ἀφαιρεθείσης αὐτῶν, καὶ τῶν πάλαι ὑπαρχόντων αὐτοῖς ἀρθέντων, γυμνοὶ καταλειφθέντες καὶ κανενεχθέντες ἀπὸ τοῦ ὕψους τῆς ὑπερηφανίας

1. Ματθ. 21, 23.

αὐτῶν, διασκορπισθέντες τε εἰς πάντα τὰ ἔθνη, ἔγνωσαν αὐτοῖς ἔργοις, ὅτι ὁ πάλαι Θεὸς Ἰακὼβ χρηματίζων, οὗτος αὐτὸς δεσπόζει οὐκέτι τοῦ Ἰακώβ, οὐδὲ τοῦ Ἰσραήλ, ἀλλὰ πάντων τῶν περάτων τῆς γῆς. Θεὸν δὲ Ἰακὼβ καὶ νῦν εὐκαίρως ὠνόμασε, τὸν Χριστὸν δηλώσας· αὐτὸς γὰρ ἦν ὁ ἐν ἀνθρώπου σχήματί τε καὶ μορφῇ τῷ πατριάρχῃ Ἰακὼβ ὀφθείς, ὅτε ἐπάλαιεν ἄνθρωπος μετ' αὐτοῦ. Μετονομάζει τε αὐτὸν λέγων· «Οὐκέτι κληθήσεται τὸ ὄνομά σου Ἰακώβ, ἀλλ' Ἰσραὴλ ἔσται τὸ ὄνομά σου· ὅτι ἐνίσχυσας μετὰ τοῦ Θεοῦ, καὶ μετὰ ἀνθρώπων δυνατός.[1]» Αὐτὸς οὖν ἐκεῖνος ὁ τῷ Ἰακὼβ χρηματίσας Θεὸς τῶν περάτων τῆς γῆς ἄρξει κυριολογούμενος παρὰ πᾶσι τοῖς ἔθνεσι, δεσπότης τε καὶ Κύριος ὀνομαζόμενος. Ἅπερ ἵνα ὀφθαλμοῖς παραλάβωσιν οἱ ἀρνησάμενοι αὐτόν, ἀναγκαίως προείρηται· «Μὴ ἀποκτείνῃς αὐτούς, μήποτε ἐπιλάθωνται τοῦ λαοῦ μου·» καὶ ἐνταῦθα· «Καὶ γνώσονται, ὅτι δεσπόζει τῶν περάτων τῆς γῆς ὁ Θεὸς Ἰακώβ. Ἐπιστρέψουσιν εἰς ἑσπέραν καὶ λιμώξουσιν ὡς κύων, καὶ κυκλώσουσι πόλιν.» Εἰς βεβαίωσιν τῶν προλεχθέντων δευτεροῖ τὸν λόγον, ἐπαναλαβὼν τὴν αὐτὴν προφητείαν, θεσπίζει τε, ὅτι οὐκ ἀφανισθήσονται ἐξ ἀνθρώπων οὐδὲ ἀποκτανθήσονται, ἐπιστρέψουσι δέ, τουτέστιν, εἰς συναίσθησιν ἐλεύσονται ὀψέ ποτε καὶ ἑσπέραν· «Λιμώξουσί τε ὡς κύων·» ἤ, κατὰ τὸν Ἀκύλαν, «Ὀχλάσουσιν ὡς κύων·» ἤ, κατὰ τὸν Σύμμαχον, «Θορυβηθήσονται ὡς κύνες, καὶ περικυκλώσουσι πόλιν.» Ταῦτα δὲ καὶ διὰ τῶν ἔμπροσθεν ἐθεσπίζετο· ἀλλ' ἐκεῖ μὲν ἀνεφέρετο ἑξῆς ἡ αἰτία ἐν τῷ, «Ἰδοὺ ἀποφθέγξονται τῷ στόματι αὐτῶν, καὶ ῥομφαία ἐν τοῖς χείλεσιν αὐτῶν, καὶ δι' ἁμαρτίαν στόματος αὐτῶν, καὶ λόγον χειλέων αὐτῶν·» ἐνταῦθα δὲ μετὰ τό, «Ἐπιστρέψουσιν εἰς ἑσπέραν, καὶ λιμώξουσιν ὡς κύων, καὶ κυκλώσουσι πόλιν», ἐπενήνεκται· «Αὐτοὶ διασκορπισθήσονται τοῦ φαγεῖν· ἐὰν δὲ μὴ χορτασθῶσι καὶ γογγύσουσιν.» Ἀνθ' οὗ ὁ Σύμμαχος τοῦτον ἡρμήνευσε τὸν τρόπον· «Ἀνακαμπτέτωσαν εἰς ἡμέραν, θορυβείτωσαν ὡς κύνες, περιερχόμενοι πόλιν ῥεμβόμενοι, ἵνα μὴ ἀχόρταστοι αὐλισθῶσι.» Διασκορπισθέντες γοῦν εἰς πάντα τὰ ἔθνη δίκην κυνῶν λιμωττόντων ζητοῦσι τοῦ φαγεῖν· μὴ εὑρίσκοντες δὲ τροφὴν λογικήν, ἐκλείπουσιν. Εἰ δὲ καί ποτε ἀπὸ ψιλῆς τῶν θείων Γραφῶν ἀναγνώσεως μεταλάβοιεν τροφῆς, ὅμως, οὐδενὸς στερροῦ μεταλαμβάνοντες οὔτε ζωοποιοῦ ἄρτου ἀπογευόμενοι, ἀχόρταστοι διαμένουσι· μὴ χορταζόμενοι δέ, καταγογγύζουσιν, ὥσπερ οὖν κατεγόγγυσάν ποτε ἐπὶ τῆς ἐρήμου. Τοῦτο γὰρ αὐτοῖς ποιεῖν σύνηθες. Διὸ πρὸς ἡμᾶς φησιν ὁ Ἀπόστολος· «Μηδὲ γογγύζητε, καθὼς τινὲς αὐτῶν ἐγόγγυσαν, καὶ ἀπώλοντο ὑπὸ τῶν ὄφεων.[2]»

Στίχ. ιζ', ιη'. «Ἐγὼ δὲ ᾄσομαι τὴν δύναμίν σου, καὶ ἀγαλλιάσομαι τῷ πρωῒ τὸ ἔλεός σου· ὅτι ἐγενήθης ἀντιλήπτωρ μου καὶ

1. Γεν. 32, 28. 2. Α' Κορ. 10, 10.

καταφυγή μου ἐν ἡμέρᾳ θλίψεώς μου. Βοηθός μου, σοὶ ψαλῶ, ὅτι Θεὸς ἀντιλήπτωρ μου εἶ, ὁ Θεός μου τὸ ἔλεός μου.»

Ταῦτα μὲν οὖν οἱ ἐπαναστάντες μοι πείσονται· ἐγὼ δὲ τὴν δύναμίν σου τοῦ ἐμοῦ Πατρὸς ᾄσομαι. Λέγεται δὲ ταῦτα ἐκ προσώπου τοῦ Σωτῆρος προφητικῷ πνεύματι, ὡς καὶ ἐν ἑτέροις ἐλέγετο ἐξ αὐτοῦ· «Ἀπαγγελῶ τὸ ὄνομά σου τοῖς ἀδελφοῖς μου, ἐν μέσῳ Ἐκκλησίας ὑμνήσω σε.[1]» Καὶ ἀγαλλιάσομαι δέ», φησί, «τῷ πρωὶ τὸ ἔλεός σου·» ὅπερ ὁ Σύμμαχος ἡρμήνευσε· «Καὶ ὑμνήσω κατ' ὄρθρον τὸ ἔλεός σου.» Σημαίνει δὲ διὰ τούτου προφητικῶς τὴν κατ' ὄρθρον καὶ καθ' ἑκάστην πρωῒαν τῆς ἀναστασίμου ἡμέρας καθ' ὅλης τῆς οἰκουμένης ἐν τῇ Ἐκκλησίᾳ αὐτοῦ συντελουμένην λατρείαν. Ἐν μὲν γὰρ τῷ λέγεσθαι, «Ἐν μέσῳ Ἐκκλησίας ὑμνήσω σε», ὁ τόπος ἐδηλοῦτο καθ' ὃν ὑμνήσειν τὸν Πατέρα ὁ Χριστὸς ἐπηγγέλλετο· ἐν δὲ τῷ, «Καὶ ὑμνήσω κατ' ὄρθρον τὸ ἔλεός σου», ὁ χρόνος παρίσταται, ἐν ᾧ τὸ ἔλεος τὸ πατρικὸν τὸ εἰς πάντα χυθὲν τὰ ἔθνη ὁ Μονογενὴς αὐτοῦ διὰ τοῦ ἰδίου λαοῦ ὑμνεῖ χαίρων καὶ ἀγαλλιώμενος ἐπὶ τούτῳ. Καὶ ταῦτα δὲ πάντα ἀποδώσω σοι, φησίν· «ὅτι ἐγενήθης ἀντιλήπτωρ μου καὶ καταφυγή μου ἐν ἡμέρᾳ θλίψεώς μου.» Τούτων γὰρ ἁπάντων παρὰ τοῦ Πατρὸς τυχών, εἰκότως κατ' ὄρθρον ὑμνήσω τὸ ἔλεόν σου, καί σοι ψαλῶ αὐτὸς ἐγώ· «ὅτι γέγονάς μου ἀντιλήπτωρ, καὶ Θεός μου καὶ ἔλεός μου.» Οὐδεὶς γὰρ τῶν ὑποβεβηκότων οἷός τε ἦν ἐμοὶ ὀρέγειν χεῖρα ἢ σὺ μόνος ὁ ὑπὲρ μὲ Πατήρ. Διὸ καί σου ἀνηρτῆσθαι ὁμολογῶ, καὶ τὴν δύναμίν σου ᾄσομαι, ἀντιλήπτορα καὶ καταφυγὴν ἐμαυτοῦ σὲ μόνον ἐπιγραφόμενος. Εἶεν δ' ἂν αὗται αἱ φωναὶ τοῦ Σωτῆρος, διδάσκοντος τοὺς πάντας εὐσεβεῖν εἰς τὸν αὐτοῦ Πατέρα.

ΕΙΣ ΤΟ ΤΕΛΟΣ, ΤΟΙΣ ΑΛΛΟΙΩΘΗΣΟΜΕΝΟΙΣ ΕΙΣ ΣΤΗΛΟΓΡΑΦΙΑΝ, ΤΩ ΔΑΥΙΔ ΕΙΣ ΔΙΔΑΧΗΝ, ΟΠΟΤΕ ΕΝΕΠΥΡΙΣΕ ΤΗΝ ΜΕΣΟΠΟΤΑΜΙΑΝ ΣΥΡΙΑΣ, ΚΑΙ ΤΗΝ ΣΥΡΙΑΝ ΣΩΒΑΛ, ΚΑΙ ΑΠΕΣΤΡΕΨΕ ΙΩΑΒ ΚΑΙ ΕΠΑΤΑΞΕ ΤΗΝ ΦΑΡΑΓΓΑ ΤΩΝ ΑΛΩΝ ΔΩΔΕΚΑ ΧΙΛΙΑΔΑΣ ΝΘ΄.

Στίχ. γ΄-ς΄. «Ὁ Θεός, ἀπώσω ἡμᾶς καὶ καθεῖλες ἡμᾶς, ὠργίσθης καὶ ᾠκτείρησας ἡμᾶς.»

Εἰς στηλογραφίαν μέν ἐστι καὶ ὁ παρὼν λόγος, οὐ μὴν κατὰ τοὺς αὐτοὺς εἴρηται χρόνους ταῖς πρὸ αὐτῆς. Ἐκεῖναι μὲν γὰρ ἔτι ζῶντος Σαοὺλ καὶ πρὸ τοῦ βασιλεῦσαι τὸν Δαυὶδ ἐλέχθησαν· ἡ μὲν πρώτη, «ὁπότε ἐκράτησαν αὐτὸν οἱ Ἀλλόφυλοι ἐν Γέθ·[2]» ἡ δὲ δευτέρα, «ἐν τῷ ἀποδιδράσκειν ἀπὸ προσώπου Σαοὺλ εἰς τὸ σπήλαιον·[3]» ἡ δὲ τελευταία, «ὅτε ἀπέστειλε Σαοὺλ καὶ ἐφύλαξε τὸν οἶκον αὐτοῦ,

1. Ψαλμ. 21, 23. 2. Ψαλμ. 55, 1. 3. Ψαλμ. 56. 1.

τοῦ θανατῶσαι αὐτόν.[1]» Τὴν δὲ μετὰ χεῖρας μετὰ τὸν θάνατον Σαούλ, τὴν ἀρχὴν ἤδη τῆς βασιλείας διέπων, πολύν τε ἐν αὐτῇ χρόνον διαγενόμενος, ὁ Δαυῒδ θεσπίζει. Τοῦτο δὲ ἐπισημαίνεται ἡ προγραφὴ φάσκουσα· «Ὁπότε ἐνεπύρισε τὴν Μεσοποταμίαν Συρίας, καὶ τὴν Συρίαν Σωβᾶ, καὶ ἐπέστρεψεν Ἰωάβ, καὶ ἐπάταξε τὴν φάραγγα τῶν Ἁλῶν δώδεκα χιλιάδας.» Εὕροις δ' ἂν τὴν ἱστορίαν ἐν τῇ δευτέρᾳ τῶν Βασιλειῶν, ἐν ᾗ γέγραπται· «Καὶ ἐπάταξε Δαυῒδ τὸν Ἀδραζὰρ υἱὸν Ἰαὰβ βασιλέα Σωβᾶ, πορευομένου αὐτοῦ ἐπιστῆσαι τὴν χεῖρα αὐτοῦ ἐπὶ τὸν ποταμὸν Εὐφράτην. Καὶ προκατελάβετο Δαυῒδ τῶν αὐτοῦ χίλια ἅρματα, καὶ ἑπτὰ χιλιάδας ἱππέων, καὶ εἴκοσι χιλιάδας ἀνδρῶν πεζῶν. Καὶ παρέλυσε Δαυῒδ πάντα τὰ ἅρματα, καὶ ὑπελείπετο αὐτῷ ἐξ αὐτῶν ἑκατὸν ἅρματα. Καὶ παραγίνεται Συρία Δαμασκοῦ βοηθῆσαι τῷ Ἀδραζὰρ βασιλεῖ Σωβᾶ. Καὶ ἐπάταξε τῷ Σύρῳ εἴκοσι δύο χιλιάδας ἀνδρῶν. Καὶ ἔθετο Δαυῒδ φρουρὰν ἐν Συρίᾳ τῇ κατὰ Δαμασκόν. Καὶ ἐγένετο ὁ Σύρος τῷ Δαυῒδ εἰς δούλους φέροντας ξένια. Καὶ ἔσωσε Κύριος τὸν Δαυῒδ ἐν πᾶσιν οἷς ἐπορεύετο.[2]» Τούτοις ἑξῆς μετὰ βραχέα ἐπιλέγεται· «Καὶ ἐβασίλευσε Δαυῒδ ἐπὶ Ἰσραήλ· καὶ ἦν Δαυῒδ ποιῶν κρῖμα καὶ δικαιοσύνην ἐπὶ πάντα τὸν λαὸν αὐτοῦ. Καὶ Ἰωὰβ υἱὸς Σαρουΐας ἐπὶ τῆς στρατείας.» Καὶ αὖθις μεθ' ἕτερα εἴρηται· «Καὶ ἀπέστειλαν οἱ υἱοὶ Ἀμμών, καὶ ἐμισθώσαντο τὴν Συρίαν Ῥοὼβ καὶ τὴν Συρίαν Σοβὰλ εἴκοσι χιλιάδας πεζῶν, καὶ τὸν βασιλέα Μαχαὰ χιλίους ἄνδρας, καὶ Εἰστὼβ ιβ' χιλιάδας ἀνδρῶν. Καὶ ἤκουσε Δαυῒδ, καὶ ἀπέστειλε τὴν δύναμιν, τοὺς δυνατούς. Καὶ ἐξῆλθον υἱοὶ Ἀμμών, καὶ παρετάξαντο πόλεμον παρὰ τῇ θύρᾳ τῆς πύλης Συρίας Σωβᾶ καὶ Ῥοὼβ καὶ Εἰστώβ. Καὶ εἶδεν Ἰωάβ, ὅτι ἐγενήθη πρὸς αὐτὸν ἀντιπρόσωπον τοῦ πολέμου ἐκ τοῦ κατὰ πρόσωπον· καὶ ἐπέλεξεν ἐκ πάντων τῶν νεανίσκων Ἰσραήλ, καὶ παρετάξαντο ἐξεναντίας Συρίας[3]», καὶ τὰ τούτοις ἑξῆς. Οἷς ἑξῆς ἐπιφέρεται· «Καὶ εἶδον οἱ δοῦλοι Ἀδραζάρ, ὅτι ἔπταισεν ἔμπροσθεν Ἰσραήλ, καὶ ηὐτομόλησαν μετὰ Ἰσραήλ, καὶ ἐδούλευσαν αὐτοῖς.[4]» Διὰ τούτων ἡ ἱστορία καὶ τοῦ Εὐφράτου καὶ τῆς Σωβὰλ καὶ τῆς Συρίας καὶ τοῦ Ἰωάβ, καὶ τῶν ιβ' χιλιάδων ἐμνημόνευσε, καὶ ὡς τῶν πολεμίων ἁπάντων περικρατὴς γέγονεν ὁ Δαυῒδ· ὅπως τε ὁ ἀρχιστράτηγος αὐτοῦ Ἰωάβ, παραταξάμενος τοῖς ἀλλοφύλοις, ὑποχειρίους αὐτοὺς εἰλήφει. Αὐτοὺς δὴ οὖν ἐκείνους, καθ' οὓς ταῦτα ἐπράττετο, σημαίνει ἡ μετὰ χεῖρας στηλογραφία. Κατὰ δὲ τὸν Σύμμαχον τὰ τῆς προγραφῆς οὕτως ἔχει· «Ἐπινίκιον ὑπὲρ τῶν ἀνθῶν τοῦ ταπεινόφρονος καὶ ἀμώμου τοῦ Δαυῒδ, εἰς διαδοχήν, ὁπότε, ἐμπρήσας τὴν Συρίαν τῆς Μεσοποταμίας, καὶ τὴν Συρίαν Σωβάλ, καὶ ἀνέστρεψε Ἰωάβ, καὶ ἐπάταξε τὸν Ἐδὼμ ἐν τῇ φάραγγι τοῦ Ἁλὸς ιβ' χιλιάδας.»

---

1. Ψαλμ. 58, 1. 2. Β' Βασ. 8, 3-6. 3. Β' Βασ. 10, 6-9. 4. Β' Βασ. 10, 19.

Δηλοῖ δὲ ὁ χρόνος εἰρῆσθαι τὰ προκείμενα ἐν τῷ διαπρέπειν καὶ τὰ μεγάλα κατορθοῦν βασιλεύοντα τὸν Δαυΐδ, πρὸ τῆς κατὰ τὴν Βηθσαβεὲ ἱστορίας, ὅτε καλῶς αὐτῷ τὰ πράγματα προὐχώρει εὐδοκιμοῦντι παρὰ τῷ Θεῷ καὶ παρὰ τοῖς πᾶσιν· ὡς μαρτυρεῖσθαι, ὅτι ἦν ποιῶν κρῖμα καὶ δικαιοσύνην ἐν τῷ Ἰσραήλ. Ἀλλὰ γὰρ ἄξιον ἐν τούτοις ἀπορῆσαι, πῶς, ἐν τοιαύτῃ τυγχάνων καταστάσει, ἀρχόμενος τῆς στηλογραφίας φάσκει· «Ὁ Θεός, ἀπώσω ἡμᾶς καὶ καθεῖλες ἡμᾶς.» Καὶ μὴν τρόπαια κατ' ἐχθρῶν ἀνίστη, καὶ νίκας κατὰ πολεμίων ᾕρητο· δέον οὖν ἐπὶ τούτοις ᾠδὰς ἐπινικίους ᾄδειν, θύειν τε εὐχαριστήρια τῷ Θεῷ. Ὁ δὲ τούτων μὲν οὐδὲν πράττει, τἀναντία δὲ ἀπολοφύρεται λέγων· «Ὁ Θεός, ἀπώσω ἡμᾶς καὶ καθεῖλες ἡμᾶς, ὠργίσθης, καὶ ᾠκτείρησας ἡμᾶς.» Ἀντὶ δὲ τοῦ, «καὶ ᾠκτείρησας ἡμᾶς», «καὶ περιήγαγες ἡμᾶς», ὁ Σύμμαχος ἡρμήνευσεν· ἡ δὲ πέμπτη ἔκδοσις, «καὶ περιεκύκλωσαν ἡμᾶς·» ὁ δὲ Ἀκύλας, «θυμωθεὶς μετέστρεψας ἡμῖν.» Εἶτα ἐπιλέγει ἑξῆς· «Ἔδειξας τῷ λαῷ σου σκληρά· ἐπότισας ἡμᾶς οἶνον κατανύξεως.» Ταῦτα δὲ ἀκατάλληλα καὶ ἀνάρμοστα δόξαι ἂν εἶναι τοῖς ἐν τῇ προγραφῇ δηλουμένοις. Ἀλλὰ γὰρ οὐκ ἀσκόπως ἡγοῦμαι τὴν προγραφὴν εἰς τὸ τέλος ἡμᾶς ἀναπέμπειν, καὶ «τοῖς ἀλλοιωθησομένοις» ἐπιγράφειν, καὶ στηλογραφίαν τοὺς λόγους ἀποκαλεῖν. «Εἰς» μὲν γὰρ «τὸ τέλος», διὰ τὸ ἐπὶ συντελείᾳ τῶν αἰώνων μέλλειν πληροῦσθαι τὰ προφητευόμενα, εἴρηται· πρόσκειται δέ, «τοῖς ἀλλοιωθησομένοις», ἀναγκαίως διὰ τὴν μέλλουσαν διαλήψεσθαι ἀλλοίωσιν τὴν κατάστασιν τῶν τότε πραγμάτων. Ὅτε μὲν γὰρ ταῦτ' ἐλέγετο, ἐκράτει τῶν ἀλλοφύλων ὁ Ἰσραήλ, καὶ τῶν πολεμίων κρείττων ἐτύγχανεν. Ἔμελλε δὲ ἄρα καιρῷ τινι ἀλλοίωσιν ὑπομένειν, καὶ ὑπὸ τοῖς ἐχθροῖς γίνεσθαι. Διό φησιν ἡ προγραφή· «Εἰς τὸ τέλος τοῖς ἀλλοιωθησομένοις·» ὁ δὲ Σύμμαχος, «Ὑπὲρ τῶν ἀνθῶν·» ὁ δὲ Ἀκύλας, «Ἐπὶ κρίνων.» Ὡς γὰρ τὰ κρίνα τοῦ ἀγροῦ καὶ ὁ χόρτος δοκεῖ μέν τινα πρὸς βραχὺ φαίνεσθαι ὡραῖα, ὅσον δὲ οὔπω μεταβάλλει καὶ φθείρεται· οὕτως καὶ τὰ πράγματα τοῦ λαοῦ, ἀνθοῦντα τότε, ἔμελλεν ὅσον οὔπω μεταβάλλειν. Διὸ καὶ ὁ Σωτὴρ ἐν ταῖς διδασκαλίαις ἔλεγε· «Καταμάθετε τὰ κρίνα τοῦ ἀγροῦ·[1]» καὶ πάλιν· «Εἰ δὲ τὸν χόρτον τοῦ ἀγροῦ σήμερον ὄντα, καὶ αὔριον εἰς κλίβανον βαλλόμενον·[2]» ἀλλὰ καί, «Πᾶσα σὰρξ χόρτος, καὶ πᾶσα δόξα αὐτῆς ὡς ἄνθος χόρτου. Ἐξηράνθη ὁ χόρτος, καὶ τὸ ἄνθος ἐξέπεσε· τὸ δὲ ῥῆμα Κυρίου μένει εἰς τὸν αἰῶνα·[3]» οἷς ὁ Προφήτης κατὰ τοὺς λοιποὺς ἑρμηνευτὰς προστίθησι λέγων· «Ἀληθῶς χόρτος ὁ λαός· ἐξηράνθη ὁ χόρτος ἐξέπεσε τὸ ἄνθος[4]», ἀκαλύπτως τὸ Ἰουδαίων ἔθνος δηλώσας. Αὐτὰ δὴ οὖν ταῦτα καὶ νῦν τὸ Πνεῦμα τὸ ἅγιον διὰ τοῦ Δαυΐδ μαρτύρεται, προαναφωνοῦν τὴν μέλλουσαν ἔσεσθαι τοῦ λαοῦ ἀλλοίωσιν καὶ μεταβολήν. Διὸ κατὰ τὸν Ἀκύλαν εἴρηται,

1. Ματθ. 6, 28. 2. Ματθ. 6, 30. 3. Ἡσ. 40, 6-8. 4. Ἡσ. 40, 7.

«Ἐπὶ κρίνων μαρτυρίας·» κατὰ δὲ τὸν Σύμμαχον, «Ὑπὲρ τῶν ἀνθῶν μαρτυρία·» κατὰ δὲ τοὺς Ἑβδομήκοντα, «Τοῖς ἀλλοιωθησομένοις εἰς στηλογραφίαν.» Πολλὴν δὲ ἀκολουθίαν ἔχοι ἂν πρὸς τὰ ἐν τῷ πρὸ τούτου λελεγμένα. Ἐπεὶ κἀκεῖνος τὴν τοῦ ἔθνους ἀποβολὴν ἐδήλου λέγων· «Ἐπιστρέψουσιν εἰς ἑσπέραν, καὶ λιμώξουσιν ὡς κύων, καὶ κυκλώσουσι πόλιν[1]», καὶ τὰ ἐπιφερόμενα. Οἷς ἑξῆς περὶ τῆς κλήσεως τῶν ἐθνῶν ἔφασκε· «Καὶ σύ, Κύριε ὁ Θεὸς τῶν δυνάμεων, ὁ Θεὸς Ἰσραήλ, πρόσχες τοῦ ἐπισκέψασθαι πάντα τὰ ἔθνη.» Τὴν δὲ στηλογραφίαν καὶ νῦν ὡς καὶ ἐν τοῖς ἔμπροσθεν ὁ μὲν Ἀκύλας, «ταπεινοῦ τελείου τοῦ Δαυΐδ·» ὁ δὲ Σύμμαχος, «ταπεινόφρονος τοῦ Δαυΐδ καὶ ἀμώμου», ἡρμήνευσαν. Στήλης γὰρ ἦν ἀξία ἡ τοῦ τοσούτου βασιλέως μετριοφροσύνη. Τοσούτων γὰρ πολέμων περιγενόμενος, καὶ τοὺς μέχρι τῆς Μέσης τῶν ποταμῶν ὑποτάξας, ὑποφόρους τε αὐτοὺς καταστησάμενος, ἐν τῷ οἰκείῳ διέμενεν ἤθει, ἐν ᾧ καὶ ὅτε ἠλαύνετο ὑπὸ τοῦ Σαούλ, καὶ τὰς ἐρήμους φεύγων κατῴκει, διέπρεπε. Καὶ τότε γὰρ ὑπὸ τῆς θείας Γραφῆς, ὡς ταπεινὸς τέλειος, ἢ ταπεινόφρων καὶ ἄμωμος στηλῶν αἰωνίων ἠξιοῦτο· καὶ νῦν δ' ὅτε βασιλεύων τοσούτοις ἐπεξῄει πολεμίοις, καὶ τὸν ἁπάντων συνῆγε πλοῦτον, ἐπὶ τῆς αὐτῆς διέμενε προαιρέσεως· διὸ στηλογραφίας ἠξιοῦτο, καὶ πνεύματος ἠξιοῦτο προφητικοῦ.

Ἐπιτήρει δὲ ὅπως κατὰ τοῦτον τοῦ χρόνου ὁ Ἰσραήλ, βασιλεύοντος Δαυΐδ, μέχρι τῆς Μέσης τῶν ποταμῶν ἐκράτει, καὶ φόρους παρὰ τῶν πέριξ ἐθνῶν ἐλάμβανε, τῆς τοῦ Θεοῦ ἐπαγγελίας τῆς πρὸς τὸν Ἀβραὰμ εἰς ἔργα χωρούσης· δι' ἧς ἐπηγγέλλετο δώσειν τῷ σπέρματι αὐτοῦ πᾶσαν τὴν γῆν ἀπὸ τοῦ ποταμοῦ Αἰγύπτου, μέχρι τοῦ ποταμοῦ Εὐφράτου· ἃ δὴ βασιλεύοντος τοῦ Δαυΐδ ἔργοις ἐπληροῦτο· τοῦτο γοῦν καὶ ἡ παρατεθεῖσα ἱστορία τῆς Βασιλειῶν γραφῆς ἐμαρτύρει. Ἀλλὰ γὰρ φωτισθεὶς ὁ προφήτης ὑπὸ τοῦ ἁγίου Πνεύματος, θεσπίζει τὰ ἐν τοῖς μέλλουσι χρόνοις συμβησόμενα. Τίνα δὲ ἦν ταῦτα διδάσκει λέγων· «Εἰς τὸ τέλος τοῖς ἀλλοιωθησομένοις.» Εἶθ' ἑξῆς προϊὼν ἐπάγει· «Ὁ Θεός, ἀπώσω ἡμᾶς καὶ καθεῖλες ἡμᾶς», καὶ τὰ ἑξῆς· οἷς μεθ' ἕτερα ἐπιλέγει· «Ὁ Θεὸς ἐλάλησεν ἐν τῷ ἁγίῳ αὐτοῦ· ἀγαλλιάσομαι καὶ διαμεριῶ Σίκιμα, καὶ τὴν κοιλάδα τῶν σκηνῶν διαμετρήσω», καὶ τὰ ἑξῆς. Σημαίνει δὲ διὰ τούτων τοῦ Θεοῦ διαλλαγὰς πρὸς τοὺς ἀλλοφύλους. Ὁ Θεὸς γάρ, φησίν, ἐλάλησε, καὶ λαλήσας ἐν τῷ ἁγίῳ αὐτοῦ τῷ Γαλαὰδ καὶ τῷ Μανασσῇ, καὶ τῷ Ἐφραΐμ, καὶ τῷ Ἰούδᾳ, συμπεριλαμβάνει τὸν Μωὰβ καὶ τὴν Ἰδουμαίαν καὶ πάντας τοὺς λοιποὺς ἀλλοφύλους. «Μωὰβ» γάρ, φησί, «λέβης τῆς ἐλπίδος μου»· ἀνθ' οὗ ὁ Σύμμαχος ἐξέδωκε, «Μωὰβ λέβης ἀμεριμνίας μου·» ὁ δὲ Ἀκύλας «Μωὰβ λέβης λουτροῦ μου.» Εἶτα περὶ τῆς Ἰδουμαίας αὐτὸς ἐπαγγέλλεται λέγων· «Ἐπὶ τὴν Ἰδουμαίαν ἐκτενῶ τὸ ὑπόδημά μου·» ἢ

1. Ψαλμ. 58, 7.

κατὰ τὸν Σύμμαχον, «Ἐπὶ τὴν Ἰδουμαίαν ἐπιβήσομαι τῷ ὑποδήματί μου.» Καὶ τοιαῦτα μὲν ἐπαγγέλλεται τῷ Μωὰβ καὶ τῇ Ἰδουμαίᾳ. Περὶ δὲ τῶν ἀλλοφύλων πάλιν ὁ αὐτὸς ἐπιλέγει· «Ἐμοὶ ἀλλόφυλοι ὑπετάγησαν·» ἤ, κατὰ τὸν Ἀκύλαν· «Ἐπ' ἐμὲ Φυλιστιαία ἡταιρήσατο·» κατὰ δὲ τὸν Θεοδοτίωνα, «Ἐμοὶ ἀλλόφυλοι ἐφιλίασαν». Αὐτὰ δὲ ταῦτα τοῖς αὐτοῖς ῥήμασι, καὶ αὐταῖς λέξεσι καὶ ἐν τῷ ρζ' εἴρηται ψαλμῷ, ἐν ᾧ καὶ κατὰ τοὺς Ἑβδομήκοντα φιλιάσειν τῷ Θεῷ οἱ ἀλλόφυλοι θεσπίζονται. Γέγραπται γοῦν καὶ ἐν ἐκείνῳ· «Μωὰβ λέβης τῆς ἐλπίδος μου. Ἐπὶ τὴν Ἰδουμαίαν ἐπιβαλῶ τὸ ὑπόδημά μου, ἐμοὶ ἀλλόφυλοι ἐφιλίασαν.[1]» Καὶ ταῦτα μὲν περὶ τῶν ἀλλοφύλων διῆλθε. Μετὰ δὲ ταῦτα ἐκ προσώπου τοῦ Ἰουδαίων λαοῦ ἡ προφητεία πάλιν ἐπάγει φάσκουσα· «Οὐχὶ σὺ ὁ Θεὸς ὁ ἀπωσάμενος ἡμᾶς, καὶ οὐκ ἐξελεύσῃ ἐν ταῖς δυνάμεσιν ἡμῶν;[2]» Ἃ δὴ ὅμοια γένοιτ' ἂν τοῖς κατὰ τὴν ἀρχὴν λελεγμένοις ἐν τῷ, «Ὁ Θεός, ἀπώσω ἡμᾶς καὶ καθεῖλες ἡμᾶς·» δι' ὧν σαφῶς ἑαυτοὺς μὲν ἀπεῶσθαι λέγουσι καὶ καθαιρεῖσθαι, μὴ ἔχειν τε τὸν Θεὸν βοηθὸν ἐν ταῖς ἑαυτῶν δυνάμεσι· τοὺς δὲ ἀλλοφύλους καθόλου μὲν πάντας φίλους γεγονέναι τῷ Θεῷ, ἰδίως δὲ τὸν Μωὰβ λέβητα αὐτοῦ τῆς ἐλπίδος, ἢ λέβητα τοῦ λουτροῦ αὐτοῦ γεγονέναι· τὴν δὲ Ἰδουμαίαν τοῦ ὑποδήματος τοῦ Θεοῦ κατηξιῶσθαι. Ταῦτ' οὖν τῷ Πνεύματι τῷ θείῳ φωτισθεὶς ὁ Δαυΐδ, κοινοποιεῖ τὸν λόγον ὡς ἐκ προσώπου τοῦ παντὸς λαοῦ καί φησιν· «Ὁ Θεός, ἀπώσω ἡμᾶς καὶ καθεῖλες ἡμᾶς·» ἤ, κατὰ τὸν Σύμμαχον· «Ὁ Θεός, ἀπεβάλου ἡμᾶς, καὶ διέκοψας ἡμᾶς·» σαφῶς ἀποβολὴν καὶ ἀποκοπὴν αὐτῶν δηλώσας. Εἶτ' ἐπιλέγει· «Ὠργίσθης, καὶ ᾠκτείρησας ἡμᾶς·» κατὰ δὲ τὸν Ἀκύλαν, «Θυμωθεὶς μετέστρεψας ἡμᾶς·» κατὰ δὲ τὸν Σύμμαχον, «Ὠργίσθης, καὶ περιήγαγες ἡμᾶς·» κατὰ δὲ τὴν πέμπτην ἔκδοσιν, «Καὶ περιήγαγες ἡμᾶς.» Ταῦτα δὲ «μᾶλλον τῶν λόγων ἡ τῶν πραγμάτων ἔκβασις παρίστησι.

Μετὰ γοῦν τὴν τοῦ Σωτῆρος ἡμῶν παρουσίαν πάντα ταῦτα πεπόνθασιν, ὅτε ἔφθασεν ἐπ' αὐτοὺς ὀργὴ εἰς τέλος, ἀπώσθησάν τε καὶ καθῃρέθησαν καὶ ἀπεβλήθησαν· διεκόπησάν τε καὶ περιήχθησαν διασκορπισθέντες εἰς πάντα τὰ ἔθνη. Ἀλλὰ καὶ «συνέσεισας», φησί, «τὴν γῆν, καὶ συνετάραξας αὐτήν», διὰ τὸ μυρία κακὰ ἐν αὐτῇ γίγνεσθαι· λέγω δὲ τῇ αὐτῶν γῇ, ἤτοι τῇ Ἱερουσαλήμ, ἐν ᾗ καὶ τὸ βασίλειον, καὶ τὸ ἁγίασμα, καὶ πάντα τὰ σεμνὰ τοῦ νόμου συνετελεῖτο· ἢ καὶ πάσῃ αὐτῶν τῇ χώρᾳ, ἢ καὶ ταῖς ψυχαῖς αὐτῶν τροπικῶς γῆν ὠνομασμέναις. Ἃ δὴ πάντα ἀθρόως διὰ τὰς παρανόμους αὐτῶν πράξεις συνεσείσθη καὶ συνεταράχθη. Ὅμως δ' οὖν ἱκετεύει ὁ προφήτης λέγων ἑξῆς· «Ἴασαι τὰ συντρίμματα αὐτῆς, ὅτι ἐκινήθη.» Κινηθεῖσα γὰρ καὶ σαλευθεῖσα τῆς οἰκείας μονῆς καὶ στάσεως ἡ προλεχθεῖσα γῆ, συντρίμματα καὶ κατάγματα ἐκτήσατο. Διόπερ

1. Ψαλμ. 107, 10. 2. Ψαλμ. 107, 12.

ἑξῆς ἐπιλέγεται· «Ἔδειξας τῷ λαῷ σου σκληρά·» καὶ ποτίζει δὲ αὐτοὺς οἶνον κατανύξεως· ἤ, κατὰ τὸν Ἀκύλαν, «οἶνον καρώσεως·» ἤ, κατὰ τὸν Σύμμαχον, «οἶνον σάλου.» Καὶ ἔστι γε εἰπεῖν τὸν ἀπὸ τῶν θείων Γραφῶν λόγον, ἐλεγκτικὸν ὄντα αὐτῶν τῆς εἰς τὸν Χριστὸν τοῦ Θεοῦ ἀπιστίας, οἶνον ὑπάρχειν κατανύξεως, νυττομένης αὐτῶν καὶ τιτρωσκομένης τῆς συνειδήσεως ἀπὸ τῶν περὶ τοῦ Σωτῆρος προφητειῶν· ἔξ αὐτῶν τε τῶν περιεχόντων αὐτοὺς πραγμάτων καὶ ἐκ τῆς τῶν ἐθνῶν ἐπιστροφῆς. Ταῦτα γάρ, κἂν ἀπροσποίητοι εἶναι δοκῶσιν, ὅμως τὴν συνείδησιν αὐτῶν τιτρώσκει, πλήττοντα καὶ εἰς συναίσθησιν αὐτοὺς ἄγοντα τῆς εἰς τὸν Σωτῆρα καὶ Κύριον ἡμῶν ἀπιστίας. Ἀλλ' ἐκείνοις μὲν τοιαῦτα μέλλειν ἔσεσθαι θεσπίζει. Τοὺς δὲ μέλλοντας προστρέχειν τῷ Χριστῷ τοῦ Θεοῦ, καὶ τὴν δι' αὐτοῦ σωτηρίαν παραδέχεσθαι, εὐαγγελίζεται ἑξῆς λέγων· «Ἔδωκας τοῖς φοβουμένοις σε σημείωσιν τοῦ φυγεῖν ἀπὸ προσώπου τόξου.» Κατὰ δὲ τὸν Ἀκύλαν· «Ἔδωκας, φησί, τοῖς φοβουμένοις σε σύσσημον, τοῦ σημειοῦσθαι ἀπὸ προσώπου βεβαιότητος·» κατὰ δὲ τὸν Σύμμαχον· «Ἔδωκας τοῖς φοβουμένοις σε σημεῖον, εἰς τὸ ἐκφυγεῖν ἀπὸ προσώπου τοξεύματος.» Εἰ μὲν οὖν ἦσαν καὶ οἱ διὰ τῶν ἔμπροσθεν δε δηλωμένοι τῷ σημείῳ τούτῳ, οὐκ ἂν ἀπώσθησαν, οὐδ' ἂν καθῃρέθησαν, οὐδ' ἂν τῇ ὀργῇ παρεδόθησαν· ἀλλ' ἐπεὶ μὴ ἠβουλήθησαν καταδέξασθαι τὸ σωτήριον σημεῖον, εἰκότως τούτοις περιπεπτώκασιν. Οἱ δέ γε φοβούμενοι τὸν Κύριον (οὕτω δὲ εἴωθεν καλεῖν ὁ λόγος τοὺς ἐξ ἐθνῶν πιστεύοντας, ὡς πολλάκις διὰ πλειόνων ἐδείξαμεν), λαβόντες τὸ σημεῖον χρησάμενοί τε αὐτῷ, καὶ κατὰ τοῦ προσώπου σφραγιζόμενοι, εὕραντο φυγὴν ἀπὸ προσώπου τόξου, μηδενὸς νοητοῦ καὶ ἀοράτου πολεμίου βάλλειν αὐτοὺς τολμῶντος διὰ τὸ ἐπικείμενον αὐτοῖς σημεῖον καὶ τοῖς παλαιοῖς δεδομένον. Μωϋσῆς μὲν γὰρ τὰς φλιὰς τῶν οἴκων τῶν Ἰσραηλιτῶν αἵματι τοῦ προβάτου τοῦ Πάσχα κατασημαίνεσθαι διετάξατο εἰς ἀποτροπὴν τοῦ ὀλοθρευτοῦ· καὶ ἐν τῷ Ἐζεκιὴλ δέ, μελλούσης ἀφανίζεσθαι τῆς πόλεως, ἀναγέγραπται ὁ Θεὸς εἰρηκὼς πρὸς τὸν ἐνδεδυμένον τὸν ποδήρη, ὅστις ποτ' ἦν· «Δίελθε μέσην τὴν πόλιν τὴν Ἱερουσαλήμ, καὶ δὸς τὰ σημεῖα ἐπὶ τὰ μέτωπα τῶν ἀνδρῶν τῶν καταστεναζόντων καὶ τῶν καταδυνωμένων ἐπὶ πάσαις ταῖς ἀνομίαις ταῖς γινομέναις ἐν μέσῳ αὐτῶν.[1]» Εἶθ' ἑτέροις ἐλέχθη· «Πορεύεσθε εἰς τὴν πόλιν ὀπίσω αὐτοῦ, καὶ κόπτετε· μὴ φείδεσθε τοῖς ὀφθαλμοῖς ὑμῶν, καὶ μὴ ἐλεήσητε πρεσβύτερον καὶ νεανίσκον, καὶ νήπια καὶ παρθένον, καὶ γυναῖκας ἀποκτείνατε εἰς ἐξάλειψιν· ἐπὶ δὲ πάντας ἐφ' οὓς ἐστι τὸ σημεῖον μὴ ἐγγίσητε, καὶ ἀπὸ τῶν ἁγίων μου ἄρξασθε.[2]» Ὁρᾷς ὅπως οἱ μὲν ἀπώλοντο· οἱ δὲ τὸ σημεῖον ἐπὶ τοῦ μετώπου φέροντες διεσῴζοντο; τοιοῦτοί τινες ἦσαν καὶ οὓς ἡ παροῦσα στηλογραφία παρίστησι λέγουσα· «Ἔδωκας

1. Ἰεζ. 9, 4. 2. Ἰεζ. 9, 5-6.

τοῖς φοβουμένοις σε σημείωσιν τοῦ φυγεῖν ἀπὸ προσώπου τόξου·» οὐ γὰρ τῷ Ἰσραήλ, φησίν, ἔδωκας, ἀλλὰ τοῖς φοβουμένοις σε. Ὅτι δὲ ἔθος ἐστὶ τῇ προφητείᾳ φοβουμένους τὸν Κύριον καλεῖν τοὺς ἐξ ἐθνῶν ἐπὶ τὸν Θεὸν καταφεύγοντας, πολλάκις ἀπεδείξαμεν, καθὼς προείρηται. Ὥσπερ οὖν ἀπὸ προσώπου τοῦ ὀλοθρευτοῦ διέφυγόν ποτε οἱ ἐν Αἰγύπτῳ τὰς πληγάς, χρήσαντες τῷ σημείῳ τοῦ αἵματος, τὸν αὐτὸν τρόπον εἰς ἀποτροπιασμὸν τοῦ πολεμίου καὶ ἐχθροῦ τῶν ἀνθρωπίνων ψυχῶν, τοῦ τοξεύειν καὶ καταβάλλειν αὐτὰς ἐπὶ τὴν τῆς εἰδωλολατρείας πλάνην εἰωθότος, δέδοται τὸ λεγόμενον ἐνταῦθα σημεῖον τοῖς φοβουμένοις τὸν Κύριον.

Στίχ. ζ'. «Ὅπως ἂν ῥυσθῶσιν οἱ ἀγαπητοί σου, σῶσον τῇ δεξιᾷ σου, καὶ ἐπάκουσόν μου.»

Ταῦτα καὶ τὰ τούτοις ἀκόλουθα μέχρι τοῦ τέλους καὶ ὁ ρζ' περιέχει ψαλμός. Ἀλλ' ἐν μὲν τοῖς προκειμένοις τὰ προλεχθέντα ἀποβολὴν ἐδήλου τοῦ Ἰσραήλ· τοῦ ρζ' τὰ πρὸ τούτου, «ὅπως ἂν ῥυσθῶσιν οἱ ἀγαπητοί σου» καὶ τῶν ἐπιφερομένων, σαφῆ κλῆσιν ἐθνῶν θεσπίζει. Προειπὼν γὰρ ὁ λόγος ἐν τῷ ρζ', «Ἑτοίμη ἡ καρδία μου, ὁ Θεός, ἑτοίμη ἡ καρδία μου· ᾄσομαι καὶ ψαλῶ. Ἐξεγέρθητι, ἡ δόξα μου, ἐξεγέρθητι, ψαλτήριον καὶ κιθάρα, ἐξεγερθήσομαι ὄρθρου [1]», ἐπιφέρει· «Ἐξομολογήσομαί σοι ἐν λαοῖς, Κύριε, ψαλῶ σοι ἐν ἔθνεσιν· ὅτι μέγα ἐπάνω τῶν οὐρανῶν τὸ ἔλεός σου, καὶ ἡ ἀλήθειά σου ἕως τῶν νεφελῶν. Ὑψώθητι ἐπὶ τοὺς οὐρανούς, ὁ Θεός, καὶ ἐπὶ πᾶσαν τὴν γῆν ἡ δόξα σου.[2]» Εἶτ' ἐπιλέγει τὰ ἐν τῷ μετὰ χεῖρας προκείμενα λόγῳ· «Ὅπως ἂν ῥυσθῶσιν οἱ ἀγαπητοί σου, σῶσον τῇ δεξιᾷ σου, καὶ ἐπάκουσόν μου[3]», καὶ τὰ λοιπὰ συμφώνως τοῖς προκειμένοις. Σφόδρα δὲ ἐθαύμασα τοῦ ἁγίου Πνεύματος τὴν οἰκονομίαν· ἀπὸ γὰρ δύο στηλογραφιῶν ἕνα ψαλμὸν πεποίηκε, τὸν ρζ'. Τὰ μὲν γὰρ πρῶτα ἐν οἷς ἐλέγετο· «Ἑτοίμη ἡ καρδία μου, ὁ Θεός», καὶ τὰ ἑξῆς, ἀπὸ τῆς τοῦ νς' στηλογραφίας τοῦ Δαυῒδ ἐξελών, ἐν ᾗ καὶ αὐτῇ λέλεκτο· «ἑτοίμη ἡ καρδία μου, ὁ Θεός, ἑτοίμη ἡ καρδία μου· ᾄσομαι καὶ ψαλῶ[4]», καὶ τὰ ἐπιλεγόμενα δ' ἑξῆς συμφώνως τοῖς ἐν τῷ ρζ' μέχρι τοῦ· «Ὑψώθητι ἐπὶ τοὺς οὐρανούς, ὁ Θεός, καὶ ἐπὶ πᾶσαν τὴν γῆν ἡ δόξα σου·[5]» τὰ δὲ δεύτερα τὰ ἀπὸ τοῦ, «Ὅπως ἂν ῥυσθῶσιν οἱ ἀγαπητοί σου, σῶσον τῇ δεξιᾷ σου καὶ ἐπάκουσόν μου», σὺν τοῖς μέχρι τέλους ἐπενηνεγμένοις ἀπὸ τῆς μετὰ χεῖρας στηλογραφίας, διδάσκοντος ἡμᾶς θείου Πνεύματος μίαν καὶ τὴν αὐτὴν διάνοιαν ἐμφέρεσθαι ἐν ἀμφοτέροις. Ἐν μὲν γὰρ τῷ νς' ἐξομολογήσασθαι τῷ Κυρίῳ ἐν λαοῖς καὶ ψάλλειν αὐτῷ ἐν ἔθνεσιν εὐηγγελίζετο· ἐν δὲ τῷ μετὰ χεῖρας ἀποβολὴν σημαίνει τοῦ Ἰσραήλ, ὥσπερ οὖν ἐδίδασκε τὰ προλεχθέντα. Καὶ δὴ μετὰ τὰ πρῶτα, δι' ὧν ἐδηλοῦτο ἡ ἀποβολὴ τοῦ προ-

1. Ψαλμ. 107, 2, 3. 2. Ψαλμ. 107, 4-6. 3. Ψαλμ. 107, 7. 4. Ψαλμ. 56, 8. 5. Ψαλμ. 56, 6.

τέρου λαοῦ, τό τε σημεῖον τὸ τοῖς φοβουμένοις αὐτὸν δοθησόμενον, ἑξῆς μέσου διαψάλματος παρεντεθέντος, τὸ Πνεῦμα τὸ ἅγιον εὐχὴν ἀναπέμπει τῷ Θεῷ φάσκον· «Ὅπως ἂν ῥυσθῶσιν οἱ ἀγαπητοί σου, σῶσον τῇ δεξιᾷ σου, καὶ ἐπάκουσόν μου.» Ἱκετεύει δὲ ταῦτα δεόμενον, ὅπως, τῇ αὐτοῦ χρησάμενος δεξιᾷ ὁ Θεός, ῥύσηται καὶ σώσῃ τοὺς ἀγαπητοὺς αὐτοῦ· καὶ οὐχ ἁπλῶς ἱκετεύει, «Σῶσον», ἀλλὰ «τῇ δεξιᾷ ἑαυτοῦ» πρῶτον μὲν ῥύσασθαι, ἔπειτα σῶσαι. Ἀγαπητοὺς δὲ τοῦ Θεοῦ οὐδ' ἄλλους ἠπίστατο ἢ τοὺς κατ' εἰκόνα τὴν αὐτοῦ πεποιημένους ἀνθρώπους. Εἰ γὰρ καὶ τὰ μάλιστα ὑποπεπτώκασι τῇ ἁμαρτίᾳ, ἀλλ' ὅμως διὰ τὴν ψυχῆς οὐσίαν νοερὰν οὖσαν καὶ λογικήν, ἀγαπητοὶ εἴρηνται τοῦ Θεοῦ. Δυσωπεῖ τοίνυν ὁ λόγος τὸν Θεὸν διὰ τῆς μνήμης τῶν ἀγαπητῶν αὐτοῦ, παρακαλεῖ τε ῥύσασθαι αὐτοὺς ἀπὸ νοητῶν τε ἐχθρῶν καὶ πολεμίων· ῥυσάμενόν τε σῶσαι αὐτοὺς διὰ τῆς ἑαυτοῦ δεξιᾶς. Δεξιὰν δὲ τοῦ Θεοῦ τίνα ἄν τις εἴποι ἢ τὸν Χριστὸν αὐτοῦ τροπικῶς οὕτως ὠνομασμένον; Ὡς γὰρ ἀλλαχοῦ δύναμις καὶ σοφία λέλεκται, δικαιοσύνη τε καὶ ἁγιασμός, καὶ ἀπολύτρωσις, οὕτω καὶ νῦν δεξιὰ χρηματίσειεν ἄν· ἐπειδὴ τὰ δεξιὰ καὶ σωτήρια πᾶσιν ἀνθρώποις προξενήσειν ἔμελλεν.

Στίχ. η'. «Ὁ Θεὸς ἐλάλησεν ἐν τῷ ἁγίῳ αὐτοῦ», καὶ τὰ ἑξῆς.

Εὐξαμένου τοῦ ἁγίου Πνεύματος ὅπως ῥυσθῶσιν οἱ ἀγαπητοὶ τοῦ Θεοῦ, μηδὲν ὑπερθέμενος ὁ Θεὸς ἀποκρίνεται λέγων· «Ὑψωθήσομαι καὶ διαμεριῶ Σίκιμα.» Ταῦτα δὲ τοῦ Θεοῦ διὰ τοῦ Λόγου αὐτοῦ ὡς δι' ἑρμηνέως λαλήσαντος, τὸ Πνεῦμα τὸ ἅγιον ἐπακοῦσαν, διδάσκει καὶ ἡμᾶς εἰδέναι αὐτά· διό φησιν· «Ὁ Θεὸς ἐλάλησεν ἐν τῷ ἁγίῳ αὐτοῦ.» Τὸν δὲ ἅγιον τοῦ Θεοῦ μορφὴν δούλου λαβόντα οὐκ ἠγνόησάν ποτε οἱ δαίμονες· διὸ ἐβόων λέγοντες· «Οἴδαμέν σε τίς εἶ, ὁ ἅγιος τοῦ Θεοῦ.[1]» Ἀλλὰ καὶ ἐν πη' ψαλμῷ λέλεκται· «Ἅπαξ ὤμοσα ἐν τῷ ἁγίῳ μου, εἰ τῷ Δαυῒδ ψεύσομαι.[2]» Ὡς γὰρ πατὴρ ἐφ' υἱῷ ἀγαπητῷ, οὕτως ὁ τῶν ὅλων Θεὸς ἐπὶ τῷ Υἱῷ ὤμνυσι. Καὶ ἐνταῦθα τοίνυν «ὁ Θεὸς ἐλάλησεν ἐν τῷ ἁγίῳ αὐτοῦ·» ἤ, κατὰ τὸν Ἀκύλαν, «Ὁ Θεὸς ἐλάλησεν ἐν ἡγιασμένῳ αὐτοῦ.» Πότε δὲ καὶ τοῦτ' ἐπληροῦτο, ἢ ὅτε ἐπ' ἐσχάτου τῶν ἡμερῶν ἐλάλησεν ἡμῖν ἐν Υἱῷ; Τί δὲ ἐλάλησεν ἢ τὰ ἐπιφερόμενα λέγων· «Ἀγαλλιάσομαι καὶ διαμεριῶ Σίκιμα;» Ἐν μὲν οὖν τῷ ρζ' εἴρηται· «Ὑψωθήσομαι, καὶ διαμεριῶ Σίκιμα[3]», σφόδρα καταλλήλως· ἐπειδὴ ἐν ἐκείνῳ ἐν τοῖς ἔμπροσθεν ἐλέγετο· «Ὑψώθητι ἐπὶ τοὺς οὐρανούς, ὁ Θεός, καὶ ἐπὶ πᾶσαν τὴν γῆν ἡ δόξα σου.[4]» Πρὸς γὰρ τό, «ὑψώθητι», ἐπενήνεκται τό, «ὑψωθήσομαι·» ἐνταῦθα δὲ πρὸς τό, «σῶσον τῇ δεξιᾷ σου», καὶ πρὸς τό, «ὅπως ἂν ῥυσθῶσιν οἱ ἀγαπητοί σου», χαίρων ἐπὶ τῇ τῶν ἀγαπητῶν αὐτοῦ σωτηρίᾳ, τὴν ἀπόκρισιν ποιεῖται λέγων,

1. Λουκ. 4, 34. 2. Ψαλμ. 88, 36. 3. Ψαλμ. 107, 8. 4. Ψαλμ. 56, 6. 107, 6.

«Ἀγαλλιάσομαι·» ἤ, κατὰ τὸν Ἀκύλαν, «Γαυριάσομαι·» ἤ, κατὰ τὸν Σύμμαχον, «Γαυριάσω καὶ διανεμήσω Σίκιμα·» Αὕτη δὲ ἦν ἡ πάλαι ἀφωρισμένη τῷ Ἰωσὴφ μερὶς κατ' ἐξαίρετον, ἐφ' ᾗ καὶ μέγα ἐφρόνουν πρότερον μὲν Ἰουδαίων παῖδες, νῦν δὲ τὸ Σαμαρειτῶν φῦλον. Ἡ αὐτὴ δέ ἐστι Σίκιμα τῇ Συχέμ, ἣν ἔδωκεν Ἰακὼβ τῷ Ἰωσήφ· ἔνθα καὶ τὸ φρέαρ καὶ ἡ πηγὴ τοῦ Ἰακὼβ τυγχάνει, ὧν μέμνηται τὸ Εὐαγγέλιον, τὸν Σωτῆρα φάσκον ἐπιδεδημηκέναι , πολλούς τε αὐτῶν εἰς αὐτὸν πεπιστευκέναι. Ἀλλὰ καὶ μετὰ τὴν ἀνάληψιν αὐτοῦ οἱ ἀπόστολοι, ἐν τῇ Σαμαρείᾳ γενόμενοι, σημεῖα καὶ τέρατα ἐποίουν ἐν αὐτῇ, ὡς ἱστορεῖσθαι ἐν ταῖς Πράξεσι τῶν ἀποστόλων τὸ Πνεῦμα τὸ ἅγιον δεδόσθαι τοῖς τὸν τόπον οἰκοῦσι, χαράν τε μεγάλην γεγονέναι αὐτόθι. Γέγραπται γοῦν, ὅτι Φίλιππος, κατελθὼν εἰς τὴν πόλιν τῆς Σαμαρείας, ἐκήρυσσεν αὐτοῖς τὸν Χριστόν. Προσεῖχον δὲ οἱ ὄχλοι τοῖς λεγομένοις ὑπὸ τοῦ Φιλίππου ὁμοθυμαδόν, ἐν τῷ ἀκούειν αὐτοὺς καὶ βλέπειν τὰ σημεῖα ἃ ἐποίει· ἐγένετο δὲ φωνὴ χαρᾶς μεγάλη ἐν τῇ πόλει ἐκείνῃ. Καὶ ἑξῆς εἴρηται· «Ἀκούσαντες δὲ οἱ ἐν Ἱεροσολύμοις ἀπόστολοι, ὅτι δέδεκται ἡ Σαμάρεια τὸν λόγον τοῦ Θεοῦ, ἀπέστειλαν πρὸς αὐτοὺς Πέτρον καὶ Ἰωάννην· οἵτινες καταβάντες προσηύξαντο περὶ αὐτῶν ὅπως λάβωσι Πνεῦμα ἅγιον·» καὶ ἐπιλέγει· «Τότε ἐπετίθεσαν τὰς χεῖρας ἐπ' αὐτούς, καὶ ἐλάμβανον Πνεῦμα ἅγιον.[1]» Ταῦτ' οὖν ἐγένετο ἐν τῇ Σαμαρείᾳ, πληρουμένης τῆς μετὰ χεῖρας ἐπαγγελίας, φασκούσης· «Ὑψωθήσομαι καὶ διαμεριῶ Σίκιμα. Τοῖς γὰρ ἐπὶ τῆς Σαμαρείας διεμέρισε τὸ Πνεῦμα τὸ ἅγιον μετὰ τὴν ἀνάληψιν αὐτοῦ, καὶ μετὰ τὸ ὑψωθῆναι αὐτόν, ὅτε «ἀναβὰς εἰς ὕψος ᾐχμαλώτευσεν αἰχμαλωσίαν, καὶ ἔδωκε δόματα ἐν ἀνθρώποις.[2]» Καὶ ταῦτα ἐγίνετο μετὰ τὸ διωχθῆναι τοὺς μαθητὰς τοῦ Σωτῆρος ἀπὸ Ἱεροσολύμων. Λέγει γοῦν ἡ Γραφή· «Ἐγένετο δὲ διωγμὸς μέγας ἐπὶ τὴν Ἐκκλησίαν τὴν ἐν Ἱεροσολύμοις· πάντες δὲ διεσπάρησαν·[3]» καὶ πάλιν· «Οἱ μὲν οὖν διασπαρέντες διῆλθον εὐαγγελιζόμενοι τὸν λόγον.[4]» Εἶθ' ἑξῆς εἴρηται ὅπως τοῖς ἐν τῇ Σαμαρείᾳ εὐηγγελίζοντο, καὶ ὡς τοῦ Πνεύματος τοῦ ἁγίου μετεδίδοσαν αὐτοῖς οἱ ἀπόστολοι. Δέδεικται τοίνυν ὅπως εἴρηται τό, «Ὑψωθήσομαι καὶ διαμεριῶ Σίκιμα·» μετὰ γὰρ τὸ ὑψωθῆναι τὸν Σωτῆρα πάντα ταῦτα ἐπληροῦτο. Ἄλλος δ' ἂν εἴποι, διὰ τὸ πάλαι μὲν τῶν Ἰουδαίων εἶναι τὸν τόπον, νυνὶ δὲ μετὰ τὴν τοῦ Σωτῆρος ἡμῶν ἀνάληψιν Ἕλλησι καὶ Σαμαρείταις ἐκδεδόσθαι, τούτου χάριν εἰρῆσθαι τό, «Ὑψωθήσομαι καὶ διαμεριῶ Σίκιμα·» ἀλλὰ καὶ «τὴν κοιλάδα τῶν σκηνῶν διαμετρήσω.» Κοιλάδα δὲ εἴωθεν ὀνομάζειν ὁ προφητικὸς λόγος τὸ πάντων ἀνθρώπων οἰκητήριον· διὸ λέλεκται ἀλλαχοῦ· «Διέθετο εἰς τὴν κοιλάδα τοῦ κλαυθμῶνος.[5]» Τοῦτο δὴ οὖν τὸ πάντων ἀνθρώπων οἰκητήριον, καὶ τὴν κοιλάδα

1. Πράξ. 8, 17. 2. Ψαλμ. 67, 19. 3. Πράξ. 8, 1. 4. Πράξ. 8, 4.
5. Ψαλμ. 83, 5-6.

ταύτην ἐκκλησιῶν, φησίν, ἐμαυτοῦ πληρώσω· ὃ δὴ αἰνίττεται λέγων, «Σκηνῶν διαμετρήσω.» Καὶ ὁ Ἀκύλας δὲ τοῦτον ἡρμήνευσε τὸν τρόπον, «Κοιλάδα συσκιασμῶν καταμετρήσω.» Εἶθ' ὥσπερ ἐμός, φησί, γέγονεν ὁ Γαλαάδ, καὶ ἐμὸς γέγονέ ποτε ὁ Μανασσῆς, καὶ Ἐφραῒμ ἦν ποτε, ὅτε ὑπῆρχε, «κραταίωσις τῆς κεφαλῆς μου», ἤ, κατὰ τὸν Σύμμαχον, «ἰσχὺς τῆς ἀρχῆς μου·» ὁμοίως τε ὥσπερ, ἦν ποτε «ὁ Ἰούδας βασιλεύς μου.» ἤ, κατὰ τὸν Ἀκύλαν, «Ἰούδας ἀκριβαστής μου·» τὸν αὐτὸν τρόπον ἔσται καὶ ἡ τῶν ἀλλοφύλων χώρα τε καὶ πόλις ἡ καλουμένη Μωάβ· γενήσεται γὰρ «λέβης τῆς ἐλπίδος μου», ἤ, κατὰ τὸν Ἀκύλαν· «λέβης λουτροῦ μου·» ἤ, «λέβης ἀμεριμνίας μου», κατὰ τὸν Σύμμαχον. Τὸν δὲ Ἐφραῒμ κραταίωσιν τῆς κεφαλῆς ἑαυτοῦ ὠνόμασεν, ἢ ἰσχὺν τῆς ἀρχῆς ἑαυτοῦ· ἐπειδήπερ οἱ ἐκ φυλῆς Ἐφραῒμ βασιλεύσαντες ἦρξάν ποτε ἐν τῇ Σαμαρείᾳ τῶν ἐννέα ἥμισυ φυλῶν τοῦ Ἰσραήλ.

Δύο δὲ παίδων γενομένων τῷ Ἰωσήφ, τοῦ Ἐφραῒμ καὶ τοῦ Μανασσῆ, οἱ μὲν τοῦ Ἐφραῒμ, ἀποσχίσαντες τῆς Ἱερουσαλήμ, ἐν τῇ Σαμαρείᾳ καὶ τῇ προλεχθείσῃ Συχὲμ τῇ καὶ Σίκιμα συνέστησαν τὸ βασίλειον· διὸ λέλεκται· «Ἐφραῒμ κραταίωσις τῆς κεφαλῆς μου», ἤ, «ἰσχὺς τῆς ἀρχῆς μου·» οἱ δὲ ἐκ τοῦ Μανασσῆ γενόμενοι ἔσχον τὴν Γαλαάδ· διὸ εἴρηται· «Ἐμός ἐστι Γαλαάδ, καὶ ἐμός ἐστι Μανασσῆς.» Ὁ μὲν γὰρ τόπος ἐκ τοῦ Γαλαὰδ ἐσημαίνετο, οἱ δὲ οἰκήτορες ἐκ τοῦ Μανασσῆ. Ὥσπερ οὖν οὗτοι, φησί, γεγόνασιν ἐμοί, οἵ τε τὴν Γαλαὰδ οἰκήσαντες υἱοὶ Μανασσῆ, καὶ οἱ ἐν Σικίμοις ἄρξαντες τοῦ λαοῦ υἱοὶ Ἐφραῒμ· ἀλλὰ καὶ ὡς ἐν αὐτῇ τῇ Ἱερουσαλὴμ οἱ ἐκ φυλῆς Ἰούδα βασιλεύσαντες ἦσαν ἐμοί, καὶ τῆς ἐμῆς μερίδος βασιλεῖς· οὕτως ἔσται ποτὲ ἐμὰ καὶ τὰ τῶν ἀλλοφύλων ἔθνη. Δηλοῖ δὲ πάντας ἀλλοφύλους διὰ τοῦ Μωὰβ καὶ διὰ τῆς Ἰδουμαίας, ἐκ δύο τούτων ἐθνῶν τῶν ἀπηγορευμένων εἰσιέναι εἰς τὴν Ἐκκλησίαν τοῦ Θεοῦ καὶ τὰ λοιπὰ πάντα παραδεξάμενος. Γέγραπται γοῦν· «Ἀμμανῖται καὶ Μωαβῖται οὐκ εἰσελεύσονται εἰς Ἐκκλησίαν Κυρίου ἕως τρίτης καὶ τετάρτης γενεᾶς, καὶ ἕως εἰς τὸν αἰῶνα.[1]» Μωὰβ δὲ καὶ Ἀμμὰν γεγόνασιν υἱοὶ Λὼτ ἐκ παρανόμου μίξεως τῶν αὐτοῦ θυγατέρων, ἔκ τε τοῦ Σοδομιτικοῦ σπέρματος· ὧν τὴν διαδοχήν, Μωαβίτας καὶ Ἀμμανίτας, ἀποβλήτους ποιεῖται ὁ Μωϋσέως νόμος. Ἀλλ' ὁ παρὼν νόμος τῷ μὲν Μωὰβ εὐαγγελίζεται κάλλιστα λέγων· «Μωάβ, λέβης τῆς ἐλπίδος μου·» ἑτέρῳ δὲ ἔθνει τῷ ἀπὸ τοῦ Ἠσαῦ ὑφεστῶτι τὰ χρηστὰ σημαίνει, ἐπιφέρων ἑξῆς· «Ἐπὶ τὴν Ἰδουμαίαν ἐκτενῶ τὸ ὑπόδημά μου.» Ἰδουμαία δ' ἐκέκλητο ἀπὸ τοῦ Ἐδώμ· οὗτος δὲ ἦν ὁ Ἠσαῦ περὶ οὗ λέλεκται· «Μή τις πόρνος ἢ βέβηλος, ὡς Ἠσαῦ.[2]» Μυρίαι τε ἄλλαι προφητεῖαι κατὰ τῶν Ἰδουμαίων καὶ κατὰ τῆς Ἰδουμαίας εἴρηνται. Ἀλλ' ὁ παρὼν λόγος τὰ κάλλιστα καὶ τούτοις

1. Δευτ. 23, 4. 2. Ἑβρ. 12, 16.

εὐαγγελίζεται, λέγοντος τοῦ Θεοῦ· «Ἐπὶ τὴν Ἰδουμαίαν ἐκτενῶ τὸ ὑπόδημά μου.» Εἶθ' ἑξῆς καὶ περὶ τῶν λοιπῶν ἐθνῶν ἀδιορίστως ἐπιλέγει· «Ἐμοὶ ἀλλόφυλοι ὑπετάγησαν», ἢ «ἐφιλίασαν.» Λέβητα δὲ τὸν Μωὰβ τῆς ἑαυτοῦ ἐλπίδος καλεῖ, ἢ λέβητα τοῦ λουτροῦ ἑαυτοῦ, ἢ τῆς ἀμεριμνίας ἑαυτοῦ· ἐπειδὴ οὐκ ἄλλως ἐξῆν αὐτῷ, ἅπαξ ἀποβλήτῳ γενομένῳ, εἰς τὴν Ἐκκλησίαν τοῦ Θεοῦ παραβάλλειν, μὴ οὐχὶ διὰ λουτροῦ παλιγγενεσίας. Ὥσπερ οὖν λέβητι ἀπολουσάμενος καὶ ἀποκαθαρθεὶς τῆς προτέρας δυσσεβείας, καταξιοῦται τῆς χάριτος, καὶ οὕτως ἀμεριμνίας τυγχάνει. Καὶ ταῦτα δι' ἔργων κεχωρηκότα πάρεστιν ὀφθαλμοῖς παραλαβεῖν, τῇ τῶν Ἀράβων ἐπιδημήσαντας χώρᾳ, θεωμένους τε τοὺς παρ' αὐτοῖς πληθύνοντας λαούς, Μωαβίτας καὶ Ἀμμανίτας πληροῦντας τὰς Ἐκκλησίας τοῦ Θεοῦ. Ὡσαύτως δὲ καί, «Ἐπὶ Ἰδουμαίαν ἐπιβήσομαι», φησί, «τῷ ὑποδήματί μου», κατὰ τὸν Σύμμαχον. Καὶ ταύτην δὲ τὴν πρόρρησιν οὐδὲν ἂν εἴη δυσχερὲς ἰδεῖν, τῇ τῶν Ἰδουμαίων ἐπιστάντας χώρᾳ καὶ τὰ πλήθη τῶν αὐτόθι Ἐκκλησιῶν τοῦ Θεοῦ ὄψει παραλαβόντας· ὡς μὴ ὀκνῆσαί τινα ἀληθῶς ἐπίβασιν γεγονέναι τοῖς τόποις ἐκείνοις ὁμολογῆσαι. Διὰ δὴ ταῦτα ἀνωτέρω ἐλέγετο· «Ὁ Θεὸς ἐλάλησεν ἐν τῷ ἁγίῳ αὐτοῦ· Ἀγαλλιάσομαι.» Μέλλον γὰρ πᾶν τὸ τῶν ἀνθρώπων γένος ἐπὶ σωτηρίᾳ ἀνακαλεῖσθαι, πρεπόντως αὐτοῦ τῇ φιλανθρωπίᾳ, συνέχαιρε τῇ τῶν σῳζομένων σωτηρίᾳ. Καὶ ἄλλως δὲ ὑπόδημα αὐτοῦ οὐκ ἂν ἁμάρτοις λέγων τοὺς ἀποστόλους, ἢ τοὺς εἰς ἔτι δεῦρο τῷ περὶ αὐτοῦ κηρύγματι διακονουμένους. Ταῦτα δὴ οὖν πάντα εἰργάσατο ὁ Θεός, ὅτε ἐπ' ἐσχάτῳ τῶν ἡμερῶν ἐλάλησεν ἡμῖν ἐν τῷ ἁγίῳ αὐτοῦ. Καθ' ἑτέραν δὲ ἐκδοχὴν λαλήσας ὁ Θεὸς ἐν τῷ ἁγίῳ αὐτοῦ, πάντας ἁπαξαπλῶς Ἰουδαίους τε καὶ Ἕλληνας, τά τε καθ' ὅλης τῆς οἰκουμένης ἔθνη εἰς τὴν ἑαυτοῦ χάριν ἀνεκαλέσατο· διὸ καὶ τὴν Σίκιμα καὶ τὸν Γαλαάδ, καὶ τὸν Μανασσῆν καὶ τὸν Ἐφραΐμ καὶ τὸν Ἰούδαν καὶ τὸν Μωὰβ καὶ τὴν Ἰδουμαίαν καὶ τοὺς ἀλλοφύλους ἅπαντας κατηριθμήσατο, ἐξ ἴσου τῆς ὁμοίας κλήσεως καταξιώσας ἅπαν τὸ τῶν ἀνθρώπων γένος· πλὴν ἀλλὰ πρώτους τοὺς ἀπὸ τοῦ Ἰσραὴλ καλεῖ. Ἐχρῆν γὰρ τὰ πρωτεῖα καὶ τὰς ἀπαρχὰς τοῦ εὐαγγελικοῦ κηρύγματος πρώτοις αὐτοῖς ἀπονεῖμαι διὰ τὰς πρὸς τοὺς αὐτῶν πατέρας ἐπαγγελίας, δι' ἃς καὶ αὐτὸς ὁ Σωτὴρ πρώτοις αὐτοῖς εὐηγγελίζετο μαρτυρόμενος καὶ λέγων· «Οὐκ ἦλθον εἰ μὴ εἰς τὰ πρόβατα τὰ ἀπολωλότα οἴκου Ἰσραήλ.[1]» Καὶ τοῖς ἀποστόλοις δὲ αὐτοῦ πρώτοις αὐτοῖς κηρύσσειν τὸ Εὐαγγέλιον παρῄνει φάσκων· «Εἰς ὁδὸν ἐθνῶν μὴ ἀπέλθητε, καὶ εἰς πόλιν Σαμαρειτῶν μὴ εἰσέλθητε· πορεύεσθε δὲ μᾶλλον πρὸς τὰ πρόβατα τὰ ἀπολωλότα οἴκου Ἰσραήλ.[2]» Εἶτα μετ' ἐκείνους προσέταττε τοῖς ἑαυτοῦ μαθηταῖς εὐαγγελίζεσθαι πάντα τὰ ἔθνη ἐν τῷ ὀνόματι αὐτοῦ. Οὕτως οὖν καὶ ἐπὶ τοῦ παρόντος ὁ τῶν ὅλων

---

1. Ματθ. 15, 24. 2. Ματθ. 10, 5, 6.

Θεὸς ἐνοικήσειν ἐν τῷ ἁγίῳ αὐτοῦ, ἐν αὐτῷ τε καὶ δι' αὐτοῦ λαλήσειν ἀνθρώποις θεσπίζεται· καὶ ὡς ὁμοῦ καὶ κατὰ τὸ αὐτὸ τὸν Ἐφραῒμ καὶ τὸν Μανασσῆν καὶ τὸν Ἰούδαν εἰσδέξεται· οἳ πάλαι μὲν ἦσαν διεστῶτες, ὅτε ὁ μὲν Ἰούδας ἐβασίλευεν ἐν Ἱερουσαλήμ, ὁ δὲ Ἐφραῒμ, ἐν Σικίμοις καὶ Σαμαρείᾳ, ὁ δὲ Μανασσῆς ᾤκει τὴν Γαλαάδ. Ὡς μηκέτι τοίνυν ἀφορισμοῦ, μήτε διαστάσεως οὔσης ἐν αὐτοῖς, πρώτους αὐτοὺς εἰσκαλεῖται· εἶτα Μωαβίτας καὶ Ἀμμανίτας, Ἰδουμαίους τε καὶ τοὺς λοιποὺς ἅπαντας ἀνθρώπους τοὺς καθ' ὅλης τῆς οἰκουμένης οἰκοῦντας. Γνώσεις δ' ἂν ἐκ τῆς ἱστορίας τῶν Εὐαγγελίων, ὅπως καθ' οὓς χρόνους ὁ ἅγιος τοῦ Θεοῦ καὶ τοῖς Σικίμοις ἐπεδήμει, καὶ αὐτῇ Σαμαρείᾳ, τῇ τε Ἱερουσαλήμ, ἡνωμένου τότε τοῦ Ἰσραήλ, καὶ μηδεμιᾶς οὔσης ἐν αὐτῷ διαστάσεως· οὕτω δὲ καὶ τοὺς ἑαυτοῦ ἀποστόλους πρὸς τὰ πρόβατα ἀπολωλότα οἴκου Ἰσραὴλ ἐν πρώτοις διεπέμπετο· μετὰ δὲ ταῦτα, τοῖς αὐτοῖς ὥσπερ ὑποδήμασι χρώμενος, τὸ πάντων ἀνθρώπων γένος τῆς σωτηρίου κατηξίου χάριτος.

Στίχ. ια'. «Τίς ἀπάξει με εἰς πόλιν περιοχῆς; ἢ τίς ὁδηγήσει με ἕως τῆς Ἰδουμαίας; Οὐχὶ σὺ ὁ Θεὸς ὁ ἀπωσάμενος ἡμᾶς; καὶ οὐκ ἐξελεύσῃ ἐν ταῖς δυνάμεσιν ἡμῶν;»

Ἐπιστήσας τῇ τῶν προλεχθέντων διανοίᾳ ὁ Προφήτης, ὑπερεκπλήττεται τὸ θαῦμα τῆς παραδόξου τῶν ἀλλοφύλων ἐθνῶν μεταβολῆς. Εἶτα τοῦ Θεοῦ εἰρηκότος, «Ἐπὶ τὴν Ἰδουμαίαν ἐκτενῶ τὸ ὑπόδημά μου», τὸν λόγον ἀποθαυμάζει, εἰ μέλλοι ποτὲ Θεὸς αὐτός, ὑποδήματι χρησάμενος, ἐπιβαίνειν οὐ τῇ Ἱερουσαλήμ, οὐδὲ τῇ Σαμαρείᾳ, οὐδὲ ἄλλῃ τινὶ τῇ τοῦ Ἰσραήλ, ἀλλὰ τῶν ἀλλοφύλων Ἰδουμαίων. Διὸ μακαρίζει μὲν τούτους, οἷς ἐπιδημήσειν ἤμελλεν ὁ Θεός· εὐχὴν δὲ τίθεται καταξιωθῆναί ποτε καὶ αὐτὸν τῆς τούτων θέας· διό φησι· «Τίς ἀπάξει με εἰς πόλιν περιοχῆς; ἢ τίς ὁδηγήσει με ἕως τῆς Ἰδουμαίας;» Ηὔχετο γὰρ ὁδηγηθῆναι καὶ παρατεῖναι τοὺς τῆς ζωῆς αὐτοῦ χρόνους ἐπὶ τὸν καιρὸν ἐκεῖνον, καθ' ὃν ἤμελλεν ὁ Θεὸς ἐπὶ τὴν Ἰδουμαίαν ἐκτείνειν τὸ ὑπόδημα αὐτοῦ, ὡς ἂν ἴδοι τὸ μέγα θέαμα, Θεὸν ἐπιδημοῦντα ἀνθρώποις καὶ ἐμπεριπατοῦντα τῇ Ἰδουμαίᾳ, ἀλλοφύλους τε αὐτῷ ὑποτεταγμένους καὶ φιλιάζοντας· διό φησι· «Τίς ὁδηγήσει με ἕως τῆς Ἰδουμαίας; » Πόλιν δὲ περιοχῆς καλεῖ τὴν Ἐκκλησίαν τοῦ Θεοῦ, περιπεφραγμένην στερρῷ καὶ ὀχυρωτάτῳ τείχει, τῇ σωτηρίῳ δυνάμει, ἣν καὶ αὐτὴν ἰδεῖν ηὔχετο· διὸ ἔλεγε· «Τίς ἀπάξει με εἰς πόλιν περιοχῆς;» Θέα δὲ ὅπως οὐκ ηὔξατο ὁδηγηθῆναι ἕως τῆς Ἱερουσαλήμ, ἢ ἕως τῆς Γαλαάδ, ἢ ἕως τῆς Συχέμ, ἢ ἕως τοῦ Ἐφραῒμ, ἢ ἕως τοῦ Ἰούδα· ἀλλ' ὥσπερ ἐκπλαγεὶς τὸ παράδοξον τῆς ἐπαγγελίας, εἰ τοῦ μεμισημένου καὶ πόρνου Ἠσαῦ οἱ ἀπόγονοι τοιαύτης τότε τεύξονται χάριτος, ὡς ἐπιβῆναι αὐτοῖς τὸν Θεόν, εὔχεται λέγων· «Τίς ὁδηγήσει με ἕως τῆς Ἰδουμαίας;» Σφόδρα δὲ θαυμαστῶς ὁ Θεὸς ἐμπεριπατήσειν οὐ γυμνοῖς ποσὶ λέλεκται, ἀλλὰ δι' ὑποδημάτων· αἰνιττομένου τοῦ λόγου τὰς ὑπηρετικὰς τοῦ βουλήματος αὐτοῦ

ψυχάς, δι' ὧν τὴν τῶν ἐθνῶν κλῆσιν ποιησάμενος, πανταχοῦ γῆς τὴν ἑαυτοῦ συνεστήσατο πόλιν, λέγω δὲ τὴν καθολικὴν αὐτοῦ Ἐκκλησίαν, καὶ τὸ σύστημα τῆς τῶν θεοσεβῶν πολιτείας· περὶ ἧς εἴρηται ἀλλαχοῦ· «Δεδοξασμένα ἐλαλήθη περὶ σοῦ, ἡ πόλις τοῦ Θεοῦ·[1]» καί, «Τοῦ ποταμοῦ τὰ ὁρμήματα εὐφραίνουσι τὴν πόλιν τοῦ Θεοῦ.[2]» Καὶ ταύτην οὖν τὴν πόλιν τῆς περιοχῆς διψῶν θεάσασθαι ὁ Προφήτης ἔλεγε· «Τίς ἀπάξει με εἰς πόλιν περιοχῆς;» ἤ, «εἰς πόλιν πεφραγμένην;» οὕτως γὰρ ἡρμήνευσεν ὁ Σύμμαχος. Πύλαι γὰρ αὐτὴν καὶ θύραι καὶ μοχλοὶ θείων δυνάμεων περιφράττουσι, πρὸς τὸ μή τινα ὑπομεῖναι πολιορκίαν. Διὸ περὶ αὐτῆς ἔλεγεν ὁ Σωτήρ· «Ἐπὶ τὴν πέτραν οἰκοδομήσω μου τὴν Ἐκκλησίαν, καὶ πύλαι ᾅδου οὐ κατισχύσουσιν αὐτῆς.[3]» Ταύτην οὖν τὴν περιπεφραγμένην πόλιν ἐπιθυμῶν ἰδεῖν ὁ Προφήτης ἔλεγε· «Τίς ἀπάξει με εἰς πόλιν περιοχῆς;» Καὶ τὴν τῶν ἀλλοφύλων σωτηρίαν εὐχόμενος ὀφθαλμοῖς παραλαβεῖν, προσετίθει λέγων· «Τίς ὁδηγήσει με ἕως τῆς Ἰδουμαίας;» Εἶτα πρῶτον καὶ δεύτερον εἰπών, «Τίς;» τὸν μόνον δυνατὸν ταῦτα δεικνύναι γνωρίζειν ὁμολογεῖ· ἦν δὲ οὗτος ὁ Θεός· ὃ κατ' ἀρχὰς τῆς προκειμένης στηλογραφίας ἔλεγεν· «Ὁ Θεός, ἀπώσω ἡμᾶς καὶ καθεῖλες ἡμᾶς.» Διὸ πρὸς ἐκείνην τὴν φωνὴν ἀποδίδωσιν ἐνταῦθα τὴν αὐτὴν διάνοιαν λέγων· «Οὐχὶ σὺ ὁ Θεὸς ὁ ἀπωσάμενος ἡμᾶς;» Τίς γὰρ ἄλλος, φησί, δύναται δεῖξαι ἡμῖν τὰς ἐπαγγελίας τὰς σὰς καὶ τῶν σῶν λόγων τὰ ἀποτελέσματα, εἰ μὴ σὺ αὐτὸς ὁ ἀπωσάμενος ἡμᾶς; ἤ, κατὰ τὸν Σύμμαχον, «Εἰ μὴ σὺ ὁ Θεὸς ὁ ἀποβαλλόμενος ἡμᾶς, καὶ μὴ προσελθὼν ἐν ταῖς στρατεύσεσιν ἡμῶν;» Ἀπώσω γὰρ ἡμᾶς σύ, Κύριε, καὶ καθεῖλες ἡμᾶς· ἀλλὰ καὶ πάλαι εἰωθὼς συνεξιέναι καὶ συμπολεμεῖν ταῖς ἡμετέραις δυνάμεσι, νῦν ὅτε τὴν κλῆσιν ἐποιήσω τῶν ἐθνῶν, ἀπώσω ἡμᾶς καὶ οὐκέτι συνεξέρχῃ ταῖς ἡμετέραις δυνάμεσι. Ἄλλη οὖν οὐκ ἔστιν ἡμῖν ἐλπὶς πρὸς τὸ θεάσασθαί σου τὰς ἐπαγγελίας, εἰ μὴ σὺ αὐτὸς βουληθείης. Σοῦ γὰρ θελήσαντος, δυνατὸν ἡμῖν τοὺς σοὺς προφήτας συγκαταλεγῆναι τῇ πόλει σου τῇ περιπεφραγμένῃ, καὶ ὁδηγηθῆναι ἕως τῆς ἀποδειχθείσης Ἰδουμαίας.

Στίχ. ιγ', ιδ'. «Δὸς ἡμῖν βοήθειαν ἐκ θλίψεως, καὶ ματαία σωτηρία ἀνθρώπων. Ἐν τῷ Θεῷ ποιήσομεν δύναμιν, καὶ αὐτὸς ἐξουδενώσει τοὺς θλίβοντας ἡμᾶς.»

Οἱ τῶν ἐπαγγελιῶν καταξιωθέντες διδάσκονται διὰ τῶν προκειμένων νήφειν καὶ ἐγρηγορέναι, παρασκευάζεσθαί τε εἰς θλίψεις, καὶ δι' εὐχῶν λέγειν τῷ ἑαυτῶν βασιλεῖ· «Δὸς ἡμῖν βοήθειαν ἐκ θλίψεως·» ματαίαν γὰρ εἶναι πᾶσαν τὴν ἐξ ἀνθρώπων ἐλπίδα. Εἶτ' εὐξάμενοι ταῦτα, τὴν ἀγαθὴν ἐπιδείκνυνται προθυμίαν λέγοντες· «Ἐν Θεῷ ποιήσομεν δύναμιν, καὶ αὐτὸς ἐξουδενώσει τοὺς θλίβοντας ἡμᾶς.» Τοιοῦτος ἦν ὁ Παῦλος λέγων· «Πάντα ἰσχύω ἐν τῷ ἐνδυναμοῦντί

1. Ψαλμ. 76, 3. 2. Ψαλμ. 45, 5. 3. Ματθ. 16, 18.

με·[1]» καὶ πάλιν· «Οὐκ ἐγὼ δέ», φησίν, «ἀλλ' ἡ χάρις ἡ σὺν ἐμοί.[2]» Ταῦτα δὲ λέγειν παιδεύονται οἱ ἐκ τῆς Ἰδουμαίας καὶ ἐκ τῶν ἀλλοφύλων ἐθνῶν τῇ τοῦ Θεοῦ χάριτι προσεληλυθότες. Εἰ δὲ ἐκ προσώπου τοῦ προφητικοῦ χοροῦ λέγοιτο καὶ ταῦτα, πρέποι ἂν αὐτούς, ἀποκλαυσαμένους τὸν ἀπωσμὸν καὶ τὴν καθαίρεσιν τοῦ προτέρου λαοῦ, εὐχὴν ἀναπέμπειν ὑπὲρ τοῦ κοινοῦ πάντων αὐτῶν σώματος, καὶ λέγειν τῷ Θεῷ τὰ προκείμενα.

1. ΕΙΣ ΤΟ ΤΕΛΟΣ ΕΝ ΥΜΝΟΙΣ, ΤΩ ΔΑΥΙΔ Ξ'.

Στίχ. β', γ'. «Εἰσάκουσον, ὁ Θεός, τῆς δεήσεώς μου, πρόσχες τῇ προσευχῇ μου.»

Οἱ μὲν ἐπιγεγραμμένοι στηλογραφίας ἐφεξῆς πέντε μέχρι τοῦ νθ' τέλος ἔχουσιν· εἰσὶ δὲ πάντες οἱ ταύτην ἔχοντες τὴν προγραφὴν ἕξ· οἵ τε προλεχθέντες καὶ ὁ ιε' ἐν τῷ πρώτῳ μέρει τῆς βίβλου τῶν Ψαλμῶν κείμενος. Ὅ γε μὴν μετὰ χεῖρας ὕμνος ὢν καὶ αὐτὸς εἰς τὸ τέλος διὰ τὰς ἐπὶ τέλει τοῦ ὕμνου φερομένας ἐπιχρήσας ἐπαγγελίας ἀναπέμπει. Εἰσὶ δὲ πάντες οἱ ἐπιγεγραμμένοι «Ἐν ὕμνοις» πέντε· δύο μὲν ἐν τῷ πρώτῳ μέρει τῆς βίβλου, ὁ τέταρτος καὶ ὁ ς'. Ἀλλ' οὗτοι μὲν «Ἐν ὕμνοις ψαλμοί», λέγονται· οἱ δὲ ἐν τῷ δευτέρῳ μέρει τῆς βίβλου τρεῖς «Ἐν ὕμνοις» ἐπιγράφονται μόνον, ὁ νγ', καὶ ὁ νδ', καὶ ὁ μετὰ χεῖρας. Οἱ μὲν οὖν «Ἐν ὕμνοις ψαλμοὶ» ἐοίκασι σὺν τῷ μουσικῷ ὀργάνῳ τῷ καλουμένῳ ψαλτηρίῳ λελέχθαι, ὡς δεηθέντος τῆς διὰ τοῦ σώματος, ὅπερ ἐστὶν ὄργανον τῆς ψυχῆς, πρακτικῆς ἐνεργείας τοῦ ψάλλοντος. Οἱ δὲ ἁπλῶς ὕμνοι διὰ μόνης φωνῆς τοῦ τὸν ὕμνον ἀναπέμψαντος εἴρηνται, οὐ συμπαραληφθείσης τῆς διὰ τοῦ ψαλτηρίου κρούσεως, τῷ μόνης τῆς κατὰ διάνοιαν θεωρίας δεδεῆσθαι τοὺς ἐν αὐτοῖς λόγους. Τοῦτο γοῦν παρίστησιν ὁ μετὰ χεῖρας ὕμνος λέγων· «ἀπὸ τῶν περάτων τῆς γῆς πρὸς σὲ ἐκέκραξα·» δι' οὗ σημαίνει ὥσπερ ἔξω γεγενῆσθαι τῆς τοῦ σώματος καταστάσεως θεοληπτούμενον τὸν Προφήτην. Οὐκ ἀγνοῶ δὲ τοὺς λοιποὺς ἑρμηνευτὰς οὐχ ἑτέρως ἐκδεδωκέναι. Παρακαλεῖ δὲ διὰ τῶν μετὰ χεῖρας ὁ Δαυῒδ λέγων· «Εἰσάκουσον, ὁ Θεός, τῆς δεήσεώς μου.» Ἐνδεὴς γὰρ ὢν μεγάλων τινῶν καὶ θείων, τούτων τυγχάνειν παρακαλεῖ. Εἶθ' ὥσπερ ἄξιον ἑαυτὸν τοῦ εἰσακουσθῆναι παραστήσας, ἐπιλέγει· «Πρόσχες τῇ προσευχῇ μου.» Πολλῆς γὰρ καὶ βαθείας διανοίας πεπληρῶσθαι αὐτοῦ τὴν προσευχὴν θαρσῶν, ἠξίου τὸν Θεὸν ἐπιβλέψαι, καὶ τοῖς ἐν αὐτῇ λόγοις ἐνατενίσαι, καὶ δοκιμάσαι τὰ λεγόμενα, ὡς ἂν τῶν αὐτοῦ ἀκοῶν ἄξια. Εἶτα καὶ τὸ ἔργον δείκνυσιν, οὗ χάριν θεωρὸν τὸν Θεὸν τῆς ἑαυτοῦ προσευχῆς ἀνεκαλεῖτο· διὸ ἐπιλέγει· «Ἀπὸ τῶν περάτων τῆς γῆς πρὸς σὲ ἐκέκραξα.» Καὶ ἐπειδήπερ συμφώνως

1. Φιλιπ. 4, 13. 2. Α' Κορ. 15, 10.

οἱ λοιποὶ ἑρμηνευταὶ ἐκδεδώκασιν, ὁ μὲν Ἀκύλας εἰπών, «Ἀπὸ τελευταίου τῆς γῆς πρὸς σὲ ἐπικαλέσομαι·» ὁ δὲ Σύμμαχος, «Ἀπὸ περάτων τῆς γῆς σὲ ἐπικαλοῦμαι·» ἡ δὲ πέμπτη ἔκδοσις, «Ἀπὸ περάτων τῆς γῆς πρὸς σὲ κεκράξομαι·» τίς οὐκ ἂν εὐλόγως τὸν νοῦν τῆς λέξεως ἐπιζητήσειε; Πῶς γὰρ ἄν τις δύναται, τὴν σύμπασαν ὑπερβὰς οἰκουμένην, καὶ ὑπὲρ αὐτὸν ἐλθὼν τὸν Ὠκεανόν, «Ἀπὸ τῶν περάτων τῆς γῆς πρὸς σὲ ἐκέκραξα», βοᾶν; Ἀλλ' ὅρα εἰ μὴ πᾶς ὁ τῷ Θεῷ φίλος εὐλόγως ἂν τὰ πέρατα τῆς γῆς ῥηθείη. Ὁ μὲν γὰρ φαῦλος ἀνήρ, ἀγορὰς καὶ δήμους, βουλευτήριά τε καὶ δικαστήρια περιτρέχων, ὅλως τε ταῖς τοῦ σώματος ἡδυπαθείαις κατορωρυγμένος, ἐν βυθῷ τῆς γῆς οἰκεῖν λέγοιτ' ἂν εἰκότως· οἱ δὲ «περιελθόντες ἐν μηλωταῖς καὶ ἐν αἰγίνοις δέρμασιν, ὑστερούμενοι, θλιβόμενοι, κακουχούμενοι[1]», φεύγοντές τε τὰ μέσα τῶν πόλεων, καὶ τὰς διατριβὰς ἐν ἐρημίαις ποιούμενοι καὶ ὄρεσι καὶ σπηλαίοις καὶ ταῖς ὀπαῖς τῆς γῆς, εὐλόγως ἂν λεχθεῖεν ἔξω τυγχάνειν τῆς γῆς· καὶ εἰ μὲν μὴ παντελῶς ἦσαν ἀπηλλαγμένοι τοῦ σώματος, κἂν ἐκτὸς ἦσαν αὐτοῦ· νῦν δὲ ἐπειδὴ ἐν αὐτῷ βιοῦντες, ὀργάνῳ τε αὐτῷ χρώμενοι, οὐκ ἐνεβαπτίζοντο τοῖς τοῦ βίου κακοῖς, ἀκροθίνως δὲ αὐτὸ μόνον τῆς ἀναγκαίας τροφῆς, καὶ τῶν λοιπῶν χρειῶν ἐφαπτόμενοι διετέλουν· εἰκότως ἐν ἄκροις ἐδόκουν εἶναι καὶ ἐν τοῖς πέρασι τοῦ σώματος· οἷος ἦν ὁ Παῦλος λέγων· «Ἐν σαρκὶ γὰρ ζῶντες, οὐ κατὰ σάρκα στρατευόμεθα·[2]» καί, «Χριστῷ συνεσταύρωμαι· ζῶ δὲ οὐκέτι ἐγώ, ζῇ δὲ ἐν ἐμοὶ Χριστός·[3]» Ὁ δὴ οὖν οὕτω διακείμενος εὐλόγως ἂν εἴποι τῷ Θεῷ· «Πρόσχες τῇ προσευχῇ μου», πολλὴν ἄγων παρρησίαν ἐπὶ τῇ τοιαύτῃ τοῦ βίου ζωῇ· οὐδ' ἂν ψεύσαιτο φάσκων· «Ἀπὸ τῶν περάτων τῆς γῆς πρὸς σὲ ἐκέκραξα.» Προστίθησι δὲ καὶ τὴν αἰτίαν ἐπιλέγων, «Ἐν τῷ ἀκηδιάσαι τὴν καρδίαν μου·» ἢ «Ἐν τῷ ἀδημονεῖν τὴν καρδίαν μου», κατὰ τὸν Σύμμαχον. Ἀκηδιᾷ γάρ, καὶ ἀδημονεῖ πᾶσα θεοφιλὴς ψυχὴ τῷ θνητῷ ἐνδιατρίβουσα βίῳ· διὸ καὶ φῆσαι ἄν, οἶμαι· «Ὅτι ἐμακρύνθη ἡ παροικία μου.[4]» Καὶ ἡμεῖς οἱ ὄντες ἐν τῷ σκήνει στενάζομεν βαρούμενοι. Ἔστενεν οὖν καὶ ὁ Παῦλος ἀκηδιῶν ἐπὶ τῇ παρεκτάσει τοῦ θνητοῦ βίου· διὸ καὶ ἀπεκλᾴετο λέγων· «Ταλαίπωρος ἐγὼ ἄνθρωπος, τίς με ῥύσεται ἐκ τοῦ σώματος τοῦ θανάτου τούτου;[5]» Ἀκηδιᾷ δὲ καὶ ἀδημονεῖ καὶ διὰ φιλανθρωπίαν, τὸ πλῆθος τῶν ἀπολλυμένων θεωρῶν· ἐπειδὴ «πλατεῖα καὶ εὐρύχωρος ἡ ὁδὸς ἡ ἀπάγουσα εἰς τὴν ἀπώλειαν·[6]» οὕτως πάλιν ὁ αὐτὸς πενθεῖ πολλούς, περὶ ὧν ἔλεγε· «Πενθήσω πολλοὺς τῶν προημαρτηκότων, καὶ μὴ μετανοησάντων ἐπὶ τῇ ἁμαρτίᾳ καὶ ἀνομίᾳ καὶ ἀσεβείᾳ ᾗ ἔπραξαν.[7]» Ὁ δ' αὐτὸς ὑπεραλγῶν καὶ ὑπερπάσχων ἑτέρων ἐβόα· «Τίς ἀσθενεῖ, καὶ οὐκ ἀσθενῶ; Τίς σκανδαλίζεται, καὶ οὐκ ἐγὼ πυροῦμαι;[8]» Ὁμοίως δὲ καὶ οἱ προφῆται τὸν πάλαι

1. Ἑβρ. 11, 37. 2. Β' Κορ. 10, 3. 3. Γαλ. 2, 20. 4. Ψαλμ. 119, 5. 5. Ῥωμ. 7, 24. 6. Ματθ. 7, 13. 7. Β' Κορ. 12, 21. 8. Β' Κορ. 11, 29.

ἀπεκλᾴοντο λαόν, ὥσπερ οὖν καὶ ὁ Δαυΐδ. Διὸ αὐτὸς μὲν ἔφευγε τὰ μέσα τῆς γῆς, καὶ ἐν ἄκροις αὐτῶν γινόμενος ἐβόα πρὸς τὸν Θεόν· ἐπὶ δὲ τῇ τῶν πολλῶν καὶ αὐτοῦ τοῦ Σαοὺλ ἀπωλείᾳ τὴν ψυχὴν ἀλγῶν ἀπεκλᾴετο.

Στίχ. δ΄, ε΄. «Ἐν πέτρᾳ ὕψωσάς με, ὅτι ἐγενήθης ἐλπίς μου, πύργος ἰσχύος ἀπὸ προσώπου ἐχθροῦ·» καὶ τὰ ἑξῆς·

Κατὰ μὲν τοὺς Ἑβδομήκοντα, εὐχαριστίαν περιέχει ὁ λόγος. Ταῦτά μοι, φησίν, ὑπῆρξεν ὅσα προείρηκα· ἐπειδὴ σὺ αὐτὸς ὁ Θεὸς ἐπῆράς με καὶ ὕψωσας στήσας ἐν τῇ παρὰ σοὶ πέτρᾳ, ἥτις ἐστὶν ὁ προϊὼν σου Λόγος· ἡ πέτρα γὰρ ἦν ὁ Χριστός.[1] Ἐπεὶ τοίνυν ἐν τῷ Λόγῳ σου ὕψωσάς με καὶ μετέωρον ἐποίησας, ὡς μηκέτι κατοικεῖν τὰ μέσα τῆς γῆς, ἀλλ' ἐν ἄκροις αὐτῆς γενέσθαι ἤδη δὲ καὶ ὡδήγησάς με, ὥστε πλησίον σου φθάσαι· γέγονάς τε ἐλπίς μου, δι' ἣν ἐλπίδα οὐ καταισχυνθήσομαι· ἀλλὰ καὶ πολλῶν ἐπικειμένων μοι νοητῶν ἐχθρῶν καὶ πολεμίων τῶν ζητούντων τὴν ψυχήν μου, ἀντὶ πάντων ἀπήρκεσας σὺ μόνος, πύργος ὀχυρός μοι γενόμενος, καὶ περιφράττων με ἐν ἀσφαλεῖ τῆς παρὰ σοὶ σωτηρίας, ὡς μηδένα τῶν ἐμῶν ἐχθρῶν ἐπιστρέφεσθαι· εἰκότως τούτων ἁπάντων τυχών, σοὶ τοὺς ὕμνους ἀναπέμπω, ὡς ἁπάντων μοι τῶν ἀγαθῶν γενομένῳ αἰτίῳ. Ἀντὶ δέ τοῦ, «Ἐν πέτρᾳ ὕψωσάς με», καὶ τῶν ἑξῆς, ὁ Σύμμαχος ἕτερον ἀπέδωκε νοῦν εἰπών· «Ὅταν στερεὸς κατεπαίρεταί μου, ὁδηγήσεις με. Ἐγένου γὰρ ἀφοβία μου, πύργος ὑψηλὸς ἀπὸ προσώπου ἐχθροῦ·» καὶ ὁ Ἀκύλας ὁμοίως τὸν αὐτὸν ἀπέδωκε νοῦν εἰπών· «Ἐν στερεῷ ὑψώθητι παρ' ἐμέ, καθοδηγήσεις με», καὶ τὰ ἑξῆς. Διδάσκει δὲ ἡμᾶς διὰ τούτων ὁ λόγος μηδένα τῶν κατεπαιρομένων ἡμῶν ἐπιστρέφεσθαι, ὅλους δὲ γενέσθαι τοῦ Θεοῦ, ἐπ' αὐτῷ μόνῳ θαρσοῦντας. Ὁ γοῦν ἀγαθαῖς ἐλπίσιν ἐφωδιασμένος, καὶ τὸν Θεὸν κτησάμενος πύργον ἰσχύος, ἤ, κατὰ τὸν Ἀκύλαν, «πύργον κράτους·» ἤ, «πύργον ὀχυρόν», κατὰ τὸν Σύμμαχον· ἐρεῖ· «Παροικήσω ἐν τῷ σκηνώματί σου εἰς τοὺς αἰῶνας· σκεπασθήσομαι ἐν τῇ σκέπῃ τῶν πτερύγων σου.» Οὐ γὰρ ἐπ' ἐμαυτῷ, φησίν, εὐθαρσήσω, ἀλλ' ἐπὶ τῇ σκέπῃ τῶν σῶν πτερύγων. Οὕτω δὲ καλεῖν εἴωθεν ὁ Λόγος τὰς προνοητικὰς τοῦ Θεοῦ δυνάμεις, ὑφ' ἃς σκεπάζεται ὁ θεοφιλής, μηδέποτε τῆς σκέπης ἀναχωρῶν τοῦ Θεοῦ, ἀλλὰ δι' αἰῶνος ἔνδον ἐν αὐτῇ κατοικῶν· καὶ ἤδη μὲν ἀπολαύων τῆς Ἐκκλησίας αὐτοῦ καὶ τῆς εὐπρεπείας τοῦ οἴκου αὐτοῦ, ὥστε λέγειν· «Κύριε, ἠγάπησα εὐπρέπειαν οἴκου σου» καὶ «τόπον σκηνώματος τῆς δόξης σου·[2]» καί, «Μίαν ᾐτησάμην παρὰ Κυρίου, ταύτην ζητήσω, τὸ κατοικεῖν με ἐν οἴκῳ Κυρίου πάσας τὰς ἡμέρας τῆς ζωῆς μου· τοῦ θεωρεῖν με τὴν τερπνότητα τοῦ Κυρίου, καὶ ἐπισκέπτεσθαι τὸν ναὸν αὐτοῦ.[3]» Εἰ δέ ἐστι καὶ ἐπουράνιος σκηνή, ἣν ἔπηξεν ὁ Κύριος, καὶ οὐκ ἄνθρωπος,

1. Α΄ Κορ. 10, 4. 2. Ψαλμ. 25, 8. 3. Ψαλμ. 26, 4.

ἧς τὴν εἰκόνα Μωϋσῆς προσταχθεὶς ἐποίει, εἰς ἐκείνην ἀναπέμπων τὴν σκηνήν, εἴποι ἂν τό· «Παροικήσω ἐν τῷ σκηνώματί σου εἰς τοὺς αἰῶνας.» Ταύτην γὰρ εἴληφε τὴν ἐπαγγελίαν ὁ τέλειος, οὐ σκοπῶν τὰ βλεπόμενα, ἀλλὰ τὰ μὴ βλεπόμενα· τὰ γὰρ βλεπόμενα πρόσκαιρα, τὰ δὲ μὴ βλεπόμενα αἰώνια.

Στίχ. ς΄. «Ὅτι σύ, ὁ Θεός, εἰσήκουσας τῶν εὐχῶν μου, ἔδωκας κληρονομίαν τοῖς φοβουμένοις τὸ ὄνομά σου.»

Εἰ μὲν ψιλή της ἦν προσευχὴ ὑπὸ τοῦ Δαυῒδ ἀναπεμφθεῖσα ἡ μετὰ χεῖρας, οὐδὲν ἦν ἀναγκαῖον αὐτὴν ἀναληφθῆναι τῇ βίβλῳ τῶν Ψαλμῶν· εἰκὸς γὰρ αὐτὸν καὶ μυρίας ἄλλας εὐχὰς πρὸς τὸν Θεὸν πεποιῆσθαι· ὥσπερ οὖν καὶ ἡμεῖς ἐφ' ἑκάστης ἡμέρας, καὶ κατὰ καιροὺς ἄλλοτε ἄλλους εὐχόμεθα διαφόρους· ἐπεὶ δὲ πολλάκις ἐν αὐτῷ τῷ προσεύχεσθαι, ἢ τοὺς ψαλμοὺς ἀνακρούεσθαι, ἢ τοὺς ὕμνους ἀναπέμπειν, προφητικῆς ἐπληροῦτο δυνάμεως· εἰκότως οὐκέθ' ὡς ψιλὰς προσευχάς, ἀλλ' ὡς ἄλλους λόγους προφητικοὺς ἐπεσημαίνοντο τὰ λεγόμενα, καὶ ταῖς θείαις βίβλοις ἐγκατέταττον οἱ τὸ χάρισμα τῆς διακρίσεως τῶν πνευμάτων εἰληφότες. Οὕτως οὖν καὶ ἐνταῦθα μετὰ τὰ προλεχθέντα, διαψάλματος μεταξὺ παρεντεθέντος, μεταβολὴν ποιεῖται τοῦ λόγου ὁ Προφήτης, αἰσθόμενος τῆς τοῦ ἁγίου Πνεύματος ἀφίξεως, φωτισθείς τε ὑπ' αὐτοῦ καὶ γνούς, ὅτι τὰ τῆς προλεχθείσης αὐτῷ δεήσεως ἐπηκόου ἔτυχε τοῦ Θεοῦ. Διὸ ἀνωτέρω μὲν εὐχόμενος ἔλεγε· «Εἰσάκουσον, ὁ Θεός, τῆς δεήσεώς μου·» ἐνταῦθα δὲ μετὰ τὸ διάψαλμα φάσκει· «Ὅτι σύ, ὁ Θεός, εἰσήκουσας τῶν εὐχῶν μου.[1]» Ὁρᾷς ὅπως συνήσθετο εἰσακουσθείς; καὶ τοῦτ' ἦν τὸ διὰ τοῦ προφήτου Ἠσαΐου τοῖς ἀξίοις ἐπηγγελμένον ὑπὸ τοῦ λέγοντος Θεοῦ· «Ἔτι λαλοῦντός σου ἐρῶ· Ἰδοὺ πάρειμι·[2]» ἔτι γὰρ φθεγγομένου τοῦ Προφήτου, τὸ Πνεῦμα ἐπιστὰν τὸ ἅγιον ἐδήλου αὐτῷ, ὡς ἄρα εἰσακουσθεὶς εἴη. Διό φησιν· «Ὅτι σύ, ὁ Θεός, εἰσήκουσας τῶν εὐχῶν μου.» Καὶ κατὰ τοὺς λοιποὺς δὲ ἑρμηνευτὰς ἡ αὐτὴ παρίσταται διάνοια· ἐπεὶ κατὰ τὸν Ἀκύλαν εἴρηται· «Ὅτι σύ, ὦ Θεέ, ἤκουσας τῶν εὐχῶν μου·» κατὰ δὲ τὸν Σύμμαχον· «Σὺ γάρ, ὁ Θεός, εἰσήκουσας τῶν προσευχῶν μου.» Εἶτ' ἐπιλέγει· «Ἔδωκας κληρονομίαν τοῖς φοβουμένοις τὸ ὄνομά σου.» Ἐμοῦ μὲν γὰρ τέως εἰσήκουσας· ἔγνων δὲ ὑπὸ τοῦ σοῦ Πνεύματος φωτισθείς, ὅτι οὐκ ἐμοὶ μόνῳ, ἀλλὰ καὶ πᾶσι τοῖς φοβουμένοις τὸ ὄνομά σου καρπὸν ἄξιον τοῦ σοῦ φόβου δώσεις, τὴν κληρονομίαν ἣν ἐπηγγείλω αὐτοῖς. Ἀορίστως δὲ εἰπών, «τοῖς φοβουμένοις τὸ ὄνομά σου», ἥπλωσε τὴν χάριν ἐπὶ πάντας ἀνθρώπους. Οὐ γὰρ τῷ Ἰσραὴλ ἐπήγγελται τὴν κληρονομίαν, οὐδὲ τῷ Ἰουδαίων ἔθνει μόνον, ἀλλὰ καὶ πᾶσι τοῖς φοβουμένοις τὸ ὄνομα αὐτοῦ. «Ἰουδαίῳ τε πρῶτον», φησὶν ὁ Ἀπόστολος, «καὶ Ἕλληνι.[3]» Πολλάκις δὲ ἡμῖν ἀποδέδεικται, ὡς πάντας τοὺς ἐξ ἐθνῶν τῷ Θεῷ προσιόντας, φο-

---

1. Ψαλμ. 60, 6. 2. Ἠσ. 58, 9. 3. Ῥωμ. 2, 10.

βουμένους τὸν Κύριον καλεῖν εἴωθεν ὁ Λόγος. Τούτοις οὖν αὐτοῖς, φησίν, ἔδωκας κληρονομίαν· καὶ ποίαν οὐκ εἶπεν, ἡμῖν δὲ καταλέλοιπεν ζητεῖν. Τῷ μὲν οὖν Ἰσραὴλ τὴν ῥέουσαν μέλι καὶ γάλα ἐπήγγελται διὰ Μωϋσέως· τοῖς δὲ φοβουμένοις ὁποίαν ἔδωκε κληρονομίαν, εἴασε ζητεῖσθαι. Εὑρήσεις δὲ ἐν τοῖς τοῦ Σωτῆρος ἡμῶν μακαρισμοῖς ταύτην, ἐν οἷς εἴρηται· «Μακάριοι οἱ πτωχοὶ τῷ πνεύματι, ὅτι αὐτῶν ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν·[1]» καὶ πάλιν ἔχεις τοῦ Σωτῆρος ἡμῶν ἐπαγγελίαν, δι' ἧς φησι· «Καὶ ἐν τῷ αἰῶνι τούτῳ πολυπλασίονα λήψεται, καὶ ἐν τῷ μέλλοντι ζωὴν αἰώνιον κληρονομήσει.[2]» Καὶ ταύτης ἕνεκα τῆς κληρονομίας ὁ πέμπτος ψαλμὸς ἐπεγέγραπτο, «Εἰς τὸ τέλος, ὑπὲρ τῆς κληρονομούσης·» καὶ ἐν τῷ ιε' δὲ ψαλμῷ ἡ αὐτὴ κληρονομία ἐδηλοῦτο κατὰ τό, «Κύριος ἡ μερὶς τῆς κληρονομίας μου καὶ τοῦ ποτηρίου μου, σὺ εἶ ὁ ἀποκαθιστῶν τὴν κληρονομίαν μου ἐμοί. Καὶ γὰρ ἡ κληρονομία μου κρατίστη μοί ἐστιν.[3]»

Στίχ. ζ', η'. «Ἡμέρας ἐφ' ἡμέρας βασιλέως προσθήσεις· τὰ ἔτη αὐτοῦ ἕως ἡμέρας γενεᾶς καὶ γενεᾶς αὐτοῦ διαμενεῖ εἰς τὸν αἰῶνα ἐνώπιον τοῦ Θεοῦ. Ἔλεος καὶ ἀλήθειαν τίς ἐκζητήσει αὐτοῦ;»

Προειπών, «Ὅτι σύ, ὁ Θεός, εἰσήκουσας τῶν εὐχῶν μου», καθ' ὑπερβατὸν συνῆψε τό, «Ἡμέρας ἐφ' ἡμέρας βασιλέως προσθήσεις.» Εἰσάκουσον γάρ, φησί, τῶν εὐχῶν μου, ἡμέρας ἐφ' ἡμέρας μοι προσέθηκας. Διὰ μέσου δὲ ἐνεβλήθη ἡ περὶ τῶν φοβουμένων τὸ ὄνομα τοῦ Κυρίου μνήμη· ἐπειδὴ καὶ αὐτοῖς ἐπήγγελται τὴν κληρονομίαν ἡ προφητεία. Ἦν δὲ ἡ κληρονομία ἡ αἰώνιος ζωή, ἣν ὁ λόγος σημαίνει φάσκων· «Ἡμέρας ἐφ' ἡμέρας βασιλέως προσθήσεις.» Μεγάλα τοίνυν εὐξαμένῳ τῷ βασιλεῖ Δαυῒδ ἐπήγγελται ὁ Θεὸς διὰ τοῦ Πνεύματος ἡμέρας ἐφ' ἡμέρας προσθήσειν, καὶ τὰ ἔτη αὐτοῦ ἕως ἡμέρας γενεᾶς καὶ γενεᾶς. Ταύτην γὰρ αὐτῷ τὴν κληρονομίαν ἐπηγγείλατο· ὃ δὴ καὶ ἐν τῷ κ' δηλοῦται ψαλμῷ, ἐν ᾧ εἴρηται· «Κύριε, ἐν τῇ δυνάμει σου εὐφρανθήσεται ὁ βασιλεύς. Τὴν ἐπιθυμίαν τῆς καρδίας αὐτοῦ ἔδωκας αὐτῷ·[4]» καὶ ἑξῆς· «Ζωὴν ᾐτήσατό σε, καὶ ἔδωκας αὐτῷ μακρότητα ἡμερῶν εἰς αἰῶνα καὶ εἰς αἰῶνα αἰῶνος.[5]» Ἐπειδὴ γὰρ τῶν οὐρανίων ὀριγνώμενος, καὶ τῶν παρὰ σοὶ ἀγαθῶν ἐπιθυμήσας, ηὔξατο· εἰσήκουσας αὐτοῦ, φησί, καὶ εἰσακούσας, «τὴν ἐπιθυμίαν τῆς καρδίας αὐτοῦ ἔδωκας αὐτῷ, καὶ τὴν θέλησιν τῶν χειλέων αὐτοῦ οὐκ ἐστέρησας αὐτόν.» Τίς δὲ ἦν ἡ ἐπιθυμία αὐτοῦ, καὶ τίς ἡ αἴτησις τῶν χειλέων αὐτοῦ, διδάσκει ἑξῆς λέγων· «Ζωὴν ᾐτήσατό σε, καὶ ἔδωκας αὐτῷ μακρότητα ἡμερῶν εἰς αἰῶνα καὶ εἰς αἰῶνα τοῦ αἰῶνος.» Καὶ ἐπὶ τοῦ παρόντος τοίνυν παραπλησίως ἐκείνοις ηὔξατο Δαυῒδ, καὶ εὐξάμενος εἰσηκούσθη· εἰσακουσθείς τε ταύτης ἔτυχε τῆς ἐπαγγελίας, δι' ἧς εἴρηται· «Ἡμέρας ἐφ' ἡμέρας

1. Ματθ. 5, 3. 2. Ματθ. 19, 29. 3. Ψαλμ. 15, 5, 6. 4. Ψαλμ. 20, 2-3. 5. Ψαλμ. 20, 5.

βασιλέως προσθήσεις· τὰ ἔτη αὐτοῦ ἕως ἡμέρας γενεᾶς καὶ γενεᾶς·» ἤ, κατὰ τὸν Σύμμαχον· «Ἡμέρας ταῖς ἡμέραις τοῦ βασιλέως προσθήσεις, ἔτη αὐτοῦ, ἐφ' ὅσον γενεὰ καὶ γενεά· οἰκήσει αἰωνίως ἔμπροσθεν τοῦ Θεοῦ· ἔλεος καὶ ἀλήθεια περιφράξει αὐτόν.» Τούτων δὲ πάντων τεύξεται ὁ δυνηθεὶς εἰπεῖν· «Ἀπὸ τῶν πτερύγων τῆς γῆς πρὸς σὲ ἐκέκραξα ἐν τῷ ἀκηδιᾶσαι τὴν καρδίαν μου.» Τῆς γὰρ τοιαύτης προκοπῆς καρπὸν ἐπάξιον λήψεται τὴν αἰώνιον ζωήν. Φάσκων δὲ ὁ λόγος, «Τὰ ἔτη αὐτοῦ ἕως ἡμέρας γενεᾶς καὶ γενεᾶς», σημαίνει, ὡς ἄρα ἔσται ὁ Δαυῒδ μνημονευόμενος οὐ καθ' ὃν μόνον ἐβίου χρόνον, ἀλλὰ καὶ καθ' ἑκάστην γενεάν, ἢ κατὰ δύο τινὰς γενεάς, αἰνιττομένου τοῦ λόγου τόν τε ἐκ περιτομῆς λαὸν καὶ τὴν ἐξ ἐθνῶν Ἐκκλησίαν. Ἐφ' ὅσον γοῦν χρόνον ἡ γενεὰ ἡ πρώτη τοῖς θείοις ἐντυγχάνει γράμμασι, φέρει διὰ μνήμης τὸν Δαυῒδ· καὶ ἡ δευτέρα δὲ γενεὰ ἡ τῆς ἐξ ἁπάντων ἐθνῶν ἐκλογῆς ὡσαύτως τοῦ Δαυῒδ οὔποτε διαλείπει μνημονεύουσα, διὰ τὸ φέρειν ἀνὰ στόμα τὴν βίβλον τῆς γενέσεως Ἰησοῦ Χριστοῦ τοῦ υἱοῦ Δαυῒδ. Τοῦτο οὖν ᾐνίξατο φήσας ὁ λόγος· «Τὰ ἔτη αὐτοῦ ἕως ἡμέρας γενεᾶς καὶ γενεᾶς.» Καὶ ἐν μὲν ἀνθρώποις ταύτης τεύξεται τῆς μακρότητος· παρὰ δὲ αὐτῷ τῷ Θεῷ οὔποτε, φησίν, ἀπολεῖται· ἀθανάτου δὲ καὶ εἰς ἄπειρον διαρκούσης ζωῆς τυχών, «διαμενεῖ εἰς τὸν αἰῶνα ἐνώπιον τοῦ Θεοῦ.» Πῶς δὲ διαρκεῖν καὶ τῇ τοῦ Θεοῦ ζωῇ συμπαρεκτείνεσθαι ἀνθρώπου φύσις οἷα τε ἂν εἴη, διδάσκει ἑξῆς φάσκων· «Ἔλεος καὶ ἀλήθειαν τίς ἐκζητήσει αὐτοῦ;» Ὅπερ σαφέστερον ἡρμήνευσεν ὁ Σύμμαχος εἰπών· «Ἔλεος καὶ ἀλήθεια περιφράξει αὐτόν·» καὶ ὁ Ἀκύλας ὁμοίως, «Ἔλεος καὶ ἀλήθεια διατηρήσουσιν αὐτόν.» Ταῦτα γὰρ τῆς ἀθανασίας αὐτῷ ἔσται αἴτια, τὸ τοῦ Θεοῦ ἔλεος καὶ ἀλήθεια· ὧν μεταλαμβάνων πᾶς ὁ θεοφιλής, ὥσπερ ἀπὸ ἁλῶν ἁλιζόμενος, φυλαχθήσεται εἰς αἰώνιον ζωήν. Οὐ γὰρ δὴ ὁμοίως τῷ Θεῷ πεφυκὼς τὴν οὐσίαν, ὁμοίως αὐτῷ ζήσεται, ἀλλ' ὑπὸ τοῦ ἐλέους τοῦ Θεοῦ καὶ ὑπὸ τῆς ἀληθείας αὐτοῦ διακρατούμενος.

Στίχ. θ'. «Οὕτως ψαλῶ τῷ ὀνόματί σου εἰς τὸν αἰῶνα τοῦ αἰῶνος, τοῦ ἀποδοῦναί με τὰς εὐχάς μου ἡμέραν ἐξ ἡμέρας.»

Ταῦτα τοῦ ἁγίου Πνεύματος τῇ τοῦ Δαυῒδ ὑφηγήσαντος ψυχῇ, μαθὼν ὥσπερ παρὰ διδασκάλου τὰ λεχθέντα, ἐπισφραγίζεται τῇ πίστει τὸν λόγον ἀναφωνῶν καὶ λέγων· «Οὕτω ψαλῶ τῷ ὀνόματί σου εἰς τὸν αἰῶνα τοῦ αἰῶνος·» οὐχ ἁπλῶς δέ, «Ψαλῶ», φησί, «τῷ ὀνόματί σου εἰς τὸν αἰῶνα τοῦ αἰῶνος», ἀλλὰ μετὰ προσθήκης τῆς, «Οὕτω.» Πῶς δὲ οὕτω; ἀλλ' ὡς προεδίδαξε τὸ Πνεῦμα τὸ ἅγιον φῆσαν· «Ἔλεος καὶ ἀλήθεια περιφράξει αὐτόν. » Οὕτω γὰρ ὑπὸ τοῦ σοῦ ἐλέους καὶ ὑπὸ τῆς σῆς ἀληθείας περιφραττόμενος καὶ διατηρούμενος, ψαλῶ τῷ ὀνόματί σου εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. Τεθάρσηκα γὰρ ζωῆς αἰωνίου τεύξεσθαι καὶ ἀθανασίας τῆς παρὰ σοὶ διὰ τὸν σὸν ἔλεον καὶ διὰ τὴν σὴν ἀλήθειαν, ἀλλ' οὐ διὰ τὰς ἐμὰς ἀρετάς. «Οὕτως οὖν

ψαλῶ τῷ ὀνόματί σου εἰς τὸν αἰῶνα τοῦ αἰῶνος, τοῦ ἀποδοῦναί με τὰς εὐχάς μου ἡμέραν ἐξ ἡμέρας·» ἢ κατὰ τὸν Σύμμαχον, «Ἀποδιδοὺς τὰς εὐχάς μου καθ' ἑκάστην ἡμέραν.» Οὐδεπώποτε γὰρ ἀπολείψομαι τοῦ μὴ ἀποδιδόναι τὰς ἐμὰς ἐπαγγελίας, ὥσπερ ὀφειλὰς διηνεκεῖς καὶ ἐμοὶ σωτηρίους. Ταύτας γὰρ διατελέσω καὶ εἰς τὸν ἄπειρον αἰῶνα ἀποδιδούς. Οὐδὲ γὰρ ἀργὸς καὶ ἄπρακτος ἔσομαι κατ' ἐκείνην τὴν αἰώνιον ζωήν, τὴν δὲ πρέπουσαν καὶ ὀφειλομένην ἀποδιδοὺς τῷ Θεῷ κἀκεῖ πρᾶξιν διατελέσω. Αὕτη δέ ἐστιν ἡ ὀφειλομένη καὶ αὐτῷ πρέπουσα διηνεκὴς εὐχαριστία.

ΕΙΣ ΤΟ ΤΕΛΟΣ, ΥΠΕΡ ΙΔΙΘΟΥΜ ΨΑΛΜΟΣ ΤΩ ΔΑΥΙΔ ΞΑ'.

Στίχ. β', γ'. «Οὐχὶ τῷ Θεῷ ὑποταγήσεται ἡ ψυχή μου; παρ' αὐτῷ γὰρ τὸ Σωτήριόν μου.»

Ὁ μὲν προκείμενος ψαλμὸς εἴρηται μὲν τῷ Δαυΐδ, πρόκειται δὲ τῇ ἐπιγραφῇ, «ὑπὲρ Ἰδιθούμ·» διδάσκοντος ἡμᾶς τοῦ λόγου, ὡς ἄρα ὁ Δαυΐδ, ὑπὲρ τοῦ Ἰδιθοὺμ συντάξας τὸν ψαλμόν, παρέδωκεν αὐτῷ μελετᾶν, καὶ ἀντὶ ἐπῳδῆς χρῆσθαι εἰς θεραπείαν, συμφορᾶς τινος ἐπισυμβάσης αὐτῷ. Καὶ ὁ λ' δὲ καὶ η' ἐπεγέγραπτο, «Εἰς τὸ τέλος, τῷ Ἰδιθούμ, ᾠδὴ τοῦ Δαυΐδ·» ἐν ᾧ καὶ αὐτῷ ὁμοίως διδασκαλίαν παρεδίδου ὁ Δαυΐδ τῷ Ἰδιθοὺμ διὰ τὴν αὐτήν, οἶμαι, κατάστασιν. Ἐνταῦθα μὲν γὰρ λέλεκται· «Οὐ μὴ σαλευθῶ ἐπὶ πλεῖον. Ἕως πότε ἐπιτίθεσθε ἐπ' ἄνθρωπον, φονεύεσθε πάντες ὑμεῖς;» ἐν δὲ τῷ λη'· «Ἐν τῷ συστῆναι τὸν ἁμαρτωλὸν ἐναντίον μου, ἐκωφώθην καὶ ἐταπεινώθην, καὶ ἐσίγησα ἐξ ἀγαθῶν, καὶ τὸ ἄλγημά μου ἀνεκαινίσθη·[1]» καὶ πάλιν· «Ἀπὸ πασῶν τῶν ἀνομιῶν μου ῥῦσαί με· ὄνειδος ἄφρονι ἔδωκάς με.[2]» Καὶ θέα τίνα τρόπον ἐμφαίνει δι' ἀμφοτέρων ἐν πειρασμῷ τινι ἐξητάσθαι καὶ δεινὰ πεπονθέναι· διὸ ταύτας προσίετο τὰς φωνάς. Καὶ ἐν μὲν τῷ μετὰ χεῖρας ψαλμῷ προϊών φησι· «Πλὴν μάταιοι οἱ υἱοὶ τῶν ἀνθρώπων, ψευδεῖς υἱοὶ τῶν ἀνθρώπων ἐν ζυγοῖς, τοῦ ἀδικῆσαι αὐτοὶ ἐκ ματαιότητος ἐπὶ τὸ αὐτό·» καὶ ἐν ἐκείνῳ δὲ ὁμοίως εἴρητο· «Πλὴν τὰ σύμπαντα ματαιότης, πᾶς ἄνθρωπος ζῶν·[3]» καὶ πάλιν· «Πλὴν μάτην πᾶς ἄνθρωπος·[4]» ἅπερ οὐδὲν ἂν διαφέροι τοῦ· «Πλὴν μάταιοι οἱ υἱοὶ τῶν ἀνθρώπων, αὐτοὶ ἐκ ματαιότητος ἐπὶ τὸ αὐτό.» Ἔτι πρὸς τούτοις ἐν τῷ λη' εὕροις ἂν εἰρημένον τό· «Μέντοιγε ἐν εἰκόνι διαπορεύεται ἄνθρωπος. Πλὴν μάτην ταράσσονται. Θησαυρίζει, καὶ οὐ γινώσκει τίνι συνάξει αὐτά.[5]» Σύμφωνα δὲ τούτοις εἴη ἂν καὶ τὰ μετὰ χεῖρας λεγόμενα ἐν τούτοις· «Μὴ ἐλπίζετε ἐπὶ ἀδικίαν, καὶ ἐπὶ ἅρπαγμα μὴ ἐπιποθεῖτε· πλοῦτος ἐὰν ῥέῃ, μὴ προστίθεσθε τῇ καρδίᾳ.» Καὶ σὺ δ' ἄν, ἐπὶ σχολῆς ἐκ παραλλήλου τὰς ἐν ἀμφοτέ-

---

1. Ψαλμ. 38, 2, 3. 2. Ψαλμ. 38, 9. 3. Ψαλμ. 38, 6. 4. Ψαλμ. 38, 12. 5. Ψαλμ. 38, 7.

ροις τοῖς δηλωθεῖσι ψαλμοῖς ἐγκειμένας λέξεις παραθεὶς ἀλλήλαις, εὕροις ἂν μιᾶς καὶ τῆς αὐτῆς ἐχομένας διανοίας. Ὁ τοίνυν Δαυῒδ ἔοικε τῷ Ἰδιθοὺμ πειρασμῷ τινι πεπτωκότι, τάχα που καὶ ὀλισθήματι, διδασκαλίαν θεραπευτικὴν παραδεδωκέναι· ὅπως ἂν λάβοι ἑαυτόν, καὶ ἀνακτήσοιτο τοῦ συμβάντος αὐτῷ πταίσματος. Ἐδίδασκε γοῦν αὐτὸν ἐν μὲν τῷ λη΄ ἑαυτῷ παραινεῖν, καὶ πρὸς ἑαυτὸν διαλέγεσθαι καὶ λέγειν· «Εἶπα· Φυλάξω τὰς ὁδούς μου, τοῦ μὴ ἁμαρτάνειν ἐν γλώσσῃ μου. Ἐθέμην τῷ στόματί μου φυλακήν, ἐν τῷ συστῆναι τὸν ἁμαρτωλὸν ἐνώπιόν μου. Ἐκωφώθην, καὶ ἐταπεινώθην, καὶ ἐσίγησα ἐξ ἀγαθῶν, καὶ τὸ ἄλγημά μου ἀνεκαινίσθη[1]», καὶ τὰ τούτοις ἑξῆς. Ἐν οἷς ἦν καὶ τό, «Ἀπὸ πασῶν τῶν ἀνομιῶν μου ῥῦσαί με· ὄνειδος ἄφρονι ἔδωκάς με. Ἐκωφώθην καὶ οὐκ ἤνοιξα τὸ στόμα μου, ὅτι σὺ ἐποίησας·[2]» καὶ πάλιν· «Ἀπόστησον ἀπ' ἐμοῦ τὰς μάστιγάς σου. Ἀπὸ τῆς ἰσχύος τῆς χειρός σου ἐγὼ ἐξέλιπον.[3]» Ταῦτα καὶ τὰ τοιαῦτα ἐδιδάσκετο λέγειν καὶ τῷ Θεῷ τοιαύτας εὐχὰς ἀναπέμπειν ὁ Ἰδιθοὺμ ἐν ἐκείνῳ· καὶ ἐν τῷ μετὰ χεῖρας δὲ ὡσαύτως τὸν αὐτὸν ἄνδρα ὁ Δαυῒδ διδάσκει ἑαυτῷ προσδιαλέγεσθαι καὶ λέγειν· «Οὐχὶ τῷ Θεῷ ὑποταγήσεται ἡ ψυχή μου; παρ' αὐτοῦ γὰρ τὸ σωτήριόν μου.» Σημαίνει σεσαλεῦσθαι αὐτόν, καί τινα ταραχὴν τῇ ψυχῇ πεπονθέναι. Ἐπεὶ τοίνυν, τῶν πειραζόντων ἐπιθεμένων αὐτῷ, γέγονέ τις αὐτῷ ἀτονία, ᾔσθετό τε ἑαυτοῦ οὐ κατὰ τὸν εἰρηκότα· «Ἐμοῦ δὲ παραμικρὸν ἐσαλεύθησαν οἱ πόδες[4]», ἀλλὰ καὶ ἀληθῶς σαλευθέντος· ἀναγκαίως διδάσκεται λέγειν· «Οὐ μὴ σαλευθῶ ἐπὶ πλεῖον·» ἢ κατὰ τὸν Ἀκύλαν· «Σφαλήσομαι πολλήν·» καὶ κατὰ τὴν πέμπτην δὲ ἔκδοσιν εἴρηται· «Οὐ μὴ σαλευθῶ ἐπὶ πλεῖον.» Σύμφωνος δ' ἂν εἴη ὁ νοῦς τῆς προκειμένης διδασκαλίας τῇ φασκούσῃ προφητείᾳ· «Οὐαὶ οἱ ἐπισπώμενοι τὰς ἁμαρτίας ὡς σχοινίῳ μακρῷ, καὶ ὡς ζυγοῦ ἱμάντι δαμάλεως τὰς ἀνομίας·[5]» καὶ τῷ, «Μὴ ὁ πίπτων οὐκ ἀνίσταται, καὶ ὁ ἀποστρέφων οὐκ ἀναστρέφει; Ἵνα τί ἀποστρέφεται ἀποστροφὴν ἀναιδῆ, λέγει Κύριος;[6]» Πάντα γὰρ ταῦτα διδάσκει τὸν ἅπαξ ἡμαρτηκότα μὴ παραμένειν τῷ ἁμαρτήματι, μηδὲ ἀπογινώσκειν ἑαυτόν, μηδὲ ἔκδοτον παρέχειν τῷ τοῦ πειρατηρίου ῥεύματι. Διὸ ἀναγκαίως διδάσκεται ὁ Ἰδιθοὺμ ἐπᾴδειν ἑαυτῷ, καὶ τὰ προκείμενα λέγειν· καὶ πρῶτον μὲν ἐπὶ τὸν μέγαν Σωτῆρα καὶ τῶν ψυχῶν ἰατρὸν καταφεύγειν· ἔπειτα ὑποτάττειν τὴν ἑαυτοῦ ψυχήν, μηκέτι ἀνθρώποις, μηδὲ τοῖς ἐκφοβοῦσιν· ἕνα δὲ μόνον πρὸ ὀφθαλμῶν θέμενον τὸν μέγαν κριτήν τε καὶ Θεόν, αὐτῷ μόνῳ τὴν ἑαυτοῦ ψυχὴν ὑποτάττειν, ἐλευθεροῦν τε αὐτὴν παντὸς ἀλλοτρίου φόβου. Διό φησιν· «Οὐχὶ τῷ Θεῷ ὑποταγήσεται ἡ ψυχή μου;» καὶ τὰ ἑξῆς. Πάλιν δὲ κἀνταῦθα τὸ σωτήριον Ἑβραϊκῇ φωνῇ διὰ τῶν αὐτῶν στοι-

1. Ψαλμ. 38, 2-3. 2. Ψαλμ. 38, 9-10. 3. Ψαλμ. 38, 11. 4. Ψαλμ. 72, 2. 5. Ἡσ. 5, 18. 6. Ἱερ. 8, 4, 5.

χείων, δι' ὧν γράφεται τὸ τοῦ σωτηρίου ἡμῶν Ἰησοῦ ὄνομα, φέρεται

Εὐλόγως δέ τις ζητήσειε τούτοις ἐντυγχάνων· Τί δήποτε μόνων δύο ὄντων τῶν «ὑπὲρ τοῦ Ἰδιθούμ», ἢ «περὶ τοῦ Ἰδιθούμ» κατὰ τὸν τὸν Ἀκύλαν εἰρημένων, οὔτ' ἐφεξῆς ἀλλήλοις κεῖνται ἀμφότεροι, μακρὰν δ' ἀπεσχοινισμένοι τυγχάνουσι. Τὴν δὲ τούτων αἰτίαν ἐν τοῖς εἰρημένοις ἡμῖν εἰς τὸν λη', γραμματικαῖς ἀποδείξεσι παρεστήσαμεν. Ἀλλὰ καὶ τίς ἦν ὁ Ἰδιθούμ, ἤδη πρότερον ἐν αὐτῷ ἐκείνῳ δεδηλώκαμεν, τὴν ἀπὸ τῶν Παραλειπομένων ἱστορίαν παραθέμενοι· δι' ἧς ἐδείκνυτο εἷς τῶν ἐκλελεγμένων εἰς τὸ αἰνεῖν τὸν Θεὸν γεγονώς. Γέγραπται γοῦν· «Καὶ κατέλειπον ἐκεῖ ἐναντίον τῆς κιβωτοῦ τῆς Διαθήκης Κυρίου τὸν Ἀσὰφ καὶ τοὺς ἀδελφοὺς αὐτοῦ λειτουργοὺς ἐναντίον τῆς κιβωτοῦ.[1]» Καὶ ἑξῆς εἴρηται·» Αἱμὰν καὶ Ἰδιθούμ, καὶ οἱ λοιποὶ ἐκλεγέντες ἐπ' ὀνόματος τοῦ αἰνεῖν τὸν Κύριον, ὅτι εἰς αἰῶνα τὸ ἔλεος αὐτοῦ·[2]» καὶ πάλιν· «Μετ' αὐτῶν Αἱμὰν καὶ Ἰδιθούμ, σάλπιγγές τε καὶ κύμβαλα τοῦ ἀναφωνεῖν, καὶ ὄργανα τῶν ᾠδῶν τοῦ Θεοῦ, υἱοὶ Ἰδιθοὺμ εἰς τὴν πύλην·[3]» καὶ αὖθις· «Καὶ ἔστησεν ὁ βασιλεὺς Δαυῒδ καὶ οἱ ἄρχοντες τῆς δυνάμεως εἰς τὰ ἔργα τοὺς υἱοὺς Ἀσὰφ καὶ Αἱμάν, καὶ Ἰδιθούμ, τοὺς ἀποφθεγγομένους ἐν κινύρᾳ καὶ ἐν νάβλαις καὶ ἐν τυμπάνοις.[4]» Ἀντὶ δὲ τοῦ, «τοὺς ἀποφθεγγομένους», ὁ μὲν Ἀκύλας, «τῶν προφητῶν», ὁ δὲ Σύμμαχος, «τῶν προφητευσάντων διὰ λύρας», ἐξέδωκεν· ὥστε προφήτας χρὴ νομίζειν γεγονέναι τοὺς δηλουμένους. Καὶ αὖθις ἑξῆς εἴρηται τῷ Ἰδιθούμ· «Υἱοὶ Ἰδιθούμ, Γοδολείας καὶ Σουρεὶ καὶ Αἰσίας, καὶ Σεδείας, καὶ Ματθίας, ἓξ μετὰ τὸν πατέρα αὐτῶν Ἰδιθοὺμ ἐν κινύραις ἀνακρουόμενοι.» Ἀντὶ δὲ τοῦ, «ἐν κινύραις ἀνακρουόμενοι», πάλιν ὁ Ἀκύλας, «κιθάρᾳ προφητεύων·» ὁ δὲ Σύμμαχος, «διὰ λύρας τοῦ προφητεύοντος», ἐξέδωκεν· Οὐκοῦν καὶ ὁ Ἰδιθοὺμ εἷς ἦν τῶν προφητευόντων διὰ λύρας· διὸ καὶ εἰκότως εἴποι ἄν τις, ἐντεῦθεν ὁρμώμενος, μὴ τὸν Δαυῒδ συντάξαι τὸν ψαλμόν, καὶ δεδωκέναι τῷ Ἰδιθούμ, μηδὲ τὸν Ἰδιθοὺμ ὑποπεπτωκέναι τῷ πειρασμῷ, καὶ θεραπείας δεδεῆσθαι τῆς παρὰ τοῦ Δαυῒδ. Μηδὲ γὰρ τὴν Γραφὴν ὑπαίτιόν που τὸν Ἰδιθοὺμ εἰσάγειν· ἀλλ' ἔμπαλιν μᾶλλον τὸν Δαυῒδ πειρασμῷ περιπεπτωκέναι διδάσκειν. Διὸ καὶ φῆσαι ἂν εἰκότως, προφήτην ὄντα τὸν Ἰδιθούμ, τοὺς ἐν ἀμφοτέροις τοῖς προδηλωθεῖσι ψαλμοῖς λόγους συντάξαι, καὶ τῷ Δαυῒδ παραδεδωκέναι, ὡς ἂν ὠφελοῖτο καὶ θεραπεύοιτο ἐξ αὐτῶν ἐπὶ τοῖς αὐτῷ συμβεβηκόσι. Δοκεῖ δέ πως ταύτῃ τῇ διανοίᾳ συμβάλλεσθαι καὶ ὁ Σύμμαχος, τὴν προγραφὴν τοῦτον ἑρμηνεύσας τὸν τρόπον· «Ἐπινίκιος διὰ Ἰδιθοὺμ ᾠδὴ εἰς Δαυῒδ.» Καὶ μήποτε μετὰ τὸ σφάλμα τὸ ἐπισυμβὰν τῷ Δαυῒδ ἐπὶ τῇ τοῦ Οὐρίου γυναικί, μηκέτι οἵου τε αὐτοῦ κατὰ τὸ παλαιὸν προφητεύειν, πολλῶν δὲ πειρασμῶν ἐπανισταμένων

1. Α' Παραλ. 16, 37. 2. Α' Παραλ. 16, 41. 3. Α' Παραλ. 16, 42.
4. Α' Παραλ. 25, 1.

αὐτῷ καὶ συμφορῶν ἐπαλλήλων, ὁ Ἰδιθούμ, Πνεύματι ἁγίῳ συντάξας τοὺς προκειμένους λόγους, ὥσπερ τινὰ φάρμακα ψυχῆς θεραπευτικὰ ἐπιδίδωσιν αὐτῷ, εἰς τὸ παραμυθεῖσθαι ἐκ τῆς ἐν αὐτοῖς διδασκαλίας; Καὶ δὴ δυσὶν ἐκδοχαῖς ἐπιβάλλοντες εἰς τὰ προκείμενα τοῖς ἐντυγχάνουσι, θατέρας αὐτῶν τὴν αἵρεσιν καταλείψομεν.

Στίχ. δ', ε'. «Ἕως πότε ἐπιτίθεσθε ἐπ' ἄνθρωπον, φονεύετε πάντες ὑμεῖς; ὡς τοίχῳ κεκλιμένῳ καὶ φραγμῷ ὠσμένῳ.»

Ἐμφαίνει διὰ τούτων μὴ ἕνα μόνον πειρασμὸν ὑπομεμενηκέναι ὁ Δαυΐδ, μηδ' ὥσπερ μίαν πληγὴν εἰληφέναι ὑπὸ τῶν ἀντιπάλων· ὡς δὲ ἐπὶ μακρῷ χρόνῳ τυπτόμενος, καὶ καρτερῶς ὑπομένων τὰς ἐπαγομένας αὐτῷ πληγάς, φάσκειν τοῖς τύπτουσιν· «Ἕως πότε ἐπιτίθεσθε ἐπ' ἄνθρωπον;» ἢ κατὰ τὸν Ἀκύλαν· «Ἕως τίνος ἐπιβουλεύετε;» ἢ κατὰ τὸν Σύμμαχον· «Ἕως τίνος ματαιοπονήσετε;» Εἶτα τὴν προαίρεσιν τῶν ἐπιβουλευόντων αὐτῷ διελέγχων φησί· «Φονεύετε πάντες ὑμεῖς.» Φονευταὶ γάρ ἐστε, φησί· καὶ οὐχ ὥσπερ ἀνταγωνισταὶ πρὸς ἀθλητὴν ἱστάμενοι μέχρι γυμνασίου ποιεῖσθαι τὴν ἅμιλλαν· ἀλλὰ φονικῇ προαιρέσει ἐπιτίθεσθέ μοι, καὶ ἐπιτίθεσθε ὡς ἀβοηθήτῳ, καὶ ὡς ἤδη κεκλιμένῳ τοίχῳ καὶ φραγμῷ ὠσμένῳ. Ὡς γὰρ μηδενὸς περιφράττοντος μηδὲ περιτειχίζοντος καὶ τὴν ἐμὴν φρουροῦντος ψυχήν, οὕτως ἐπιτίθεσθε. Ἕως οὖν πότε ταῦτα ματαιοπονήσετε, καὶ οὐχὶ παύσεσθε λοιπόν, γνόντες, ὅτι εὗρον τὴν ἐμαυτοῦ φυλακήν, καὶ τὸν ἐμαυτοῦ φρουρὸν καὶ Σωτῆρα; Διὸ ἐθάρσησα φάναι· «Οὐχὶ τῷ Θεῷ ὑποταγήσεται ἡ ψυχή μου; παρ' αὐτοῦ γὰρ τὸ σωτήριόν μου. Καὶ γὰρ αὐτὸς Θεός μου καὶ Σωτήρ μου, ἀντιλήπτωρ μου, οὐ μὴ σαλευθῶ ἐπὶ πλεῖον. Πλὴν τὴν τιμήν μου ἐβουλεύσαντο ἀπώσασθαι, ἔδραμον ἐν δίψει· τῷ στόματι αὐτῶν εὐλόγουν, καὶ τῇ καρδίᾳ αὐτῶν κατηρῶντο. Διάψαλμα.» Τὰ μὲν πρῶτα αὐτὸς ἑαυτῷ ἤτοι Δαυΐδ, ἢ Ἰδιθοὺμ διείλεκται· τὰ δὲ δεύτερα πρὸς τοὺς ἐχθροὺς ἀπετείνατο· τὰ δὲ τρίτα διὰ τῶν προκειμένων ἡμᾶς διδάσκει, τίποτε βουλευόμενοι οἱ ἐπιβουλεύοντες αὐτῷ τὴν ἐπιβουλὴν κατεσκεύαζον. Διό φησι· «Πλὴν τὴν τιμήν μου ἐβουλεύσαντο ἀπώσασθαι.» Ἡ γὰρ πᾶσα σκέψις αὐτῶν καὶ ἡ βουλὴ οὐδὲν ἕτερον, φησίν, ἢ καταβαλεῖν με τῆς παρὰ τῷ Θεῷ τιμῆς, καὶ γυμνῶσαι τῆς δόξης ἧς εἶχον πρότερον ἐσπούδαζον. Εἶτα βουλευσάμενοι ταύτην μου τὴν τιμὴν περιελεῖν, ἔδραμον ἐν δίψει τὴν ἐμὴν ἀπώλειαν θεάσασθαι διψῶντες. Ἀντὶ δὲ τοῦ, «ἐν δίψει, ἐν διαψεύσματι», ὁ Ἀκύλας· ὁ δὲ Σύμμαχος, «ἐν ψεύσματι·» ἡ δὲ πέμπτη ἔκδοσις, «ἐν ψεύδει·» καὶ πάλιν ἑτέρα ἔκδοσις, «ἐν δόλῳ», ἡρμήνευσαν. Εἰκὸς οὖν καὶ ἐν τῇ καθ' ἡμᾶς ἀναγνώσει κεῖσθαι μὲν πρότερον τό, «ἐν ψεύδει», ἵν' ᾖ τὸ λεγόμενον· «Ἔδραμον ἐν ψεύδει·» τουτέστιν οἱ ἐχθροί μου καὶ οἱ ἐπιβουλεύοντες, οὐ σὺν ἀληθείᾳ τὸν κατ' ἐμοῦ δρόμον καὶ τὴν κατ' ἐμοῦ σπουδὴν ἐποιοῦντο, ὅλους δὲ αὐτοὺς τῷ ψεύδει παραδόντες· σφάλμα δὲ γραφικὸν γεγονέναι ἐν τοῖς μετὰ ταῦτα συνέβη χρόνοις, ὥστε ἀντὶ

τοῦ, «ἐν ψεύδει, ἐν δίψει» γραφῆναι. Πῶς δὲ ψευδόμενοι οἱ ἐπιβουλεύοντες ἔδραμον, διερμηνεύει λέγων ἑξῆς· «Τῷ στόματι αὐτῶν εὐλόγουν, καὶ τῇ καρδίᾳ αὐτῶν κατηρῶντο.» Ἀπατῶντες γάρ, λόγοις γλυκέσιν ἐχρῶντο πρὸς τὸ καθελκῦσαί με καὶ καταβαλεῖν τῆς παρὰ τῷ Θεῷ στάσεως· διὸ εὐλογεῖν ἐδόκουν καὶ ἐπαινεῖν με, καὶ ἀποδέχεσθαι εἰς πρόσωπον· τὰ δὲ τῆς διανοίας αὐτῶν πεπλήρωτο καταρῶν, δι' ὧν τὴν τιμήν μου ἐβουλεύσαντο ἀπώσασθαι, καὶ κατάρᾳ με ὑποβαλεῖν. Διδασκόμεθα δὲ διὰ τούτων ὅτι δὴ πάντες οἱ τοῖς τοῦ Θεοῦ ἀνθρώποις ἐπιβουλεύοντες οὐδὲν ἕτερον σπουδάζουσιν ἢ τῆς παρὰ τῷ Θεῷ τιμῆς γυμνῶσαι αὐτούς.

Στίχ. ς'-θ'. «Πλὴν τῷ Θεῷ ὑποτάγηθι, ἡ ψυχή μου, ὅτι παρ' αὐτοῦ ἡ ὑπομονή μου. Καὶ γὰρ αὐτὸς Θεός μου καὶ Σωτήρ μου, ἀντιλήπτωρ μου, οὐ μὴ μεταναστεύσω.»

Ἀρχόμενος μὲν ἔλεγεν· «Οὐχὶ τῷ Θεῷ ὑποταγήσεται ἡ ψυχή μου;» ὥσπερ ἐνδυάζων ἔτι· ἐνταῦθα δὲ ἀποφατικῶς, βεβαιωθεὶς ἐκ τῶν εἰρημένων, τῇ ἑαυτοῦ ψυχῇ ἐπιθαρσῶν παρακελεύεται· διό φησι πρὸς αὐτήν· «Πλὴν τῷ Θεῷ ὑποτάγηθι, ἡ ψυχή μου.» Καὶ ἀνωτέρω μὲν ἔλεγε· «Παρ' αὐτοῦ γὰρ τὸ σωτήριόν μου·» ἐνταῦθα δέ· «Ὅτι παρ' αὐτοῦ ἡ ὑπομονή μου.» Ὅμοιον δ' ἂν εἴη τοῦτο τῷ φήσαντι· «Πάντα ἰσχύω ἐν τῷ ἐνδυναμοῦντί με.[1]» Οὐ γὰρ παρ' ἐμαυτοῦ κέκτημαι τὴν ἰσχύν, ἀλλὰ παρὰ τοῦ ἐνδυναμοῦντός με· καὶ ἐνταῦθα, «Ἡ ὑπομονή μου» οὐκ ἐξ ἐμῆς, φησίν, ἀρετῆς καὶ δυνάμεως συνέστηκεν, ἀλλὰ παρὰ τῆς αὐτοῦ χάριτος· «Καὶ γὰρ αὐτὸς Θεός μου καὶ Σωτήρ μου·» διόπερ ὡς Θεός μου καὶ Σωτήρ μου παρέχει μοι τὴν ὑπομονήν. Εἶτ' ἀνωτέρω μὲν ἔχεις τό, «Καὶ γὰρ αὐτὸς Θεός μου καὶ Σωτήρ μου, ἀντιλήπτωρ μου, οὐ μὴ μεταναστεύσω·» ἢ κατὰ τὸν Ἀκύλαν καὶ τὸν Σύμμαχον, «οὐ σφαλήσομαι.» Πολλὴ δὲ διαφορὰ τοῦ φάσκοντος, «οὐ μὴ σαλευθῶ ἐπὶ πλεῖον», καὶ τοῦ λέγοντος, «οὐ σφαλήσομαι», καί, «οὐ μεταναστεύσω.» Τὸ μὲν γὰρ ἐδήλου σαλεύεσθαι μέν, ἀλλ' οὐκ ἐπὶ πλεῖον· ἐνταῦθα δὲ ἄρνησίς ἐστι παντελὴς τοῦ πταίσματος. «Ἐπὶ τῷ Θεῷ τὸ σωτήριόν μου καὶ ἡ δόξα μου, Θεὸς τῆς βοηθείας μου, καὶ ἡ ἐλπίς μου ἐπὶ τῷ Θεῷ.» Καὶ ἐνταῦθα τὸ «Σωτήριον» ὁ Ἰησοῦς τῇ Ἑβραϊκῇ φωνῇ ὠνόμασται, καὶ τοῖς χαρακτῆρσι τοῖς αὐτοῖς ἐγγέγραπται. Ὥσπερ δὲ ὁ θεῖος Ἀπόστολος περὶ τοῦ Σωτῆρος ἡμῶν λέγων ἔγραφε· «Δικαιούμενοι δωρεὰν τῇ αὐτοῦ χάριτι διὰ τῆς ἀπολυτρώσεως τῆς ἐν Χριστῷ Ἰησοῦ· ὃν προέθετο ὁ Θεὸς ἱλαστήριον διὰ πίστεως ἐν τῷ αὐτοῦ αἵματι·[2]» καὶ πάλιν· «Ἐάν τις ἁμάρτῃ, παράκλητον ἔχομεν πρὸς τὸν Θεόν, Ἰησοῦν Χριστὸν δίκαιον· καὶ αὐτός ἐστιν ἱλασμὸς ὑπὲρ τῶν ἁμαρτιῶν ἡμῶν·[3]» τὸν αὐτὸν τρόπον καὶ ἐνταῦθα λέλεκται· Ἐπὶ τῷ Θεῷ τὸ σωτήριόν μου καὶ ἡ δόξα μου, καὶ ἡ βοήθειά μου καὶ ἡ ἐλπίς μου.

---

1. Φιλιπ. 4, 13. 2. Ῥωμ. 3, 24-25. 3. Α' Ἰω. 2, 2.

Ὡς εἰ λευκότερον τὸ σημαινόμενον ἀπὸ τῆς Ἑβραϊκῆς φωνῆς τέθειτο ἐν τῇ ἑρμηνείᾳ, οὕτως ἂν περιεῖχεν· Ἰησοῦς τὸ σωτήριόν μου ἐν τῷ Θεῷ τυγχάνων, καὶ ἐν τοῖς κόλποις τοῦ Πατρός, αὐτός ἐστιν ἡ δόξα μου καὶ ὁ φύλαξ μου, καὶ ὁ Θεὸς τῆς βοηθείας μου, καὶ ἡ ἐλπίς μου ἡ ἐν τῷ Θεῷ. Ταῦτα γὰρ πάντα ὁ τοῦ Θεοῦ Λόγος ἐστὶ τοῖς εἰς αὐτὸν ἐλπίζουσι. Διὸ καὶ κατὰ τὸν Ἀκύλαν εἴρηται· «Ἐπὶ Θεῷ σωτήριόν μου καὶ δόξα μου, στερεὸς κράτους μου, ἐλπίς μου ἐν Θεῷ. Ἐλπίσατε ἐπ' αὐτόν, πᾶσα συναγωγὴ λαῶν· ἐκχέατε ἐνώπιον αὐτοῦ τὰς καρδίας ὑμῶν. Ὁ Θεὸς βοηθὸς ἡμῶν. Διάψαλμα.» Μνημονεύσας τοῦ Σωτηρίου, συνεῖδεν, ὅτι οὐ μόνον αὐτοῦ θεραπευτικὸν ἔσται, κοινὸν δὲ γενήσεται ἀγαθόν· διὸ ἐπ' αὐτὸ συγκαλεῖ τοὺς πάντας, φιλαυτίαν μὲν ἐκτρεπόμενος, φιλανθρωπίαν δὲ καὶ τὴν πρὸς τοὺς πέλας ἀγάπην ἐνδεικνύμενος. Προσκαλεῖται τοίνυν ὡς ἐπὶ σωτήριον λιμένα φάσκων· «Ἐλπίσατε ἐπ' αὐτόν, πᾶσα συναγωγὴ λαῶν·» ἢ κατὰ τὸν Ἀκύλαν, «Ἀμεριμνᾶτε ἐν αὐτῷ ἐν παντὶ καιρῷ, λαός.» Ἀμεριμνῶντας δὲ ἐν αὐτῷ καὶ ἐλπίζοντας, ἐξαπλοῦν προσήκει τοὺς λογισμοὺς καὶ τῆς ψυχῆς ἀπογυμνοῦν αὐτῷ ὥσπερ ἰατρῷ τὰ πάθη. Διὸ ἐπιλέγει· «Ἐκχέατε ἐνώπιον αὐτοῦ τὰς καρδίας ὑμῶν. Ὁ Θεὸς βοηθὸς ἡμῶν.» Ἔχοντες γάρ, φησί, βοηθόν, μηδὲν ὑποστέλλεσθε, μηδέ τι ἐν ταῖς διανοίαις ὑμῶν ὑποκρύπτετε, ἀναπετάσαντες δὲ τὰ ταμιεῖα τῆς ψυχῆς, τοὺς ἐν αὐτῇ κρυπτομένους λογισμοὺς ἀνακαλύπτετε, ὡς ἂν μόνῳ ἀγαθῷ καὶ δυνατῷ τὰ πάντα ἰᾶσθαι ἑαυτοὺς ἐμπιστεύοντες.

Στίχ. ι'. «Πλὴν μάταιοι οἱ υἱοὶ τῶν ἀνθρώπων, ψευδεῖς οἱ υἱοὶ τῶν ἀνθρώπων ἐν ζυγῷ, τοῦ ἀδικῆσαι αὐτοὶ ἐκ ματαιότητος ἐπὶ τὸ αὐτό.»

Καὶ ἐν τῷ λη' ἐλέγετο· «Πλὴν τὰ σύμπαντα ματαιότης, πᾶς ἄνθρωπος ζῶν.[1]» Καὶ πάλιν· «Πλὴν μάτην ταράσσονται·[2]» καί, «Μέντοιγε ἐν εἰκόνι διαπορεύεται ἄνθρωπος.[3]» Κἀνταῦθα συμφώνως ἐκείνοις λέλεκται τὰ προκείμενα· δι' ὧν διδασκόμεθα ἐπὶ μόνον τὸν Σωτῆρα ἐλπίζειν, κἀκεῖνον βοηθὸν ἐπιγράφεσθαι· ἐπειδὴ πάντες οἱ υἱοὶ τῶν ἀνθρώπων, κἂν ἄρχοντες εἶναι δοκοῖεν, κἂν πολλὰ δυνάμενοι κατὰ τὸν βίον, μάταιοι· ἢ κατὰ τὸν Σύμμαχον, «ἀτμός», μετ' ὀλίγον ἐσόμενοι «ὡσεὶ χνοῦς, ὃν ἐκρίπτει ἄνεμος ἀπὸ προσώπου τῆς γῆς.[4]» Ἐντεῦθεν ὁ Σολομὼν ὠφεληθεὶς τὸν πατέρα, «Ματαιότης ματαιοτήτων, τὰ πάντα ματαιότης[5]», καὶ ὅσα τοιαῦτα ἔγραφε. Ψευδεῖς δέ εἰσι κατὰ δύο τρόπους οἱ υἱοὶ τῶν ἀνθρώπων· καθ' ἕνα μὲν ψευδολογοῦντες καὶ μακρὰν τῆς ἀληθείας ἀπερριμμένοι· κατὰ θάτερον δὲ ἀπάταις καὶ ψευδολογίαις πλανῶντες τοὺς πιστεύοντας αὐτοῖς. Διὸ οὐ προσήκει τοῖς τοιούτοις ἑαυτοὺς ἐκδιδόναι· ψεύδεσθαι

---

1. Ψαλμ. 38, 6. 2. Ψαλμ. 38, 12. 3. Ψαλμ. 38, 7. 4. Ψαλμ. 1, 4. 5. Ἐκκλ. 1, 2.

γὰρ εἰώθασι, καὶ οὐκ ἔστιν ἐν αὐτοῖς ἀλήθεια· ἀλλὰ καὶ ζυγοὶ τῆς αὐτῶν ψυχῆς οὐδὲν δίκαιον οὐδὲ ἰσόρροπον περιέχουσιν· ἑτεροκλινεῖς δὲ ὄντες, τἀναντία τῷ δικαίῳ πράττουσι. Τούτοις οὖν τοῖς ἀδίκοις αὐτῶν ζυγοῖς τὴν ματαιότητα περιέπουσι, τὴν ἀλήθειαν καὶ τὸν ταύτης Θεὸν ἀποστρεφόμενοι· διὸ οὐ προσήκει αὐτοῖς ἐμπιστεύειν· μόνον δὲ τὸν λεχθέντα Σωτῆρα βοηθὸν ἐπιγράφεσθαι.

Στίχ. ια'. «Μὴ ἐλπίζετε ἐπὶ ἀδικίαν, καὶ ἐπὶ ἅρπαγμα μὴ ἐπιποθεῖτε· πλοῦτος ἐὰν ῥέῃ, μὴ προστίθεσθε καρδίᾳ.»

Καὶ ἐν τῷ λη' συγγενῶς τούτοις ἐλέγετο· «Πλὴν μάτην ταράσσονται. Θησαυρίζει, καὶ οὐ γινώσκει τίνι συνάξει αὐτά.[1]» Ἐπεὶ τοίνυν ὁ θησαυρίζων ἐπὶ τῆς γῆς, καὶ πολλὰ χρήματα συνάγων, εἰς μάταιον συνάγει· οὔτε γὰρ ἐξ ἅπαντος αὐτὸς αὐτῶν ἀπολαύσει, πταρμοῦ τάχιον τοῦ βίου μεθιστάμενος, οὔτε ὁποῖον ἕξει διάδοχον ἀκριβῶς πέπεισται· τί καὶ θορυβεῖται μάτην; Πολλοὶ γοῦν ἢ καὶ σχεδὸν οἱ πάντες σφᾶς αὐτοὺς ἠπάτησαν, υἱοῖς μὲν καὶ φιλτάτοις τὸν αὐτῶν πλοῦτον καταλιπεῖν προσδοκήσαντες, ἀγνοήσαντες δὲ τὸ μέλλον καὶ ἀστοχήσαντες τοῦ σκοποῦ. Μάτην οὖν ταράττονται ἀληθῶς θησαυρίζοντες, καὶ οὐ γινώσκοντες τίς συνάξει αὐτά. Διὸ προσήκει μὴ ἐλπίζειν ἐπὶ ἀδικίαν καὶ τὰ ἐξ ἀδικίας ποριζόμενα, μηδὲ πλοῦτος ἐὰν ῥέῃ ποταμηδὸν φερόμενος, ἐπαίρεσθαι. Εἰ δὲ προσήκει καὶ διὰ πλούτου ποτὲ ἀγαθήν τινα πορίζεσθαι ἐλπίδα, δικαίῳ χρησάμενοι πλούτῳ τῷ ἐκ Θεοῦ πολλάκις παρεχομένῳ· καὶ ζυγοῖς ὀρθοῖς καὶ ἰσοστασίοις, δεξιαῖς, ὦ οὗτοι, χρήσασθε πράξεσι, θησαυρίζοντες ἑαυτοῖς θησαυροὺς ἐν οὐρανοῖς, καὶ σπείροντες ἐν εὐλογίαις κατὰ τὸ λελεγμένον· «Ἐσκόρπισεν, ἔδωκε τοῖς πένησι, ἡ δικαιοσύνη αὐτοῦ μένει εἰς τὸν αἰῶνα.[2]» Αὕτη γὰρ μόνη ἐλπὶς ἀγαθή· ἄλλως δὲ προσήκει μὴ ἐλπίζειν ἐπὶ ἀδικίαν, μηδὲ ἐπὶ τοῖς ἐξ ἁρπαγῆς καὶ πλεονεξίας συναγομένοις χρήμασι μέγα φρονεῖν· ἀλλὰ καὶ εἰ συμβαίη ποτὲ εὐροεῖν ἡμῖν τὰ πράγματα, καὶ ἀκωλύτως φέρεσθαι πανταχόθεν τὸν πλοῦτον ποταμοῦ δίκην ῥέοντα, καὶ ὅθεν οὐκ ἄν τις ἀδικήσειε, φορᾷ τινι ἀδοκήτῳ φερόμενον, μὴ πάντως ἐκ Θεοῦ τοῦτο γίνεσθαι καὶ νόμιζε, μηδὲ μακάριζε σεαυτὸν ἀπατώμενος τῇ διανοίᾳ καὶ προστιθέμενος ὡς ἀγαθῷ τῷ πλούτῳ. Γίνωσκε δέ, ὅτι ῥευστῆς ὢν φύσεως, ὥσπερ ῥέων φέρεται, οὕτω καὶ ἀπορρεῖ· οὐδὲν δὲ βέβαιον οὐδὲ στερρὸν καὶ ἀσφαλὲς κεκτημένος. Θαυμαστῶς δὲ τῷ τῆς ῥοῆς ὀνόματι κέχρηται, «Πλοῦτος ἐὰν ῥέῃ», φήσας· κατὰ δὲ τὸν Σύμμαχον· «Πλοῦτος», φησίν, «ἐὰν καρποφορῇ, μὴ τάσσετε τὴν καρδίαν.» Ἀλλ' ἐπὶ τίνα δεῖ τάσσειν τὴν καρδίαν καὶ τίνι προστίθεσθαι, εἴρηται πολλάκις ἐν τῷ, «Οὐχὶ τῷ Θεῷ ὑποταγήσεται ἡ ψυχή μου;» καὶ πάλιν· «Πλὴν τῷ Θεῷ ὑποτάγηθι ἡ ψυχή μου· αὐτὸς γὰρ Θεός μου καὶ Σωτήρ μου καὶ ἀντιλήπτωρ μου·» καί, «Ἐλπίσατε ἐπ' αὐτόν, πᾶσα συναγωγὴ

1. Ψαλμ. 38, 7. 2. Ψαλμ. 111, 9.

λαοῦ.» Οὐκοῦν, ἔχοντες τὸν μέγαν πλοῦτον καὶ τὸν ἀληθινὸν θησαυρόν, μὴ ἐλπίσωμεν ἐπὶ τῷ ματαίῳ καὶ ῥευστῷ καὶ ἀδίκῳ πλούτῳ· μάταιοι γὰρ ἀληθῶς πάντες οἱ υἱοὶ τῶν ἀνθρώπων οἱ ἐπὶ τούτῳ πεποιθότες.

Στίχ. ιβ΄, ιγ΄. «Ἅπαξ ἐλάλησεν ὁ Θεός, δύο ταῦτα ἤκουσα· ὅτι τὸ κράτος τοῦ Θεοῦ, καὶ σοί, Κύριε, τὸ ἔλεος· ὅτι σὺ ἀποδώσεις ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ.»

Τοσαῦτα προπαιδεύσας ὁ λόγος, ἀκολούθως τῆς τοῦ Θεοῦ δικαιοκρισίας ὑπομιμνήσκει· ὡς ἄν, ταύτην πρὸ ὀφθαλμῶν θέμενοι, μήτε τῇ ἀδικίᾳ μήτε τοῖς ἁρπάγμασι, μήτε τῷ προσκαίρῳ καὶ τυφλῷ πλούτῳ ἑαυτοὺς ἐπιδίδωμεν. Οὐ γὰρ ἅπαξ μόνον περὶ τῆς κρίσεως ὁ Θεὸς διεστείλατο, ἀλλὰ καὶ δεύτερον. Καὶ ταῦτα, φησίν, αὐτὸς ἐγὼ ἤκουσα ἀκριβῶς, τὸν νοῦν ἐπιστήσας τοῖς δυσὶ τούτοις παραγγέλμασιν. Ἅπαξ γὰρ ἐλάλησεν ὁ Θεός, ἀλλ' ἐγὼ δύο ταῦτα ἤκουσα· ἐλάλησε γὰρ καὶ διὰ προφητῶν, ἐλάλησε καὶ διὰ ἀποστόλων· καὶ τὸν ἕνα λόγον τὸν ἅπαξ ὑπὸ τοῦ Θεοῦ ὁρισθέντα καὶ διὰ παλαιᾶς Διαθήκης καὶ διὰ τῆς καινῆς ἤκουσα. Τίς δὲ ἦν οὗτος, ἀλλ' «Ὅτι τὸ κράτος τοῦ Θεοῦ καὶ σοί, Κύριε, τὸ ἔλεος», καί, «Ὅτι σὺ ἀποδώσεις ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ;» Ἔλεος δέ, φησί, καὶ κράτος· τὸ μὲν κράτος πρὸς τὸ τιμωρεῖσθαι καὶ ταπεινοῦν τοὺς ἀφηνιῶντας, τὸ δὲ ἔλεος πρὸς τὸ σῴζειν τοὺς εἰς αὐτὸν ἠλπικότας. «Ἴδε οὖν χρηστότητα καὶ ἀποτομίαν [1]», φησὶν ὁ Ἀπόστολος· ἐπὶ μὲν τοὺς πεσόντας ἀποτομίαν διὰ τοῦ κράτους, ἐπὶ δὲ σὲ χρηστότης διὰ τοῦ ἐλέους. Ταῦτ' εἰπών, ἄνω τὸ πρόσωπον ἀνατείνας, προσφθέγγεται τῷ Θεῷ λέγων· «Ὅτι σὺ ἀποδώσεις ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ.» Καὶ ὁ Ἀκύλας δὲ τὰ προκείμενα τοῦτον ἡρμήνευσε τὸν τρόπον· «Ἐλάλησεν ὁ Θεός, καὶ δεύτερον ἐπήκουσα· ὅτι ἡ ἰσχὺς τοῦ Θεοῦ, καὶ σοί, Δέσποτα, τὸ ἔλεος. Σὺ δὲ ἀπόδος κατὰ ἄνδρα ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ.»

ΨΑΛΜΟΣ ΤΩ ΔΑΥΙΔ ΕΝ ΤΩ ΕΙΝΑΙ ΑΥΤΟΝ ΕΝ ΤΗ ΕΡΗΜΩ ΤΗΣ ΙΟΥΔΑΙΑΣ ΞΒ΄.

Στίχ. β΄, γ΄. «Ὁ Θεὸς ὁ Θεός μου, πρὸς σὲ ὀρθρίζω.»

Φεύγων ὁ Δαυῒδ παραγίνεται πρὸς Ἀχιμέλεχ τὸν ἱερέα· ἔνθεν πρὸς Ἀχοῦς τὸν βασιλέα Γέθ, κἀκεῖθεν εἰς Μάσσηφα τῆς Μωάβ. Συνὼν δὲ αὐτῷ Γὰδ ὁ προφήτης, παραινεῖ μὴ ποιεῖσθαι παρὰ τοῖς ἀλλοφύλοις τὰς διατριβάς. Διὸ μεταστὰς ἐντεῦθεν, τὴν ἐρημίαν τῆς Ἰουδαίας οἰκεῖ· ὅτε καὶ ἱστορεῖ λέγουσα ἡ Γραφή· «Καὶ ἐκάθισε Δαυῒδ ἐν τῇ ἐρήμῳ Μασσενὲθ ἐν τοῖς στενοῖς· καὶ ἐκάθητο ἐν τῷ ὄρει ἐν τῇ ἐρήμῳ Ζείφ. Καὶ ἐζήτει αὐτὸν Σαοὺλ πάσας τὰς ἡμέρας, καὶ οὐ

1. Ῥωμ. 11, 22.

παρέδωκεν αὐτὸν Κύριος εἰς τὰς χεῖρας αὐτοῦ.[1]» Ἐν τούτοις ὤν, τὸν προκείμενον ψαλμὸν συντάττει, τὸν καιρὸν διὰ τῆς προγραφῆς σημήνας. Διὸ εἴρηται, «Ψαλμὸς τῷ Δαυῒδ, ἐν τῷ εἶναι αὐτὸν ἐν τῇ ἐρήμῳ τῆς Ἰουδαίας.» Εὔλογον δὲ ἐνταῦθα γενομένους ἐπισημήνασθαι πάλιν, ὅτι μὴ κατὰ ἀκολουθίαν τῶν τῆς ἱστορίας χρόνων ἡ τῶν ψαλμῶν σύγκειται τάξις· ἐνήλλακται δὲ παρὰ πολὺ τοῖς χρόνοις. Αὐτίκα γοῦν ἡ μὲν ἱστορία πρώτην περιέχει τὴν διήγησιν καθ' ἣν ἀπέστειλε Σαοὺλ ἀγγέλους εἰς τὸν οἶκον Δαυῒδ, τοῦ θανατῶσαι αὐτόν· ὅτι Μελχὸλ ἡ γυνὴ αὐτοῦ καθῆκεν αὐτὸν διὰ τῆς θυρίδος· ἡ δὲ τῶν ψαλμῶν γραφὴ ἐν τῷ νη´ ταύτης μέμνηται τῆς πράξεως. Εἶθ' ἑξῆς ἡ μὲν Γραφὴ τῶν ἱστοριῶν διδάσκει, ὡς ἔρχεται Δαυῒδ εἰς Νοβᾶ πρὸς Ἀχιμέλεχ τὸν ἱερέα· ἡ δὲ βίβλος τῶν Ψαλμῶν ταύτης μέμνηται τῆς πράξεως ἐν τῷ λγ´ ψαλμῷ. Καὶ πάλιν ἡ μὲν γραφὴ τῶν Βασιλειῶν φησι· «Καὶ ἀπηλλάγη Δαυῒδ ἐντεῦθεν, καὶ ἔρχεται, καὶ διεσώθη εἰς τὸ σπήλαιον τὸ Ὀδολλάμ·[2]» ἡ δὲ βίβλος τῶν Ψαλμῶν ἐν τῷ νς´ μέμνηται τῆς τάξεως. Καὶ αὖθις μετὰ ταῦτα ἡ μὲν γραφὴ τῶν Βασιλειῶν τοῦ Δωὴκ μέμνηται, ὡς διαβέβληκε τῷ Σαοὺλ τὸν ἱερέα Ἀχιμέλεχ· ἡ δὲ βίβλος τῶν Ψαλμῶν ἐν τῷ να´ τοῦτον σημαίνει τὸν χρόνον. Γνοὺς δὲ ὁ Δαυῒδ τὴν τοῦ Δωὴκ διαβολήν, φεύγει καὶ παραγίνεται εἰς τὴν ἔρημον τῆς Ἰουδαίας, ὅτε καὶ συντάττει τὸν μετὰ χεῖρας ψαλμόν. Καὶ ἡ μὲν γραφὴ τῶν Βασιλειῶν μετὰ τὸν χρόνον τοῦ μετὰ χεῖρας ψαλμοῦ, λέγω δὲ τοῦ ξβ´, πράξεών τινων μέμνηται, ὡς οἱ Ζιφαῖοι διαβάλλουσι τῷ Σαοὺλ τὸν Δαυῒδ· ἡ δὲ βίβλος τῶν Ψαλμῶν τούτων μέμνηται ἐν τῷ νγ´, ὃς ἐπιγράφεται, «Εἰς τὸ τέλος ἐν ὕμνοις, συνέσεως τῷ Δαυῒδ, ἐν τῷ ἐλθεῖν τοὺς Ζιφαίους, καὶ εἰπεῖν τῷ Σαούλ· Ἰδοὺ Δαυῒδ κέκρυπται παρ' ἡμῖν.» Καὶ ὁ νε´ ἐπιγέγραπται· «Ὅτε ἐκράτησαν αὐτὸν οἱ ἀλλόφυλοι ἐν Γέθ.» Τοῦτο δὲ ἡ τῶν Βασιλειῶν γραφὴ ἐν ὑστέροις τίθησι τῆς ἱστορίας. Ὁρᾷς ὅπως τὰ πρῶτα ὕστερα, καὶ τὰ ὕστερα πρῶτα τέτακται; ὡς εἰ κατὰ ἀκολουθίαν τῶν χρόνων τέθειτο, πρῶτος ἂν τέτακτο ὁ νη´, ἑξῆς τούτῳ ὁ λγ´, καὶ τρίτος καὶ μετὰ τούτων ὁ νς´, καὶ τούτοις τέταρτος ὁ να´, εἶτ' ἀκολούθως πέμπτος ὁ ξβ´, καὶ ἕκτος ὁ νγ´, καὶ μετὰ πάντας τούτους ὁ νε´. Μετὰ δὲ τὸν θάνατον τοῦ Σαοὺλ πρῶτον ψάλλει τὸν νθ´, ἡνίκα ἐπάταξεν Ἰωὰβ τὴν φάραγγα τῶν Ἁλῶν, καὶ ὑποχειρίους εἷλε τοὺς Μωὰβ ιβ´ χιλιάδας. Τὸν δὲ ν´· μετὰ ταῦτα, ὅτε ἦλθε πρὸς αὐτὸν Ναθὰν ὁ προφήτης, ἡνίκα καὶ εἰσῆλθε πρὸς Βηθσαβεέ. Εἶτα τὸν τρίτον συντάττει, ὅτε ἀπεδίδρασκεν ἀπὸ προσώπου Ἀβεσσαλὼμ τοῦ υἱοῦ αὐτοῦ· καὶ μετὰ ταῦτα τὸν ζ´ ὑπὲρ τῶν λόγων Χουσὶ υἱοῦ Ἰεμινεί. Τίς οὖν οὐκ ἂν τὴν τούτων ζητήσειεν αἰτίαν; Οὐ γὰρ ἔχει λόγον τὸ μὴ διά τινας ἀναγκαίας ὑποθέσεις ταῦτα τοῦτον διατετάχθαι τὸν τρόπον. Ἄλλος μὲν οὖν τοὺς ἀριθμοὺς αὐτοὺς οἰήσεται ἔχειν τινὰ δύναμιν· διὸ καταλ-

1. Α' Βασ. 23, 14. 15. 2. Α' Βασ. 22, 1.

λήλως ἑκάστῳ ἀριθμῷ ἐφηρμόσθαι τὴν διάνοιαν τῶν ἐμφερομένων λόγων· οἷον ὡς ἐπὶ παραδείγματος ὁ ν′ ἀριθμὸς τὸν περὶ ἀφέσεως ἁμαρτημάτων λόγον περιέχει διὰ τὴν ἐν τῷ νόμῳ φερομένην πεντηκονταετηρίδα, ἣν Ἰωβηλαῖον παῖδες Ἑβραίων ἐκάλουν, ἐν ᾧ ἀφέσεις καὶ συγχωρήσεις ἐγένοντο τοῖς χρεωφειλέταις, ἐλευθερία τε οἰκέταις, καὶ ἄλλα τινὰ τοιαῦτα πράττειν νενομοθέτητο. Τούτου χάριν τὴν ἐξομολόγησιν τοῦ πλημμελήματος ὑπὲρ συγχωρήσεως καὶ ἀφέσεως ἁμαρτιῶν τῷ ν′ ψαλμῷ ἐφήρμοσεν. Οὕτως οὖν καὶ ἐφ' ἑκάστῳ ψαλμῷ κατά τινας λόγους τῇ τῶν ἀριθμῶν δυνάμει τὰς οἰκείας διανοίας εἴποι ἂν ἐφηρμόσθαι. Ἀλλ' ὁ ταῦτα λέγων οὔ μοι δοκεῖ τυγχάνειν τοῦ σκοποῦ· πρῶτον μὲν ὅτι οὐδὲ ὅλως ἀριθμός τις ἐν τῇ Ἑβραϊκῇ βίβλῳ τῶν Ψαλμῶν φέρεται· ἄνευ δὲ τῆς τοῦ ἀριθμοῦ προσθήκης ἀνεγράφησαν· εἶθ' ὅτι διαφόρως οἱ μὲν εἰσὶ συνημμένοι, οἱ δὲ διῃρημένοι. Αὐτίκα γοῦν ὁ πρῶτος καὶ ὁ δεύτερος κατὰ τὴν ἀρχὴν τῆς βίβλου συνημμένοι εἰσὶ κατὰ τὸ Ἑβραϊκόν· καὶ πάλιν ὁ θ′ συνημμένος παρ' ἡμῖν ἐν τῷ Ἑβραϊκῷ διῄρηται εἰς δύο. Καὶ πᾶσα δὲ ἡ τῶν Ψαλμῶν βίβλος εἰς μέρη ε′ διῄρηται, καθὼς ἤδη πρότερον εἴρηται. Ὧν οὕτως ἐχόντων, σχολάζοι ἂν ἡ προλεχθεῖσα τῶν ἀριθμῶν θεωρία. Ποῖον δὲ καὶ λόγον εἴποι ἄν τις ἔχειν, φέρ' εἰπεῖν, τοῦ μετὰ χεῖρας ψαλμοῦ, λέγω δὲ τοῦ ξβ′, τὴν διάνοιαν πρὸς τὸν τοιόνδε ἀριθμὸν ἐφαρμόττειν, ἢ τῶν ἐφ' ἑκάστῳ τῶν ρν′ ἀριθμῶν ἴδιον ἀφορίζεσθαι νοῦν προσήκοντα τῷ τοιῷδε, ἢ τῷ τοιῷδε ἀριθμῷ; ἀλλὰ ταῦτα μὲν ὅπῃ τις ἐθέλοι παραδεχέσθω. Ἐγὼ δὲ ἡγοῦμαι τῆς τῶν ἐγγεγραμμένων διανοίας ἕνεκεν ἐφεξῆς ἀλλήλων τοὺς ψαλμοὺς κεῖσθαι κατὰ τὸ πλεῖστον, οὕτως ἐν πολλοῖς ἐπιτηρήσας καὶ εὑρών· διὸ καὶ συνῆφθαι αὐτοὺς ὡσανεὶ συγγένειαν ἔχοντας καὶ ἀκολουθίαν πρὸς ἀλλήλους. Ἔνθεν μὴ κατὰ τοὺς χρόνους ἐμφέρεσθαι, ἀλλὰ κατὰ τὴν τῆς διανοίας ἀκολουθίαν. Δέδεικται δὲ τοῦτο ἤδη πρότερον καὶ ἀπὸ πλειόνων μὲν ἑτέρων, μάλιστα δὲ ἀπὸ τοῦ μα′ μέχρι τοῦ ν′, ἐν οἷς ἀποδεικτικῶς παρεστήσαμεν τοὺς μὲν ἐπιγεγραμμένους τῶν υἱῶν Κορὲ πολλὴν σῴζειν ἀκολουθίαν πρὸς τὸν νοῦν τὸν ἐξ αὐτῶν δηλούμενον· ἐφεξῆς δὲ τούτοις κείμενον τὸν τοῦ Ἀσὰφ καὶ πάλιν τούτων συνημμένην τοῦ Δαυῒδ τὴν ἐξομολόγησιν τὴν ἐν τῷ ν′ φερομένην, ἀβίαστον τὴν ἀποδοθεῖσαν ἡμῖν θεωρίαν παρέχειν. Μία μὲν οὖν αὕτη ἡ αἰτία, ὡς ἐμοὶ δοκεῖ, τῆς ἀκολουθίας γένοιτ' ἂν τῶν ψαλμῶν· ἔχω δὲ καὶ ἄλλην εἰπεῖν. Πολλῆς γὰρ εἰδωλολατρείας κατακρατησάσης τοῦ Ἰουδαίων ἔθνους, λήθην αὐτοὺς πεποιῆσθαι τῶν πατρίων γραφῶν ἡ τῶν Βασιλειῶν ἱστορία διδάσκει· ὡς μηδὲ φαίνεσθαι βίβλον τοῦ Μωϋσέως νόμου, μηδὲ μνήμην τῆς τῶν πατέρων εὐσεβείας σῴζεσθαι παρ' αὐτοῖς. Οὕτω γοῦν καὶ τοὺς προφήτας ἀνῄρουν διελέγχοντας αὐτῶν τὰς δυσσεβείας, καὶ τούτων ἕνεκα τὸ πρῶτον τῇ τῶν Ἀσσυρίων παρεδόθησαν αἰχμαλωσίᾳ. Οὐδὲν οὖν θαυμαστὸν ἐν τοιαύτῃ καταστάσει καιρῶν, καὶ τὰ ἐμφερόμενα τῇ βίβλῳ τῶν Ψαλμῶν

διαπεπτωκέναι, λήθη τε μακροῖς παραδεδόσθαι χρόνοις. Μετὰ δὲ ταῦτα εἴτε Ἔσδραν, εἴτε τινὰ ἕτερον προφητῶν, περὶ τὴν συναγωγὴν αὐτῶν ἐσπουδακέναι, μετά τε τῶν λοιπῶν καὶ τὴν βίβλον τῶν Ψαλμῶν συναγηοχέναι, οὐκ ἀθρόως εὑρόντα τοὺς πάντας, ἀλλὰ κατὰ διαφόρους χρόνους. Κατατάττειν δὲ ἐν πρώτοις τοὺς πρώτους εὑρισκομένους· διὸ μηδὲ τοῦ Δαυῒδ ἐφεξῆς κεῖσθαι τοὺς πάντας· ἐν δὲ τῷ μεταξὺ καὶ τῶν υἱῶν Κορέ, καὶ τοῦ Ἀσάφ, καὶ Σολομῶνος καὶ Μωϋσέως, Αἰθάν τε καὶ Αἰμάν, καὶ πάλιν τοῦ Δαυῒδ εὑρίσκεσθαι ἀναμὶξ ἐν τῇ βίβλῳ κατατεταγμένους, οὐ καθ' οὓς ἐλέχθησαν χρόνους, ἀλλὰ καθ' οὓς εὕρηνται. Ἔνθεν συμβῆναι τοὺς τοῖς χρόνοις ὑστέρους πρώτους εὑρεθέντας ἀναληφθῆναι πρώτους, καὶ τοὺς τοῖς χρόνοις προτέρους, μετὰ ταῦτα εὑρημένους, ἐν δευτέρᾳ καταταγῆναι χώρᾳ. Ταῦτα μὲν οὖν ἡμῖν εἰς τὴν προταθεῖσαν ζήτησιν ἐξ εἰκότων εἰρήσθω. Ἤδη δὲ καὶ τῶν ἐμφερομένων ἐν τῷ μετὰ χεῖρας ψαλμῷ ἐφάψασθαι καιρός.

Πλανώμενος Δαυῒδ ὁμοίως τοῖς λοιποῖς προφήταις ἐν ἐρημίαις καὶ ὄρεσι, καὶ σπηλαίοις, καὶ ταῖς ὀπαῖς τῆς γῆς, τοῖς τε τῆς ἀνεξικακίας πόνοις ἐγγυμναζόμενος, καὶ τὸν μετὰ χεῖρας ᾖδε ψαλμόν, τῇ κατὰ Θεὸν ἀνατιθεὶς φιλοσοφίᾳ τὴν ἐπὶ τῆς ἐρήμου σχολήν· καὶ τὸν ἑαυτοῦ περὶ τὰ θεῖα ἔρωτα διεγείρων, ὁμολογεῖται διψῆν τοῦ τῆς ἀθανασίας πόματος· διὸ ἐβόα πρὸς τὸν Θεὸν λέγων· «Ὁ Θεὸς ὁ Θεός μου, πρὸς σὲ ὀρθρίζω. Ἐδίψησέ σοι ἡ ψυχή μου, πῶς ἁπλῶς σοι ἡ σάρξ μου.» Ἀντὶ δὲ τοῦ, «πῶς ἁπλῶς σοι ἡ σάρξ μου», ὁ μὲν Ἀκύλας, «ἐπετάθη σοι ἡ σάρξ μου», ἡρμήνευσεν· ὁ δὲ Σύμμαχος, «Ἱμείρεταί σε ἡ σάρξ μου·» ὥστε οὐχ ἡ ψυχὴ μόνη τοῦ Δαυῒδ πρὸς τὸν Θεὸν τέτατο, ἀλλὰ καὶ αὐτὴ ἡ σὰρξ καὶ τὸ σῶμα αὐτοῦ, ἁγνεύοντος δηλαδὴ καὶ καθαρεύοντος διὰ τὸ τῷ Θεῷ σχολάζειν. Καὶ τὸ λέγειν δέ, «Ὁ Θεὸς ὁ Θεός μου, πρὸς σὲ ὀρθρίζω», παραστατικὸν ἦν τῆς νυκτερινῆς καθαρότητος. Οὐδεὶς γὰρ ἐν κοίταις καὶ ἀσελγείαις ῥυπάνας ἑαυτοῦ τὴν ψυχήν, καὶ τὸ σῶμα μιαρὸς ὢν καὶ ἀκάθαρτος, οἷός τ' ἂν εἴη τὰς τοιαύτας προσίεσθαι φωνάς. Πλὴν ὁ μέγας Δαυῒδ πεπαρρησιασμένῃ συνειδήσει οὐχ ἁπλῶς τὸν Θεὸν ἀνεκαλεῖτο, λέγων, «Ὁ Θεός·» δεύτερον δὲ ὡς ἑαυτοῦ ἴδιον ὄντα ἐπεγράφετο· διὸ προστίθησι φάσκων· «Ὁ Θεός μου.» Εἶτ' ἐπειδήπερ ἑαυτοῦ Θεὸν ἀναγορεῦσαι αὐτὸν τετόλμηκε, τῆς τόλμης τὴν αἰτίαν διδάσκει λέγων, «Πρὸς σὲ ὀρθρίζω. Ἐδίψησέ σοι ἡ ψυχή μου, πῶς ἁπλῶς σοι ἡ σάρξ μου.» Διὰ ταῦτα γὰρ Θεόν μου προσεῖπον, ἐπειδήπερ οὐδενὸς τῶν ἐπιγείων, ἀλλ' οὐδὲ τῶν ὀφθαλμοῖς σαρκὸς ὁρωμένων περιέλκει με πόθος. Ὥσπερ δὲ ὁ Ἀπόστολος, «Ζῶ», φησίν, «οὐκέτι ἐγώ· ζῇ δὲ ἐν ἐμοὶ Χριστός·[1]» τοιαύτῃ διανοίᾳ καὶ Δαυῒδ τῷ Θεῷ ἔλεγε· «Πρὸς σὲ ὀρθρίζω. Ἐδίψησέ σοι ἡ ψυχή μου.» Ὡσεὶ καὶ χώρα τις, μὴ τυ-

---

1. Γαλ. 2, 20.

χοῦσα τοῦ συνήθους ὑετοῦ, διψῆν λέγοιτο τούτου· τὸν αὐτὸν δὲ τρόπον ἐδίψησέ σοι, ἢ ἱμείρεταί σε πρὸς τῇ ψυχῇ μου καὶ αὐτὴ ἡ σάρξ μου, πολυπλάσιον ὡς διψῶσα. Ὥσπερ γὰρ φυσικοῖς λόγοις τὴν γῆν αὐτήν φαμεν διψῆν ὕδατος, οὕτω καὶ ἡ σάρξ μου ἐδίψησέ σοι, φησί· διὸ ἐπιφέρει· «Ἐν γῇ ἐρήμῳ καὶ ἀβάτῳ, καὶ ἀνύδρῳ», ἢ κατὰ τὸν Σύμμαχον· «Ὡς ἐν γῇ διψάδι καὶ ἐκλύσει μὴ ὑπάρχοντος ὕδατος.» Δύναται δὲ καὶ τὴν ἔρημον αὐτὴν σημαίνειν διὰ τούτων, ἐν ᾗ φεύγων τὸν Σαοὺλ τὰς διατριβὰς ἐποιεῖτο. Πάντως γάρ που ἐν ταύτῃ τυγχάνων καὶ μακρὰν ἀπῳκισμένος τῆς κιβωτοῦ τοῦ Θεοῦ καὶ τῆς τοῦ ἁγιάσματος σκηνῆς, ἐν ᾗ τὰς κατὰ νόμον ἐποιοῦντο λατρείας, τούτων ἐπόθει τὴν θέαν. Ὥσπερ δὲ γῆ διψῶσα ὕδατος ὀρέγεται, οὕτω, φησί, καὶ ἡ ἐμὴ ψυχὴ τὰ σοὶ τῷ Θεῷ ἀρεστὰ καὶ φίλα διψεῖ· ὡς ἐκλείπειν καὶ ἐκτήκεσθαι, εἰ μὴ μεταλάβοι τῆς παρὰ σοὶ πηγῆς· περὶ ἧς εἴρηται. «Ὅτι παρὰ σοὶ πηγὴ ζωῆς.[1] Διὸ ἐδίψησέ σοι ἡ ψυχή μου.» Ἐδίψησε δὲ πῶς, ἑρμηνεύει λέγων ἑξῆς· «Οὕτως ἐν τῷ ἁγίῳ ὤφθην σοι», ὡσεὶ ἔλεγε τοῦτο· Ἐδίψησεν ἡ ψυχή μου τὸ ὀφθῆναί σοι ἐν τῷ σῷ ἁγιάσματι, «τοῦ ἰδεῖν τὴν δύναμίν σου καὶ τὴν δόξαν σου.» Τοιοῦτον δέ ἐστι καὶ τὸ διὰ τῶν ἔμπροσθεν εἰρημένον· «Ἐδίψησεν ἡ ψυχή μου πρὸς τὸν Θεὸν τὸν ἰσχυρὸν τὸν ζῶντα, πότε ἥξω καὶ ὀφθήσομαι τῷ προσώπῳ τοῦ Θεοῦ.[2]» Γενόμενος γὰρ ἐν τῷ ἁγίῳ σου, περὶ οὗ εἴρηται ἐν ἑτέρῳ, «Ἅπαξ ὤμοσα ἐν τῷ ἁγίῳ μου[3]», πρῶτον μὲν αὐτὸς ὀφθήσομαί σοι, δοκιμασθησόμενος εἰ ἄξιος εἴην τῆς σῆς θέας. Εἶτα ἄξιος ὀφθείς, ὄψομαι τὴν δύναμίν σου καὶ τὴν δόξαν σου· ὧν ἀδύνατόν ἐστιν εἰς θεωρίαν ἐλθεῖν, μὴ οὐχὶ πρότερον ἐν τῷ ἁγίῳ γενόμενον, καὶ πρῶτον ὀφθέντα ἄξιον τῶν τοῦ Θεοῦ ἀγαθῶν. Μετὰ γὰρ ταῦτα ὄψεταί τις, ὡς ἂν ἤδη δεδοκιμασμένος, τὴν δύναμιν τοῦ Θεοῦ καὶ τὴν δόξαν αὐτοῦ. Καὶ τέλος τῶν ἀγαθῶν τοῦτ' ἂν εἴη τὸ ἐν θεωρίᾳ τούτων γενέσθαι· διὸ λέλεκται· «Μακάριοι οἱ καθαροὶ τῇ καρδίᾳ, ὅτι αὐτοὶ τὸν Θεὸν ὄψονται.[4]» Τοῦτο οὖν ἐδίψησεν ἡ ψυχὴ τοῦ Δαυῒδ· διὸ ἔλεγεν· «Ὁ Θεὸς ὁ Θεός μου, πρὸς σὲ ὀρθρίζω. Ἐδίψησέ σοι ἡ ψυχή μου.»

Στίχ. δ'-ς'. «Ὅτι κρεῖσσον τὸ ἔλεός σου ὑπὲρ ζωάς, τὰ χείλη μου ἐπαινέσουσί σε.»

Ὁ τὴν φύσιν τοῦ θνητοῦ βίου κατανοήσας, καὶ τὴν πρόσκαιρον ζωὴν ὅση τίς ἐστι καὶ ὁποία ἐξητακώς, ἀποστρέφεται μὲν ταῦτα ὡς μικρὰ καὶ οὐδενὸς λόγου ἄξια· ὅλος δὲ τῆς ἄνω ἐλπίδος γενόμενος, ἐκείνης τυχεῖν εὔχεται, ἐλέῳ Θεοῦ χορηγουμένης. Οὐ γὰρ δὴ κατὰ ὀφειλήν, οὐδὲ κατ' ἀξίαν τῆς ἑαυτοῦ δικαιοσύνης τεύξεταί τις τῶν ἐπουρανίων. Διόπερ ἀλλαχοῦ που εἴρηται· «Τί γάρ μοι ὑπάρχει ἐν τῷ οὐρανῷ;[5]» τὸ δὲ πᾶν ἐλέῳ Θεοῦ καὶ φιλανθρωπίᾳ δωρεῖται, τοῖς σμικρὰ κατωρ-

1. Ψαλμ. 35, 10. 2. Ψαλμ. 41, 3. 3. Ψαλμ. 88, 36. 4. Ματθ. 5, 8. 5. Ψαλμ. 72, 25.

θωκόσι τὰ μεγάλα χαριζομένου. Ὃ δὴ σημαίνει ὁ παρὼν λόγος φάσκων· «Ὅτι κρεῖσσον τὸ ἔλεός σου ὑπὲρ ζωάς.» Κἂν γὰρ μακρόβιος καὶ μακροχρόνιος ἐπὶ τοῦ παρόντος γένηταί τις, ὥσπερ πολλὰς ζωὰς ἐν πολλαῖς ἐτῶν περιόδοις κτησάμενος· ἀλλ' οὐδέν ἐστι ταῦτα συγκρινόμενα πρὸς τὸ ἔλεος τοῦ Θεοῦ, τὸ τῆς αἰωνίου ζωῆς καὶ τῶν ἐπουρανίων ἀγαθῶν αἴτιον. Διόπερ καὶ τῷ σῷ ἐλέῳ ἐπιθαρσήσας, πᾶσάν μου τὴν παροῦσαν ζωήν σοι ἀναθήσω, ὥσπερ τινὰ τίμια ἀναθήματα, καὶ πολυτελῆ κειμήλια τὰ μέλη μου καὶ τὰ αἰσθητήρια τῇ σῇ ἀφορίσας λειτουργίᾳ. Διὸ τὰ μὲν χείλη μου οὐδὲν ἕτερον λαλήσει, ἁγνεύσει δὲ καὶ καθαρὰ φυλαχθήσεται, εἰς τὸ σχολάζειν τοῖς σοῖς ὕμνοις καὶ λόγοις· ἡ δὲ ζωή μου αὕτη περὶ τὸ εὐλογεῖν σε πάντοτε νύκτωρ καὶ μεθ' ἡμέραν ἀσχοληθήσεται· καὶ τὰς χεῖρας δὲ τοῦ σώματός μου, τάς τε διὰ τούτων ἐπιτελουμένας πράξεις, ἐν τῷ ὀνόματί σου ἀρῶ μετεωρίζων εἰς ὕψος, καὶ σοὶ καθαρὰς πάσης παρανόμου πράξεως ἐπιδεικνὺς αὐτὰς κατὰ τὸν φήσαντα· «Βούλομαι τοὺς ἄνδρας προσεύχεσθαι ἐπαίροντας ὁσίους χεῖρας χωρὶς ὀργῆς καὶ διαλογισμῶν.[1]» Οὕτως δὲ τὰ χείλη μου καὶ αἱ χεῖρες ἀφορισθήσονταί σοι, ὡς τὰ μὲν χείλη θυμιάματος εὐώδους τὸ μηθὲν διαφέρειν, τὰς δὲ χεῖρας θυσίας ἐνεργοῦς καὶ ἀληθινῆς μὴ λείπεσθαι· ὡς εἰπεῖν με εὐκαίρως περὶ μὲν τῶν χειλέων μου τό, «Γενηθήτω ἡ προσευχή μου ὡς θυμίαμα ἐνώπιόν σου·[2]» περὶ δὲ τῶν πράξεών μου τό, «Ἔπαρσις τῶν χειρῶν μου θυσία ἑσπερινή.[3]» Καὶ ἡ μὲν σὰρξ καὶ τὸ σῶμα οὕτως ἀνατεθήσεται τῇ σῇ λειτουργίᾳ· ἡ δὲ ψυχή μου πλείονος μεθέξει δυνάμεως· διὸ καὶ περὶ αὐτῆς φημι· «Ὡσεὶ στέατος καὶ πιότητος ἐμπλησθείη ἡ ψυχή μου.» Οὐκέτι γὰρ ὁμοίως τῷ σώματι καὶ ἡ ψυχὴ χείλεσιν οὐδὲ χερσίν, οὐδὲ κατά τι μέρος ἢ μέλος ἕτερον, ὅλη δὲ αὕτη καθ' ἑαυτὴν ὑπὲρ πᾶσαν ὁλόκαυτον θυσίαν, καὶ ὑπὲρ πᾶν ζῷον εὐτραφὲς πιότητος καὶ στέατος γέμον, σοὶ τῷ Θεῷ προσενεχθήσεται, μόσχου καὶ ταύρου, καὶ παντὸς ἀλόγου ζῴου τιμιωτέρα παρὰ σοὶ λελογισμένη. Διὸ καὶ ταύτην σοι πιοτάτην καί σοι προσφιλῆ θυσίαν, λέγω δὲ τὴν ἐμαυτοῦ ψυχήν, ἀναθήσω. Ἐπὶ τούτοις τε χάριτας ὁμολογῶν ὅλῳ τῷ στόματι καὶ αὐτοῖς χείλεσι χαρᾶς πεπληρωμένοις ἀνυμνήσω σε· διό φημι· «Καὶ χείλη ἀγαλλιάσεως αἰνέσει τὸ στόμα μου·» ἢ κατὰ τὸν Σύμμαχον· «Καὶ διὰ χειλέων εὐφήμων ὑμνήσει τὸ στόμα μου.»

Στίχ. ζ'-θ'. «Εἰ ἐμνημόνευόν σου ἐπὶ τῆς στρωμνῆς μου, ἐν τοῖς ὄρθροις ἐμελέτων εἰς σέ, ὅτι ἐγενήθης βοηθός μου. Καὶ ἐν τῇ σκέπῃ τῶν πτερύγων σου ἀγαλλιάσομαι, ἐκολλήθη ἡ ψυχή μου ὀπίσω σου, ἐμοῦ δὲ ἀντελάβετο ἡ δεξιά σου.»

Ἐν τῇ ἐρήμῳ τῆς Ἰουδαίας διατρίβων ὁ θαυμάσιος Δαυίδ, οὐ ζῷα θύειν ἐπαγγέλλεται, οὐδὲ τὰς ἐξ ἀλόγων θρεμμάτων θυσίας,

---

1. Α' Τιμ. 2, 8. 2. Ψαλμ. 140, 2. 3. Ψαλμ. 140, 2.

τὰς δὲ προλεχθείσας διὰ λόγων καὶ πράξεων, καὶ ψυχῆς αὐτῆς. Εἶτ' ἐπὶ τούτοις τῷ Θεῷ δείκνυσιν ὅπως ἀνέκειτο σωφροσύνῃ καὶ παντελεῖ ἁγνείᾳ· διό φησιν· «Εἰ ἐμνημόνευόν σου ἐπὶ τῆς στρωμνῆς μου, ἐν τοῖς ὄρθροις ἐμελέτων εἰ σέ·» ἢ κατὰ τὸν Σύμμαχον· «Ἀναμιμνησκόμενός σου ἐπὶ τῆς στρωμνῆς μου, καθ' ἑκάστην φυλακὴν ἐμελέτων σε.» Οὐ γὰρ ἄλλως, φησίν, οἷός τε ἤμην πρὸς σὲ ὀρθρίζειν, οὐδὲ λέγειν εὐχόμενος· «Ὁ Θεὸς ὁ Θεός μου, πρὸς σὲ ὀρθρίζω», εἰ μὴ καθαρὰν ἐκεκτήμην τὴν στρωμνήν. Ἐγινώσκετο δέ μου ἡ καθαρότης οὐκ ἄλλοθεν ἢ ἀπὸ τοῦ κατὰ τὸν ὄρθρον τὰ σὰ μελετᾶν λόγια. Δῆλον γὰρ ἦν ἐκ τούτου μηδ' ἄλλο τι πράττειν με τὰς νύκτας, ἢ σὲ τὸν Θεὸν πρὸ ὀφθαλμῶν ἔχειν. Κατὰ δὲ τὸν Σύμμαχον λέγοντα, «καθ' ἑκάστην φυλακὴν ἐμελέτων σε», καὶ κατὰ τὸν Ἀκύλαν φήσαντα, «ἐν φυλακαῖς φθέγγομαι ἐν σοί», δηλοῦν ἔοικε τὰς νυκτερινὰς ὥρας ἀσκεῖσθαι ταῖς τῶν θείων Γραφῶν μελέταις. Διήρηται μὲν γὰρ ὁ πᾶς τῆς νυκτὸς χρόνος εἰς φυλακὰς διαφόρους· οὕτω γοῦν εἴρηται ἐν εὐαγγελίοις τετάρτῃ φυλακῇ ἐληλυθὼς ὁ Σωτὴρ πρὸς τοὺς μαθητάς. Καὶ ἀλλαχοῦ δὲ αὐτός φησι· «Γρηγορεῖτε, ὅτι οὐκ οἴδατε ποίᾳ φυλακῇ ὁ Κύριος ὑμῶν ἔρχεται·[1]» καὶ πάλιν· «Ἐκεῖνο δὲ γινώσκετε, ὅτι, εἰ ᾔδει ὁ οἰκοδεσπότης ποίᾳ φυλακῇ ὁ κλέπτης ἔρχεται.[2]» Ὁ δέ γε θεοφιλὴς καὶ τῷ Θεῷ ἀνακείμενος, ἀναμιμνησκόμενος ἐπὶ τῆς ἑαυτοῦ στρωμνῆς τοῦ Θεοῦ, ἄσπιλόν τε αὐτὴν καὶ ἁγνήν, καὶ ἀμίαντον φυλάττων, καθ' ἑκάστην φυλακὴν τῆς νυκτὸς ἀνιστάμενος, εὐχαῖς προσεῖχε, καὶ τοῖς θείοις ἐνησκεῖτο μαθήμασιν· ὃ δὴ διδάσκων κατὰ τὸν Σύμμαχον ἔλεγεν· «Ἀναμιμνησκόμενός σου ἐπὶ τῆς στρωμνῆς μου, καθ' ἑκάστην φυλακὴν ἐμελέτων.» Εἰς σὲ γὰρ αὐτὸν ἐμελέτων τὸν Θεὸν ἀντὶ πάσης βίβλου καὶ γραφῆς, ἄνω πρὸς σὲ τὸν νοῦν τεταμένος, μελετῶν τε καὶ ἀναμιμνησκόμενος ὅσων ἠξιώθην ὑπὸ σοῦ εὐεργεσιῶν, καὶ ὡς γέγονάς μου πάντοτε βοηθός, καὶ ἐκ μυρίων με πειρασμῶν διέσωσας, καὶ ὡς ἐκσπάσας με ταῖς σαυτοῦ πτέρυξι, δηλαδὴ ταῖς δυνάμεσι τῆς σαυτοῦ προνοίας· ἅτινα ἀναπεμπαζόμενος τῇ μνήμῃ, χαρᾶς ἐπληρούμην, ἢ ἀνηυφήμουν σε τὸν Θεὸν κατὰ τὸν Σύμμαχον φήσαντα, «καὶ σκεπόμενος ἐν ταῖς πτέρυξί σου ἀνηυφήμουν». Μελετῶν δὲ τὰ σὰ λόγια καθ' ἑκάστην φυλακὴν τῆς νυκτός, κἄπειτα ἀκούσας τοῦ φήσαντος θείου νόμου· «Ὀπίσω Κυρίου τοῦ Θεοῦ σου πορεύσῃ», καὶ πρὸς αὐτὸν «κολληθείς, ἢ διατεθεὶς τὴν ψυχὴν πειθήνιος γέγονα τῷ νόμῳ, ὅλος τε εἰχόμην τοῦ πράγματος, πάντα τε ἡγησάμενος, μᾶλλον δὲ ἀποστραφεὶς τὰ μετὰ τὸν Θεὸν πάντα, ἀνώτερος καὶ ὑψηλότερος τῷ πόθῳ τῆς ψυχῆς κατέστην, καὶ σοὶ τῷ Θεῷ μου συνήφθην, ὡς εἰπεῖν μὴ ψευσάμενον· «Ἐκολλήθη ἡ ψυχή μου ὀπίσω σου.» Εἰς τοσαύτην δὲ ἤλασα προκοπὴν καὶ εἰς τοσοῦτον μέγεθος ἀρετῆς προῆλθον, οὐκ ἐμαυτοῦ δυνάμει χρησάμενος, ἀλλὰ τῇ σῇ δεσποτείᾳ·

1. Ματθ. 24, 42. 2. Ματθ. 24, 43.

σὺ γὰρ αὐτὸς τῷ σῷ ἐλέῳ τοῦτό μοι ἐδωρήσω. Ὁρῶν γάρ μου τὸν περὶ σὲ πόθον καὶ ἀποδεξάμενος αὐτόν, κατηξίωσας τὴν σαυτοῦ δεξιὰν ἐκτείνας ἐπιλαβέσθαι μου καὶ ἀνελκῦσαι ἄνω πρὸς ἑαυτόν· διὰ τοῦτο γὰρ δεδύνηται ἡ ψυχή μου ὑπὸ σοῦ βοηθηθεῖσα κολληθῆναι ὀπίσω σου· ἐπειδήπερ «ἐμοῦ ἀντελάβετο ἡ δεξιά σου.» Οὐ γὰρ ἂν ἄλλως ἐφικνούμην τοῦ τοσούτου ὕψους, εἰ μὴ ἀντελάβετό μου ἡ δεξιά σου. Διδάσκει δὲ ὁ Ἀπόστολος πῶς τις κολλᾶται τῷ Κυρίῳ, λέγων· «Ὁ κολλώμενος τῷ Κυρίῳ ἓν πνεῦμά ἐστιν· ὡς καὶ ὁ κολλώμενος τῇ πόρνῃ ἓν σῶμά ἐστι.[1]» Λέγων δὲ Δαυῒδ τῷ Κυρίῳ· «Ἐκολλήθη ἡ ψυχή μου ὀπίσω σου», δῆλος ἦν καὶ ἐκ τούτου ἁγνείᾳ καὶ καθαρότητι σχολάζων.

Στίχ. ι΄-ιβ΄. «Αὐτοὶ δὲ εἰς μάτην ἐζήτησαν τὴν ψυχήν μου».

Ἐγὼ μέν, φησί, σοὶ τῷ ἐμαυτοῦ Σωτῆρι προσεῖχον, καὶ σοὶ τὴν ἐμὴν ψυχὴν συνῆπτον, τοῖς τε σοῖς ἐμελέτων λόγοις, ἐν φυγῇ τυγχάνων, καὶ ἐν ἐρημίαις ποιούμενος τὰς διατριβάς. Οὐ γὰρ ἠμυνόμην τοὺς ἐλαύνοντάς με, ἀλλ' οὐδὲ σοὶ τῷ Θεῷ σχολάζων εὐχὰς κατὰ τῶν ἐχθρῶν ἀνέπεμπον· σοὶ δὲ μόνῳ προσεῖχον, ὡς ἔφην. Οἱ δὲ οὐ διέλειπον ματαίαν σπουδὴν κατὰ τῆς ψυχῆς μου ποιούμενοι· εἰς μάταιον γὰρ ἐζήτουν αὐτήν, ἀνεύρετον αὐτοῖς οὖσαν διὰ τὸ κεκολλῆσθαι ὀπίσω σου· διόπερ τὰ περιμένοντα αὐτοὺς αὐτοὶ μὲν οὐκ ἴσασι, τὸ δὲ Πνεῦμα τὸ ἅγιον θεσπίζει. Εἶθ' ἑξῆς τούτοις προφητικῶς ἀναφωνεῖ λέγων· «Εἰσελεύσονται εἰς τὰ κατώτατα τῆς γῆς». Ἐπειδὴ γὰρ τὰ τῆς γῆς ἐφρόνουν καὶ τῶν κάτω γεγόνασιν, εἰκότως τἀπίχειρα πείσονται οἷς ἔδρασαν. Ὁ μὲν γὰρ τῷ Θεῷ συναφθείς, καὶ τὴν ψυχὴν αὐτῷ προσκολληθείς, ἐλπίδας ἕξει βασιλείας οὐρανῶν· οἱ δὲ τὴν ἐναντίαν δραμόντες καὶ τὰ κάτω φρονήσαντες, εἰς τὸν ἀλλαχοῦ λάκκον ὠνομασμένον καταχθέντες, ἐν τοῖς κατωτάτω τῆς γῆς ἐλεύσονται. Τέως μὲν γὰρ πᾶς ἄνθρωπος, τὴν ἐπιφάνειαν οἰκῶν τῆς γῆς, τὰ κάτω μόνα οἰκεῖν λέγεται κατὰ τὸν φήσαντα· «Ὅτι ὁ Θεὸς ἐν τῷ οὐρανῷ ἄνω, καὶ σὺ ἐν τῇ γῇ κάτω.[2]» Μετὰ δὲ τὴν ἐνθένδε ἀπαλλαγήν, οἱ μὲν θεοφιλεῖς οὐρανὸν ἕξουσιν οἰκητήριον, εἰς ἀνώτερα μετεωρισθέντες καὶ ἁρπαγησόμενοι ἐν νεφέλαις εἰς ἀπάντησιν τοῦ Κυρίου, οὕτω τε πάντοτε σὺν Κυρίῳ ἐσόμενοι· οἱ δ' ἀσεβεῖς καὶ ἁμαρτωλοὶ εἰς τὰ κατώτατα τῆς γῆς καταβήσονται· ὧν μεμνημένος ὁ Ἀπόστολος ἔλεγεν· «Εἰς τὰ κατώτερα τῆς γῆς ὁ καταβάς, αὐτός ἐστιν ὁ ἀναβὰς ὑπεράνω πάντων τῶν οὐρανῶν, ἵνα πληρώσῃ τὰ πάντα.[3]» Καὶ μέχρι γὰρ τῶν κατωτάτω τῆς γῆς ὁ Σωτὴρ καὶ Κύριος ἡμῶν καταβέβηκεν, ἵνα πληρώσῃ τὰ πάντα τῆς σωτηρίου δυνάμεως. Τοῦτο δὲ καὶ τῷ Ἰὼβ σημαίνει ὁ χρηματίζων Κύριος ἐν οἷς φησιν· «Ἦλθες δὲ ἐπὶ γῆν θαλάσσης, ἐν δὲ ἴχνεσιν ἀβύσσου περιεπάτησας. Ἀνοίγονται δέ σοι φόβῳ πύλαι θανάτου· πυλωροὶ δὲ ᾅδου ἰδόντες σε ἔπτηξαν.[4]» Ἀλλ'

---

1. Α΄ Κορ. 6, 16, 17. 2. Δευτ. 4, 39. 3. Ἐφ. 4, 10. 4. Ἰὼβ 38, 16-17.

ὁ μὲν καὶ μέχρι τῶν ἐκεῖ καταβέβηκεν, ἵνα τὰς πάλαι τῶν ἁγίων αὐτόθι συνεχομένας ψυχὰς ἐλευθερίας ἀξιώσῃ· οἱ δὲ ἀσεβεῖς, εἰς τὰ κατώτατα τῆς γῆς κατενεχθέντες, παραδοθήσονται εἰς χεῖρας ῥομφαίας. Ἔστι γάρ τις ἐκεῖ ῥομφαία θανάτου, ἧς ὁ Σωτὴρ μνημονεύων ἐν κα΄ ψαλμῷ ἔλεγε· «Ῥῦσαι ἀπὸ ῥομφαίας τὴν ψυχήν μου, καὶ ἐκ χειρὸς κυνὸς τὴν μονογενῆ μου· σῶσόν με ἐκ στόματος λέοντος, καὶ ἀπὸ κεράτων μονοκερώτων τὴν ταπείνωσίν μου.[1]» Ταῦτα δὲ πάντα περὶ ἀντικειμένων δυνάμεων ἐλέγετο. Οὐ μόνον δὲ εἰς χεῖρας ῥομφαίας παραδοθήσονται οἱ προλεχθέντες, ἀλλὰ καὶ διασπασθήσονται ὧδε κἀκεῖσε περιελκόμενοι ὑπὸ δεινῶν τινων καὶ πανούργων πνευμάτων, οὓς ἀλώπεκας ὀνομάζει ὁ παρὼν λόγος, διὰ τὸ καταδεδυκέναι καὶ τοῖς κατωτάτω μυχοῖς ἐμφωλεύειν. Οὗτοι δ᾽ οὖν οἱ ἀλώπεκες ὥσπερ εὕρεμα τὰς ἐκεῖ καταπιπτούσας ψυχὰς τῶν ἀσεβῶν λαβόντες διαρπάζουσιν, εἰς ἑαυτοὺς αὐτὰς μεριζόμενοι. Καὶ τῶν μὲν ἀσεβῶν τοιοῦτον ἔσεσθαι τὸ τέλος τὸ Πνεῦμα τὸ ἅγιον θεσπίζει. Περὶ δὲ τοῦ δικαίου τοῦ τὰ προλεχθέντα κατωρθωκότος ἐπιφέρει λέγον· «Ὁ δὲ βασιλεὺς εὐφρανθήσεται ἐπὶ τῷ Θεῷ· ἐπαινεθήσεται πᾶς ὁ ὀμνύων ἐν αὐτῷ· ὅτι ἐνεφράγη στόμα λαλούντων ἄδικα.» Σφόδρα παραδόξως ἐνταῦθα τὸ τοῦ βασιλέως εἰσῆκται ὄνομα· Δαυῒδ μὲν γὰρ φεύγων τὸν Σαούλ, καὶ τὴν ἔρημον τῆς Ἰουδαίας οἰκῶν καθ᾽ οὓς ταῦτα ἔλεγε χρόνους, δείκνυται, οὐ μὴν ἤδη που βασιλεύων· Σαοὺλ δέ, κρατῶν τοῦ ἔθνους, τῆς βασιλείας ἡγεῖτο. Ποῖος οὖν βασιλεὺς εὐφρανθήσεται ἐπὶ τῷ Θεῷ; Ἀλλ᾽ ἐρεῖ τις κατὰ πρόγνωσιν τοῦ μέλλοντος αὐτὸν σημαίνεσθαι τὸν Δαυῒδ· ἤμελλε γὰρ ὅσον οὔπω τελευτήσαντος τοῦ Σαοὺλ βασιλεύειν αὐτός. Ἕτερος δέ φησι καὶ τότ᾽ ἤδη βασιλέα εἶναι αὐτόν· ἐπειδὴ κέχριστο ὑπὸ τοῦ Σαμουὴλ εἰς βασιλέα, καὶ παρὰ τῷ Θεῷ λελόγιστο ἤδη βασιλεύς· οὐ μὴν ἀλλὰ καὶ ἐβασίλευε τοῦ συνόντος αὐτῷ πλήθους, οὗ μέμνηται ἡ ἱστορία. Ἐπεὶ τοίνυν τὸ τέλος τῶν ἐλαυνόντων αὐτὸν παρέστησεν ὁ λόγος, εἰκότως καὶ αὐτοῦ ὡς ἂν πολλὴν ἐνδειξαμένου προκοπὴν τὰ τέλη τῶν πόνων προφητεύεται. Διὸ λέγεται· «Ὁ δὲ βασιλεὺς εὐφρανθήσεται ἐπὶ τῷ Θεῷ.» Ὡς γὰρ γενναῖος τοῦ Θεοῦ ἀθλητής, μεγάλους ἀγῶνας διεξελθών, βραβείων τε καὶ θείων στεφάνων κατηξιωμένος, εὐφροσύνης ἀπολαύσει τῆς παρ᾽ αὐτῷ τῷ ἀγωνοθέτῃ. Ὥσπερ γὰρ οἱ ἐχθροὶ αὐτοῦ τέλος οὐκ αἴσιον εἰλήφασιν, εἰς τὰ κατώτατα τῆς γῆς εἰσελθόντες, καὶ παραδοθέντες εἰς χεῖρας ῥομφαίας, μερίδες τε ἀλωπέκων γενόμενοι· ἃ δὴ καὶ ἐπληροῦτο πρὸς λέξιν κατὰ τὴν ἱστορίαν, ὁπηνίκα, φεύγων ὁ Σαοὺλ τοὺς πολεμίους, ἐκρυπτάζετο, ζητῶν τε παρὰ τοῦ Θεοῦ βοήθειαν, οὐχ εὕρισκεν· ἀλλ᾽ οὐδὲ ἀποκρίσεως θείας ἠξιοῦτο· ὡς διὰ τοῦτ᾽ ἐλθεῖν αὐτὸν ἐπὶ τὴν ἐγγαστρίμυθον, καὶ πολυπραγμονεῖν τὰ ἀπηγορευμένα ὑπὸ τοῦ Θεοῦ. Τότε γοῦν ἀληθῶς μερίδες

1. Ψαλμ. 21, 21-22.

ἀλωπέκων γεγόνασιν αὐτός τε καὶ οἱ σὺν αὐτῷ. Διὸ καὶ καταλειφθέντες ὑπὸ τοῦ Θεοῦ, τῇ τῶν πολεμίων ῥομφαίᾳ παρεδόθησαν πεσόντες ἐν τῷ πολέμῳ. Ὥσπερ οὖν ταῦτα μηδέπω γενόμενα κατὰ πρόγνωσιν εἴρητο μέλλοντα ἔσεσθαι τοῖς τὸν Δαυῒδ ἐλαύνουσιν· οὕτω καὶ αὐτῷ τὰ αἴσια τέλη τὸ Πνεῦμα τὸ ἅγιον ἀνεφώνει λέγον· «Ὁ δὲ βασιλεὺς εὐφρανθήσεται ἐπὶ τῷ Θεῷ». Ἐλπίσας γὰρ ἐπὶ τὸν Θεόν, καὶ τὴν αὐτοῦ ψυχὴν συνάψας αὐτῷ, ὡς εἰπεῖν, «Ἐκολλήθη ἡ ψυχή μου ὀπίσω σου», τῆς ἀνωτάτω τεύξεται παρὰ τῷ Θεῷ εὐφροσύνης. Καὶ πᾶς δὲ ὁ ἐπὶ τούτοις ὀμνὺς ὡς ἂν εὐορκῶν ἐπαινεθήσεται· ἢ κατὰ τὸν Ἀκύλαν, «Καυχήσεται ὁ ὀμνύων ἐν αὐτῷ.» Ὁ γὰρ μὴ ἀμφιβάλλων, ἀλλὰ καὶ ὅρκον τιθέμενος περὶ τοῦ μήποτε ἐκπεσεῖσθαι τὸν βασιλέα τῆς ἐπηγγελμένης ἐλπίδος, ὡσανεὶ εὐορκῶν, ἐπαινεθήσεται. Καὶ ταῦτα ἔσται περὶ τὸν βασιλέα καὶ περὶ πάντα τὸν ὀμνύντα περὶ αὐτοῦ, «Ὅτι ἐνεφράγη τὸ στόμα λαλούντων ἄδικα.» Καθ' ἑτέραν δὲ διάνοιαν τοῦ δικαίου τελειουμένου κατὰ τὰς ἀποδοθείσας ἐν ἀρετῇ προκοπάς, χαίρει καὶ εὐφραίνεται ὁ βασιλεύς, ὁ τοῦ Θεοῦ Μονογενὴς Υἱὸς εὐχαριστῶν τῷ ἑαυτοῦ Πατρί, τῷ τὰ τηλικαῦτα χαρίσματα δεδωρημένῳ τῇ τῶν ἀνθρώπων φύσει. Τοῦτον δὲ τὸν βασιλέα ὁ γνούς, καὶ ὅρκιον αὐτοῦ ποιούμενος τοὔνομα, παντὸς γένοιτ' ἂν ἐπαίνου ἄξιος, ὡς ἂν μεμαθηκώς, ὅτι τῇ αὐτοῦ δυνάμει καὶ ὁ δίκαιος ἐτελειώθη, καὶ πᾶν στόμα τὸ πολλὰ λαλοῦν ἄδικα ἐνεφράγη. Εἰ γὰρ καὶ τὰ μάλιστα καιρῷ τινι συνεχωρεῖτο τῷ τῶν ἀσεβῶν στόματι λαλεῖν ἄδικα καὶ καταβλασφημεῖν τοῦ δικαίου, καὶ αὐτοῦ τοῦ Θεοῦ, ὡς μηδὲν ἐπαμύνοντος τοῖς δι' αὐτὸν ἐλαυνομένοις· ἀλλ' οὐκ εἰς τέλος τοιαῦτα λαλεῖν συγχωρηθήσονται· φραγήσεται δὲ αὐτῶν τὸ ἀσεβὲς στόμα, καὶ ἡ κατὰ τῶν θεοφιλῶν ἀνδρῶν μεγαλαυχία παυθήσεται, ἐπειδὰν καταλάβῃ αὐτοὺς τὰ προλεχθέντα τέλη.

ΕΙΣ ΤΟ ΤΕΛΟΣ ΨΑΛΜΟΣ ΤΩ ΔΑΥ·Ι·Δ ΞΓʹ.

Στίχ. βʹ, γʹ. «Εἰσάκουσον, ὁ Θεός, προσευχῆς μου ἐν τῷ δέεσθαί με, ἀπὸ φόβου ἐχθροῦ ἐξελοῦ τὴν ψυχήν μου.»

Καὶ ὁ παρὼν ψαλμὸς εἰς τὸ τέλος ἀναπέμπει· ἐν ᾧ τὰ βραβεῖα τῆς ἄνω κλήσεως, καὶ τοὺς τῆς δικαιοσύνης στεφάνους οἱ τὸν ἀγῶνα τὸν καλὸν διηγωνισμένοι παρὰ τοῦ μεγάλου λήψονται ἀγωνοθέτου. Διὸ τὰ μὲν πρῶτα τοῦ ψαλμοῦ ἐχθροὺς εἰσάγει καὶ πονηρευομένους ἐπανισταμένους τῷ δικαίῳ· ἐν δὲ τῷ τέλει τοῦ παντὸς λόγου χρηστὰς ἐλπίδας ἐπισφραγίζεται λέγων· «Εὐφρανθήσεται δίκαιος ἐν τῷ Κυρίῳ, καὶ ἐλπιεῖ ἐπ' αὐτόν· καὶ ἐπαινεθήσονται πάντες οἱ εὐθεῖς τῇ καρδίᾳ.» Τοιαῦτα τὰ τέλη τῶν ὑπὲρ εὐσεβείας ἠγωνισμένων εἶναι διδάσκει. Ὁ γέ τοι τῆς θεοσεβείας ἀθλητής, μυρίους ἔχων ἐχθροὺς καὶ πολεμίους τῆς αὐτοῦ ψυχῆς, οὐχ ὁρατοὺς μόνον, ἀλλὰ καὶ ἀφανεῖς, μόνῳ προσφεύγει τῷ Θεῷ καὶ τὴν παρ' αὐτοῦ βοήθειαν αἰτεῖ, μονονουχὶ

λέγων· «Εἰ ὁ Θεὸς ὑπὲρ ἡμῶν, τίς καθ' ἡμῶν;[1]» Διὸ ταῖς εὐχαῖς σχολάζει τὸν Θεὸν ἀνακαλούμενος καὶ λέγων· «Εἰσάκουσον, ὁ Θεός, προσευχῆς μου ἐν τῷ δέεσθαί με.» Ὁ δὲ μὴ τοιοῦτος, παρακούων δὲ τῶν τοῦ Θεοῦ παραγγελμάτων, οὐκ ἂν δύναιτο χρῆσθαι τῇ τοσαύτῃ παρρησίᾳ· ᾧ γὰρ μέτρῳ μετροῦμεν ἀντιμετρεῖται ἡμῖν. Διόπερ ἐν Παροιμίαις ἡ τοῦ Θεοῦ σοφία πρὸς τοὺς ἀπειθεῖς ἀποτείνεται λέγουσα· «Ἀνθ' ὧν ἐκάλουν, καὶ οὐχ ὑπηκούσατε, καὶ ἐξέτεινον λόγους, καὶ οὐ προσείχετε· ἀλλ' ἀκύρους ἐποιεῖτε τὰς ἐμὰς βουλάς, ταῖς δὲ ἐμαῖς ἐντολαῖς οὐ προσείχετε. Τοιγαροῦν κἀγὼ τῇ ὑμετέρᾳ ἀπωλείᾳ ἐπιγελάσομαι.[2]» Ἔσται γὰρ ὅτε ἐπικαλέσεσθέ με, ἐγὼ δὲ οὐκ εἰσακούσομαι. Εἰ τοίνυν εἰσακούεσθαι βουλόμεθα ἐν οἷς δεόμεθα τοῦ Θεοῦ, καὶ αὐτοὶ τοῦτο πράττωμεν τοῖς τοῦ Θεοῦ παραγγέλμασι καταπειθεῖς γιγνόμενοι. Τότε γὰρ σὺν πολλῇ παρρησίᾳ καὶ αὐτοὶ φάναι δυνησόμεθα τῷ Θεῷ· «Εἰσάκουσον, ὁ Θεός, τῆς προσευχῆς μου ἐν τῷ δέεσθαί με.» Τί δὲ ἐδεῖτο ὁ μακάριος Δαυΐδ; (αὐτοῦ γάρ εἰσιν οἱ λόγοι, ὡς οἶμαι, κατὰ τοὺς χρόνους εἰρημένοι, καθ' οὓς τὸν Σαοὺλ ἔφευγε καὶ τοὺς σὺν αὐτῷ·) τὴν ψυχὴν αὐτοῦ ῥυσθῆναι ἀπὸ φόβου ἐχθροῦ, οὐκ ἐχθροὺς μὴ ἔχειν, οὐδὲ τὰς ἐκείνων ἀποκρουσθῆναι προαιρέσεις· τὴν δὲ αὐτοῦ ψυχὴν ἄτρομον καὶ ἀπτόητον, καὶ ἄφοβον διατηρεῖσθαι, ὅπως, ἐν ἕξει γενόμενος ἀταραξίας, λέγῃ καὶ αὐτὸς ὁμοίως Παύλῳ· «Ἐν παντὶ θλιβόμενοι, ἀλλ' οὐ στενοχωρούμενοι· διωκόμενοι, ἀλλ' οὐκ ἐγκαταλειπόμενοι· καταβαλλόμενοι, ἀλλ' οὐκ ἀπολλύμενοι.[3]» Λέγων δὲ ταῦτα πρὸς τὸν Θεὸν ὁ Δαυΐδ, οὐκ ἠμνημόνει τῶν ἤδη πρότερον εἰς αὐτὸν γενομένων εὐεργεσιῶν. Διὸ εὐχαριστῶν ἐπὶ τοῖς παρῳχηκόσιν, ἐπιλέγει· «Ἐσκέπασάς με ἀπὸ συστροφῆς πονηρευομένων, ἀπὸ πλήθους ἐργαζομένων ἀδικίαν.» Ἤδη γὰρ πεῖραν εἰληφὼς τῶν φθασάντων εἰς ἐμέ, οὔποτε λήθην αὐτῶν ποιήσασθαι δύναμαι· φέρων δὲ αὐτὰ διὰ παντὸς ἐν μνήμῃ, εὐχάριστος εἰσαεὶ τυγχάνω. Ὅμως δὲ καὶ νῦν τῆς αὐτῆς ἀξιῶ παρὰ σοῦ βοηθείας τυχεῖν. Κατὰ δὲ τοὺς λοιποὺς ἑρμηνευτάς, μία καὶ ἡ αὐτὴ πεφύλακται τοῦ λόγου ἔγκλησις, καὶ μία διάνοια τῶν εἰρημένων· διὸ λέλεκται κατὰ τὸν Σύμμαχον· «Εἰσάκουσον, ὁ Θεός, τῆς φωνῆς μου προσλαλοῦντος, ἀπὸ ἐκπλήξεως ἐχθροῦ περιφράξεις τὴν ζωήν μου· κρύψεις με ἀπὸ συσκέψεων κακούργων, ἀπὸ κυκήσεως ἐργαζομένων ἀδικίαν.» Οὐ γὰρ ὡς περὶ παρῳχηκότων, ἀλλ' ὡς περὶ μελλόντων τὰ ὅλα εἴρηται, καὶ κατὰ τοὺς λοιποὺς ἑρμηνευτὰς ὁμοίως.

Στίχ. δ'-ζ'. «Οἵτινες ἠκόνησαν ὡς ῥομφαίας τὰς γλώσσας αὐτῶν, ἐνέτειναν τόξον πρᾶγμα πικρόν, τοῦ κατατοξεῦσαι ἐν ἀποκρύφοις ἄμωμον. Ἐξάπινα κατατοξεύσουσιν αὐτόν, καὶ οὐ φοβηθήσονται.»

Εἰ καὶ προῆγε τοῖς χρόνοις εἰς τὴν σωτήριον ἐπιδημίαν ὁ Δαυΐδ, ἀλλ' οὐκ ἠγνόει τὰ εὐαγγελικὰ μαθήματα θείῳ Πνεύματι μεμαθη-

1. Ῥωμ. 8, 31. 2. Παρμ. 1, 24-26. 3. Β' Κορ. 4, 8-9.

τευμένος· ᾔδει δὲ εὖ μάλα τὸ σωτήριον λόγιον τὸ φῆσαν· «Μὴ φοβηθῆτε ἀπὸ τῶν ἀποκτεινόντων τὸ σῶμα, τὴν δὲ ψυχὴν μὴ δυναμένων ἀποκτεῖναι·[1]» διὸ οὐκ ἠγωνία στρατιωτικῆς παρατάξεως πληθύν, οὐδὲ τοὺς πανευχίαις καὶ δόρασι παραταττομένους· ἀλλὰ τούτων μὲν κατεφρόνει, ὡς ἂν τὸν τοσοῦτον Γολιὰδ ἀκμητὶ καὶ ἀνιδρωτὶ καταβαλών· ἐκείνους δὲ ἠγωνία οὓς ᾐνίττετο διὰ τῶν προκειμένων λέγων· «Οἵτινες ἠκόνησαν ὡς ῥομφαίαν τὰς γλώσσας αὐτῶν, ἐνέτειναν τόξον πρᾶγμα πικρόν.» Ὁρᾷς ὁποίαν διαγράφει πανοπλίαν ἐχθρῶν; Καὶ ἐν τοῖς ἔμπροσθεν δὲ ἐλέγετο· «Υἱοὶ ἀνθρώπων, οἱ ὀδόντες αὐτῶν ὅπλον καὶ βέλη, καὶ ἡ γλῶσσα αὐτῶν μάχαιρα ὀξεῖα.[2]» Ταῦτα δὲ ἀναγέγραπται εἰρηκώς, «ὁπότε ἀπεδίδρασκεν ἀπὸ προσώπου Σαοὺλ εἰς τὸ σπήλαιον.[3]» Ἀπὸ τῶν ὁμοίων τοιγαροῦν λόγων φαίνεται ὁ αὐτὸς ὢν χρόνος, καθ' ὃν καὶ τὰ μετὰ χεῖρας περὶ αὐτῶν ἐκείνων καὶ τῶν ἐκείνοις παραπλησίων λέλεκτο. Ἀλλὰ καὶ «ὅτε ἀπέστειλε Σαούλ, καὶ ἐφύλαξε τὸν οἶκον αὐτοῦ τοῦ θανατῶσαι αὐτόν[4]», περὶ τῶν αὐτῶν πάλιν τὰς ὁμοίας ἠφίει φωνὰς λέγων· «Ἰδοὺ ἀποφθέγξονται ἐν τῷ στόματι αὐτῶν, καὶ ῥομφαία ἐν τοῖς στόμασιν αὐτῶν.[5]» Ἀλλ' ἐν ἐκείνοις μὲν ταῦτ' ἐλέγετο· ἐν δὲ τοῖς μετὰ χεῖρας τοὺς ἐχθροὺς αὐτοῦ, ὧν ἀπὸ φόβου ῥυσθῆναι ηὔχετο, ἠκονηκέναι φησὶ τὰς γλώσσας αὐτῶν δίκην ῥομφαίας· ἢ κατὰ τοὺς λοιποὺς ἑρμηνευτάς, «ὡς μάχαιραν·» ἀλλὰ καὶ ἐνέτειναν τὸ τόξον αὐτῶν, κατὰ μὲν τοὺς Ἑβδομήκοντα ἑρμηνευτάς, «ἐν πράγματι πικρῷ·» διὰ γὰρ πικροῦ πράγματος κατατοξεύειν ἐπειρῶντο τὸν δίκαιον· κατὰ δὲ τὸν Σύμμαχον, «Ἐπλήρωσαν», φησί, «τὸ τόξον αὐτῶν λόγῳ πικρῷ.» Ἦσαν γὰρ ἀληθῶς πικροί, οὐδὲν γλυκὺ περιέχοντες, οἱ τὸν Δαυῒδ διαβάλλοντες πρὸς τὸν Σαούλ· οἷος ἦν ὁ Δωήκ, καὶ οἱ Ζιφαῖοι, καὶ οἱ τούτοις παραπλήσιοι. Ἀλλὰ καὶ πᾶς ἄθεος λόγος πικρὸς ἂν εἴη, ὥσπερ ὁ θεῖος, χρηστὸς καὶ γλυκύς. Διὸ εἴρηται· «Γεύσασθε, καὶ ἴδετε, ὅτι χρηστὸς ὁ Κύριος.[6]» Δεινὰ δὲ τόξα καὶ μάχαιραι ὡς ἀληθῶς ὀξεῖαι αἱ τῶν ἀθέων ἑτεροδόξων, τῶν τὰς ἀκεραίους ψυχὰς κατατοξευόντων, καὶ ταῖς ἑαυτῶν ῥομφαίαις κατασφαττόντων αὐτάς. Καὶ οἱ σοφοὶ δὲ τοῦ αἰῶνος τούτου, τὸν ἀπατηλὸν καὶ σεσοφισμένον λόγον προβαλλόμενοι, πολλὰς ἀνεῖλον ψυχάς. Εὐχῆς οὖν ἡμῖν δεῖ συντεταμένης, πρὸς τὸ ῥυσθῆναι τούτων ἁπάντων. Μάλιστα δὲ οἱ προλεχθέντες τὸν ἁπλοῦν καὶ ἀφελῆ κατατοξεύειν πειρῶνται· διὸ λέλεκται· «Ἐνέτειναν τόξον, πρᾶγμα πικρόν, τοῦ κατατοξεῦσαι ἐν ἀποκρύφοις ἄμωμον.» Καὶ τὸν ἀναίτιον δὲ ἄμωμον καλεῖ, τὴν κατὰ τῶν μηδὲν ἠδικηκότων ὑπογράφων συκοφαντίαν. Ἀντὶ δὲ τοῦ, «ἄμωμον, ἁπλοῦν», ἡρμήνευσεν ὁ Ἀκύλας. Τὸν γὰρ ἁπλοῦν καὶ ἀπειρόκακον μάλιστα κατατοξεύειν οἱ τοιοῦτοι πειρῶνται· διὸ ἐπιλέγει· «Ἐξάπινα κατατοξεύσουσιν αὐτόν, καὶ οὐ

1. Ματθ. 10, 28. 2. Ψαλμ. 56, 5. 3. Ψαλμ. 56, 1. 4. Ψαλμ. 58, 1.
5. Ψαλμ. 58, 8. 6. Ψαλμ. 33, 9.

φοβηθήσονται.» Καιροφυλακοῦντες γὰρ οὗτοι, ἀθρόως καὶ ἀπροσδοκήτως ἐπέρχονται τῷ ἀμώμῳ, ἢ τῷ ἁπλῷ καὶ ἀκεραίῳ. Διὸ γράφων που ὁ Ἀπόστολος πρὸς τοὺς τοιούτους φησί· «Φοβοῦμαι μή πως, ὡς ὁ ὄφις ἐξηπάτησεν Εὔαν, φθαρῇ τὰ νοήματα ὑμῶν ἀπὸ τῆς ἁπλότητος τῆς ἐν Χριστῷ.[1]» Τὸν γὰρ πεφραγμένον τὴν ψυχὴν οὐκ ἄν ποτε δύναιντο καταβαλεῖν οἱ προλεχθέντες, «οἵτινες ἠκόνησαν ὡς ῥομφαίαν τὰς γλώσσας αὐτῶν, καὶ ἐνέτειναν τόξον, πρᾶγμα πικρόν, τοῦ κατατοξεῦσαι ἐν ἀποκρύφοις ἄμωμον·» ἤ, «τοῦ κατατοξεῦσαι ἐν ἀποκρύφοις ἁπλοῦν. Ἐξάπινα κατατοξεύσουσιν αὐτόν, καὶ οὐ φοβηθήσονται.» Καὶ ὅρα τίνα τρόπον κατατοξεύσουσιν αὐτόν φησιν, ἀλλ' οὐκ ἐμὲ τὸν ταῦτα λέγοντα· τὸν δὲ ἁπλοῦν, τουτέστι τὸν ἀφελῆ καὶ ἀκέραιον, καὶ ἔτι μικρόν, ὡς ἂν εἴποι τις, ἐξ ἐκείνων ὄντα περὶ ὧν ὁ Σωτὴρ ἐδίδασκε λέγων· «Μὴ καταφρονήσητε ἑνὸς τῶν μικρῶν τῶν ἐν τῇ Ἐκκλησίᾳ μου·[2]» καί, «Ὅστις ἐὰν σκανδαλίσῃ ἕνα τῶν μικρῶν, συμφέρει αὐτῷ βληθῆναι εἰς τὴν θάλασσαν.[3]» Σκανδαλιζόμενον γὰρ κἀκεῖ ὁ Σωτὴρ οὐ μέγαν εἰσάγει, ἀλλὰ τὸν ἐν τῇ Ἐκκλησίᾳ μικρόν, ὥσπερ ἐνταῦθα τὸν ἁπλοῦν. Οἱ τοίνυν ἐχθροὶ οὐδὲ τολμῶσι προσιέναι τοῖς μεγάλοις, οὐδὲ τοῖς παρὰ Θεῷ σοφοῖς· τοὺς δὲ ἁπλοῦς καὶ ἀκεραίους μάλιστα θηρεύουσι. Διόπερ ὁ Δαυΐδ, μνημονεύσας τῶν ἐχθρῶν, καὶ περὶ τίνας μάλιστα εἰλεῖσθαι εἰώθασιν οὗτοι παρέστησεν.

«Ἐκραταίωσαν ἑαυτοῖς λόγον πονηρόν· διηγήσαντο τοῦ κρύψαι παγίδας.» Τροπικῶς διὰ τῶν ἔμπροσθεν τοὺς τῆς ψυχῆς ἐχθροὺς τὴν ῥομφαίαν αὐτῶν ἀκονῆσαι καὶ τὰ τόξα ἐντεῖναι προειπών, σαφέστερον διὰ τῶν προκειμένων τίς ἦν ἡ ῥομφαία, καὶ τί τὸ τόξον παρίστησιν εἰπών· «Ἐκραταίωσαν ἑαυτοῖς λόγον πονηρόν.» Οὐ γὰρ παρὰ τοῦ Θεοῦ λαβόντες λόγον, ἀλλ' ἑαυτοῖς πλασάμενοι καὶ συνθέντες, τοῦτον ἐκράτυναν. Τοιοῦτοι δέ εἰσιν οἱ συκοφάνται, καὶ οἱ κρατύνειν καὶ βεβαιοῦν πειρώμενοι ἃς ἑαυτοῖς ἀνεζωγράφησαν καὶ ἀνεπλάσαντο ψευδοδοξίας. Εἶτα δὲ τὸν πονηρὸν λόγον ὃν ἑαυτοῖς ἐκράτυναν ὁρῶντες σαθρόν, οὐ γυμνὸν αὐτὸν προβάλλονται, ἀλλὰ περιβάλλουσιν ἔξωθεν παγίσι, κρύπτοντες διά τινων σοφισμάτων καὶ παραλογισμῶν τὴν κατὰ τῶν ἐπιβουλευομένων συσκευήν· οὕτω γὰρ ἄληπτοι καὶ ἀθήρατοι ἔσεσθαι ὑπολαμβάνουσι. Διὸ «εἶπαν» ἐν ἑαυτοῖς· «Τίς ὄψεται αὐτούς;» καί, «ἐξερεύνησαν ἀνομίας.» Οὐδὲν γὰρ ὠφέλιμον ἀπὸ τοῦ θείου νόμου ζητήσαντες εὗρον· ἀλλ' ἀνομίας ἑαυτοῖς ἐπενόησαν. Κατὰ δὲ τὸν Σύμμαχον, «ἐξερεύνησαν ἀνομίας σύμπαντες·» καὶ ἐπὶ τούτοις πολλὰ ζητήσαντες καὶ μυρία παρ' ἑαυτοῖς ἐπινοήσαντες, μηδὲν δὲ ἀληθὲς ἐπὶ τέλει εὑρόντες, ἐξέλιπον, πλέον οὐδὲν ἀπὸ τῆς πολλῆς ἐρεύνης κτησάμενοι. Διὸ λέλεκται· «Ἐξέλιπον ἐξερευνῶντες ἐξερευνήσεις.» Τοσούτους τινὰς διέγραψεν ὁ Δαυΐδ τοὺς ἐχθροὺς καὶ πολεμίους, ἐξ ὧν τὴν ἑαυτοῦ ψυχὴν ῥυσθῆναι ηὔχετο, ἐξερευνητικούς

1. Β' Κορ. 11, 3. 2. Ματθ. 18, 10. 3. Ματθ. 18, 6.

τινας, καὶ ζητητικοὺς ἀνομίας. Οἱ γὰρ τοιοῦτοι ψυχῆς ἀληθῶς ἂν εἶεν φονευταί· διὸ δὴ μάλιστα Θεὸν βοηθὸν ἐπὶ τῶν τοιούτων ἀνεκαλεῖτο, τοὺς αἰσθητοὺς πολεμίους καὶ τοὺς τοῖς σώμασι παρατταττομένους ἐπ' οὐδενὶ λόγῳ τιθέμενος.

Στίχ. η', θ'. «Προσελεύσεται ἄνθρωπος ἐν καρδίᾳ βαθείᾳ, καὶ ὑψωθήσεται ὁ Θεός. Βέλος νηπίων», καὶ τὰ ἑξῆς.

Οἱ μὲν τῆς ψυχῆς πολέμιοι, λόγοις πονηροῖς ἑαυτοὺς περιφράξαντες, καὶ τὰς ἑαυτῶν ἐγκρύψαντες παγίδας, ἀνομίας τε ἐξερευνῶντες, καὶ διὰ τούτων τὰς ἑαυτῶν ῥομφαίας ἀκονήσαντες, καὶ ταῖς ἑαυτῶν γλώσσαις ἐντείναντες τόξα, τὸν ἄμωμον, ἢ τὸν ἁπλοῦν καὶ ἀκέραιον περιῄεσαν ζητοῦντες, ὅπως ἀνέλωσιν αὐτοῦ τὴν ψυχήν· ἀλλ' ἐκεῖνον μὲν ὁ Θεὸς ῥύσεται. Τῶν γὰρ μικρῶν ἐν τῇ Ἐκκλησίᾳ οἱ ἄγγελοι διὰ παντὸς ὁρῶσι τὸ πρόσωπον τοῦ ἐν οὐρανοῖς Πατρός. Προσελεύσεται δέ τις αὐτοῖς ἄνθρωπος, ἀληθῶς ἀνὴρ τέλειος καὶ φορῶν τὸν κατ' εἰκόνα θεοῦ πεποιημένον, ὅς, ἐν καρδίᾳ βαθείᾳ πεφραγμένος, ἀκατάπληκτος αὐτοῖς παρατάξεται, πάντας τε αὐτοὺς καταλύσει, ὡς ὑψωθῆναι καὶ δοξασθῆναι δι' αὐτοῦ τὸν Θεόν, καὶ πάντων ἐκείνων τὰ βέλη ἐλεγχθῆναι ἄτονα καὶ ἀσθενῆ, ὡς νηπίων λογισθῆναι βέλη τὰς πληγὰς αὐτῶν, καὶ τὰς γλώσσας αὐτῶν ἐπ' αὐτοὺς ἐξασθενῆσαι. Τοιοῦτος γάρ ἐστιν ὁ τοῦ Θεοῦ ἄνθρωπος, ὁ παρατασσόμενος τοῖς προλεχθεῖσιν ἐν καρδίᾳ βαθείᾳ· ὡς δέχεσθαι μὲν αὐτὸν τὰς πληγὰς καὶ τὰ διὰ σοφισμάτων βέλη, γελᾶν δὲ αὐτὰ καὶ τὸ μηδὲν ἡγεῖσθαι, ὡς ὑπὸ νηπίων ἀτόνων κατ' αὐτοῦ πεμπόμενα. Εἶτα καὶ ἐπιλυόμενος αὐτῶν τὰ σοφίσματα, τὰς γλώσσας αὐτῶν καὶ τοὺς λόγους ἐξασθενοῦντας ἐλέγξει. Βαθεῖα δὲ καρδία ἡ μὴ ἐξ ἐπιπολῆς ἔχουσα τὰ μαθήματα, μηδὲ ἐν τῷ προφορικῷ λόγῳ σεμνυνομένη, ἀλλ' ἔνδον ἐν αὐτῇ τοὺς τῆς πίστεως θεμελίους ἐρριζωμένους. Ἀκολούθως τοίνυν λογικούς τινας πολεμίους τὴν γλῶτταν ἀκονήσαντας, καὶ τόξα τοῖς χείλεσιν ἐντείνοντας ὑποστησάμενος, ἀντιτάττει αὐτοῖς ἄνθρωπον Θεοῦ καρδίαν βαθεῖαν κεκτημένον· καὶ τὸν μὲν Θεὸν διὰ τούτου δοξαζόμενον, ἐκείνους δὲ ἡττωμένους καὶ ἀσχημονοῦντας.

Στίχ. ι'. «Ἐταράχθησαν πάντες οἱ θεωροῦντες αὐτούς, καὶ ἐφοβήθη πᾶς ἄνθρωπος.»

Ἀκόλουθον ἦν, τῶν δοκήσει σοφῶν ἀνατραπέντων καὶ τῶν τῆς ψυχῆς πολεμίων ἀπελεγχθέντων ὑπὸ τοῦ ἀνθρώπου τοῦ Θεοῦ τοὺς μὴ οὕτω δεινοὺς ἐν σοφίᾳ τοῦ αἰῶνος τούτου ταράττεσθαι. Τῆς γὰρ μερίδος ὄντες τῶν ἡττωμένων, ἄθεοι καὶ αὐτοὶ καὶ δυσσεβεῖς· πλὴν ὡς ἐν κακίᾳ τῆς ἐκείνων δεινότητος ἐλάττους, ὁρῶντες νενικημένους τοὺς ἑαυτῶν βελτίους, ταράττονται. Διὸ λέλεκται· «Ἐταράχθησαν πάντες οἱ θεωροῦντες αὐτούς.» Ὅ γε μὴν τοῦ Θεοῦ ἄνθρωπος καὶ πάντες οἱ τούτῳ φίλοι, διὰ τοῦ ἑνὸς τὰ κατ' ἐχθρῶν βραβεῖα ἀράμενοι, μειζόνως τὸν Θεὸν ἐφοβήθησαν, «καὶ ἀνήγγειλαν τὰ ἔργα τοῦ Θεοῦ», καὶ τὰ δικαιώματα αὐτοῦ συνῆκαν. Εἰ γὰρ καὶ τὰ μάλιστα ἄνθρωπος

ἐδόκει, καὶ καρδίᾳ βαθείᾳ τὴν τῶν πολεμίων ἀνατροπὴν πεποιῆσθαι, ἀλλὰ τοῖς συνετοῖς ἐγνωρίζετο, αὐτὸς ὢν ὁ Θεὸς ὁ τῆς νίκης αἴτιος. Διὸ τὰ ἔργα τοῦ Θεοῦ ἀπήγγελλον, ὑμνοῦντες αὐτοῦ τὰ δι' ἀνθρώπων κατορθώματα. Οὗτοι μὲν οὖν, ὥσπερ θεαταί, τὸν Θεὸν δοξάζοντες ἐπὶ τῇ νίκῃ τοῦ νενικηκότος διετέλουν. Αὐτὸς δὲ ὁ νικητὴς «εὐφρανθήσεται ἐπὶ τῷ Κυρίῳ, καὶ ἐλπιεῖ ἐπ' αὐτόν.» Οὐ γὰρ ἐφ' ἑαυτῷ μέγα φρονήσει, οὐδ' ἐπὶ τῇ νίκῃ ἐπαρθήσεται· χαρᾶς δὲ θείας καὶ εὐφροσύνης πληρωθήσεται, ὡς ὑπουργὸς καὶ διάκονος τοῦ νικοποιοῦ Θεοῦ γεγονώς. Τούτου δὲ εὐφραινομένου, πάντες οἱ εὐθεῖς τῇ καρδίᾳ ἐπαινεθήσονται, διὰ τοῦ ἑνὸς καὶ αὐτοὶ ὥσπερ νικηταὶ ἀποδειχθέντες. Ὅλον γὰρ τὸ τάγμα καὶ τὸ σῶμα τῶν ἁγίων ἐπαίνου τεύξεται· ἐπειδή, δοξαζομένου μέλους ἑνός, συνδοξάζεται πάντα τὰ μέλη, κατὰ τὸν ἱερὸν Ἀπόστολον.

ΕΙΣ ΤΟ ΤΕΛΟΣ, ΨΑΛΜΟΣ ΤΩ ΔΑΥΙΔ ΩΔΗΣ ΞΔ'.

Στίχ. β', γ'. «Σοὶ πρέπει ὕμνος, ὁ Θεός, ἐν Σιών, καὶ σοὶ ἀποδοθήσεται εὐχὴ ἐν Ἱερουσαλήμ.»

Προφητείαν περιέχει μελλόντων εἰς τὸ τέλος ἀπαντήσεσθαι πραγμάτων· διὸ ἐπιγέγραπται· «Εἰς τὸ τέλος.» Τίνα δὲ ταῦτα, διδάσκει ἑξῆς λέγων, «Πρὸς σὲ πᾶσα σὰρξ ἥξει.» Οὐκέτι γὰρ μόνον τὸ Ἰουδαίων ἔθνος, ἀλλὰ καὶ πᾶσα σάρξ, τουτέστι πᾶν γένος ἀνθρώπων. Οὕτως γὰρ εἴωθεν ὁ Λόγος πάντας ἀνθρώπους σημαίνειν τοὺς πάλαι σαρκίνους καὶ γεώδεις. Διὸ καὶ ἐν τῷ νόμῳ λέλεκται· «Διέφθειρε πᾶσα σὰρξ τὴ ὁδὸν αὐτοῦ·[1]» καὶ πάλιν· «Οὐ μὴ καταμείνῃ τὸ πνεῦμά μου ἐν τοῖς ἀνθρώποις τούτοις, διὰ τὸ εἶναι αὐτοὺς σάρκας.[2]» Ἀλλὰ τότε μὲν πᾶσα σὰρξ κατηγορεῖτο· νῦν δὲ ἥξειν πρὸς τὸν Θεὸν λέγεται. Διὸ καὶ μετὰ τὸν Δαυῒδ Ἰωήλ, προφήτης γενόμενος, τὰ κάλλιστα πάσης σαρκὸς θεσπίζει λέγων· «Ἐκχεῶ ἀπὸ τοῦ πνεύματός μου ἐπὶ πᾶσαν σάρκα, καὶ προφητεύσουσιν.[3]» Ἀλλὰ καὶ ὁ Ἡσαΐας ταὐτὸν παρίστησιν εἰπών· «Ὄψεται πᾶσα σὰρξ τὸ σωτήριον τοῦ Θεοῦ.[4]» Σωτήριον δὲ Θεοῦ πάσῃ σαρκὶ γνωσθησόμενον τί ποτε ἦν ἄρα, ἢ ὁ Χριστὸς τοῦ Θεοῦ, καθὼς πολλάκις ἀπεδείξαμεν; Τοῦτο οὖν τὸ σωτήριον πᾶσιν ἀνθρώποις τοῖς πάλαι σαρκίνοις ἀποκαλυφθήσεσθαι προεφητεύετο. Εἰκότως οὖν καὶ ὁ μετὰ χεῖρας ψαλμός, τοῦτο αὐτὸ σημαίνων, ἐπισφραγίζεται τὴν ἐπαγγελίαν διὰ τοῦ φάναι· «Πρὸς σὲ πᾶσα σὰρξ ἥξει.» Ὑποκαταβὰς δέ, σαφέστερον ἑρμηνεύει τὴν διάνοιαν ἐπιλέγων· «Ἐπάκουσον ἡμῶν, ὁ Θεὸς ὁ σωτὴρ ἡμῶν, ἡ ἐλπὶς πάντων τῶν περάτων τῆς γῆς καὶ τῶν ἐν θαλάσσῃ μακράν·» καὶ ἔτι σαφέστερον ἐπιλέγει· «Καὶ φοβηθήσονται οἱ κατοικοῦντες τὰ πέρατα ἀπὸ τῶν σημείων σου.» Τὸ γὰρ φο-

1. Γεν. 6, 12. 2. Γεν. 6, 3. 3. Ἰωὴλ 3, 1. 4. Ἡσ. 52, 10.

βηθῆναι πάντας τοὺς κατοικοῦντας τὰ πέρατα ἀπὸ τῶν σημείων τοῦ Θεοῦ ἀγαθῶν ἦν καὶ σοφίας ἀρχή· ἐπείπερ «ἀρχὴ σοφίας φόβος Κυρίου.[1]» Διὰ δὴ ταῦτα «Εἰς τὸ τέλος» προγέγραπται ὁ ψαλμός· καὶ ἔστιν ᾠδῆς ψαλμός, ἐπινίκιον ὕμνον εἰς τὸν Σωτῆρα τῶν ἐθνῶν περιέχων. Ἐφ' οἷς τὸ Πνεῦμα τὸ ἅγιον τὸν ἐπὶ πάντων Θεὸν ἀνυμνεῖ φάσκον· «Σοὶ πρέπει ὕμνος, ὁ Θεός, ἐν Σιών.» Τίνα γὰρ ἐχρῆν ἄλλον ἐπὶ τῇ πάντων ἀνθρώπων σωτηρίᾳ ὑμνεῖσθαι ἢ τὸν παντὸς αἴτιον ἀγαθοῦ; Διδάσκει δὲ τὸ αὐτὸ Πνεῦμα τοὺς προσιόντας ἐξ ἐθνῶν μόνῳ τῷ Θεῷ λέγειν· «Σοὶ πρέπει ὕμνος·» ὡς ἂν κατεγνωκότας ἑαυτῶν, ὅτε μὴ πρέποντας ὕμνους ἀνέπεμπον τῇ πολυθέῳ πλάνῃ. Πρέπει δὲ ὕμνος τῷ Θεῷ οὐ πᾶς, ἀλλ' ὁ ἐν Σιὼν ἀναπεμπόμενος, δηλαδὴ ὁ ἐν τῇ Ἐκκλησίᾳ αὐτοῦ. Σιὼν μὲν γάρ ἐστιν ἀληθινὴ ἡ ἐπουράνιος Ἱερουσαλήμ, καὶ τὸ ἐπουράνιον ὄρος τοῦ Θεοῦ· περὶ οὗ διδάσκων ὁ Ἀπόστολος ἔλεγε· «Προσεληλύθατε Σιὼν ὄρει, καὶ πόλει Θεοῦ ζῶντος, Ἱερουσαλὴμ ἐπουρανίῳ, καὶ μυριάσιν ἀγγέλων πανηγύρει, καὶ Ἐκκλησίᾳ πρωτοτόκων ἀπογεγραμμένων ἐν οὐρανοῖς·[2]» καὶ πάλιν· «Ἡ δὲ ἄνω Ἱερουσαλὴμ ἐλευθέρα ἐστίν, ἥτις ἐστὶ μήτηρ ἡμῶν.[3]» Αὕτη ἂν εἴη ἡ ἀληθὴς Ἱερουσαλήμ, καὶ ἡ κυρίως ἀναδειχθεῖσα Σιών, ἐφ' ἧς καὶ βασιλεύειν λέλεκται ὁ Σωτὴρ καὶ Κύριος ἡμῶν, ὥσπερ οὖν διδάσκει λέγων αὐτὸς ἐν β' ψαλμῷ· «Ἐγὼ δὲ κατεστάθην βασιλεὺς ἐπὶ Σιὼν ὄρος τὸ ἅγιον αὐτοῦ.[4]» Ἡ αὐτὴ δ' ἂν εἴη ἡ καταγγελλομένη τοῖς τὸ Εὐαγγέλιον παραδεχομένοις βασιλεία οὐρανῶν. Εἰκὼν δ' ἐκείνης ἡ ἐπὶ γῆς γένοιτ' ἂν Ἐκκλησία· ὁμωνύμως καὶ αὐτὴ καλουμένη ποτὲ μὲν Σιών, ποτὲ δὲ Ἱερουσαλήμ, καὶ ἄλλοτε θυγάτηρ Σιών, ἢ θυγάτηρ Ἱερουσαλήμ. Οὕτω γοῦν αὐτὴν οἱ προφῆται θεσπίζοντες ἀνηγόρευον. Ὁ τοίνυν ὕμνος ὁ ἐν τῇ Σιών, ἤτοι τῇ ἐπουρανίῳ, ἢ καὶ τῇ ἐπὶ γῆς Ἐκκλησίᾳ τοῦ Θεοῦ ᾀδόμενος, πρέποι ἂν μόνος τῷ ὑμνουμένῳ Θεῷ. Πᾶσα δὲ ἡ ἐκτὸς τῆς Ἐκκλησίας τοῦ Θεοῦ λεγομένη θεολογία, εἴτε παρὰ τοῖς Ἑλλήνων σοφοῖς, εἴτε παρὰ τοῖς ἀθέοις ἑτεροδόξοις, ἀπρεπὴς ἂν εἴη. Τῶν γὰρ παρ' Ἕλλησι σοφῶν οἱ μὲν εἰς ἀθεότητα παντελῆ καταπεπτώκασιν, οἱ δὲ τὴν πολύθεον πλάνην ἐσέμνυναν. Τῶν δὲ ἀθέων αἱρεσιωτῶν οἱ μὲν πλείστας καὶ ἐναντίας ἀρχὰς ὑπεστήσαντο, οἱ δὲ πονηραῖς καὶ φαύλαις δυνάμεσι τὴν τοῦ παντὸς διοίκησιν ἀνατεθείκασιν. Ἤδη δὲ καὶ αὐτῶν Ἰουδαίων παῖδες, ἀνθρωπόμορφον καὶ ἀνθρωποπαθῆ τὸν Θεόν, τῷ μὴ νοεῖν τὰς Γραφάς, εἰσάγοντες· ἀλλὰ καὶ μυρία ἔκτοπα καὶ ταπεινὰ μυθολογοῦντες, μακρὰν ἀποπεπτώκασι τοῦ πρέποντος ὕμνου. Μόνοι δὲ οἱ ἐν τῇ Ἐκκλησίᾳ τοῦ Θεοῦ τὸν πρέποντα ὕμνον παρ' αὐτοῦ δεδιδαγμένοι τοῦ Σωτῆρος ἐπαξίως τὸν Πατέρα θεολογοῦσιν· ὃ δὴ παρίστησι διὰ τῆς μετὰ χεῖρας φάσκων ᾠδῆς· «Σοὶ πρέπει ὕμνος, ὁ Θεός, ἐν Σιών.» Ἀπρεπὴς δὲ ὕμνος λεχθείη ἂν ὁ δαίμοσι πονηροῖς

---

1. Ψαλμ. 110, 10. 2. Ἑβρ. 12, 22-23. 3. Γαλ. 4, 26. 4. Ψαλμ. 2, 6.

καὶ πνεύμασιν ἀκαθάρτοις ἀναπεμπόμενος· ἀπρεπὴς δέ ἐστι καὶ ὁ ἡλίῳ καὶ σελήνῃ καὶ ἄστροις καὶ τοῖς λοιποῖς τοῦ κόσμου μέρεσιν ὑπὸ τῶν ταῦτα θεοποιούντων ᾀδόμενος. Καὶ ἔτι μᾶλλον αἰσχίων καὶ ἀπρεπέστατος ὁ δι' αἰσχρῶν καὶ ἀκολάστων ᾀσμάτων τοῖς περὶ θεῶν ἐρωτικοῖς διηγήμασιν ἀναπλαττόμενος. Μόνος δ' ἐκεῖνος ὡραῖος λεχθείη ἂν καὶ εὐπρεπὴς ὕμνος, ὁ τῷ μόνῳ Ποιητῇ καὶ Δημιουργῷ καὶ Βασιλεῖ τῶν ὅλων Θεῷ ἀναπεμπόμενος, ᾧ καὶ τὰς εὐχὰς ἀποδιδόναι προσήκει, καὶ τοῦτο ποιεῖν μὴ ἐκτὸς τῆς Ἐκκλησίας αὐτοῦ. Διὸ λέλεκται κατὰ τοὺς Ἑβδομήκοντα· «Καὶ σοὶ ἀποδοθήσεται εὐχὴ ἐν Ἱερουσαλήμ.» Εὐχὴν δὲ σύνηθες τῇ θείᾳ Γραφῇ καλεῖν τὴν ἐπαγγελίαν, ἣν ἂν ἐπαγγέλληταί τις τῷ Θεῷ, ἤτοι σωφρονεῖν ταξάμενος καὶ τὸν ἑαυτοῦ βίον ἀναθεῖναι τῇ κατὰ Θεὸν φιλοσοφίᾳ, ἢ τῶν κτημάτων ἀφιερῶσαί τι ἢ τάξασθαί τινα σεμνὴν ἐπαγγελίαν πρέπουσαν τῷ κατὰ Θεὸν βίῳ. Διὸ λέλεκταί που· «Ἐὰν εὔξῃ εὐχήν, μὴ χρονίσῃς ἀποδοῦναι· ἀγαθὸν τὸ μὴ εὔξασθαι, ἢ τὸ εὔξασθαι καὶ μὴ ἀποδοῦναι.[1]» Πρέπει τοίνυν πρῶτα μὲν ἐπαξίως τὸν τῶν ὅλων Ποιητὴν καὶ Σωτῆρα ἀνυμνεῖν· ἔπειτα δι' ἔργων ἀκόλουθα πράττειν τῇ θεολογίᾳ ἐν ἀγαθαῖς ἐπαγγελίαις. Ἐπειδὰν δὲ καὶ τὸν ὕμνον πρεπόντως καὶ τὰς εὐχὰς ἀποδῶμεν αὐτῷ, τηνικαῦτα, ὡς ἂν τὰ παρ' ἑαυτῶν πεπληρωκότες, παρρησίας μεθέξομεν· ὥστε λέγειν· «Εἰσάκουσον προσευχῆς.» Ἀκριβῶς δ' ἐνταῦθα προσευχῆς, ἀλλ' οὐκ εὐχῆς εἴρηται· ἡ μὲν γὰρ ἐπαγγελίαν ἐδήλου· ἡ δὲ προσευχὴ δέησιν καὶ ἱκετηρίαν, ἣν τὸ Πνεῦμα τὸ ἅγιον ὑπὲρ ἡμῶν ἐποιεῖτο, πρέπουσαν ἱκετηρίαν προσαγαγὸν τῷ Θεῷ καὶ λέγον· «Εἰσάκουσον προσευχῆς.» Τίνων δὲ προσευχῆς εἰσάκουσον; Παρίστησιν ἑξῆς, τῶν ἐθνῶν τὴν κλῆσιν θεσπίζον· διό φησι· «Πρὸς σὲ πᾶσα σὰρξ ἥξει.» Ὑπερηύχετο δὲ τὸ Πνεῦμα τὸ ἅγιον πάσης σαρκός, ἵν' ἐπειδὰν ἐπιστραφῇ πᾶσα σὰρξ πρὸς τὸν Θεόν, καὶ ἐπικαλῆται αὐτόν, τύχοι αὐτοῦ ἐπηκόου. Διὸ οὐκ εἶπεν· «Εἰσάκουσον τῆς ἐμῆς προσευχῆς·» ἀλλ'· «Εἰσάκουσον προσευχῆς, πρὸς σὲ πᾶσα σὰρξ ἥξει·» ὡσεὶ σαφέστερον ἔλεγεν· Ἐπειδὴ μέλλει πᾶσα σὰρξ καὶ πᾶν γένος ἀνθρώπων ἀναχωρεῖν μὲν τῆς πολυθέου πλάνης, ἐπιστρέφειν δὲ ἐπὶ σὲ τὸν μόνον ἀληθινὸν Θεόν, ὕμνους τέ σοι ἀναπέμπειν καὶ εὐχὰς ἀποδιδόναι, προσευχάς τε καὶ ἱκετηρίας ποιεῖσθαι, εἰσάκουσον τῆς αὐτῶν προσευχῆς.

Στίχ. δ'. «Λόγοι ἀνόμων ὑπερεδυνάμωσαν ἡμᾶς, καὶ ταῖς ἀσεβείαις ἡμῶν σὺ ἱλάσῃ.»

Σφόδρα ἀκολούθως μετὰ τὰ περὶ πάσης σαρκὸς λελεγμένα, ἐπενήνεκται τὰ προκείμενα τῆς ὠνομασμένης πάσης σαρκὸς ἐξομολόγησιν περιέχοντα. Οἱ γοῦν ἐξ ἁπάντων τῶν ἐθνῶν τῶν πάλαι σαρκίνων τῆς δεισιδαίμονος πλάνης ἐπιστρέψαντες διδάσκονται ὑπὸ τοῦ θείου Πνεύματος ὁμολογεῖν ἐν ὁποίοις ποτὲ κακοῖς γεγόνασι,

1. Ἐκκλ. 5, 3, 4.

τῶν τε οἰκείων ἀσεβημάτων μνημονεύειν. Διό φησι· «Λόγοι ἀνόμων ὑπερεδυνάμωσαν ἡμᾶς, καὶ ταῖς ἀσεβείαις ἡμῶν σὺ ἱλάσῃ.» Ταῦτα μὲν οὖν λεγόμενα ἐκ προσώπου τῆς ἀποδοθείσης πάσης σαρκὸς πολλὴν ἂν ἔχοι ἀκολουθίαν. Ἐπεὶ δὲ «τοῦ Δαυΐδ» ἐπιγέγραπται ἡ ᾠδὴ τοῦ ψαλμοῦ, ζητήσειεν ἄν τις, πότε τὸν Δαυῒδ ἢ τοὺς σὺν αὐτῷ λόγοι ἀνόμων ὑπερεδυνάμωσαν· ἢ κατὰ τὸν Σύμμαχον, «κατεδυνάστευσαν·» ποίας δὲ καὶ ἀσεβείας ἐκτήσατο ὁ τοσοῦτος τοῦ Θεοῦ προφήτης καὶ οἱ σὺν αὐτῷ, ἐπείπερ, «τὰς ἀσεβείας ἡμῶν σὺ ἱλάσῃ», φησίν. Ἀλλὰ γάρ, ὡς ἀποδεδώκαμεν, προφητικῶς τὸ Πνεῦμα τὸ ἅγιον, τῆς τῶν ἐθνῶν κλήσεως μνημονεῦσαν, καὶ φῆσαν· «Πρὸς σὲ πᾶσα σὰρξ ἥξει», ἀκολούθως τὴν ἐξομολόγησιν αὐτῶν διαγράφει, ἐξ αὐτῶν προσώπου φάσκον· «Λόγοι ἀνόμων ὑπερεδυνάμωσαν ἡμᾶς», τουτέστι κρείττους ἡμῶν γεγόνασι καὶ δυνατώτεροι ἡμῶν οἱ τῶν ἀνόμων λόγοι. Ἄνομοι δὲ πάντες ἦσαν οἱ πρῶτοι συστησάμενοι τὴν τῶν εἰδώλων θεοποιίαν· λόγοι τε αὐτῶν οἱ διὰ ποιητῶν καὶ τῶν σοφῶν τοῦ αἰῶνος τούτου περὶ τῆς πολυθέου πλάνης ἐν συγγράμμασι καταβεβλημένοι. Ἀλλ' οὗτοι μὲν «κατεδυνάστευσαν ἡμῶν», κατὰ τὸν Σύμμαχον· σὺ δ' οὐχ ὑπερεῖδες ἡμᾶς, Δέσποτα· ἱλάσω δὲ τὰς ἀσεβείας ἡμῶν, καταπέμψας ἡμῖν τὸν ἱλασμόν, δι' οὗ κατέστης ἡμῖν ἵλεως, ὑπερβὰς ἡμῶν τὰς ἀσεβείας. Τίς δέ ἐστιν ὁ ἱλασμός, διδάσκει λέγων ὁ Ἀπόστολος περὶ τοῦ Σωτῆρος· «Ὃν προέθετο ὁ Θεὸς ἱλαστήριον διὰ πίστεως ἐν τῷ αὐτοῦ αἵματι·[1]» καὶ πάλιν· «Αὐτὸς ἱλασμός ἐστιν ὑπὲρ τῶν ἁμαρτιῶν ἡμῶν· οὐχ ὑπὲρ τῶν ἡμετέρων δὲ μόνον, ἀλλὰ καὶ ὑπὲρ ὅλου τοῦ κόσμου.[2]»

Στίχ. ε'-θ'. «Μακάριος ὃν ἐξελέξω καὶ προσελάβου, κατοικήσει ἐν ταῖς αὐλαῖς σου.»

Οἱ ἐξ ἁπάντων τῶν ἐθνῶν ἐπιστρέψαντες, τὰς ἑαυτῶν ἀσεβείας ἐξομολογησάμενοι, καὶ ὡς κατηξιώθησαν τοῦ ἱλασμοῦ, προκοπὴν ἐπιδείκνυνται, καὶ ψυχῆς ὠφέλειαν πολλήν, γνῶσιν ἀνειληφέναι διδάσκοντες τοῦ ἀληθῶς μακαρίου. Πάλαι μὲν γὰρ τὸν θνητὸν βίον καὶ τὴν πρόσκαιρον ζωὴν μόνην εἰδότες, πάντως που ἐμακάριζον τοὺς ταύτης ἀπολαύοντας, τέλος ἡδονὴν ὁριζόμενοι, καὶ πλούτους, καὶ τὴν ἐν σώματι τρυφήν· νῦν δ' ὅτε τετυχήκασι τοῦ ἱλασμοῦ, καὶ τὰς ἑαυτῶν ἀσεβείας ἀπεκαθήραντο, γνῶσιν ἀνειλήφασι τοῦ ἀληθῶς μακαρίου· καὶ τοῦτον εἶναί φασι τὸν ὑπὸ Θεοῦ ἐκλεγόμενον καὶ τῆς ὑπ' αὐτοῦ προσλήψεως κατηξιωμένον· διό φασι· Πάντες ἡμεῖς τῆς κλήσεως κατηξιώμεθα οἱ πάλαι ὄντες σάρξ· ἀλλ' ἴσμεν, ὅτι πολλοὶ μὲν κλητοί, ὀλίγοι δὲ ἐκλεκτοί. Εἰκότως οὖν ὡς ἂν σπάνιον μακαρίζομεν τὸν ἐκλεκτόν. Τίς δέ ἐστιν οὗτος ἀλλ' ἢ ὁ ἀφορισθεὶς τῶν πολλῶν καὶ ἀναληφθεὶς ὑπὸ τοῦ Θεοῦ; Καὶ πῶς γὰρ οὐ μακάριος ἀληθῶς ὁ τοιοῦτος, ὁπότε, τῶν δύο τούτων τυχών, λέγω δὲ τῆς ἐκλογῆς καὶ

---

1. Ῥωμ. 3, 25. 2. Α' Ἰω. 2, 2.

τῆς τοῦ Θεοῦ προσλήψεως, ἑτέρου κρείττονος καταξιωθήσεται; κατοικήσει γὰρ ἐν ταῖς αὐλαῖς τοῦ Θεοῦ. Καὶ ταύτην λοιπὸν τὴν μονὴν εὑρὼν καὶ τὴν ἀνάπαυλαν, ἐνταῦθα στηριχθήσεται· τὸ τέλος ἀγαθὸν τοῦτο ἀπολαύων, οὗ τυχεῖν καὶ ἄλλος ηὔχετο προφήτης ὁ εἰπών· «Ἐπιποθεῖ καὶ ἐκλείπει ἡ ψυχή μου εἰς τὰς αὐλὰς τοῦ Κυρίου.[1]» Αὐλαὶ δὲ τοῦ Κυρίου εἰσὶν αἱ κατ᾽ οὐρανὸν μοναί, περὶ ὧν εἴρηται ἐν Εὐαγγελίῳ· «Πολλαὶ μοναὶ παρὰ τῷ Πατρί.[2]» Ὁ τοίνυν ἐξ ἐθνῶν πάλαι μὲν ὢν σάρξ, μεταβαλὼν δὲ καὶ γενόμενος Θεοῦ ἄνθρωπος, μακαρίζει τὸν ἐξαίρετον καὶ ἤδη ἐκλεκτόν· ὡς ἂν προσληφθέντα ὑπὸ τοῦ Θεοῦ καὶ παραληφθέντα εἰς τὰς αὐλὰς τῆς ἐπουρανίου Ἱερουσαλήμ. «Πλησθησόμεθα ἐν τοῖς ἀγαθοῖς τοῦ οἴκου σου· ἅγιος ὁ ναός σου, θαυμαστὸς ἐν δικαιοσύνῃ.» Οἱ προλεχθέντες, τυχεῖν εὐχόμενοι καὶ αὐτοὶ τῶν ἐπουρανίων ἀγαθῶν, ὧν ἠξίωται ὁ προειρημένος μακάριος, φασίν· «Πλησθησόμεθα ἐν τοῖς ἀγαθοῖς τοῦ οἴκου σου.» Ἔγνωσαν γὰρ τὸν οἶκον τοῦ Θεοῦ τὸν ἐπουράνιον, οὗ ἐν ταῖς αὐλαῖς ὁ ἤδη ἐκλεκτὸς κατατέτακται. Διὸ ἱκετεύουσι καιρῷ ποτε καὶ αὐτοὶ τυχεῖν τῶν ἐπουρανίων ἀγαθῶν. Εἰ δὲ καὶ οἶκος Θεοῦ ἡ Ἐκκλησία αὐτοῦ ἐστι κατὰ τὸν Ἀπόστολον φήσαντα· «Ἵνα ἴδῃς πῶς δεῖ ἐν οἴκῳ Θεοῦ ἀναστρέφεσθαι, ἥτις ἐστὶν Ἐκκλησία Θεοῦ ζῶντος, στῦλος καὶ ἑδραίωμα τῆς ἀληθείας·[3]» εἰκότως φασίν, ὅτι Ὁ μὲν μακάριος ἤδη τῆς παρὰ σοὶ τετύχηκεν ἐκλογῆς· ἡμεῖς δὲ οἱ μηδέπω τοιοῦτοι, ἔτι δὲ περιβεβλημένοι ἀγαπῶμεν ἐντεῦθεν ἤδη τῶν ἐν τῷ οἴκῳ σου ἀγαθῶν ἀπολαύοντες, λόγων δηλαδὴ θείων καὶ τῶν τῆς σοφίας μαθημάτων τε καὶ χαρισμάτων τοῦ ἁγίου Πνεύματος, οἷς κεκόσμηται ὁ οἶκος τοῦ Θεοῦ· «Ὧ μὲν γὰρ διὰ τοῦ Πνεύματος δίδοται λόγος σοφίας, ἄλλῳ δὲ λόγος γνώσεως, ἑτέρῳ δὲ πίστις ἐν τῷ αὐτῷ Πνεύματι· ἄλλῳ χαρίσματα ἰαμάτων, ἑτέρῳ δὲ γένη γλωσσῶν[4]», καὶ ὅσα ἄλλα κατέλεξεν ὁ θεῖος Ἀπόστολος. Ἐν τούτοις οὖν ἑαυτοὺς παρασκευάζουσιν οἱ τῶν κρειττόνων ἐφιέμενοι. Εἶτ᾽ ἐπειδὴ περὶ οἴκου Θεοῦ ἐμνημόνευσαν, ἀκολούθως ὁποῖος οὗτος τυγχάνει διδάσκουσι λέγοντες· «Ἅγιος ὁ ναός σου, θαυμαστὸς ἐν δικαιοσύνῃ.» Οὗτος γὰρ ἦν ὁ οἶκος τοῦ Θεοῦ, ὁ ἅγιος αὐτοῦ νεώς. Νεὼν δὲ ἄκουε τοῦ Θεοῦ ἅγιον οὐ τοίχων καὶ ὀρόφων οἰκοδομήματα, ἀλλὰ τὸν ἐκ ψυχῶν ἐκλεκτῶν συνεστῶτα ἤδη. Λίθοι ζῶντες οἱ ἅγιοι, καὶ οἶκος πνευματικὸς εἰς ἱεράτευμα ἅγιον τὸ σύστημα τῶν θεοσεβῶν εἶναι ὁ ἱερὸς Ἀπόστολος ἐδίδαξεν εἰπών· «Ὑμεῖς δὲ πάντες οἶκος Θεοῦ ἐστε, καὶ τὸ Πνεῦμα τοῦ Θεοῦ οἰκεῖ ἐν ὑμῖν· εἴ τις τὸν ναὸν τοῦ Θεοῦ φθείρει, φθερεῖ τοῦτον ὁ Θεός· ὁ γὰρ ναὸς τοῦ Θεοῦ ἅγιός ἐστιν, οἵτινές ἐστε ὑμεῖς.[5]» Τοῦτο δὲ εἰπών, συνῳδὰ τῷ μετὰ χεῖρας ἐδίδασκε λόγῳ φάσκοντι· «Ἅγιος ὁ ναός σου, θαυμαστὸς

1. Ψαλμ. 83, 3. 2. Ἰω. 14, 2. 3. Α' Τιμ. 3, 15. 4. Α' Κορ. 12, 8, 9. 5. Α' Κορ. 3, 16-17.

ἐν δικαιοσύνῃ.» Ὡς γὰρ τῶν αἰσθητῶν ναῶν θαυμάζεται πολλάκις ἡ κατασκευὴ διὰ φιλοκάλου πολυτελείας γενομένη· χρυσόροφα γοῦν καὶ διάγλυφα τεκταίνουσι, φιλοκαλοῦντες, ὕλῃ τε κιόνων καὶ μαρμάρων κατακοσμοῦσι τὰς οἰκοδομάς· τὸν αὐτὸν τρόπον ὁ τοῦ Θεοῦ νεὼς ἅγιος ὤν, καὶ τοῦτο πρῶτον κάλλιστον ἀγαθὸν κεκτημένος, τὸν ἔξωθεν περιβέβληται κόσμον, πολυποικίλῳ σοφίᾳ Θεοῦ, δικαιοσύνῃ τε καὶ ταῖς λοιπαῖς ἀρεταῖς, τοῖς τε τοῦ ἁγίου Πνεύματος χαρίσμασι πεποικιλμένος, ὡς ἔκπληξιν ἐμποιεῖν καὶ θαῦμα παρέχειν τοῖς ὁρῶσιν. Ὅθεν οἱ καταξιούμενοι τῆς ἐν αὐτῷ διατριβῆς χαίροντές φασι· «Πλησθησόμεθα ἐν τοῖς ἀγαθοῖς τοῦ οἴκου σου· ἅγιος ὁ ναός σου, θαυμαστὸς ἐν δικαιοσύνῃ.» Τήρει δὲ ὅπως ταῦτα κατὰ τοὺς χρόνους ἐλέγετο τοῦ Δαυΐδ, καθ' οὓς ὁ αἰσθητὸς ὑπὸ Σολομῶνος οὐδέπω κατεσκεύαστο νεώς· δεικνύντος ἐναργῶς τοῦ λόγου, ὅτι ὁ ἀληθῶς ναὸς τοῦ Θεοῦ οὐχ ὁ ἐκ λίθων ἀψύχων ᾠκοδομημένος ἦν, ἀλλ' ὁ ἀποδοθεὶς ἡμῖν κατὰ τὴν ἀποστολικὴν μαρτυρίαν. Καὶ ἄλλως δὲ καθ' ἑτέραν ἐκδοχήν, ἐπειδὴ ἀνωτέρω ἐμακάρισαν τὸν ἐκλεγέντα καὶ ἀναληφθέντα ὑπὸ τοῦ Θεοῦ, κατοικήσαντά τε ἤδη ἐν ταῖς αὐλαῖς αὐτοῦ ταῖς ἐπουρανίοις, εἰκότως καὶ αὐτοὶ τέως μένοντες κλητοί, εὐχόμενοι δὲ ἐκλεκτοὶ γενέσθαι καὶ τῶν αὐτῶν ἐπουρανίων μονῶν καταξιωθῆναι, ἐλπίδας ἀγαθὰς ἑαυτοῖς ὑπογράφουσιν, ἱκετεύοντες τυχεῖν τοῦ αὐτοῦ ἐπουρανίου οἴκου καὶ τῶν ἐν αὐτῷ ἀγαθῶν. Εἶθ' ὡς μεμαθηκότες ὁποῖός ἐστιν ὁ ἐπουράνιος τοῦ Θεοῦ οἶκος, ἑρμηνεύουσι τὴν ἀρετὴν αὐτοῦ φάσκοντες· «Ἅγιος ὁ ναός σου, θαυμαστὸς ἐν δικαιοσύνῃ.» Ναὸς δὲ ἐπουράνιος καὶ ἀληθῶς ἐπάξιος τοῦ Θεοῦ, ἐν ᾧ κατοικῶν ἐπινοεῖται ὁ τῶν ὅλων Θεός, τίς ἂν γένοιτο, ἢ ὁ μονογενὴς αὐτοῦ Λόγος, εἰς ὃν εὐδόκησε πᾶν τὸ πλήρωμα τῆς θεότητος κατοικῆσαι; Οὗτος οὖν ἀληθῶς θαυμαστός ἐστιν ἐν δικαιοσύνῃ· ἐπειδὴ γέγονεν ἡμῖν αὐτὸς σοφία ἀπὸ τοῦ Θεοῦ, δικαιοσύνη τε καὶ ἁγιασμὸς καὶ ἀπολύτρωσις.

«Ἐπάκουσον ἡμῶν, ὁ Θεὸς ὁ Σωτὴρ ἡμῶν, ἡ ἐλπὶς πάντων τῶν περάτων τῆς γῆς, καὶ τῶν ἐν θαλάσσῃ μακράν.» Ὁ μὲν δὴ ἐκλελεγμένος ὑπὸ σοῦ καὶ ἀναληφθεὶς εἰς τὸν ἐπουράνιον ναὸν μακάριος ἀληθῶς καὶ τρισμακάριος· ἡμεῖς δὲ ἐν ἐπαγγελίαις ὄντες τῶν προλεχθέντων ἀγαθῶν, ἐλπίσι τε ἀνηρτημένοι, ἤδη ποτὲ τούτων τυχεῖν εὐχόμεθα· διὸ παρακαλοῦμεν λέγοντες· «Ἐπάκουσον ἡμῶν, ὁ Θεὸς ὁ Σωτὴρ ἡμῶν·» ἐπακούσας δέ, μακαρίους γενέσθαι καταξίωσον, καὶ ἡμᾶς προσλαβόμενος, καὶ ἐκλεξάμενος καὶ κατοικίσας ἐν ταῖς αὐλαῖς σου· ἵν' ἐκεῖ γενόμενοι πλησθῶμεν τῶν ἀγαθῶν τοῦ οἴκου σου. Ἀγαθὰ δὲ τοῦ ἐπουρανίου οἴκου, ὁποῖα ἄν τις νοήσειεν, ἢ οἷα ὁ θεῖος Ἀπόστολος διέγραψεν εἰπών· «Ἃ ὀφθαλμὸς οὐκ εἶδεν, καὶ οὖς οὐκ ἤκουσε, καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη, ἃ ἡτοίμασεν ὁ Θεὸς τοῖς ἀγαπῶσιν αὐτόν;[1]» Ἐπάκουσον τοίνυν ἡμῶν, ὁ Θεὸς ὁ Σωτὴρ ἡμῶν,

1. Α' Κορ. 2, 9.

καὶ ἐπακούσας καταξίωσον καὶ ἡμᾶς τῶν ἀγαθῶν τοῦ οἴκου σου. Ταῦτα διδάσκονται λέγειν οἱ πάλαι ὄντες σάρκες, τῆς δὲ τοῦ Θεοῦ κλήσεως κατηξιωμένοι. Ἐπικαλοῦνται δὲ εὐκαίρως ἐν τούτοις τὸν ἑαυτῶν Σωτῆρα, ὃν καὶ ἀνωτέρω ἱλασμὸν ὠνόμασαν εἰπόντες, «καὶ τὰς ἀνομίας ἡμῶν σὺ ἱλάσῃ.» Καὶ ἐνταῦθα δὲ τὸν Σωτῆρα ἡ Ἑβραϊκὴ Γραφὴ τούτοις ἐγγράφει τοῖς χαρακτῆρσι, δι' ὧν καὶ ὁ ἡμέτερος Σωτὴρ Ἰησοῦς γράφεται. Τοῦτον δὲ αὐτὸν τὸν Σωτῆρα καὶ τὸν ἱλασμόν, «ἐλπίδα πάντων τῶν περάτων τῆς γῆς καὶ τῶν ἐν θαλάσσῃ μακρὰν» ὀνομάζουσιν, ἄντικρυς παριστῶντες μηδὲν ταῦτα πρὸς Ἰουδαίους· οὐ γὰρ μόνοις αὐτοῖς, πᾶσι δὲ τοῖς ἔθνεσι τὴν τοῦ Σωτῆρος χάριν εὐαγγελίζεσθαι, οἷς γνώμην Θεοῦ καὶ ἐπιστήμην θεσπίζουσιν· ὡς μηκέτι τὰς ἐλπίδας ἀναρτᾶν ἐπὶ τοὺς πάλαι νομιζομένους αὐτῶν θεούς, ἀλλ' ἐπὶ μόνον τὸν αὐτῶν γενόμενον Σωτῆρα. «Ἑτοιμάζων ὄρη ἐν τῇ ἰσχύϊ αὐτοῦ, περιεζωσμένος ἐν δυναστείᾳ.» Ἀντὶ τοῦ, «ἑτοιμάζων ὄρη, ἥδρασας ὄρη», ὁ Σύμμαχος ἡρμήνευσεν. Ἐπάξει δὲ ὁ λόγος τὰς περὶ τοῦ προλεχθέντος Σωτῆρος θεολογίας. Σὺ γὰρ εἶ, φησίν, ἡ ἐλπὶς πάντων τῶν περάτων τῆς γῆς ὁ τάδε καὶ τάδε τῇ σαυτοῦ δυνάμει μεγαλουργήσας. Πρῶτον μὲν ἡτοίμασας ὄρη ἐν τῇ ἰσχύϊ σου περιζωσάμενος δυναστείαν· εἶτα συνετάραξας τὸ κύτος τῆς θαλάσσης, καὶ τῶν κυμάτων αὐτῆς τὸ ἦχος ἐπράϋνας· εἶτα διὰ τούτων ἐτάραξας ἔθνη. Τούτων δὲ γενομένων, τὰ μεγάλα ὠφελήθησαν οἱ κατοικοῦντες τὰ πέρατα. Ἔγνωσαν γάρ σε, καὶ ἐφοβήθησαν ἀπὸ τῶν σημείων σου, ὡς μηκέτι λοιπὸν ἄλλην τινὰ ἐλπίδα πρὸ ὀφθαλμῶν τίθεσθαι ἢ σέ. Διὸ ἀνωτέρω ἐλέγετο· «Ἡ ἐλπὶς πάντων τῶν περάτων τῆς γῆς.» Οὗτοι γὰρ οἱ τὰ πέρατα τῆς γῆς οἰκοῦντες ἐν τοῖς προκειμένοις φοβηθήσεσθαι τὸν Θεὸν ἀπὸ τῶν σημείων αὐτοῦ θεσπίζονται ὑπὸ τοῦ φήσαντος λογίου· «Καὶ φοβηθήσονται οἱ κατοικοῦντες τὰ πέρατα ἀπὸ τῶν σημείων σου.» Ποῖα δὲ ἦν τὰ σημεῖα, ἅπερ θεασάμενοι οἱ κατοικοῦντες τὰ πέρατα ἐφοβήθησαν τὸν Θεὸν καὶ εἰς αὐτὸν ἤλπισαν, προεδίδαξεν εἰπών· «Ἑτοιμάζων ὄρη ἐν τῇ ἰσχύϊ αὐτοῦ, περιεζωσμένος ἐν δυναστείᾳ, ὁ συνταράσσων τὸ κύτος τῆς θαλάσσης, ἤχους κυμάτων αὐτῆς.» Τίς ὑποστήσεται; «Ταραχθήσονται ἔθνη.» Ταῦτα θεασάμενοι οἱ κατοικοῦντες τὰ πέρατα, ἐφοβήθησαν ἀπὸ τῶν σημείων αὐτοῦ. Δηλοῦται δὲ διὰ τούτων ἡ τῶν πάλαι ἐπαιρομένων κατὰ τῆς γνώσεως τοῦ Θεοῦ πονηρῶν πνευμάτων ταπείνωσις καὶ ἡ καθαίρεσις τῆς διαβολικῆς παρατάξεως, ἀρχῶν δηλαδὴ καὶ ἐξουσιῶν, καὶ κοσμοκρατόρων καὶ πνευματικῶν τῆς πονηρίας· ἅτινα πάλαι μὲν κατεκράτει τῶν ἐπὶ γῆς οἰκούντων ἐθνῶν, συνεκύκα τε καὶ συνετάραττε τὴν τοῦ ἀνθρωπείου βίου θάλασσαν, ὡς θεῶν δόξαν ἀποστέλλειν παρὰ πᾶσι τοῖς τὸ τῆς γῆς οἰκοῦσι στοιχεῖον. Καθῄρηται δὲ πάντα καὶ ἀνατέτραπται διὰ τῆς σωτηρίου θεοφανείας. Τὰ ὅμοια δὲ τούτοις καὶ ἄλλος προφήτης ὧδε θεσπίζει λέγων· «Ἀκούσατε, λαοὶ πάντες οἱ κατοικοῦντες ἐν αὐτῇ· καὶ ἔσται ὁ Θεὸς ὑμῖν εἰς

μαρτύριον, Κύριος ἐξ οἴκου ἁγίου αὐτοῦ. Διότι ἰδοὺ Κύριος καταβήσεται ἐκ τοῦ τόπου αὐτοῦ· καὶ ἐπιβήσεται Κύριος ἐπὶ τὰ ὕψη τῆς γῆς. Καὶ συντριβήσεται τὰ ὄρη ὑποκάτωθεν αὐτοῦ· καὶ αἱ κοιλάδες τακήσονται ὡς κηρὸς ἀπὸ προσώπου πυρὸς δι' ἀσέβειαν Ἰακώβ· ταῦτα πάντα καὶ δι' ἁμαρτίαν οἴκου Ἰσραήλ.[1]» Ἀλλὰ καὶ ἐν τῷ ιζ' ψαλμῷ, τὴν ἐξ οὐρανῶν ἐπὶ γῆς κατάβασιν τοῦ αὐτοῦ Κυρίου περιέχοντι, λέλεκται· «Καὶ ἐσαλεύθη καὶ ἔντρομος ἐγενήθη ἡ γῆ, καὶ τὰ θεμέλια τῶν ὀρέων ἐταράχθησαν καὶ ἐσαλεύθησαν, ὅτι ὠργίσθη αὐτοῖς ὁ Κύριος.[2]» Σημαίνεται δὲ διὰ τούτων κάθοδος τοῦ Κυρίου, δηλαδὴ τοῦ Θεοῦ Λόγου· εἶτ' ἐπὶ τῇ εἰς ἀνθρώπους καθόδῳ αὐτοῦ τῶν ἀφανῶν καὶ ἀοράτων δυνάμεων τῶν πάλαι εἰς ὕψος ἐπηρμένων, καὶ παρὰ πᾶσι τοῖς ἔθνεσι τετιμημένων καθαίρεσις καὶ ταπείνωσις καὶ σκεδασμός. Διὸ καὶ ἐν τοῖς μετὰ χεῖρας εἴρηται· «Ἑτοιμάζων ὄρη ἐν τῇ ἰσχύϊ αὐτοῦ, περιεζωσμένος ἐν δυναστείᾳ.» Δυναστείᾳ γὰρ περιεζωσμένος, τῇ αὐτοῦ ἰσχύϊ, τὰ προλεχθέντα ὄρη οὔπω μὲν εἰς τὸ παντελὲς ἀπώλεσεν· ἡτοίμασε δὲ εἰς τιμωρίαν τέως ἀφορίσας αὐτὰ καὶ ἀποστήσας τῆς κατὰ τῶν ἀνθρώπων τυραννίδος· ἀλλὰ καὶ τὸ κύτος τῆς θαλάσσης τῇ ἑαυτοῦ δυναστείᾳ κατέπαυσε. Διὸ λέλεκται· «Συνταράσσων τὸ κύτος τῆς θαλάσσης, ἤχους κυμάτων αὐτῆς.» Ἀντὶ δὲ τοῦ, «ὁ συνταράσσων», ὁ μὲν Ἀκύλας, «καταστέλλων·» ὁ δὲ Θεοδοτίων, «καταπραΰνων», καὶ ἡ πέμπτη ἔκδοσις, «ὁ καταπραΰνων», ἡρμήνευσαν. Λέγει δ' οὖν ὁ Ἀκύλας· «Καταστέλλων ἦχον θαλάσσης, θόρυβον κυμάτων αὐτῆς καὶ ὄχλον φυλῶν.» Ὥσπερ γὰρ τὰ προλεχθέντα ὄρη εἰς τὴν μέλλουσαν αὐτὰ διαλήψεσθαι τιμωρίαν ἡτοίμασεν, οὕτω κατέστειλε τὸν ἦχον θαλάσσης καὶ τὸν θόρυβον τῶν κυμάτων αὐτῆς. Τίς δὲ ἡ θάλασσα, καὶ ποταπὸς ὁ ἦχος αὐτῆς, καὶ τίς ὁ θόρυβος τῶν κυμάτων αὐτῆς, ἑξῆς διασαφεῖ ὁ Ἀκύλας εἰπών· «Καὶ ὄχλον φυλῶν.» Ὁ γὰρ πολὺς ὄχλος τῶν πάλαι ἐθνῶν, καὶ τῶν κατὰ πᾶν γένος ἀνθρώπων φυλῶν ἦν, ὅτε κῦμα τοῦ τῶν ἀνθρώπων βίου, καὶ ἡ τοιαύτη τοῦ θνητοῦ βίου θάλασσα τῆς τῶν ἀνθρώπων κακίας πεπληρωμένη, πολὺν θόρυβον εἶχε, μέγαν τε ἦχον ἐξαπέστειλεν· ἅτε τὸν δράκοντα οἰκοῦντα ἐν αὐτῇ κεκτημένη, περὶ οὗ λέλεκται· «Ἐπάξει Κύριος ὁ Θεὸς τὴν μάχαιραν ἐπὶ τὸν δράκοντα, ὄφιν τὸν σκολιόν, καὶ ἀνελεῖ τὸν δράκοντα τὸν ἐν τῇ θαλάσσῃ·[3]» καὶ ἀλλαχοῦ προειπὼν ὁ λόγος· «Αὕτη ἡ θάλασσα ἡ μεγάλη καὶ εὐρύχωρος[4]», ἐπιλέγει· «Ἐκεῖ δράκων οὗτος, ὃν ἔπλασας ἐμπαίζειν αὐτῷ.[5]» Ἀλλὰ γὰρ ἀθρόως καὶ τὸν δράκοντα καὶ τὴν θάλασσαν, καὶ τὸν τῶν κυμάτων αὐτῆς ἦχον, ἡ ἐλπὶς πάντων τῶν περάτων τῆς γῆς, ἐπιφανεῖσα ἀνθρώποις, κατέστειλε καὶ κατεπράϋνε, τόν τε ὄχλον τῶν φυλῶν ἔσβεσε. Τούτων δὲ γενομένων, ἑξῆς καὶ ἀκολούθως εἴρηται· «Καὶ

1. Μιχ. 1, 2-5. 2. Ψαλμ. 17, 8. 3. Ἡσ. 27, 1. 4. Ψαλμ. 103, 25. 5. Ψαλμ. 103, 26.

φοβηθήσονται οἱ κατοικοῦντες τὰ πέρατα ἀπὸ τῶν σημείων σου.» Ἱκανὰ γὰρ ἦν τὰ προλεχθέντα σημεῖα, ὄρη ταπεινούμενα καὶ θαλάσσης ἦχος καταστελλόμενος, θόρυβός τε κυμάτων μηκέτι ταράττων κατὰ τὸ παλαιόν, ἀλλὰ καὶ ὄχλος φυλῶν καὶ αὐτὸς σβεννύμενος, φόβον ἐμποιῆσαι τοῖς κατοικοῦσι τὰ πέρατα· ὡς μηκέτι τὰ προλεχθέντα πάντα φοβεῖσθαι, ἀλλ' ἕνα μόνον τὸν πάντων ἐκείνων νικητήν· ὅν τινα λοιπὸν γνόντες καὶ φοβούμενοι, τοῦ φάσκοντος μακαρισμοῦ τυγχάνουσι· «Μακάριοι πάντες οἱ φοβούμενοι τὸν Κύριον.[1]» Τίνες δ' ἂν εἶεν οὗτοι, τὸ παρὸν λόγιον διδάσκει φάσκον· «Καὶ φοβηθήσονται οἱ κατοικοῦντες τὰ πέρατα ἀπὸ τῶν σημείων σου.» Κατοικεῖν δὲ λέγονται τὰ πέρατα οὐ πάντως οἱ τὰς ἐσχατιὰς τῆς γῆς οἰκοῦντες, ἀλλ' οἱ δυνάμενοι ὁμοίως Παύλῳ λέγειν· «Ἐν σαρκὶ γὰρ ζῶντες, οὐ κατὰ σάρκα στρατευόμεθα·[2]» καί· «Ζῶ δὲ οὐκέτι ἐγώ, ζῇ δὲ ἐν ἐμοὶ Χριστός.[3]» Οὗτοι γάρ, οὔτε ἐμβαθύναντες τοῖς ἀνθρωπίνοις πράγμασιν, οὔτε πάντῃ ἐκτὸς ὄντες αὐτῶν, ὥσπερ ἐν μεθορίῳ καθεστήκασιν, ἀμφὶ τὰ πέρατα τῆς ἀνθρωπίνης ζωῆς πολιτευόμενοι. Οἱ δή, πολλῆς αἰσθήσεως μετασχόντες, τὰ σημεῖα τοῦ Σωτῆρος ἡμῶν θεασάμενοι, οἱ ἐν ἀρχῇ γεγόνασι σοφίας, τὸν φόβον τοῦ Θεοῦ ἀνειληφότες. Τίς δὲ τὰ ὑψώματα τῶν κατὰ χρόνους ἀρχόντων καὶ τὰς κατὰ τῆς Ἐκκλησίας τοῦ Θεοῦ ἐπαναστάσεις, τούς τε διωγμοὺς καὶ τὰς ἀπειλὰς τῶν ἀσεβῶν ἀνδρῶν τεθεαμένος, οὐκ ἂν εἴποι ὄρη εἶναι ὑψούμενα καὶ θάλασσαν ἀληθῶς κυμαίνουσαν, ἦχόν τε κυμάτων τὰς τῶν ἀσεβῶν καὶ ἀθέων βλασφημίας; Ἃ δὴ πάντα ἐν τῇ ἰσχύϊ αὐτοῦ ὁ Σωτὴρ πάντων τῶν περάτων τῆς γῆς μιᾷ ῥοπῇ ταπεινοῦν εἴωθεν· ὡς τοὺς ὁρῶντας τὴν πτῶσιν αὐτῶν καὶ τὴν ἀπώλειαν ταράττεσθαι· τοὺς δὲ ὠφελεῖσθαι καὶ φόβον ἀναλαμβάνειν Θεοῦ, σημεῖα ἐναργῆ τῆς τοῦ Σωτῆρος ἐνθέου δυνάμεως τὴν τῶν ἀσεβῶν καθαίρεσιν εἶναι ὁμολογοῦντας.

Στίχ. ι', ια'. «Ἐξόδους πρωΐας καὶ ἑσπέρας τέρψεις· ἐπεσκέψω τὴν γῆν καὶ ἐμέθυσας αὐτήν.»

Πρὸς τοῖς κατειλεγμένοις καὶ ἄλλα σημεῖα τῆς τοῦ Σωτῆρος δυνάμεως παρίστη λέγων· «Ἐξόδους πρωΐας καὶ ἑσπέρας τέρψεις·» ἀνθ' οὗ ὁ Σύμμαχος ἡρμήνευσε· «Τὰς προελεύσεις τοῦ ὄρθρου καὶ τῆς ἑσπέρας τὰς ὑμνολογίας.» Ἓν γὰρ καὶ τοῦτο μέγιστον σημεῖον τυγχάνει τῆς σωτηρίου δυνάμεως, τὸ μετὰ τὴν ταπείνωσιν τῶν προλεχθέντων συστήσασθαι ἐν ἀνθρώποις ἐξόδους πρωΐας καὶ ἑσπέρας τέρψεις· ἢ κατὰ τὸν Σύμμαχον, «ὑμνολογίας», ἤ, κατὰ τὸν Ἀκύλαν, «αἰνοποιήσεις.» Τὸ γὰρ καθ' ὅλης τῆς οἰκουμένης ἐν ταῖς ἐκκλησίαις τοῦ Θεοῦ κατὰ τὰς πρωϊνὰς τοῦ ἡλίου ἐξόδους, κατά τε τὰς ἑσπερινὰς ὥρας ὑμνολογίας καὶ αἰνοποιήσεις, καὶ θείας ἀληθῶς τέρψεις τῷ Θεῷ συστήσασθαι, οὐ τὸ τυχὸν ἦν Θεοῦ ἀρετῆς σημεῖον. Θεοῦ δὲ τέρψεις

1. Ψαλμ. 127, 1. 2. Β' Κορ. 10, 3. 3. Γαλ. 2, 20.

οἱ πανταχοῦ τῆς γῆς ἐν τῇ Ἐκκλησίᾳ αὐτοῦ ἀναπεμπόμενοι κατὰ τοὺς ὀρθρινοὺς καὶ κατὰ τοὺς ἑσπερινοὺς καιροὺς ὕμνοι τυγχάνουσι. Διὸ λέλεκταί που· «Ἡδυνθείη αὐτῷ ἡ αἴνεσίς μου·[1]» καὶ πάλιν· «Ἔπαρσις τῶν χειρῶν μου θυσία ἑσπερινή·[2]» καί· «Γενηθήτω ἡ προσευχή μου ὡς θυμίαμα ἐνώπιόν σου.[3]» Καὶ αὗται οὖν αἱ τέρψεις σημεῖα τυγχάνουσι τοῦ Σωτῆρος. Καὶ ἄλλο δὲ πρὸς τούτοις σημεῖον μέγιστον καταριθμεῖται ἑξῆς λέγων· «Ἐπεσκέψω τὴν γῆν, καὶ ἐμέθυσας αὐτήν.» Ὡς γὰρ νοσοῦντα ἰατρὸς ἐφορᾷ καὶ ἐπισκέπτεται, ἐπιμέλειαν ποιούμενος τοῦ πάθους, πάντα τε τὰ πρὸς ἴασιν καὶ σωτηρίαν συντελοῦντα συμβαλλόμενος· τὸν αὐτὸν τρόπον καὶ σὺ ὁ Σωτὴρ ἡμῶν, ἡ ἐλπὶς πάντων τῶν περάτων τῆς γῆς, περιζωσάμενος δυναστείαν τῇ ἰσχύϊ σου, ταῦτα πάντα εἰργάσω· τὰς μὲν ἀντικειμένας καθεῖλες δυνάμεις, συνεστήσω δὲ ἐπὶ γῆς πρωϊνὰς καὶ ἑσπερινὰς τέρψεις· καὶ ταῦτ' ἔπραξας, καταξιώσας τῆς σεαυτοῦ ἐπισκοπῆς τοὺς ἐπὶ γῆς ἀνθρώπους, δι' ἧς μυρία αὐτοῖς ἀγαθὰ δεδώρηται· ὡς πληρῶσαι αὐτοὺς καὶ μεθῦσαι ταῖς ἀγαθαῖς σου χορηγίαις, πλουτίσαι τε αὐτοὺς κατὰ τὸν Ἀπόστολον φήσαντα· «Ἐν παντὶ ἐπλουτίσθητε ἐν αὐτῷ, ἐν παντὶ λόγῳ καὶ πάσῃ γνώσει·[4]» ἢ κατὰ τὸν Σύμμαχον φήσαντα· «Πολυκαρπίᾳ πλουτίσεις αὐτήν.» Πῶς δὲ ἐμέθυσε τὴν γῆν, καὶ πῶς ἐπλούτισε καὶ ἐπλήρωσεν αὐτὴν πολυκαρπίας, διασαφεῖ λέγων ἑξῆς· «Ὁ ποταμὸς τοῦ Θεοῦ ἐπληρώθη ὑδάτων.» Τὸν γὰρ σεαυτοῦ ποταμὸν τοῦ ἁγίου Πνεύματος, τὸν ἀπὸ τῆς ἐν σοὶ πηγῆς ἀναβλυσταίνοντα, τοῖς ἐπὶ γῆς οἰκοῦσι δωρησάμενος, τὴν λογικὴν καὶ νοερὰν αὐτῶν χώραν γῆν ὀνομαζομένην, πολλῷ τῷ ῥεύματι κατακλύσας, μεθύσας τοῖς τῆς σοφίας ὀμβρήμασιν, «ἐπλήθυνάς τε τοῦ πλουτίσαι αὐτήν» τοῖς τοῦ ἁγίου Πνεύματος διαφόροις χαρίσμασι. Τούτου δὲ «τοῦ ποταμοῦ τὰ ὁρμήματα εὐφραίνουσι τὴν πόλιν τοῦ Θεοῦ.» Καὶ ὁ Σωτὴρ δὲ περὶ τοῦ αὐτοῦ ἐδίδασκε λέγων· «Ὃς ἂν πίῃ ἐκ τοῦ ὕδατος οὗ ἐγὼ δώσω αὐτῷ, ποταμοὶ ἐκ τῆς κοιλίας αὐτοῦ ῥεύσουσιν ὕδατος ζῶντος, ἁλλομένου εἰς ζωὴν αἰώνιον. Τοῦτο δὲ ἔλεγε περὶ τοῦ Πνεύματος, οὗ ἤμελλον λαμβάνειν οἱ πιστεύοντες εἰς αὐτόν.[5]» Οὗτος οὖν ὁ ποταμὸς τοῦ Θεοῦ ἐπληρώθη ὑδάτων· ὥστ' ἂν εἰπεῖν· «Ἐκ τοῦ πληρώματος αὐτοῦ ἡμεῖς πάντες ἐλάβομεν.[6]» Πολλῶν δὲ ὑδάτων ὁ ποταμὸς πεπλήρωται, διὰ τὸ μὴ ὁμοίους εἶναι τοὺς ἐξ αὐτοῦ ποτιζομένους. Διαφόρων δὲ ὄντων ταγμάτων τῶν μεταλαμβανόντων αὐτοῦ, εἰκότως ἑκάστῳ παρέχων τὰ πρόσφορα, πολλῶν ὑδάτων πεπληρῶσθαι λέγεται· ὧν μεταλαβοῦσα ἡ λογικὴ χώρα, τὰς ἐπιτηδείους ἑκάστῳ δίδωσι τροφάς, καὶ τοὺς ἐπαξίους τοῦ τοσούτου ποταμοῦ καρπούς. Διὸ λέλεκται· «Ἡτοίμασας τὴν τροφὴν αὐτῶν, ὅτι οὕτως ἡ ἑτοιμασία.» Κατὰ δὲ τὸν Σύμμαχον·

---

1. Ψαλμ. 146, 1. 2. Ψαλμ. 140, 2. 3. Ψαλμ. 140, 2. 4. Α' Κορ. 1, 5. 5. Ἰω. 7, 38-39. 6. Ἰω. 1, 16.

«Τελεσφορήσεις», φησί, «τὴν σπερματίαν αὐτῆς, ὅτι οὕτως ἥδρασας αὐτήν», δηλονότι τὴν γῆν, «καὶ ἐμέθυσας αὐτήν, ἐπλήθυνας τοῦ πλουτίσαι αὐτήν.» Τῷ οὖν ποταμῷ τῷ σῷ τελεσφορήσεις τὴν σπερματίαν αὐτῆς, τουτέστι τὰ σπέρματα ἐν αὐτῇ καταβληθέντα σὺ αὐτὸς διὰ τοῦ σαυτοῦ ποταμοῦ τελεσφορηθῆναι ποιήσεις, ὡς τελείους ἀποδοῦναι τοὺς στάχεις. Οὕτω γοῦν κατὰ τὸ Εὐαγγέλιον, ἡ μὲν ποιήσει λ', ἡ δὲ ξ', ἡ δὲ ρ', τῆς ἀνθρωπίνης ψυχῆς γῆς ὀνομαζομένης, καὶ κατὰ τὴν σωτήριον παραβολήν· «Τοὺς αὔλακας αὐτῆς μέθυσον· πλήθυνον τὰ γεννήματα αὐτῆς· ἐν ταῖς σταγόσιν αὐτῆς εὐφρανθήσεται ἀνατέλλουσα.» Διεξελθὼν ὁ προφητικὸς λόγος τὰ σημεῖα τῆς τοῦ Σωτῆρος ἀρετῆς, καὶ τῇ τοῦ Πνεύματος προγνώσει τὰ ἐσόμενα, ὡς ἤδη δι' ἔργων κεχωρηκότα τεθεαμένος· ὅπως μὲν τῶν ἀντικειμένων ἀνατροπὴν εἰργάσατο, ὅπως δὲ ἐπεσκέψατο τὴν γῆν καὶ ἐμέθυσεν αὐτήν, καὶ ὡς ἐπλήθυνε τοῦ πλουτίσαι αὐτήν, πληρωθέντος ὑδάτων τοῦ ποταμοῦ τοῦ Θεοῦ. Ταῦτα θεσπίσας, καὶ ὡς ἤδη πρὸ ὀφθαλμῶν ὁρώμενα θεασάμενος, ἐπ' εὐχὴν τρέπεται, καὶ τὸν Θεὸν ἱκετεύει λέγων· «Τοὺς αὔλακας αὐτῆς μέθυσον, καὶ πλήθυνον τὰ γεννήματα αὐτῆς.» Αὔλακες δὲ ψυχῆς εἶεν ἂν οἱ κατὰ βάθους αὐτῆς λογισμοί, καὶ τῆς συνειδήσεως αὐτῆς ἡ κρύφιος καὶ τοὺς πολλοὺς λανθάνουσα δύναμις, ἣν ὁ τοῦ Θεοῦ λόγος ἀρότρου δίκην ἀνατέμνων καὶ μεταβάλλων, λεῖον ἀπεργάζεται· περιελών τε τὰς ἀκάνθας, καὶ τὴν περιττὴν ὕλην, ἐντίθησι τὰ ἑαυτοῦ σπέρματα· εἶτα τοῖς λογικοῖς νάμασιν ἀρδεύων, μεθύσκει αὐτήν. Διὸ λέλεκται· «Τοὺς αὔλακας αὐτῆς μέθυσον, καὶ πλήθυνον τὰ γεννήματα αὐτῆς.» Εἶτα ἀντὶ τοῦ· «Ἐν ταῖς σταγόσιν αὐτῆς εὐφρανθήσεται ἀνατέλλουσα·» κατὰ τὸν Σύμμαχον· «Ταῖς ψεκάσιν αὐτῆς χαυνώσεις αὐτὴν καὶ τὸ βλάστημα αὐτῆς», εἴρηται. Καὶ πάντα δὲ ταῦτα σημεῖα τυγχάνει τοῦ ἐπισκεψαμένου τὴν Ἐκκλησίαν αὐτοῦ· ἃ δὴ πάλαι προλεχθέντα οὐδ' ἄλλως εἰς ἔργα κεχώρηκεν ἢ διὰ τῆς τοῦ Σωτῆρος ἡμῶν ἐπιφανείας· δι' ἧς οἱ κατηξιωμένοι τῆς αὐτοῦ χάριτος, τὰ ἐξ οὐρανῶν σπέρματα ταῖς αὐτῶν ψυχαῖς ἀποδεξάμενοι, καρποὺς εὐθαλεῖς παρέχουσιν· οἱ μὲν ρ' ποιοῦντες, οἱ δὲ ξ', οἱ δὲ λ'. Ὁρῶν δέ τις ἐν τῇ Ἐκκλησίᾳ τοῦ Θεοῦ τὰ διάφορα τάγματα τῶν ἐν Χριστῷ προκοπτόντων, τὴν παγκαρπίαν εἴσεται τῶν διὰ τῆς προκειμένης προφητείας θεσπιζομένων.

Στίχ. ιβ', ιδ'. «Εὐλογήσεις τὸν στέφανον τοῦ ἐνιαυτοῦ τῆς χρηστότητός σου, καὶ τὰ πεδία σου πλησθήσεται πιότητος.»

Ἐπειδὴ κηρῦξαι ἐνιαυτὸν Κυρίου δεκτόν, καὶ ἡμέραν ἀνταποδόσεως ἐληλυθέναι λέγεται ὁ Σωτήρ, κατὰ τὴν φάσκουσαν ἐξ αὐτοῦ προσώπου Γραφήν· «Πνεῦμα Κυρίου ἐπ' ἐμέ, οὗ εἵνεκεν ἔχρισέ με· εὐαγγελίσασθαι πτωχοῖς ἀπέσταλκέ με· κηρῦξαι αἰχμαλώτοις ἄφεσιν καὶ τυφλοῖς ἀνάβλεψιν· καλέσαι ἐνιαυτὸν Κυρίου δεκτόν, καὶ ἡμέραν ἀνταποδόσεως·[1]» εἰκότως καὶ ἐνταῦθα τὴν ἡμέραν σημαίνει τῆς ἀντα-

1. Ἡσ. 61, 1-2.

ποδόσεως. Ἔστι δὲ αὕτη ὁ μέλλων ἐπιστήσεσθαι αἰὼν μετὰ τὴν τοῦ ἐνεστῶτος συντέλειαν. Ἐκεῖνον τοίνυν τὸν ἐνιαυτὸν ὥσπερ στεφάνῳ κοσμηθήσεσθαι διὰ τῶν νεαρῶν καὶ ὡραίων ἀνθῶν τῶν μελλόντων ἐν αὐτῷ πολιτεύεσθαι, τὸ παρὸν θεσπίζει λόγιον φάσκον·«Εὐλογήσεις τὸν στέφανον τοῦ ἐνιαυτοῦ τῆς χρηστότητός σου.» Ὁ γὰρ ἐνιαυτὸς ἐκεῖνος ὁ τοῦ μέλλοντος αἰῶνος, χρηστότητος ὢν Θεοῦ, στέφανον ἕξει ηὐλογημένον, σύμπαντα χορὸν τῶν ἁγίων. Ὅντινα στέφανον, εὐλογήσας, περιθήσεται ὁ Χριστὸς τοῦ Θεοῦ, τοῖς τῆς αὐτῶν γεωργίας ἄνθεσιν ὡραϊζόμενος. Ἀλλὰ καὶ αὐτὸς αὐτῶν γενήσεται στέφανος κατὰ τὸν Ἡσαΐαν φήσαντα· «Καὶ ἔσται Κύριος Σαβαὼθ ὁ στέφανος τῆς δόξης.[1] Τότε δὲ καὶ τὰ πεδία τοῦ Θεοῦ πλησθήσεται πιότητος, καὶ τὰ ὄρεα δὲ τῆς ἐρήμου τότε πιανθήσεται.[2]» Ἔτι μὴν καὶ «οἱ βουνοὶ» τότε «ἀγαλλίασιν περιζώσονται.» Καὶ πρὸς τούτοις ἅπασιν οἱ κριοὶ τῶν προβάτων τοὺς ἰδίους ἐνδύσονται πόκους. Νοήσεις δὲ ταῦτα, τὴν διαφορὰν ὑποθέμενος ἑαυτῷ τῶν σῳζομένων· ὧν οἱ μέν, ὡς ἐν παραθέσει τῶν κρειττόνων τὸν βίον ὑποβεβηκότες, ἀλληγορικῷ τρόπῳ πεδία Θεοῦ προσηγορεύθησαν πιότητος πληρούμενα· διὸ λέλεκται· «Τὰ πεδία σου πλησθήσεται πιότητος·» οἱ δὲ ἤδη ἐν διαφόροις ἀρεταῖς ἀνθοῦντες ὄρεα τῆς πρὶν ἐρήμου Ἐκκλησίας ὠνομάσθησαν· οἵ, καὶ αὐτοὶ πλουσίως ἀρδόμενοι ἐκ τοῦ δηλωθέντος ποταμοῦ, πιανθήσεσθαι λέγονται· ἀλλὰ καὶ οἱ ἔτι τούτων ὑψηλότεροι βουνοὶ τροπικῶς καλούμενοι ἀγαλλίασιν περιζώσονται. Καὶ τρία μὲν ταῦτα τάγματα κατὰ τὸν μέλλοντα ἐνιαυτὸν τῆς χρηστότητος τοῦ Θεοῦ τεύξεται τῆς μακαριότητος· τάχα που ἐξ ἐκείνων ὄντες, ὧν οἱ μὲν ἐποίουν ρ', οἱ δὲ ξ', οἱ δὲ λ'. Οἱ δὲ τούτων ἐπιστησόμενοι ἄρχοντές τινες καὶ ἡγεμόνες τινὲς αὐτῶν, ἐν δυνάμεσιν ἐξαιρέτοις κοσμηθήσονται· διὸ λέλεκται· «Ἐνεδύσαντο οἱ κριοὶ τῶν προβάτων·» ἀντὶ τοῦ · «Ἐνδύσονται.» Κριοὺς δὲ προβάτων τοὺς ἄρχοντας τοὺς ἡγουμένους τῶν προλεχθέντων νοήσεις, οἵτινες ἐνεδύσαντο ἢ καὶ μᾶλλον ἐνδύσονται. Τί δὲ ἐνδύσονται, ἡμῖν καταλέλοιπεν νοεῖν· διδάσκει δὲ τὸ ἔνδυμα τούτων ὁ θεῖος Ἀπόστολος λέγων· «Δεῖ τὸ φθαρτὸν τοῦτο ἐνδύσασθαι ἀφθαρσίαν·[3]» καὶ πάλιν· «Ἐφ' ᾧ οὐ θέλομεν ἐνδύσασθαι, ἀλλ' ἐπενδύσασθαι, ἵνα καταποθῇ τὸ θνητὸν ὑπὸ τῆς ζωῆς.[4]» Ἐνδύσονται τοίνυν οἱ κριοὶ τὸ ἐμπρέπον αὐτοῖς ἔνδυμα, τοῦ φθαρτοῦ σώματος αὐτοῖς μεταβάλλοντος εἰς ἀφθαρσίαν, καὶ τοῦ θνητοῦ εἰς ἀθανασίαν. Οὕτω γοῦν κατὰ τὸ παράδειγμα καὶ οἱ κριοὶ οἴκοθεν ἐπάγονται τὸ ἔνδυμα, τοῦ σώματος αὐτοῖς καρποφοροῦντος τὸν πόκον. Ἀλλὰ καὶ αὐτὸν ἐνδύσονται τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν, τὸ ἐξαίρετον ἔνδυμα τὸ φῶς τῆς θεότητος αὐτοῦ περιβαλλόμενοι. Ἔτι μὲν καὶ «αἱ κοιλάδες» τότε «πληθυνοῦσι σῖτον.» Ἔδει

1. Ἡσ. 28, 5. 2. Πρβλ. Ψαλμ. 64, 12, 13. 3. Α' Κορ. 15, 53. 4. Β' Κορ. 5, 4.

γὰρ μηδὲ τῶν κοιλάδων ἀμνημονῆσαι· ἀνωτέρω μὲν γὰρ πεδιάδες ὠνομάσθησαν καὶ ὄρεα ἐρήμου καὶ βουνοί. Ἐπειδὴ δέ εἰσι καὶ παρὰ τὰ λεχθέντα τάγματα ἄλλοι τινὲς ταπεινότεροι, καὶ οὐκ ἀπόβλητοι μὲν τῆς βασιλείας, πλὴν ὡς ἐν παραθέσει τῶν προλεχθέντων σμικροὶ καὶ βραχεῖς, πάντων τε ὡς ἂν εἴποι τις, ἔσχατοι· ἀναγκαίως οὐδὲ τούτων παρῆλθε τὴν μνήμην ὁ λόγος· ἀλλὰ καὶ αὐτοὺς καρπὸν οἴσειν τὸν ἐπιβάλλοντα διδάσκει λέγων· «Καὶ αἱ κοιλάδες πληθυνοῦσι σῖτον» προφέρουσαι, ἤ, «τὴν τροφήν», κατὰ τὸν Σύμμαχον. «Κεκράξονται.» Τί δὲ κεκράξονται, ἑρμηνεύει ἑξῆς λέγων· «Καὶ γὰρ ὑμνήσουσιν·» ὡσεὶ σαφέστερον εἰρήκει· Εἰ γὰρ κοιλάδες τυγχάνουσιν, ὅμως δ' οὖν ὑμνήσουσι τὸν καὶ αὐτοῖς τῶν ἀγαθῶν πάροχον. Ὑμνοῦσαι δὲ κεκράξονται, παρρησίᾳ χρώμεναι καὶ βοῇ μεγάλῃ. Βοῶσαι δὲ κραυγῇ καὶ ὑμνοῦσαι ποίας προήσονται φωνάς, ἢ τὰς ἐν ἀρχῇ παντὸς ψαλμοῦ φερομένας· «Σοὶ πρέπει ὕμνος, ὁ Θεός, ἐν Σιών», λέγουσαι; Ἀναγκαίως δὲ πρόκειται τό· «Κεκράξονται, καὶ γὰρ ὑμνήσουσι», περὶ τῶν κοιλάδων, ἢ καὶ περὶ τῶν προλεχθέντων ἁπάντων, ὡς ἂν μάθοιμεν, ὅτι μὴ περὶ αἰσθητῶν καὶ σωματικῶν τόπων ὁ λόγος ταῦτα διδάσκει· καίτοι καὶ περὶ τούτων εἰκὸς ἦν τὰ προλεχθέντα λέγεσθαι νομίζειν ἐπὶ τοῖς αἰσθητοῖς τοῦ Θεοῦ δωρήμασιν, ὥστ' εἶναι εὐχαριστήριον ὕμνον, ὡς πρὸς τὴν λέξιν, ὑπὲρ τῶν κατ' ἔτος ἀνθρώποις χορηγουμένων τὸν παρόντα λόγον. Καθ' ἕκαστον γοῦν ἐνιαυτὸν ὁ φιλάνθρωπος καὶ παντὸς ἀγαθοῦ δοτὴρ Θεός, ἐπισκεπτόμενος τὴν γῆν, μεθύσκει αὐτήν, ἄρδων τοῖς συνήθεσιν ὄμβροις, πληροῖ τε αὐτῆς τοὺς αὔλακας ταῖς τῶν ὑετῶν χορηγίαις. Τά τε γεννήματα αὐτῆς πληθύνων εὐλογήσει. Ἡ δὲ εὐφραίνεται, νεκροποιηθεῖσά τε ἀνατέλλει. Κἄπειτα πληρουμένη παντοίων καρπῶν, σπορίμων τε καὶ ἀκροδρύων στεφανοῦται, ὡς μὴ ἂν ὀκνῆσαι κατὰ τὸν τοῦ ἔαρος καιρὸν ἐστεφανῶσθαι λέγειν αὐτήν, τά τε πεδία πληθύεσθαι πιότητος· καὶ μὴν καὶ τὰ ὄρεα ἐρήμου ἀνθεῖν, καὶ τοὺς βουνοὺς ἀγαλλίασιν περιζώννυσθαι· ἀλλὰ καὶ τοὺς κριοὺς τῶν προβάτων τοῖς ἑαυτῶν πόκοις ἐνδιδύσκεσθαι, αὐτάς τε τὰς κοιλάδας χώρας πολλάκις πληροῦσθαι σίτου, καὶ μονονουχὶ τῷ ἔργῳ βοᾶν καὶ τὸν Θεὸν δοξάζειν. Ταῦτα δὲ εἰ καὶ ὅτι μάλιστα αἰσθητῶς πληροῦται καθ' ἕκαστον ἔτος, ἀλλ' ἡ σύμφρασις τῆς τοῦ παντὸς λόγου ἀκολουθίας ἐπὶ τὴν θεωρίαν ἡμᾶς ἀναπέμπουσα ἀποδέδεικται. Ὁμοῦ δὴ οὖν τὰ προλεχθέντα πάντα, λέγω δὲ τὰ πεδία καὶ τὰ ὄρεα τῆς ἐρήμου, οἵ τε βουνοὶ καὶ οἱ κριοὶ τῶν προβάτων, καὶ πρὸς τούτοις αἱ ἀποδοθεῖσαι κοιλάδες κατὰ τὴν ἀποδοθεῖσαν ἑρμηνείαν, κατά τε τὴν πρόχειρον διάνοιαν, μίαν ἀφήσειν φωνὴν καὶ σύμφωνον μελῳδίαν τῷ Θεῷ εἴρηνται. Διὸ κατὰ πάντων ἀκούσῃ τό· «Κεκράξονται καὶ ὑμνήσουσιν.»

ΕΙΣ ΤΟ ΤΕΛΟΣ, ῼΔΗ ΨΑΛΜΟΥ ΞΕʹ.

Στίχ. βʹ. «Ἀλαλάξατε τῷ Θεῷ πᾶσα ἡ γῆ, ψάλατε δὴ τῷ ὀνόματι αὐτοῦ, δότε δόξαν αἰνέσει αὐτοῦ.»

Εὐαγγελικὸς ὑπάρχει καὶ ὁ παρὼν ψαλμός, τὴν τῶν ἐθνῶν περιέχων κλῆσιν. Ἤμελλε δὲ ἄρα οὐ καθ' οὓς ᾔδετο χρόνους τέλους τυγχάνειν, ἀλλ' ἐπὶ συντελείᾳ τῶν αἰώνων. Διὸ ἀναπέμπει τὴν τῶν δηλουμένων προφητείαν εἰς τὸ τέλος. Ἔστι δὲ ᾠδὴ ψαλμοῦ ἔμπαλιν· ἢ κατὰ τὸν πρὸ αὐτοῦ, ὡς ἐπεγέγραπτο, «Ψαλμὸς ᾠδῆς.» Ἦδε γὰρ καὶ ἔψαλλε τὸ Πνεῦμα τὸ ἅγιον σὺν πολλῇ χαρᾷ διὰ τῆς ὑποδεξαμένης αὐτὸ προφητικῆς ψυχῆς ἐπὶ τοῖς δι' αὐτοῦ θεσπιζομένοις ἀγαθοῖς, ἐφ' οἷς καὶ πᾶσι τοῖς ἔθνεσι τοῖς τὴν σωτήριον χάριν ὑποδεξομένοις παρακελεύεται πράττειν τινά, ἅπερ ἀναγκαῖον ἐπιτελεῖν ἡμᾶς, οἷς ταῦτα προανεφωνεῖτο. Προστάττει τοίνυν πάσῃ τῇ γῇ, τουτέστι τοῖς τὸ τῆς γῆς στοιχεῖον οἰκοῦσιν ἅπασι, μὴ τοῖς Μωϋσέως παραγγέλμασι καὶ τῷ βαρεῖ ζυγῷ τοῦ νόμου ἑαυτοὺς ὑποτάττειν· μόνα δὲ τὰ διὰ τῶν μετὰ χεῖρας κελευόμενα ποιεῖν· καὶ πρῶτον μὲν ἀλαλάζειν τῷ Θεῷ, δεύτερον ψάλλειν τῷ ὀνόματι αὐτοῦ, τρίτον δόξαν διδόναι τῇ αἰνέσει αὐτοῦ· τέταρτον λέγειν τῷ Θεῷ· «Ὡς φοβερὰ τὰ ἔργα σου·» καί· «Ἐν τῷ πλήθει τῆς δυνάμεώς σου ψεύσονταί σε οἱ ἐχθροί σου.» Τὸ μὲν οὖν πρῶτον δι' ἐπιστήμης καὶ γνώσεως ἀληθοῦς ἐπιτελέσωμεν ἀλαλάζοντες τῷ Θεῷ, δίκην τῶν ἐν πολέμοις ἀναφωνούντων καὶ ἀλαλαζόντων στρατιωτῶν, οἳ τῇ δυνάμει τῆς φωνῆς καταπληκτικοὺς καὶ φοβεροὺς ἑαυτοὺς τοῖς πολεμίοις ἐμφαίνουσιν. Ἐπεὶ τοίνυν τοὺς ἡμετέρους ἐχθρούς, τοὺς πάλαι τὴν ψυχὴν ἡμῶν εἰς τὴν πολύθεον πλάνην ᾐχμαλωτικότας, ἐλαύνων καὶ πολεμῶν ὁ Σωτὴρ ἡμῶν, καὶ πάντας ἡμᾶς τοὺς αὐτοῦ στρατιώτας κατ' αὐτῶν ὁπλίζει, εἰκότως διὰ τῶν πρὸς τὸν Θεὸν εὐχῶν ἀλαλάζειν κελευόμεθα· στεναγμοῖς τε ἀλαλήτοις συμπράττειν τῇ νίκῃ τοῦ Βασιλέως ἡμῶν. Γίνεται δὲ ὁ ἀλαλαγμὸς δι' εὐχῶν, γίνεται καὶ διὰ θεολογίας, γίνεται δὲ καὶ δι' ὑγιοῦς καὶ τετρανωμένης γνώσεως, γίνεται καὶ διὰ τῆς πνευματικῆς ἱερουργίας, ἣν ἐν ταῖς εὐχαριστίαις κατὰ τὰ μυστήρια τῆς Καινῆς Διαθήκης καθ' ὅλης τῆς οἰκουμένης ἐπιτελοῦμεν, ὁπηνίκα, τῆς θυσίας τοῦ Ἀμνοῦ τοῦ Θεοῦ τὴν ἀνάμνησιν ποιούμενοι, τὴν προφητείαν πληροῦμεν τὴν φάσκουσαν· «Ἐκύκλωσα καὶ ἔθυσα ἐν τῇ σκηνῇ αὐτοῦ θυσίαν αἰνέσεως καὶ ἀλαλαγμοῦ.[1]» Διὸ καὶ ἕτερον λόγιον τὸν τούτων ἐπιστήμονα λαὸν μακαρίζει φάσκον· «Μακάριος ὁ λαὸς ὁ γινώσκων ἀλαλαγμόν.[2]» Τοῦτο δὴ οὖν πρῶτον ἀναγκαίως τὸ προφητικὸν Πνεῦμα πᾶσιν ἀνθρώποις πράττειν διακελεύεται φάσκον· «Ἀλαλάξατε τῷ Θεῷ, πᾶσα ἡ γῆ.» Εἶτα δεύτερον ψάλλειν τῷ ὀνόματι αὐτοῦ προστάττει· ὃ καὶ αὐτὸ κατὰ πάντα τόπον εἴωθεν ὑφ' ἡμῶν ἐπι-

---

1. Ψαλμ. 26, 6. 2. Ψαλμ. 88, 16.

τελεῖσθαι. Ἐπεὶ κατὰ πᾶσαν ἐκκλησίαν τοῦ Θεοῦ τὴν ἐν τοῖς ἔθνεσιν ἱδρυμένην, αὐτὰ δὴ ταῦτα μελῳδεῖσθαι καὶ ψάλλεσθαι, οὐχ Ἕλλησι μόνοις, ἀλλὰ καὶ βαρβάροις παραδέδοται. Καὶ ἄλλως δέ, νόμοις ἀλληγορίας, τὸ σῶμα τὸ ἀνθρώπειον, ὥσπερ ὄργανον τῇ ψυχῇ δεδομένον, ψαλτήριον εἴωθεν ὀνομάζεσθαι· δι' οὗ ὁ εἴσω ἄνθρωπος, ἀνακρουόμενος, ἐπιστημόνως τὰ μέλη καὶ τὰ αἰσθητήρια τῷ νόμῳ τοῦ Θεοῦ λέγοιτ' ἂν εἰκότως ψάλλειν. Τὰ μὲν οὖν τῆς γνώσεως καὶ διὰ τοῦ ἀλαλαγμοῦ αὐτὴ καθ' ἑαυτὴν ἡ ψυχὴ κατώρθου· διὸ αὐτῷ τῷ Θεῷ ἠλάλαξε· τὰ δὲ τοῦ ψάλλειν διὰ τῆς τοῦ σώματος ἠθικῆς καὶ πρακτικῆς κινήσεως ἐνεργεῖ· διὸ λέλεκται· «Τῷ ὀνόματι αὐτοῦ.» Εὐφημίαν γὰρ τῷ τοῦ Θεοῦ ὀνόματι φέροι ἂν ἡ διὰ τῶν πράξεων τοῖς πολλοῖς θεωρουμένη κατόρθωσις. Καὶ τρίτον δέ, πρόσταγμα πᾶσιν ἡμῖν τοῖς ἐξ ἐθνῶν τὸν Θεὸν ἐπεγνωκόσι παρήγγελται, τὸ κελεῦον διδόναι δόξαν οὐ τῷ Θεῷ, ἀπήρκει γὰρ ἀλαλάζειν αὐτῷ· ἀλλ' οὐδὲ τῷ ὀνόματι αὐτοῦ, τούτῳ γὰρ ψάλλειν ἐκελευόμεθα· τῇ δὲ αἰνέσει αὐτοῦ. Αἰνοῦντας γὰρ αὐτὸν προσήκει μὴ ταπεινῶς, μηδὲ ἀδόξως αἰνεῖν, σὺν πολλῇ δὲ τιμῇ καὶ δόξῃ. Πρὸς γὰρ τῇ κατὰ διάνοιαν ἐρρωμένῃ περὶ Θεοῦ γνώσει δι' ὀργάνου κατορθουμένῃ προσήκει καὶ διὰ λόγων θείων αἴνους καὶ ὕμνους τοὺς εἰς τὸν Θεὸν περιεχόντων σὺν εὐλαβείᾳ καὶ σεβασμίῳ τιμῇ τὸ πρῶτον ἀποπληροῦν πρόσταγμα. Διὸ λέλεκται· «Δότε δόξαν αἰνέσει αὐτοῦ·» ἢ κατὰ τὸν Ἀκύλαν, «Δότε δόξαν ὑμνήσει αὐτοῦ·» ἢ κατὰ τὸν Σύμμαχον, «Τάξατε εἰς τιμὴν τὸν ὕμνον αὐτοῦ.» Ἔτι πρὸς τούτοις τὸ Πνεῦμα τὸ προφητικὸν παρακελεύεται πᾶσιν ἡμῖν τεθεωρημένως ἐνατενίζειν τοῖς ἔργοις τοῦ Θεοῦ, καὶ τὸν νοῦν ἐφιστᾶν, ὅπως φόβου καὶ ἐκπλήξεως γέμῃ τὰ τῆς σοφίας αὐτοῦ μεγαλουργήματα. «Ἐκ μεγέθους γὰρ καὶ καλλονῆς κτισμάτων ἀναλόγως ὁ γενεσιουργὸς θεωρεῖται·[1]» καί· «Τὰ ἀόρατα αὐτοῦ ἀπὸ κτίσεως κόσμου τοῖς ποιήμασι νοούμενα καθορᾶται· ἥ τε ἀΐδιος αὐτοῦ δύναμις καὶ θειότης.[2]» Ταῦτ' οὖν θεωροῦντας, ὑπερεκπλήττεσθαι δεῖ, καὶ λέγειν τῷ Θεῷ· «Ὡς φοβερὰ τὰ ἔργα σου.» Ἀλλ' ἡμῖν μὲν τοῖς ὑπὸ σοῦ πεφωτισμένοις ἔγνωσται καὶ κατείληπται τὰ ἔργα σου ὄντα φοβερά· οἱ δὲ ἐχθροί σου ἐν σκότῳ καλινδούμενοι, κἂν ἐθέλωσί ποτε περὶ τῶν σῶν ἔργων διεξιέναι, καὶ λόγους ὡς οἷόν τε φυσικοὺς ἀποδιδόναι, μακρὰν ἀποπίπτουσι τοῦ πλήθους τῆς σῆς δυνάμεως, οὐδὲν ὑγιὲς οὐδὲ ἀληθὲς ἔχοντες λέγειν. Διό φαμεν· «Ἐν τῷ πλήθει τῆς δυνάμεώς σου ψεύσονταί σε οἱ ἐχθροί σου. Πᾶσα ἡ γῆ προσκυνησάτωσάν σοι καὶ ψαλάτωσάν σοι, ψαλάτωσαν τῷ ὀνόματί σου. Διάψαλμα.» Τὰ μὲν πρῶτα παραγγέλματα ἦν πάσῃ τῇ γῇ, δηλαδὴ πᾶσι τοῖς ἔθνεσι, προφητικῶς παρηγγελμένα· ἐπεὶ δὲ εὐχῆς ἦν χρεία εἰς τὸ δυνηθῆναι δι' ἔργων ταῦτα χωρῆσαι, ἀναγκαίως τὸ θεῖον Πνεῦμα μετὰ τὰ πρῶτα πρὸς αὐτὸν ἐπιστρέφει

---

1. Σοφ. Σολ. 13, 5. 2. Ῥωμ. 1, 20.

τὸν Θεόν, εὐχὴν ὑπὲρ πάσης τῆς γῆς ἀναπέμπον. Διό φησι· «Πᾶσα ἡ γῆ προσκυνησάτωσάν σοι καὶ ψαλάτωσάν σοι, ψαλάτωσαν τῷ ὀνόματί σου.» Ἀντὶ δὲ τοῦ· «Πᾶσα ἡ γῆ», ὁ Σύμμαχος σαφέστερον ἡρμήνευσεν εἰπών· «Πάντες οἱ ἐπὶ γῆς·» λευκότερον δηλώσας, ὅτι μὴ Ἰουδαίοις τὸ παράγγελμα δέδοτο, ἀλλὰ πᾶσι τοῖς ἐπὶ γῆς ἀνθρώποις. Μεγίστης γὰρ ἐδέοντο εὐχῆς, ὡς ἂν δυνάμει Θεοῦ παράδοξος γένοιτό τις ἐν αὐτοῖς μεταβολὴ πρὸς τὸ μηκέτι μὲν τῇ πολυθέῳ προσέχειν πλάνῃ, μόνον δὲ σέβειν ὃν δεῖ καὶ προσκυνεῖν, τὸν ἕνα καὶ μόνον καὶ προσκυνητὸν Θεόν, ἐπιτελεῖν τε τὸ πρόσταγμα δι' οὗ ἐλέγετο· «Ψάλατε δὴ τῷ ὀνόματι αὐτοῦ.» Ἵν' οὖν ταῦτα γένηται, εὔχεται τὸ Πνεῦμα τὸ ἅγιον λέγον· «Πᾶσα ἡ γῆ προσκυνησάτωσάν σοι καὶ ψαλάτωσάν σοι, ψαλάτωσαν τῷ ὀνόματί σου.»

Στίχ. ε', ς'. «Δεῦτε καὶ ἴδετε τὰ ἔργα τοῦ Θεοῦ, φοβερὸς ἐν βουλαῖς παρὰ τοὺς υἱοὺς τῶν ἀνθρώπων.»

Ὡς μακρὰν ἀφεστηκόσι τοῖς καλουμένοις τὸ θεῖον ὄνομα πλησίον ἔρχεσθαι προστάττει λέγον· «Δεῦτε.» Τοῦτο δὲ ὁ θεῖος Ἀπόστολος παρίστη εἰπών· «Καὶ ἐλθὼν εὐηγγελίσατο εἰρήνην ὑμῖν τοῖς μακράν, καὶ εἰρήνην τοῖς ἐγγύς.[1]» Καλεῖ δὲ ὁ λόγος τὰ καθ' ὅλης τῆς οἰκουμένης ἔθνη ἐπὶ τὴν τοῦ Θεοῦ γνῶσιν, ἐπί τε τὴν θεωρίαν τῶν ἔργων αὐτοῦ. Μακρὰν γὰρ ἀφεστῶτα τοῦ Θεοῦ οὔτε ἑώρα, οὔτε ἐγίνωσκε. Διό φησι· «Δεῦτε καὶ ἴδετε τὰ ἔργα τοῦ Θεοῦ·» περὶ ὧν ἀνωτέρω ἐλέγετο· «Εἴπατε τῷ Θεῷ· Ὡς φοβερὰ τὰ ἔργα σου!» Ἀλλὰ πάλαι μὲν προσέταττε λέγειν· «Ὡς φοβερὰ τὰ ἔργα σου!» Ἐπειδὴ δὲ εἰκὸς ἦν ἀγνοεῖν τοὺς μακρὰν ἀφεστῶτας τίνα ἦν τὰ ἔργα τοῦ Θεοῦ, ἀκολούθως ἐνταῦθα πρὸς τοὺς αὐτοὺς φάσκει· «Δεῦτε καὶ ἴδετε τὰ ἔργα τοῦ Θεοῦ·» ἰδόντες δὲ ταῦτα μαθήσεσθε, ὅτι φοβερός ἐστιν ἐν βουλαῖς ὑπὲρ τοὺς υἱοὺς τῶν ἀνθρώπων. Τρανώτερον τὴν διάνοιαν ἀπέδωκεν ὁ Σύμμαχος εἰπών· «Ἔλθετε καὶ ἴδετε πράξεις τοῦ Θεοῦ, φοβερὰ μηχανήματα ὑπὲρ υἱῶν ἀνθρώπων.» Πάντα γὰρ ὑπὲρ σωτηρίας τῶν υἱῶν τῶν ἀνθρώπων ἐμηχανήσατο. Εἶτα διδάσκει ὅσα πρότερον παρὰ τοῖς παλαιοῖς πεποιηκὼς ὁ Θεὸς ἱστορεῖται. Τίνα δὲ ταῦτα, ἐπιλέγει ἑξῆς· «Ὁ μεταστρέφων τὴν θάλασσαν εἰς ξηράν· ἐν ποταμῷ διελεύσονται ποδί.» Κατὰ δὲ τὸν Σύμμαχον· «Μετέβαλε», φησί, «τὴν θάλασσαν εἰς ξηράν· ποταμὸν διέβησαν ποδί.» Ταῦτα δὲ φέρεται ἐν τῇ τῆς ἱστορίας γραφῇ· ἃ δὴ ἀναγκαίως ὡς μὴ εἰδόσι τοῖς ἔθνεσιν ἀπαγγέλλεται, ὡς ἂν μάθοιεν, ὅτι καὶ ὁ πάλαι τοῦ Θεοῦ λαὸς ἦν ποτε Αἰγυπτίοις δεδουλωμένος, καὶ τῇ πλάνῃ τῆς Αἰγυπτιακῆς εἰδωλολατρείας ὑπηγμένος· ἀλλ' εἴργασται ὑπὲρ αὐτῶν ὁ Θεὸς μεγάλα καὶ φοβερά, πληγαῖς μὲν τοὺς Αἰγυπτίους θεηλάτοις μαστίξας, αὐτοὺς δὲ τῆς πικρᾶς δουλείας ἐλευθερώσας. Ταῦτα γὰρ ἦν τὰ φοβερὰ τοῦ Θεοῦ ἔργα, οὐ μόνα, ἀλλὰ καὶ ἐπὶ τῆς θαλάσσης τῆς Ἐρυθρᾶς· ἣν

1. Ἐφ. 2, 17.

εἰς ξηρὰν μεταβαλών, διέσωσε μὲν τοὺς οἰκείους, τοὺς δὲ ἀσεβεῖς βυθῷ παρέδωκεν ἀπωλείας. Ταῦτα δὲ μανθάνοντες, ὦ οὗτοι, φησί, θαρσεῖτε, πιστεύοντες, ὅτι ὁ τὰ τοσαῦτα ἐργασάμενος ἐπὶ τῶν παλαιῶν οὐκ ἀδυνατήσει τὰ ὅμοια καὶ ἐφ' ὑμῶν καταπράξασθαι. Διὸ «δεῦτε καὶ ἴδετε τὰ ἔργα τοῦ Θεοῦ», ὡς φοβερός ἐστιν «ἐν βουλαῖς ὑπὲρ τοὺς υἱοὺς τῶν ἀνθρώπων.» Μετέστρεψε γοῦν τὴν θάλασσαν εἰς ξηράν· καὶ ἐπὶ τοῦ Ἰορδάνου δὲ ποταμοῦ ἄλλα τινὰ φοβερὰ θαύματα εἰργάσατο, ὅτε διῆλθον τοῖς ποσίν, ὑποσταλέντος τοῦ ποταμοῦ, οἱ ἀπὸ τῆς ἐρήμου παριόντες ἐπὶ τήνδε τὴν γῆν. Τούτοις δὴ οὖν αὐτοῖς ὑποδήμασι χρησάμενοι, θαρσεῖτε, ὡς καὶ τοὺς ὑμετέρους νοητοὺς Αἰγυπτίους, δαίμονας πονηρούς, τοὺς πάλαι καταδυναστεύοντας τῶν ὑμετέρων ψυχῶν, ἀπελάσει ὁ αὐτὸς Θεός. Κἂν κυμαίνῃ δὲ ἡ τῶν ἀνθρώπων θάλασσα, κἂν ὁ τῶν ἀθέων καὶ ἀσεβῶν βίος κλύδωνας καὶ κινδύνους ἐγείρῃ καθ' ὑμῶν· θαρσεῖτε ὑμεῖς, ἐναργὲς ἔχοντες ὑπόδειγμα τὴν πάλαι στραφεῖσαν θάλασσαν εἰς ξηράν. Οὕτως γὰρ καὶ ὑμῖν ὁμαλή τις ἔσται, καὶ ἀπαραπόδιστος ἡ ἀπὸ τῆς πλάνης πρὸς τὴν ἀλήθειαν διάβασις. Εἰ δὲ καὶ ποταμόν ποτε τὸν Ἰορδάνην παραδόξως διῆλθον οἱ παλαιοί, ἀλλὰ καὶ ὑμεῖς ἐντεῦθεν ἤδη εὐαγγελίζεσθε, γινώσκοντες, ὅτι ἡμεῖς αὐτοὶ οἱ ταῦτα λέγοντες καὶ ὑμεῖς οἱ ἀκούοντες «ἐκεῖ εὐφρανθησόμεθα ἐν αὐτῷ.» Ἐκεῖ, δηλαδὴ ἐν τῷ μνησθέντι ποταμῷ. Ἔσται γάρ, ἔσται καιρός, καθ' ὅν, ὥσπερ εἰς συμπόσιον παρασκευαζόμενοι, ἐπὶ λουτροῦ παλιγγενεσίας ἀπαντήσουσιν εἰς τὴν ἐν τῷ Ἰορδάνῃ ποταμῷ μυστικὴν ἀποκάθαρσιν οἱ τῆς Αἰγυπτιακῆς ἐλευθερούμενοι πλάνης. Σημαίνει δὲ διὰ τούτων ὁ λόγος τὸ λουτρὸν τῆς παλιγγενεσίας, ἀρξάμενον ἀπὸ τοῦ Ἰορδάνου ποταμοῦ, ὁπηνίκα ὁ Βαπτιστὴς Ἰωάννης ἐν τῇ ἐρήμῳ τῆς Ἰουδαίας παρῄει, κηρύσσων βάπτισμα μετανοίας, προσιέτό τε πάντας Ἕλληνας καὶ Ἰουδαίους ἐπὶ τὴν ἐξομολόγησιν τῶν παραπτωμάτων· ὅτε καὶ αὐτὸς ὁ Σωτὴρ καὶ Κύριος ἡμῶν ἐπιστὰς τὸν αὐτὸν κατηξίωσε ποταμὸν τῆς θεϊκῆς αὐτοῦ ἐπιβάσεως. Διὸ ἐν τοῖς προκειμένοις λέλεκται· «Ἐκεῖ εὐφρανθησόμεθα ἐν αὐτῷ.» Ἔνθεν εἰκότως τὸ αὐτὸ προφητικὸν πνεῦμα διὰ Ἡσαΐου τὴν ἔρημον εὐαγγελιζόμενον καὶ αὐτοῦ μνήμην πεποίηται τοῦ Ἰορδάνου λέγον· «Εὐφράνθητι, ἔρημος διψῶσα· ἀλλ' ἀγαλλιάσθω ἔρημος, καὶ ἀνθείτω ὡς κρίνον· καὶ ἐξανθήσει καὶ ἀγαλλιάσεται τὰ ἔρημα τοῦ Ἰορδάνου. Ἰσχύσατε, χεῖρες ἀνειμέναι, καὶ γόνατα παραλελυμένα· παρακαλέσατε οἱ ὀλιγόψυχοι τῇ διανοίᾳ. Ἰσχύσατε, μὴ φοβεῖσθε. Ἰδοὺ ὁ Θεὸς ἡμῶν κρίσιν ἀνταποδέδωκεν· αὐτὸς ἥξει καὶ σώσει ἡμᾶς. Τότε ἀνοιχθήσονται ὀφθαλμοὶ τυφλῶν, καὶ ὦτα κωφῶν ἀκούσονται. Τότε ἁλεῖται ὡς ἔλαφος ὁ χωλός, καὶ τρανὴ ἔσται γλῶσσα μογιλάλων· ὅτι ἐρράγη ἐν τῇ ἐρήμῳ ὕδωρ, καὶ φάραγξ ἐν γῇ διψώσῃ.[1]» Ταύτην διαλέλεκται ἐπὶ τοῦ παρόντος·

1. Ἡσ. 35, 1-6.

«Ἐκεῖ εὐφρανθησόμεθα ἐν αὐτῷ·» ἃ δὴ ἐπληροῦτο κατὰ τὴν τοῦ Σωτῆρος ἡμῶν εἰς ἀνθρώπους θεοφάνειαν. Ἔνθεν εἰκότως ὁ παρὼν ψαλμὸς ἅπασι τοῖς ἔθνεσι προσφωνῶν ἔλεγε· «Δεῦτε καὶ ἴδετε τὰ ἔργα τοῦ Θεοῦ·» καὶ πάλιν· «Εἴπατε τῷ Θεῷ· Ὡς φοβερὰ τὰ ἔργα σου!» Σφόδρα δὲ ἀκολούθως εἰπών· «Ἐκεῖ εὐφρανθησόμεθα ἐν αὐτῷ», ἐπιφέρει· «Τῷ δεσπόζοντι ἐν τῇ δυναστείᾳ αὐτοῦ τοῦ αἰῶνος.» Νοήσεις δὲ καὶ τοῦτο αὐτοῦ λέγοντος ἀκούων τοῦ Σωτῆρος· «Ἐδόθη μοι πᾶσα ἐξουσία ἐν οὐρανῷ καὶ ἐπὶ τῆς γῆς· πορεύοντες μαθητεύσατε πάντα τὰ ἔθνη ἐν τῷ ὀνόματί μου.[1]» Διὸ κατὰ μὲν τὸν Ἀκύλαν εἴρηται· «Τῷ ἐξουσιάζοντι ἐν τῇ δυναστείᾳ αὐτοῦ δι' αἰῶνος.» Καὶ ἄλλως δὲ εὐφρανθησόμεθα ἐν αὐτῷ τῶν προειρημένων καταξιωθέντες. Πότε δὲ εὐφρανθησόμεθα, ἀλλ' ἐπειδὰν ὁ μέλλων ἐπιστῇ αἰών, οὗ τὴν δεσποτείαν καὶ τὴν ἐξουσίαν οὐδ' ἕτερος ἕξει, ἢ μόνος αὐτὸς ὁ τὴν δυναστείαν παρὰ τοῦ Πατρὸς εἰληφώς; Νῦν μὲν γὰρ ἐν τῷ παρόντι αἰῶνι ἀρχαὶ πολλαί, καὶ ἐξουσίαι καὶ κυριότητες, καὶ πνευματικὰ πονηρίας καὶ κοσμοκράτορες· τότε δέ, ὅτε καταργήσῃ πᾶσαν ἀρχὴν καὶ ἐξουσίαν καὶ δύναμιν, μόνος αὐτὸς ἐξουσιάσῃ τοῦ αἰῶνος, ἐν ᾧ ἐπαγγέλλεται ἡμῖν ὁ παρὼν λόγος εὐφροσύνην.

Στίχ. ζ'-θ'. «Οἱ ὀφθαλμοὶ αὐτοῦ ἐπὶ τὰ ἔθνη ἐπιβλέπουσιν, οἱ παραπικραίνοντες μὴ ὑψούσθωσαν ἐν αὐτοῖς. Διάψαλμα.»

Διὰ τῶν ἔμπροσθεν ἐπεσκιασμένως τὴν τῶν ἐθνῶν κλῆσιν αἰνιξάμενος, πᾶσαν τὴν γῆν ἐκάλει· οὐ μὴν σαφῶς τὰ ἔθνη· νυνὶ δὲ λευκότατα τῶν ἐθνῶν μέμνηται καὶ τῆς τοῦ Θεοῦ διαλλαγῆς. Ἐπὶ μὲν γὰρ τῶν ἁμαρτανόντων εἴρηται· «Ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου·[2]» καὶ πάλιν· «Ἵνα τί ἀποστρέφεις τὸ πρόσωπόν σου καὶ τὴν δεξιάν σου;[3]» καὶ πάλιν· «Ἀπέστρεψας δὲ τὸ πρόσωπόν σου, καὶ ἐγενήθην τεταραγμένος.[4]» Ἐπὶ δὲ τῶν ἀγαθὰς ἐλπίδας ἐχόντων λέλεκται· «Ὀφθαλμοὶ Κυρίου ἐπὶ δικαίους, καὶ ὦτα αὐτοῦ εἰς δέησιν αὐτῶν·[5]» καὶ πάλιν· «Οἱ ὀφθαλμοί σου ἰδέτωσαν εὐθύτητας·[6]» καὶ αὖθις· «Σημειωθήτω ἐφ' ἡμᾶς τὸ φῶς τοῦ προσώπου σου, Κύριε.[7]» Μεγάλαι τοίνυν ἐπαγγελίαι διὰ τῶν προκειμένων τοῖς ἔθνεσι δέδονται· ἤδη ὀφθαλμοὶ αὐτοῦ ἐπὶ τὰ ἔθνη ἐπιβλέπουσι. Καὶ θέα ὅπως οὐδαμοῦ τῶν προκειμένων Ἰουδαίων μέμνηται, δι' ὅλου δὲ τοῖς ἔθνεσι τὰ χρηστὰ εὐαγγελίζεται. Ὁ μὲν οὖν φιλάνθρωπος τῶν ἐθνῶν Σωτὴρ τοὺς ὀφθαλμοὺς αὐτοῦ, τὰς ἐπισκοπικὰς δηλαδὴ δυνάμεις, ἐξήπλωσεν ἐπὶ πάντα τὰ ἔθνη. Φωτὸς δὲ ἀκτῖνες ἐκ τῶν ὀφθαλμῶν αὐτοῦ πεμπόμεναι τὰς χωρητικὰς αὐτῶν ψυχὰς καταλάμπουσιν. Ἐπεὶ δὲ ἤμελλον μὴ πάντες τὴν χάριν ὑποδέχεσθαι, παροργίζειν δὲ τὸ ὅσον ἐπ' αὐτοῖς καὶ παραπικραίνειν τὴν τοσαύτην φιλανθρωπίαν, διὰ τὸ μὴ παραδέχεσθαι τὸ δῶρον, εἰκότως ἐπιλέλεκται·

---

1. Ματθ. 28, 18-19. 2. Ψαλμ. 50, 11. 3. Ψαλμ. 43, 25. 4. Ψαλμ. 29, 8. 5. Ψαλμ. 33, 16. 6. Ψαλμ. 16, 2. 7. Ψαλμ. 4, 7.

«Οἱ παραπικραίνοντες μὴ ὑψούσθωσαν ἐν ἑαυτοῖς.» Σημαίνει δὲ διὰ τούτων καὶ τοὺς ἐν τοῖς ἔθνεσιν ἀπειθεῖς καὶ ἀνυποτάκτους τῷ εὐαγγελικῷ λόγῳ. Διὸ λέλεκται παρὰ τῷ Συμμάχῳ· «Οἱ ὀφθαλμοὶ αὐτοῦ τὰ ἔθνη ἐπισκοπεύουσι· οἱ ἀπειθεῖς μὴ ὑψούτωσαν ἑαυτούς.» Σημαίνει δὲ καὶ ἄλλως τοὺς ἐκ περιτομῆς ἀθετήσαντας τὴν χάριν καὶ τὴν τοῦ Σωτῆρος κλῆσιν ὑπερφρονήσαντας· διὸ πρὸς αὐτοὺς τὸ Πνεῦμα τὸ ἅγιον καὶ διὰ Ἡσαΐου ἀπετείνετο φῆσαν· «Ἀκοῇ ἀκούσητε, καὶ οὐ μὴ συνῆτε, καὶ βλέποντες βλέψητε, καὶ οὐ μὴ ἴδητε.» Εἰκότως τοιγαροῦν ἐπιρραπίζων αὐτοὺς ὁ παρὼν λόγος, εἰκῇ φυσιουμένους ἐπὶ τοῖς προγόνοις, καὶ μέγα φρονοῦντας ἐπὶ τῇ τῶν προπατόρων εὐδοκιμήσει, φησίν· «Οἱ παραπικραίνοντες μὴ ὑψούσθωσαν ἐν ἑαυτοῖς.» Παύσασθε γάρ, φησί, βρενθυνόμενοι καὶ εἰκῇ τυφούμενοι, ὦ οὗτοι, γνόντες, ὅτι οὐ μᾶλλον ὑμῖν ἐπιβλέπει ὁ Θεὸς ἢ τοῖς λοιποῖς ἔθνεσιν. Οἱ γοῦν τῆς ἐπισκοπικῆς αὐτοῦ δυνάμεως ὀφθαλμοί, πάντων ἀνθρώπων πρόνοιαν ποιούμενοι, ἐπὶ τὰ ἔθνη ἐπιβλέπουσι. Τί οὖν ὑμεῖς, ὥσπερ τι ἐξαίρετον κεκτημένοι, ὑψοῦσθε ἐν ἑαυτοῖς, καὶ ταῦτα ἄνδρες ὄντες ἀεὶ παραπικραίνοντες; Ὅτι δὲ αὐτοὺς αἰνίττεται ὁ λόγος, σαφῶς παρίστησι τὸ Πνεῦμα διὰ Ἰεζεκιὴλ λέγον· «Υἱὲ ἀνθρώπου, ἐξαποστελῶ σε ἐγὼ πρὸς τὸν οἶκον Ἰσραήλ, τοὺς παραπικραίνοντας, οἵτινες παρεπίκρανάν με αὐτοὶ καὶ οἱ πατέρες αὐτῶν ἕως τῆς σήμερον ἡμέρας·[1]» καὶ ἑξῆς· «Ἐὰν ἄρα ἀκούσωσιν, ἢ πτοηθῶσιν, διότι οἶκος παραπικραινόντων ἐστί·[2]» καὶ πάλιν· «Καὶ λαλήσω τοὺς λόγους μου πρὸς αὐτούς, ἐὰν ἄρα ἀκούσωσιν, ἢ πτοηθῶσιν, ὅτι οἶκος παραπικραινόντων ἐστί.[3]» Καὶ ἐν ρε΄ δὲ ψαλμῷ λέλεκται· «Ὅτι παρεπίκραναν τὸ πνεῦμα αὐτοῦ·[4]» καὶ πάλιν· «Πλεονάκις ἐρρύσατο αὐτούς· αὐτοὶ δὲ παρεπίκραναν αὐτὸν ἐν τῇ βουλῇ αὐτῶν.[5]» Ναὶ μὴν καὶ Μωϋσῆς τὴν πικρίαν αὐτῶν παρίστησι λέγων· «Ἐκ γὰρ ἀμπέλου Σοδόμων ἡ ἄμπελος αὐτῶν, καὶ ἡ κληματὶς αὐτῶν ἐκ Γομόρρας· ἡ σταφυλὴ αὐτῶν σταφυλὴ χολῆς, βότρυς πικρίας αὐτῶν.[6]» Καὶ ἐν τῷ Ἱερεμίᾳ δὲ εἴρηται πρὸς τοὺς αὐτούς· «Πῶς ἐστράφη εἰς πικρίαν ἡ ἄμπελος ἡ ἀλλοτρία;[7]» Εἰκότως τοίνυν καὶ ἐνταῦθα παραπικραίνοντες ὠνομάσθησαν. Ἐκ παραλλήλου δὲ μνημονεύσας τῶν ἐθνῶν καὶ τῆς τούτων σωτηρίας ὁ λόγος, παράθεσιν τῶν ἐκ περιτομῆς πεποίηται εἰπών· «Οἱ ὀφθαλμοὶ αὐτοῦ ἐπὶ τὰ ἔθνη ἐπιβλέπουσιν, οἱ παραπικραίνοντες μὴ ὑψούσθωσαν ἐν ἑαυτοῖς. Εὐλογεῖτε, ἔθνη, τὸν Θεὸν ἡμῶν, καὶ ἀκουτίσατε τὴν φωνὴν τῆς αἰνέσεως αὐτοῦ.» Εὐαγγελικὸν εἶναι τὸν ψαλμὸν καὶ ἀρχόμενοι τοῦ λόγου τετηρήκαμεν· ὃ καὶ δι᾽ ὅλου τοῦ ὕφους τῆς προφητείας παρίσταται. Ἐκάλει μὲν γὰρ ἐν ἀρχῇ πᾶσαν τὴν γῆν· εἶτα ἐν τῷ μεταξὺ πλείονα διδάξας, σαφέστερον περὶ τῶν ἐθνῶν ποιεῖται προφη-

1. Ἰεζ. 2, 3. 2. Ἰεζ. 2, 5. 3. Ἰεζ. 2, 7. 4. Ψαλμ. 105, 33. 5. Ψαλμ. 105, 43. 6. Δευτ. 32, 32. 7. Ἱερ. 2, 21.

τείαν λέγων· «Οἱ ὀφθαλμοὶ αὐτοῦ ἐπὶ τὰ ἔθνη ἐπιβλέπουσιν.» Μετὰ δὴ οὖν τὴν τούτων διδασκαλίαν ἀκολούθως πᾶσι τοῖς ἔθνεσιν, ὡς ἂν ὠφελημένοις ἐκ τοῦ προμεμαθηκέναι τὰ προλεχθέντα, εὐλογεῖν τῶν τοσούτων θαυμάτων τῶν τε φοβερῶν ἔργων ποιητὴν παρακελεύεται λέγων· «Εὐλογεῖτε, ἔθνη, τὸν Θεὸν ἡμῶν.» Μὴ γὰρ τοὺς ὑμετέρους, φησί, τοὺς πάλαι πεπλανημένως νομιζομένους θεούς, ἀλλὰ τὸν ἡμέτερον, ὃν ἐκ πατέρων ἡμεῖς ἐπεγραψάμεθα, τοῦτον γνόντες εἶναι τὸν ἀληθινὸν Θεόν. Νῦν γοῦν, εἰ καὶ μὴ πρότερον, καὶ ὑμεῖς εὐλογεῖτε. Εὐφημοῦντες δὲ αὐτόν, καὶ εὐλογοῦντες ὡς μόνον ἀληθινὸν καὶ κοινὸν ἁπάντων ἡμῶν τε καὶ ὑμῶν Θεόν, μὴ σεσιωπημένως, μηδὲ ἠρεμέᾳ τῇ φωνῇ τοῦτο πράττετε· σὺν πολλῇ δὲ παρρησίᾳ καὶ θάρσει, φωναῖς τε γεγωνοῖς καὶ βοαῖς χρήσασθε μεγάλαις· ὡς καὶ τοῖς ἀλλοτρίοις ἀκούεσθαι τὴν ἀναπεμπομένην εἰς Θεὸν ὑφ' ὑμῶν αἴνεσιν· ὃ δὴ καὶ ὁ Σωτὴρ ἐδήλου λέγων· «Ὃ λέγω ὑμῖν ἐν τῇ σκοτίᾳ εἴπατε ἐν τῷ φωτί, καὶ ὃ εἰς τὸ οὖς ἀκούετε, κηρύσσετε ἐπὶ τῶν δωμάτων.[1]» Ταύτης οὖν ἔχεται τῆς διανοίας τὸ φάσκον λόγιον· «Καὶ ἀκουτίσατε τὴν φωνὴν τῆς αἰνέσεως αὐτοῦ·» ἢ κατὰ τὸν Σύμμαχον· «Ἐξάκουστον ποιεῖτε τὴν φωνὴν τοῦ ὕμνου αὐτοῦ.» Θαυμάσαι δὲ ἔστι τοῦ λόγου τὸ ἀποτέλεσμα, ὅτε καθ' ὅλης τῆς ἀνθρώπων οἰκουμένης, ἐν μέσαις ταῖς πόλεσι, ἔν τε κώμαις καὶ χώραις κατὰ πάσας τὰς Ἐκκλησίας τοῦ Θεοῦ, οἱ τοῦ Χριστοῦ λαοὶ ἐξ ἁπάντων τῶν ἐθνῶν συνειλεγμένοι, τοὺς ὕμνους καὶ τὰς ψαλμῳδίας, οὐκ ἐπὶ τοῖς πατρῴοις θεοῖς, οὐδὲ τοῖς θεομάχοις δαίμοσι, μόνῳ δὲ τῷ παρὰ τοῖς προφήταις θεολογουμένῳ μετὰ μεγάλης ἀναπέμπουσι βοῆς, ὡς καὶ τοῖς ἐκτὸς ἑστῶσιν ἐξάκουστον εἶναι τῶν ψαλλόντων τὴν φωνήν· ἔργῳ πληρουμένου τοῦ φάσκοντος ἐνταῦθα λογίου· «Εὐλογεῖτε, ἔθνη, τὸν Θεὸν ἡμῶν, καὶ ἀκουτίσατε τὴν φωνὴν τῆς αἰνέσεως αὐτοῦ.» Εἶθ' ἑξῆς συνῆπται· «Τοῦ θεμένου τὴν ψυχήν μου εἰς ζωήν, καὶ μὴ δόντος εἰς σάλον τοὺς πόδας μου.» Ἀντὶ δὲ τοῦ, «τὴν ψυχήν μου, τὴν ψυχὴν ἡμῶν», οἱ λοιποὶ πάντες ἑρμηνευταὶ ἐκδεδώκασι· καὶ πάλιν ἀντί, «τοὺς πόδας μου, τοὺς πόδας ἡμῶν», ὁμοίως οἱ πάντες ἡρμήνευσαν. Μὴ γὰρ ἐπὶ τοῖς παλαιοῖς, φησί, μόνοις ἔργοις τοῦ Θεοῦ, ἃ διὰ τῶν ἔμπροσθεν ἐδηλοῦτο, τὸν ὕμνον αὐτῷ καὶ τὰς αἰνέσεις ἀναπέμπετε· ἀλλὰ καὶ διὰ τὰς εἰς ἡμᾶς αὐτοὺς τοὺς ταῦτα λέγοντας εὐεργεσίας. Ἐπειδὴ γὰρ τοὺς ἡμετέρους πόδας, πολλὰ δραμόντας, ὥστε πᾶσιν ὑμῖν τοῖς ἔθνεσι κηρύξαι τὸ σωτήριον Εὐαγγέλιον, ἐδυνάμωσεν, ἐφύλαξέ τε ἀδιατρέπτους ἐν τοῖς τοῦ βίου ῥεύμασι τὰ ἐμποδὼν κωλύματα περιελών· πολλῶν τε τῇ ψυχῇ ἡμῶν ἐπιβουλευόντων, αὐτὸς ταύτης σωτὴρ καὶ φύλαξ ἐγένετο· καὶ τούτων αὐτῶν ἕνεκα «εὐλογεῖτε, ἔθνη, τὸν Θεὸν ἡμῶν, καὶ ἀκουτίσατε τὴν φωνὴν τῆς αἰνέσεως

1. Ματθ. 10, 27.

αὐτοῦ.» Ταῦτα δὲ ἄντικρυς ἐκ προσώπου τῶν κηρύκων τοῦ Εὐαγγελίου προανεφωνεῖτο, ὧν τὸν δρόμον καὶ τῶν ποδῶν τὴν ἀρετὴν Ἡσαΐας, μᾶλλον δὲ τὸ Πνεῦμα τὸ ἅγιον δι' αὐτοῦ ἀποθαυμάζον ἐβόα· «Ὡς ὡραῖοι οἱ πόδες τῶν εὐαγγελιζομένων ἀγαθά, τῶν εὐαγγελιζομένων εἰρήνην![1]» Ἐπεὶ τοίνυν, πολλὰ κεκμηκότες, καὶ τοὺς ἐκ τῶν ἀπίστων ἐθνῶν διωγμοὺς ὑπομείναντες, δεσμά τε καὶ φυλακὰς καὶ παντοίας ἐπιβουλάς, ἀδιάτρεπτοι μεμενήκασιν· εἰκότως τὸν δυναμώσαντα αὐτούς, καὶ τὴν μὲν ψυχὴν εἰς ζωὴν φυλάξαντα, ὡς μὴ ἐκπεσεῖν αὐτὴν εἰς τὸν τῆς ἁμαρτίας θάνατον, τοὺς δὲ πόδας αὐτῶν στερροὺς ἀπεργασάμενον πρὸς τὸ μὴ σάλον ὑπομεῖναι, μηδὲ ὄλισθον καὶ πτῶσιν, εὐλογεῖν πᾶσι τοῖς ἔθνεσι παρακελεύονται, ἐξάκουστόν γε ποιεῖν τὴν φωνὴν τῆς αἰνέσεως αὐτοῦ, οὐκ ἐπὶ μόνοις τοῖς παλαιοῖς αὐτοῦ παραδόξοις καὶ φοβεροῖς ἔργοις, ἀλλὰ καὶ ἐπὶ τοῖς νέοις ἀγαθοῖς, ἐφ' οἷς τὴν ψυχὴν τῶν ταῦτα λεγόντων ἔθετο εἰς ζωήν, μὴ δοὺς εἰς σάλον τοὺς πόδας αὐτῶν. Διὸ κατὰ τὸν Σύμμαχον πληθυντικῶς εἴρηται· «Τοῦ τάξαντος τὴν ψυχὴν ἡμῶν εἰς ζωήν, καὶ μὴ δόντος σφαλῆναι τοὺς πόδας ἡμῶν.

Στίχ. ι'-ιγ'. «Ὅτι ἐδοκίμασας ἡμᾶς, ὁ Θεός, ἐπύρωσας ἡμᾶς, ὡς πυροῦται τὸ ἀργύριον.»

Καὶ ταῦτα ἀκολούθως εἴρηται τοῖς ἔμπροσθεν. Ἐχρῆν γὰρ ἡμᾶς διδαχθῆναι, πῶς ὁ Θεὸς τὴν ψυχὴν ἔθετο εἰς ζωὴν τῶν ταῦτα φασκόντων, καὶ πῶς τοὺς πόδας αὐτῶν οὐ παρέδωκεν εἰς σάλον. Τί γὰρ παθόντες ἤμελλον οὐ τὸ σῶμα, ἀλλ' αὐτὴν τὴν ψυχὴν ἀπολλύναι, τίνος δὲ γενομένου εἰς τοσοῦτον ἤλασαν κινδύνου, ὡς τοὺς πόδας μέλλειν σαλεύεσθαι, κατὰ μέρος διεξέρχονται, εὐχαριστοῦντες ἅμα τῷ Θεῷ, καὶ διδασκαλίαν ποιούμενοι ὧν ὑπομεμενήκασι. Πρῶτον οὖν φασιν· «Ἐδοκίμασας ὑμᾶς, ὁ Θεός.» Καὶ πῶς ἐδοκίμασας; Ἑρμηνεύουσι λέγοντες· «Ἐπύρωσας ἡμᾶς, ὡς πυροῦται τὸ ἀργύριον.» Φωναὶ δὲ αὗται, ὡς ἔφην, ἀποστόλων καὶ μαθητῶν καὶ εὐαγγελιστῶν τυγχάνουσι τοῦ Σωτῆρος, ὧν εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος, καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα. Εἶεν δ' ἂν καὶ τῶν ἁγίων τοῦ Θεοῦ μαρτύρων, οἳ κατὰ μίμησιν τῶν πρώτων τοῦ Σωτῆρος ἡμῶν κηρύκων τὰ ἴσα πεπόνθασιν· ἐν οἷς τοὺς ὑπὲρ θεοσεβείας ἄθλους ἠγωνίσαντο. Φασὶν οὖν ἑρμηνεύοντες καὶ διασαφοῦντες, ὅπως τὴν ψυχὴν αὐτῶν ἔθετο εἰς ζωήν, καὶ ὅπως τοὺς πόδας αὐτῶν οὐκ ἔδωκεν εἰς σάλον· «Ὅτι ἐδοκίμασας ἡμᾶς, ὁ Θεός, ὡς πυροῦται τὸ ἀργύριον.» Ἐπειδὴ γὰρ ἀπείραστος ἀνὴρ ἀδόκιμος, εἰκότως ἐγγυμνάζων τοῖς πειρασμοῖς παραδίδωσι τοὺς οἰκείους ὁ Θεός· οὐχ ἵνα αὐτὸς γνῷ ὁποῖοί τινές εἰσιν, ἀλλ' ἵνα, αὐτοὶ πυρωθέντες λαμπρότεροι καὶ καθαρώτεροι ἀποτελεσθῶσιν. Ὥσπερ γὰρ ἐν ἀργύρῳ πολλάκις εὑρίσκεται ὕλης ἀλλοτρίας μίγμα, ὃ τέως μὲν λανθάνει

1. Ἡσ. 52, 7.

πρὸ τῆς χωνείας, ἐν δὲ τῇ πυρώσει διελέγχεται καὶ διακρίνεται· μένει τε λοιπὸν αὐτὸς καθαρὸς ὁ ἄργυρος, κρείττων καὶ λαμπρότερος γεγονὼς ἐκ τῆς καθάρσεως· τὸν αὐτὸν τρόπον καὶ οἱ τοῦ Θεοῦ ἄνδρες, ὅσον ἀλλότριον ἐν τῇ ἑαυτῶν ψυχῇ ἐκ τῆς περὶ τὴν σάρκα συμπλοκῆς ἐφειλκύσαντο, τοῦτο πᾶν ἐν τοῖς πειρασμοῖς, καὶ τοῖς κατ' αὐτῶν ἐπανισταμένοις διωγμοῖς ἀπορύπτονται, πυρούμενοι καὶ καθαιρόμενοι διὰ τῆς τοιᾶσδε χωνείας, ὡς πᾶσαν ἀποβαλεῖν ἁμαρτίας κηλῖδα, ἥντινά ποτε, ὡς ἄνθρωποι, ἔν τισιν ἐλαττώμασι γενόμενοι προσεκτήσαντο. Ἐπὶ τούτοις οὖν εὐχαριστοῦντες, φασίν· «Ὅτι ἐδοκίμασας ἡμᾶς, ὁ Θεός, ἐπύρωσας ἡμᾶς ὡς πυροῦται τὸ ἀργύριον.» Οὐ γὰρ ὡς καλάμην, οὐδ' ὡς χόρτον, οὐδ' ὡς ἑτέραν εὔθραστον ὕλην ἐπύρωσας ἡμᾶς, ἀλλ' ὡς ἀργύριον, τὸ ἀπὸ τῆς πυρώσεως καθαρώτερον γιγνόμενον. Πῶς δὲ ἐπυρώθησαν ὑφηγοῦνται λέγοντες· «Εἰσήγαγες ἡμᾶς εἰς τὴν παγίδα·» κατὰ δὲ τὸν Ἀκύλαν, «Εἰσήγαγες ἡμᾶς», φασίν, «ἐν ὀχυρώματι·» κατὰ δὲ τὸν Σύμμαχον, «Εἰσήγαγες ἡμᾶς ἐντὸς πολιορκίας·» κατὰ δὲ τὴν πέμπτην ἔκδοσιν· «Εἰσήγαγες ἡμᾶς εἰς περιοχήν.» Δηλοῖ δὲ διὰ τούτων ὁ λόγος εἱρκτὰς καὶ φυλακὰς καὶ δεσμωτήρια, ἐν οἷς πρὸ τοῦ θανάτου κατάκλειστοι γίγνονται οἱ τοῦ Θεοῦ μάρτυρες· ἃ δὴ παγίδι ἔοικεν, εἴσω αὐτῆς ἀπολαβούσῃ τὸ τεθηρευμένον. Ταύτης δὲ τῆς παγίδος μέμνηνται καὶ ἀλλαχοῦ οἱ αὐτοὶ φάσκοντες· «Ἡ ψυχὴ ἡμῶν ὡς στρουθίον ἐρρύσθη ἐκ τῆς παγίδος τῶν θηρευόντων· ἡ παγὶς συνετρίβη καὶ ἡμεῖς ἐρρύσθημεν.[1]» Πρῶτον μὲν οὖν εἰς τὴν παγίδα οἱ πυρούμενοι εἰσάγονται, ἢ εἰς τὸ ὀχύρωμα, ἢ εἰς τὴν περιοχήν, ἢ εἰς τὴν πολιορκίαν· εἶτα δεύτερον ἆθλον ἀγωνίζονται, ὃν διασαφοῦσι, λέγοντες· «Ἔθου θλίψεις ἐπὶ τὸν νῶτον ἡμῶν.» Κατὰ δὲ τὸν Ἀκύλαν φασίν· «Ἔθηκας τρισμὸν ἐν τῷ νώτῳ ἡμῶν·» κατὰ δὲ τὸν Σύμμαχον· «Ἔθηκας κύκλωσιν τῇ ὀσφύϊ ἡμῶν.» Δηλοῦσι δὲ διὰ τούτων τὰς κατὰ τοῦ σώματος πληγάς, ἃς ἐδήλου σαφέστερον ὁ Ἀπόστολος λέγων· «Τρὶς ἐρραβδίσθην, ἅπαξ ἐλιθάσθην, ὑπὸ Ἰουδαίων τεσσαράκοντα παρὰ μίαν ἔλαβον.[2]» Μετὰ δὲ τὰς εἱρκτὰς καὶ τὰς κατὰ τῶν νώτων ἢ κατὰ τῶν ὀσφύων πληγάς· «Ἐπεβίβασας ἀνθρώπους ἐπὶ τὰς κεφαλὰς ἡμῶν.» Καὶ τοῦτο δὲ νοήσεις, ὁρῶν κατὰ τοὺς τῶν διωγμῶν καιροὺς ἐπεμβαίνοντας τοὺς ἀθέους καὶ ἀσεβεῖς ἄνδρας καὶ κατεπαιρομένους τῶν τῆς θεοσεβείας ἀθλητῶν, τοὺς δὲ ταπεινουμένους καὶ τὰ πρόσωπα συνεσταλμένους ἐπὶ ταῖς τῶν ἀθέων βλασφημίαις τε καὶ μεγαλαυχίαις. Ἤδη δὲ πολλάκις καὶ κατὰ κόρης ἔτυψαν παίοντες πληγαῖς τὰς τῶν ἀθλητῶν τοῦ Θεοῦ κεφαλάς. Ἀλλὰ ταῦτα πάντα, φασὶν οἱ τοῦ Θεοῦ μάρτυρες, σὺ ἡμῖν ἐπήγαγες, ὁ Θεός. Μὴ γὰρ σου βουλομένου, οὐκ ἄν τι τοιοῦτον καθ' ἡμῶν ἐτολμᾶτο· συγχωροῦντος δέ σου, ταῦτ' ἐγίνετο. Διό φασι πρὸς αὐτόν· «Εἰσήγαγες

1. Ψαλμ. 123, 7. 2. Β' Κορ. 11, 25.

ἡμᾶς εἰς τὴν παγίδα.» Σὺ γὰρ ἦσθα ὁ κατακλείστους ἡμᾶς ποιῶν, συγχωρῶν δὲ ταῦτα γίνεσθαι. Καὶ σὺ ἔθου θλίψεις ἐπὶ τὸν νῶτον ἡμῶν. Οὐ γὰρ ἂν ταῦτα καθ' ἡμῶν ἐτολμᾶτο, εἰ τῇ σαυτοῦ χειρὶ σκεπάσας ἐφύλαττες. Σὺ δὲ καὶ τοὺς ἀθέους ἀνθρώπους ἐπεβίβασας ἐπὶ τὰς κεφαλὰς ἡμῶν. Ἤδη δὲ πρὸς τούτοις εἰς ἔσχατα κακῶν ἤλθομεν, οἱ μὲν τὸν διὰ πυρὸς ὑπομείναντες θάνατον, οἱ δὲ τὸν δι' ὕδατος. Σίδηρος μὲν γὰρ καὶ αἱ διὰ σιδήρου κολάσεις, οἵ τε ἄλλοι θάνατοι, οὓς οἱ πλείους ἡμῶν ὑπομεμενήκασι, τὸ μηθὲν ἐνομίσθησαν παραθέσει τῶν χειρόνων. Διὸ ἐκεῖνα μὲν σεσιωπήκαμεν· ἐπεὶ δέ, ὡς ἐν δεινοῖς, οὐδὲν χεῖρον τοῦ διὰ πυρὸς θανάτου καὶ τοῦ δι' ὕδατος νενόμισται, ταῦτα δὲ αὐτά φαμεν ὑπομεμενηκέναι. Τινὲς μὲν γὰρ ἡμῶν ὑποβρύχιοι θαλάττῃ καὶ ποταμοῖς παρεδόθησαν· οἱ δὲ τὴν διὰ πυρὸς τιμωρίαν ὑπέστησαν. Διὰ τοσούτων οὖν ἐδοκίμασας ἡμᾶς, ὁ Θεός, καὶ διὰ τούτων ἁπάντων ἐπύρωσας ἡμᾶς, ὡς πυροῦται τὸ ἀργύριον.

Ἀλλὰ ταῦτα πάντα ἐπαγαγὼν ἡμῖν, πάλιν σὺ αὐτὸς ἐξήγαγες ἡμᾶς εἰς ἀναψυχήν. Οὐ γὰρ ἡμῶν ἦν τὸ ὑπομεῖναι καὶ διαφυγεῖν τὰ τοσαῦτα, ἀλλὰ σοῦ τοῦ μεγάλου Σωτῆρος· ὡς γὰρ εἰσήγαγες εἰς τὴν παγίδα, οὕτω καὶ ἐξήγαγες εἰς ἀναψυχήν. Ἐπειδὴ μὴ παράμονα εἴασας ἡμῶν τὰ σκυθρωπά, μηδὲ εἰς ἄπειρον παρέτεινας τὴν θλῖψιν, μηδὲ εἰς μακρὸν χρόνον συνεχώρησας ἐπιβῆναι ἀνθρώπους ἐπὶ τὰς κεφαλὰς ἡμῶν· ἀλλ' οὐδὲ ἐν τῷ πυρὶ γενόμενοι ἐνυπεμείναμεν, οὐδὲ ἐν τῷ ὕδατι ἐμβληθέντες κατεπόθημεν· καὶ τοῦτο δὲ διήλθομεν· διὸ λέλεκται· «Διήλθομεν διὰ πυρός, καὶ τὸν βυθὸν τῶν ὑδάτων διεξήλθομεν·» διὸ καί, «δι' ὕδατος», εἴρηται. Καὶ δὴ ἐπὶ τούτοις ἅπασιν ἐγγυμνάσας ἡμᾶς καὶ τῆς ὑπομονῆς ἡμῶν καὶ τῆς καρτερίας τὴν δοκιμὴν λαβὼν ἐξήγαγες ἡμᾶς εἰς ἀναψυχήν· ἤ κατὰ τὸν Σύμμαχον, «εἰς εὐρυχωρίαν.» Καὶ τοῦτο δὲ ἐπληροῦτο διαφόρως· ἑνὸς γὰρ ὄντος τοῦ τῶν θεοσεβῶν σώματος, καὶ τῶν μὲν τάδε πεπονθότων, τῶν δὲ ὑπομεινάντων τιμωρίαν, τῶν δὲ τῇ τῶν ὑπαρχόντων ζημίᾳ μόνῃ δοκιμασθέντων, τῶν δὲ διὰ φυγῆς καὶ τῆς τῶν οἰκείων ἀναχωρήσεως ἐγγυμνασθέντων, οὐκ εἰς μακρὸν τὸ πάντων τέλος τοῖς πᾶσιν αἴσιον ὑπήντα. Οἱ μὲν γὰρ τοῦ Θεοῦ μάρτυρες διὰ τοῦ θανάτου τελειωθέντες, τὴν ἀληθῶς ἀναψυχὴν εὕραντο, ὡς δύνασθαι φάναι· «Ἐπίστρεψον, ἡ ψυχή μου, εἰς τὴν ἀνάπαυσίν σου, ὅτι Κύριος εὐηργέτησέ σε· ὅτι ἐξείλατο τὴν ψυχήν μου ἐκ θανάτου[1]», καὶ τὰ ἑξῆς. Ἀδελφὰ γὰρ ἂν εἴη ταῦτα τῶν διὰ τῶν μετὰ χεῖρας φασκόντων· «Τοῦ θεμένου τὴν ψυχήν μου εἰς ζωήν, καὶ μὴ δόντος εἰς σάλον τοὺς πόδας μου·» καὶ πάλιν· «Καὶ ἐξήγαγες ἡμᾶς εἰς ἀναψυχήν. Οἱ δὲ ἐν τῷ βίῳ πεφυλαγμένοι καὶ τὴν τοῦ διωγμοῦ πυρκαϊὰν ἀποσβεσθεῖσαν τεθεαμένοι, ἐν εἰρήνῃ φαιδρᾷ καταστάντες, τῆς ἀναψυχῆς ἔτυχον, καὶ εἰς εὔδιον λιμένα καταντήσαντες, καὶ τῆς μετὰ τοῦ διωγμοῦ εὐφροσύ-

1. Ψαλμ. 114, 7-8.

νης ἀπολαύσαντες. Νοήσεις δὲ ὅπως εἴρηται ἐνταῦθα τό· «Ἐπεβίβασας ἀνθρώπους ἐπὶ τὰς κεφαλὰς ἡμῶν», παραθεὶς τὸ ἐν ἑτέρῳ εἰρημένον· «Καὶ νῦν ὕψωσε κεφαλήν μου ἐπὶ ἐχθροὺς μου. Ἐκύκλωσα καὶ ἔθυσα ἐν τῇ σκηνῇ σου θυσίαν ἀλαλαγμοῦ.[1]» Ὥσπερ γὰρ κατὰ τοὺς τῶν διωγμῶν καιροὺς ἐπανίστησιν ὁ Θεὸς ἀνθρώπους ἐπὶ τὰς κεφαλὰς ἡμῶν, οὕτω μετὰ ταῦτα, ὅτε ἐξήγαγεν ἡμᾶς εἰς ἀναψυχήν, ὑψοῖ τὰς κεφαλὰς ἡμῶν ἐπὶ τοὺς ἐχθροὺς ἡμῶν. Καὶ τοῦτο προφητικῶς ἐδήλου ὁ φήσας· «Καὶ νῦν ὕψωσε κεφαλήν μου ἐπὶ ἐχθρούς μου. Εἰσελεύσομαι εἰς τὸν οἶκόν σου ἐν ὁλοκαυτώμασιν.» Οἱ μὲν γὰρ ἅγιοι τοῦ Θεοῦ μάρτυρες μετὰ τοὺς μεγάλους ἄθλους, οὓς ὑπομεμενήκασι, διὰ πυρὸς καὶ ὕδατος διελθόντες, εἰς ἀναψυχὴν παρελήφθησαν. Εἶτα τὸν ἐπουράνιον τοῦ Θεοῦ οἶκον τὸν ἀληθινὸν ἀπολαβόντες, φασίν· «Εἰσελεύσομαι εἰς τὸν οἶκόν σου ἐν ὁλοκαυτώμασι.» Ὡς γὰρ διὰ πυρὸς καὶ ὕδατος διελθόντες, τὰ ἑαυτῶν ὁλοκαυτώματα, ἐν οἷς ἐμαρτύρησαν, δίκην θυσίας τῷ ἑαυτῶν προσφέρουσι Θεῷ, πολλῇ παρρησίᾳ χρώμενοι ἐφ' αἷς ηὔξαντο εὐχαῖς. Ηὔξαντο δὲ ἀγωνίσασθαι, καὶ ταύτην ἐποιήσαντο τὴν ἐπαγγελίαν, τὸ μέχρι θανάτου ὑπὲρ εὐσεβείας ἀθλῆσαι. Ὡς οὖν κατωρθωκότες ἅπερ ηὔξαντο, φασίν·

Στίχ. ιδ', ιε'. «Ἀποδώσω σοι τὰς εὐχάς μου, ἃς διέστειλε τὰ χείλη μου· καὶ ἐλάλησε τὸ στόμα μου ἐν τῇ θλίψει μου.»

Κατ' αὐτὰς γὰρ τὰς θλίψεις, περὶ ὧν ἀνωτέρω ἔλεγον· «Ἔθου θλίψεις ἐπὶ τὸν νῶτον ἡμῶν», τὴν πρὸς τὸν Θεὸν ἀγάπην τελείαν καὶ ὁλόκληρον ἐνδεικνύμενοι, εὐχὰς ἐτίθεντο καὶ ἐπαγγελίας ἐποιοῦντο μέχρι θανάτου ἐνστῆναι, μονονουχὶ ὁμοίως τῷ Παύλῳ λέγοντες· «Τίς ἡμᾶς χωρίσει ἀπὸ τῆς ἀγάπης τοῦ Θεοῦ; θλῖψις, ἢ στενοχωρία, ἢ διωγμός, ἢ λιμός, ἢ γυμνότης, ἢ κίνδυνος;[2]» καί· «Πέπεισμαι γάρ, ὅτι οὔτε θάνατος, οὔτε ζωή, οὔτε ἐνεστῶτα, οὔτε μέλλοντα, δυνήσεται ἡμᾶς χωρίσαι ἀπὸ τῆς ἀγάπης τοῦ Θεοῦ τῆς ἐν Χριστῷ Ἰησοῦ.[3]» Ταύτας οὖν φησι τὰς εὐχὰς ἀποδεδωκέναι τῷ Θεῷ, ἃς διέστειλε τὰ χείλη αὐτῶν, καὶ ἐλάλησε τὸ στόμα αὐτῶν ἐν τῇ θλίψει αὐτῶν. Καὶ τοιαῦτά γε ἦν «τὰ ὁλοκαυτώματα» αὐτῶν «μεμυαλωμένα» ἀληθῶς. Αἱ γοῦν ψυχαὶ αὐτῶν, φέρουσαι τὸ πῖον καὶ δυνατὸν τῆς πίστεως, εἶπον ἂν τὸ ἐν ἑτέρῳ λελεγμένον· «Ὡσεὶ στέατος καὶ πιότητος ἐμπλησθείη ἡ ψυχή μου, καὶ χείλη ἀγαλλιάσεως αἰνέσει τὸ στόμα μου.[4]» Οὕτω γοῦν «μεμυαλωμένα» λέγεται τὰ εὔτραφῆ καὶ πίονα καὶ λιπαρά. Τοιαῦται δὲ τυγχάνουσιν αἱ τῶν ἀθλητῶν τοῦ Θεοῦ ψυχαί, ἐκ τῶν θείων καὶ λογικῶν τροφῶν «μεμυαλωμέναι», καὶ μηδὲν ὑποκείμενον ἔχουσαι, μηδὲ ἀσθενές· διό φασιν· «Ὁλοκαυτώματα μεμυαλωμένα ἀνοίσω σοι μετὰ θυμιάματος.» Νοήσεις δὲ καὶ τὸ θυμίαμα ἀπὸ τῆς λεγούσης φωνῆς· «Γενηθήτω ἡ προσευχή

1. Ψαλμ. 26, 6. 2. Ῥωμ. 8, 35. 3. Ῥωμ. 8, 38. 4. Ψαλμ. 62, 6.

μου ὡς θυμίαμα ἐνώπιόν σου.[1]» Αὗται μὲν οὖν αἱ ψυχαί, τῷ πνευματικῷ πυρὶ καθαρθεῖσαι, ὁλοκαυτώματα γεγόνασιν, ἢ δίκην ἱερείων αὗται τὰ ἑαυτῶν ὀνόματα, ὡς ἂν διὰ πυρὸς τελειωθέντα, ὁλοκαυτώματα προσηνέγκαντο. Αἱ δὲ προσευχαὶ αὐτῶν εἶεν ἂν τὰ θυμιάματα. Ἐπεὶ δὲ κριοὺς καὶ βόας μετὰ χιμάρων ἀνοίσειν ἐπαγγέλλονται, ἐπιστήσεις ὅπως εἴρηται καὶ ταῦτα ἐκ προσώπου τῶν ἀποστόλων τοῦ Σωτῆρος, τοὺς ὑπ' αὐτῶν προηγμένους χιμάρους καὶ βόας καὶ κριοὺς νοήσας. Πρῶτοι μὲν γὰρ μάρτυρες αὐτοὶ τοῦ Θεοῦ γεγόνασιν· εἶτα μιμητὰς ἑαυτῶν καὶ ζηλωτὰς μυρίους ἄλλους κατεστήσαντο, οὓς ὥσπερ οἰκεῖα γεώργια τῷ Θεῷ προσφέρουσι. Κριοὺς μὲν τοὺς ἄρχοντας τῶν Ἐκκλησιῶν, περὶ ὧν καὶ ἐν τῷ πρὸ τούτου ψαλμῷ ἐλέγετο· «Ἐνεδύσαντο οἱ κριοὶ τῶν προβάτων·[2]» οὓς ὥσπερ ποιμνίων ἡγουμένους αὐτοὶ κατέστησαν· βόας δὲ τὰς ἐν τῇ Ἐκκλησίᾳ ἀγελαζομένας ψυχάς· «Μὴ γὰρ τῶν βοῶν», φησί, «μέλει τῷ Θεῷ;[3]» ἢ δι' ἡμᾶς πάντως λέγει· χίμαροι δὲ οἱ ἀρτιγενεῖς καὶ τῷ καιρῷ τοῦ χειμῶνος γεγεννημένοι εἶεν ἄν. Διὸ κατὰ τοὺς λοιποὺς ἑρμηνευτάς, «καὶ ἔρημοι», ὡς τὸν τοῦ διωγμοῦ καιρὸν ἐκφυγόντες, ὠνομάσθησαν. Καὶ τούτους τοιγαροῦν ὡς ἂν νεογνοὺς καὶ ὑπ' αὐτῶν προηγμένους τῷ Θεῷ προσάγουσιν ἕκαστος ἐφ' οἷς προηγάγετο σεμνυνόμενος. Ταῦτα μὲν οὖν πνευματικῶς καὶ πρεπόντως τῇ τῶν θεοπνεύστων Γραφῶν ἐπαγγελίᾳ τεθεώρηται ἡμῖν. Καὶ πρέπει γε ὄντως ἀκούειν τῶν προκειμένων, ἢ κατὰ τὰς Ἰουδαίων ταπεινὰς μυθολογίας ὁλοκαυτώμασι χαίρειν τὸν Θεόν, ἢ θυμιάμασιν αἰσθητοῖς, ἢ κριῶν καὶ βοῶν καὶ χιμάρων αἵμασιν ὑπονοούντων. Ἃ δὴ πάντα διὰ τοῦ προφήτου αὐτὸς ὁ Θεὸς παραιτεῖται λέγων· «Τί μοι πλῆθος τῶν θυσιῶν ὑμῶν; λέγει Κύριος· πλήρης εἰμὶ ὁλοκαυτωμάτων κριῶν, καὶ στέαρ ἀρνῶν καὶ αἵματα ταύρων καὶ τράγων οὐ βούλομαι. Τίς γὰρ ἐξεζήτησε ταῦτα ἐκ τῶν χειρῶν ὑμῶν;[4]» Καὶ ἄλλως γ' ἂν εἴη ταῦτα ἐναντία τοῖς ἔμπροσθεν κατὰ τὸν μθ' ψαλμὸν λελεγμένοις, ἐν οἷς ἐκ προσώπου τοῦ Θεοῦ ἐλέγετο· «Οὐκ ἐπὶ ταῖς θυσίαις σου ἐλέγξω σε·[5]» καί· «Οὐ λήψομαι ἐκ τοῦ οἴκου σου μόσχους, οὐδὲ ἐκ τῶν ποιμνίων σου χιμάρους· ὅτι ἐμά ἐστι πάντα τὰ θηρία τοῦ δρυμοῦ, κτήνη ἐν τοῖς ὄρεσι καὶ βόες·[6]» καὶ ἑξῆς· «Μὴ φάγομαι κρέα ταύρων, ἢ αἷμα κριῶν πίομαι;[7]» Πῶς γὰρ ἐκείνοις σύμφωνα ἂν εἴη τὰ ὡς περὶ ὁλοκαυτωμάτων καὶ κριῶν καὶ βοῶν καὶ χιμάρων ἐνταῦθα λελεγμένα; Καὶ μὴν αὐτὸς ὁ Δαυῒδ διὰ τῶν ἔμπροσθεν ἐξομολογούμενος ἔλεγεν· «Ὅτι, εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν, ὁλοκαυτώματα οὐκ εὐδοκήσεις.[8]» Καὶ πάλιν ἐν ἑτέρῳ· «Θυσίαν καὶ προσφορὰν οὐκ ἐθέλησας, σῶμα δὲ κατηρτίσω μοι. Ὁλοκαυτώματα καὶ περὶ ἁμαρτίας οὐκ ηὐδόκησας.[9]»

---

1. Ψαλμ. 140, 2. 2. Ψαλμ. 64, 14. 3. Α' Κορ. 9, 9. 4. Ἠσ. 1, 11, 12. 5. Ψαλμ. 49, 8. 6. Ψαλμ. 49, 9, 10. 7. Ψαλμ. 49, 13. 8. Ψαλμ. 50, 18. 9. Ψαλμ. 39, 7.

Στίχ. ις'-κ'. «Δεῦτε, ἀκούσατε, καὶ διηγήσομαι, πάντες οἱ φοβούμενοι τὸν Θεόν, ὅσα ἐποίησε τῇ ψυχῇ μου.»

Οἱ αὐτοὶ καὶ ἐν τοῖς ἔμπροσθεν ἔλεγον· «Δεῦτε καὶ ἴδετε τὰ ἔργα τοῦ Θεοῦ, φοβερὸς ἐν βουλαῖς ὑπὲρ τοὺς υἱοὺς τῶν ἀνθρώπων·» καὶ ταῦτα ἔλεγον τοῖς ἔθνεσι. Καὶ νῦν οὖν πάλιν οἱ αὐτοὶ τοῖς προσφωνοῦσι φάσκοντες· «Δεῦτε καὶ ἀκούσατε, καὶ διηγήσομαι.» Τίνες δὲ δεῦτε; ἐπιλέγει ἑξῆς· «Πάντες οἱ φοβούμενοι τὸν Θεόν·» οὓς ἀνωτέρω ποτὲ μὲν πᾶσαν τὴν γῆν ὠνόμαζον, ποτὲ δὲ πάντα τὰ ἔθνη. Τοὺς αὐτοὺς γὰρ καὶ ἐπὶ τοῦ παρόντος δηλοῦσι φοβουμένους τὸν Θεὸν ἀποκαλοῦντες. Πολλάκις δὲ καὶ ἐν ἑτέροις ἀπεδείξαμεν, ὡς τοὺς ἐξ ἐθνῶν θεοσεβοῦντας φοβουμένους τὸν Κύριον καλεῖν εἴωθεν ὁ Λόγος. Ἐπεὶ τοίνυν μνείας δεῖται τὸ κήρυγμα τὸ ἀποστολικόν, ἀναγκαίως ἐπαγγέλλονται τὴν ἑρμηνείαν παραδώσειν τοῖς ἔθνεσι λέγοντες· «Δεῦτε, ἀκούσατε, καὶ διηγήσομαι·» Λέγουσι δὲ ταῦτα ὡς ἐξ ἑνὸς στόματος διὰ τὴν τελείωσιν· οἱ γὰρ πάντες ἐν γεγόνασι τελειωθέντες ἐν Κυρίῳ. Καὶ ταῦτα θεσπίζει τὸ Πνεῦμα τὸ ἅγιον ὡς ἐξ ἑνὸς χοροῦ τοῦ ἀποστολικοῦ τοῖς ἔθνεσι προσφωνοῦν, ἐπαγγελλόμενόν τε διερμηνεύειν, ὅσα ἐποίησεν ὁ Θεὸς τῇ ψυχῇ αὐτῶν. Πάλαι μὲν οὖν ἔλεγον· «Δεῦτε καὶ ἴδετε τὰ ἔργα τοῦ Θεοῦ, ὡς μετέστρεψέ ποτε τὴν θάλασσαν εἰς ξηράν, καὶ ὡς ἐν ποταμῷ διῆλθον ποδί.» Νυνὶ δὲ οὐκέτι τὰ παλαιά, ἀλλὰ τὰ τῆς νέας καὶ καινῆς ἱστορίας παραδεδώκασι, τὰς ἑαυτῶν πράξεις ὑφηγούμενοι, καὶ τὰς εἰς αὐτοὺς ὑπὸ τοῦ Θεοῦ γενομένας εὐεργεσίας. Διό φασιν· «Ὅσα ἐποίησε τῇ ψυχῇ μου·» εἶτα διηγοῦνται τὴν ἐπαγγελίαν πληροῦντες. Τίς δὲ ἡ διήγησις; «Πρὸς αὐτόν», φησί, «τῷ στόματί μου ἐκέκραξα, καὶ ὕψωσα ὑπὸ τὴν γλῶσσάν μου.» Ἐπειδὴ γὰρ τὰς εἰς αὐτοὺς εὐεργεσίας τοῦ Θεοῦ κατηριθμήσαντο, ὡς ἐπυρώθησαν, ὡς ἐδοκιμάσθησαν, ὡς εἰσῆλθον εἰς τὰς θλίψεις, ὡς ὑπέμειναν, ὡς διῆλθον διὰ πυρὸς καὶ ὕδατος, ὡς ἐξῆλθον εἰς ἀναψυχήν· ὅτι μὴ ἀργῶς ταῦτα αὐτοῖς πάντα, ἡ θεία δεδώρηται χάρις· ἀλλὰ γὰρ αὐτῶν τὰ μεγάλα συμβαλλομένων εἰς τὸ μαρτύριον διδάσκουσιν ἀναγκαίως. Πρῶτον μὲν γάρ, φασίν, οὐδέποτε ἀνεχωροῦμεν εὐχόμενοι καὶ βοῶντες πρὸς αὐτόν. Ἐβοῶμεν δὲ οὐ κραυγῇ καὶ φωνῇ γεγωνῷ, ἀλλ' «ὑπὸ τὴν γλῶσσαν» εἴσω συνέχοντες αὐτῶν τὰς βοάς· ᾔδειμεν γάρ, ὅτι καὶ σιωπώντων ἀκούει ὁ Θεός, καί εἰσι κραυγαὶ ψυχῆς οὐ διὰ γλώττης προφερόμεναι, ἀρρήτῳ δὲ δυνάμει πρὸς τὸν Θεὸν ἀναπεμπόμεναι. Καὶ τοῦτό ἐστιν ὃ ἐδίδαξεν ὁ Σωτὴρ εἰπών· «Εἴσελθε εἰς τὸ ταμιεῖόν σου, καὶ κλεῖσον τὴν θύραν σου, καὶ πρόσευξαι· καὶ ὁ Πατήρ σου ὁ βλέπων ἐν τῷ κρυπτῷ ἀποδώσει σοι.[1]» Οὕτως οὖν καὶ ἐνταῦθά φασιν, ὅτι «Πρὸς αὐτὸν τῷ στόματί μου ἐκέκραξα καὶ ὕψωσα ὑπὸ τὴν γλῶσσάν μου·» Κατὰ δὲ τὸν Σύμμαχον, «Αὐτόν», φασί, «τῷ στόματί μου ἐπεκαλε-

1. Ματθ. 6, 6.

σάμην, καὶ ὑψώθη παραχρῆμα ἡ γλῶσσά μου.» Ἀλλ' οὐ μόνον ταῖς εὐχαῖς ἐσχολάζομεν καὶ ταῖς πρὸς τὸν Θεὸν δεήσεσι καὶ ἱκετηρίαις· ἀλλὰ καὶ ἔργοις αὐτοῖς ἀπεστρεφόμεθα μὲν πᾶσαν ἀδικίαν, ὡς μηδὲ ἐμβλέπειν αὐτῇ ἐθέλειν, ἢ καὶ τῷ νῷ ἐνθυμεῖσθαί τι ἄδικον. Εἰ γάρ τι τοιοῦτον ἐνενοοῦμεν, οὐδ' εἰσακούεσθαι ἄξιοι ἂν ἦμεν· διό φασιν· «Ἀδικίαν εἰ ἐθεώρουν ἐν καρδίᾳ μου, μὴ εἰσακουσάτω Κύριος.» Ἐπεὶ τοίνυν καὶ τὴν διάνοιαν τοιαύτην εἶχε καὶ τὰς εὐχὰς τοιαύτας ἀνέπεμπεν, εἰκότως φησί· «Διὰ τοῦτο εἰσήκουσεν ὁ Θεὸς καὶ προσέσχε τῇ φωνῇ τῆς δεήσεώς μου.» Καὶ ταῦτα ἦν τὰ αἴτια δι' ἃ ἐξήγαγεν ἡμᾶς εἰς ἀναψυχὴν μετὰ τοὺς τοσούτους πειρασμούς. Ἐφ' οἷς ἅπασι τὸν ὀφειλόμενον εὐχαριστήριον ὕμνον ἀναπέμποντες τῷ Θεῷ, ἐπισφράγισμα τοῦ παντὸς ποιοῦνται λόγου φάσκοντες· «Εὐλογητὸς ὁ Θεός, ὃς οὐκ ἀπέστρεψε τὴν προσευχήν μου, καὶ τὸ ἔλεος αὐτοῦ ἀπ' ἐμοῦ.» Ταῦτα δὲ πάντα ὁ χορὸς ὁ ἀποστολικὸς ἐξ ἑνὸς προσώπου μετὰ πάντας τοὺς προλεχθέντας λόγους ἐπεσφραγίσατο, εὐλογίαν καὶ δοξολογίαν καὶ εὐχαριστίαν ἐπὶ πᾶσι τοῖς προλεχθεῖσιν ἀναπέμπων τῷ Θεῷ.

ΕΙΣ ΤΟ ΤΕΛΟΣ ΕΝ ΥΜΝΟΙΣ ΨΑΛΜΟΣ ΩΔΗΣ ΞΣΤ'.

Στίχ. β', γ'. «Ὁ Θεὸς οἰκτειρήσαι ἡμᾶς καὶ εὐλογήσαι ἡμᾶς, ἐπιφάναι τὸ πρόσωπον αὐτοῦ ἐφ' ἡμᾶς καὶ ἐλεήσαι ἡμᾶς.»

Καὶ ὁ παρὼν ψαλμὸς εὐαγγελικὸς ὤν, τῆς αὐτῆς ἔχεται τῷ πρὸ αὐτοῦ διανοίας· διόπερ «εἰς τὸ τέλος» παραπέμπει καὶ αὐτός, «ᾠδή» τε «ψαλμοῦ» ἐπιγέγραπται· ἐπεὶ κἀκεῖνος ψαλμὸς ᾠδῆς ἐλέγετο εἶναι. Μήποτε δὲ τὸ τίνος εἶεν λόγοι οὐδέτερος αὐτῶν ἐν τῇ προγραφῇ παρίστησι διὰ τὸ ἐναργὲς τῶν προφητικῶς εἰσηγμένων ἐν αὐτοῖς προσώπων. Οἱ κήρυκες γοῦν τῶν ἐθνῶν, οἱ ἀπόστολοι δηλαδὴ τοῦ Σωτῆρος ἡμῶν, ἐν ἑκατέρῳ παρελήφθησαν. Αὐτίκα γοῦν καὶ διὰ τῶν προκειμένων ἀκαλύπτως ἀναβοῶσιν ἐν τῇ γῇ καὶ ἐν πᾶσι τοῖς ἔθνεσι τό τε σωτήριον τοῦ Θεοῦ, καὶ τὴν ὁδὸν αὐτοῦ γνωσθῆναι εὐχόμενοι· εἶθ' ἑξῆς· «Ἐξομολογησάσθωσάν σοι λαοί, ὁ Θεός, ἐξομολογησάσθωσάν σοι λαοὶ πάντες. Εὐφρανθήτωσαν καὶ ἀγαλλιάσθωσαν ἔθνη.» Καὶ αὖθις δευτεροῦσι τὸν λόγον εἰς βεβαίωσιν τῶν θεσπιζομένων. Ὁ χορὸς τοίνυν ὁ ἀποστολικός, ὁ διὰ τῶν ἔμπροσθεν εἰρηκώς· «Ἀλαλάξατε τῷ Θεῷ, πᾶσα ἡ γῆ·[1]» καὶ αὖθις· «Πᾶσα ἡ γῆ προσκυνησάτωσαν·[2]» καὶ πάλιν· «Εὐλογεῖτε, ἔθνη, τὸν Θεὸν ἡμῶν·[3]» καὶ ἐν τῷ μετὰ χεῖρας ὁμοίως, ὁρῶν, ὅτι πολλῆς δεῖται συνεργίας Θεοῦ εἰς κατόρθωσιν τοῦ εὐαγγελικοῦ κηρύγματος, ὥσπερ κατεπᾴδων ἑαυτῷ δι' εὐχῆς φησιν· «Ὁ Θεὸς οἰκτειρήσαι ἡμᾶς καὶ εὐλογήσαι ἡμᾶς, ἐπιφάναι τὸ πρόσωπον αὐτοῦ ἐφ' ἡμᾶς, καὶ ἐλεήσαι ἡμᾶς.» Ἡμεῖς

1. Ψαλμ. 65, 1. 2. Ψαλμ. 65, 4. 3. Ψαλμ. 65, 8.

μὲν γὰρ ἑαυτοὺς τὸ μηθὲν εἶναί φαμεν, καὶ τὸ μηδὲν δύνασθαι ὁμολογοῦμεν, εὐτελεῖς ὄντες καὶ ἰδιῶται, πένητές τε καὶ πάντων ἔσχατοι ἀνθρώπων· αὐτὸς δὲ ὁ Θεὸς βουληθεὶς ἡμᾶς ὑπηρέτας γενέσθαι τῆς τῶν ἐθνῶν σωτηρίας, πρῶτον μὲν οἰκτειρήσειεν ἡμᾶς, οἶκτον ἡμῶν λαβὼν τῆς ἀσθενείας· εἶτα προσθείη τι τὸ δυνάμενον ἡμᾶς δυναμῶσαι· τοῦτο δὲ ἦν τὸ εὐλογῆσαι ἡμᾶς· εὐλογίᾳ δὴ πνευματικῇ, ὡς ἂν καὶ εἰς ἡμᾶς πληρωθείη πρεπόντως τῇ αὐτοῦ χάριτι ἡ φάσκουσα εὐλογία· «Αὐξάνεσθε καὶ πληθύνεσθε, καὶ πληρώσατε τὴν γῆν, καὶ κατακυριεύσατε αὐτῆς.[1]» Ταῦτα μὲν γὰρ καὶ πάλαι κατ' ἀρχὰς ἐπὶ τῆς κοσμοποιίας εἴρητο· ἐνομίσθη τε Ἰουδαίοις οὐκ ἄλλως ἢ σωματικῶς μόνως διὰ τῆς πολυτελείας πληροῦσθαι. Ἡμεῖς δέ, εἰδότες, ὡς ἔστι καὶ ψυχῆς ἔκγονα, διδασκάλων τε παῖδες οἱ μαθητευόμενοι, τοιαύτης ἀξιοῦμεν τυχεῖν εὐλογίας, ὡς ἂν αὐξηθείημεν καὶ πληθυνθείημεν πλήθει τῶν μαθητευομένων, μυριάσι τε τῶν δι' ἡμῶν σῳζομένων, ὡς ἂν εἰπεῖν· «Εὐλογητὸς ὁ Θεὸς ὁ εὐλογήσας ἡμᾶς ἐν πάσῃ εὐλογίᾳ πνευματικῇ ἐν τοῖς ἐπουρανίοις ἐν Χριστῷ.[2]» Οὕτως οὖν ὁ Θεὸς οἰκτειρῆσαι ἡμᾶς πρότερον, εἶτ' οἰκτειρήσας εὐλογῆσαι ἡμᾶς. Τοῦτο δὲ οὐκ ἄλλως ἔσται, εἰ μὴ ἐπιφάναι τὸ πρόσωπον αὐτοῦ ἐφ' ἡμᾶς, ὥστε καὶ ἡμᾶς εἰπεῖν· «Ἐσημειώθη ἐφ' ἡμᾶς τὸ φῶς τοῦ προσώπου σου, Κύριε.[3]» Τὸ δὲ ἐπιλεγόμενον ἑξῆς, «καὶ ἐλεῆσαι ἡμᾶς», μὴ κείμενον μήτε ἐν τῷ Ἑβραϊκῷ, μήτε ἐν τοῖς λοιποῖς ἑρμηνευταῖς, ἀναγκαίως ὠβέλισται. Τῶν δὲ προλεχθέντων εὐχόμεθα τυχεῖν, ἵνα δυνηθῶμεν τὴν ὁδὸν αὐτοῦ γνωστὴν ποιῆσαι ἐν πάσῃ τῇ γῇ. Διὸ λέλεκται· «Τοῦ γνῶναι ἐν τῇ γῇ τὴν ὁδόν σου.» Τίς δὲ ἡ γῆ καὶ τίς ἡ ὁδὸς τοῦ Θεοῦ; Γῆ μὲν πάντες οἱ τὴν γῆν οἰκοῦντες ἄνθρωποι καὶ πάντα τὰ καθ' ὅλης τῆς οἰκουμένης ἔθνη· ὁδὸς δὲ τοῦ Θεοῦ ὁ θεοσεβὴς βίος· οὗ τὸ τέλος πρὸς αὐτὸν ἄγει τὸν Θεόν, ὡς ἐπὶ μητρόπολιν ἀγαθῶν. Καὶ αὐτὸς δὲ ὁ σωτήριος λόγος εἴη ἂν ὁδὸς τοῦ Θεοῦ. Διὸ ἑξῆς ὥσπερ διερμηνεύων τὴν διάνοιαν ἐπιλέγει· «Ἐν πᾶσι τοῖς ἔθνεσι τὸ σωτήριόν σου.» Ὅπως οὖν δυνηθῶμεν ἐν πάσῃ τῇ γῇ καὶ ἐν πᾶσι τοῖς ἔθνεσι τοῖς τὴν γῆν οἰκοῦσι τὴν ὁδόν σου καὶ τὸ σωτήριόν σου, ταὐτὸν γάρ ἐστι, γνωστὸν ποιῆσαι, οἰκτείρησον ἡμᾶς, ὁ Θεός, καὶ εὐλόγησον ἡμᾶς, καὶ τὸ πρόσωπόν σου ἐπίφανον ἐφ' ἡμᾶς, ἵνα πληρωθέντες φωτὸς ἐκ τοῦ προσώπου σου, καταλάμψωμεν πάντας ἀνθρώπους. Εἰ γὰρ μὴ ταῦθ' ἡμῖν ὑπάρξειεν, οὐδέν ἐσμεν ἡμεῖς πρὸς τὴν τοῦ τηλικούτου πράγματος κατόρθωσιν.

Στίχ. δ'-η'. «Ἐξομολογησάσθωσάν σοι λαοί, ὁ Θεός, ἐξομολογησάσθωσάν σοι λαοὶ πάντες. Εὐφρανθήτωσαν.»

Τὰ μὲν πρῶτα ἑαυτοῖς ἐπηύξαντο οἱ τῶν ἐθνῶν κήρυκες· τὰ δὲ προκείμενα τοῖς τὸ δι' αὐτῶν κήρυγμα παραδεξαμένοις. Καὶ δὴ καὶ πρῶτον μὲν αὐτοῖς ἐξομολογήσεως ἐνδοθῆναι χώραν εὔχονται, ὅπως

1. Γεν. 1, 28. 2. Ἐφ. 1, 3. 3. Ψαλμ. 4, 7.

τὰ πρότερα ἑαυτῶν πλημμελήματα καὶ τὰς ἐν εἰδωλολατρείᾳ δυσσεβείας ἀπορρύψωνται διὰ τῆς ἐξομολογήσεως· δεύτερον καθαρθέντας αὐτοὺς τυχεῖν εὐφροσύνης καὶ ἀγαλλιάσεως τῆς παρὰ τῷ Θεῷ ἱκετεύουσι. Διὸ πρῶτον φασίν· «Ἐξομολογησάσθωσάν σοι λαοί, ὁ Θεός.» Ἀλλ' ἐπεὶ συνέβαινε μήπω συνεῖναι ἡμᾶς ποίους εἰρήκασι λαούς· ἐπεὶ καὶ τὸ Ἰουδαίων ἔθνος ἀθροίσματα καὶ λαοὺς ἐκέκτητο· ἀναγκαίως, ἵνα νοήσωμεν ποίων ἐμνημόνευσαν λαῶν, δευτεροῦσι τρανοῦντες τὴν διάνοιαν ἐν τῷ λέγειν· «Ἐξομολογησάσθωσάν σοι λαοὶ πάντες.» Μήποτε δὲ διὰ τῶν προτέρων τοὺς παρὰ Ἰουδαίοις λαοὺς αἰνίττονται, ὑπὲρ αὐτῶν πρῶτον τὴν εὐχὴν ἀναπέμψαντες, διὰ δὲ τῶν δευτέρων τοὺς ἐξ ἐθνῶν λαούς; Ὅπερ ἵνα γνώριμον γένηται τοῖς ἐντυγχάνουσι, διασαφεῖ φάσκων ὁ λόγος· «Εὐφρανθήτωσαν καὶ ἀγαλλιάσθωσαν ἔθνη.» Ἐπειδὴ δὲ δὶς τό, «ἐξομολογησάσθωσάν σοι», εἴρηται, ὅρα μήποτε τὸ μὲν πρῶτον ἐδήλου τῶν προτέρων ἁμαρτημάτων τὴν ὁμολογίαν, τὸ δὲ δεύτερον, τὴν ἐφ' οἷς ἔτυχον ἀγαθοῖς εὐχαριστίαν. Λαμβάνεται γὰρ ἡ ἐξομολόγησις καὶ ἐπὶ εὐχαριστίας. Οὕτω γοῦν ὁ Σωτὴρ ηὐχαρίστει λέγων· «Ἐξομολογοῦμαί σοι, Πάτερ, Κύριε τοῦ οὐρανοῦ καὶ τῆς γῆς.[1]» Μετὰ δὲ τὴν πρώτην καὶ δευτέραν ἐξομολόγησιν ἐπεύχονται τοῖς ἔθνεσι τοῖς ἐξομολογησαμένοις τὰ τρίτα. Τίνα δὲ ταῦτα; «Εὐφρανθήτωσαν καὶ ἀγαλλιάσθωσαν ἔθνη.» Καὶ διὰ ποίαν αἰτίαν, ἑξῆς διδάσκει λέγων· «Ὅτι κρινεῖς λαοὺς ἐν εὐθύτητι», καὶ ὅτι λαούς, οὐ τινὰς μέν, τινὰς δὲ οὔ· ἀλλὰ πάντας κατὰ τὰ ἔμπροσθεν δεδηλωμένα. Ἔτι δὲ γνόντα, ὅτι ὁδηγηθήσεται ὑπὸ σοῦ πρὸς τὸ βαδίσαι τὴν ὁδὸν τὴν ὑφ' ἡμῶν αὐτοῖς γνωριζομένην, εἰκότως εὐφροσύνης καὶ ἀγαλλιάσεως πλησθήσεται. Ἀντὶ δὲ τοῦ, «καὶ ἀγαλλιάσθωσαν», «καὶ αἰνέσουσιν» ὁ Ἀκύλας· ὁ δὲ Σύμμαχος, «καὶ εὐφημείτωσαν», ἡρμήνευσαν. «Ἐξομολογησάσθωσάν σοι λαοί, ὁ Θεός, ἐξομολογησάσθωσάν σοι λαοὶ πάντες· γῆ ἔδωκε τὸν καρπὸν αὐτῆς.» Ἐπὶ ταῖς χρησταῖς καὶ ἀγαθαῖς ἐπαγγελίαις εὐφραινόμενον τὸ Πνεῦμα τὸ ἅγιον, ταῖς αὐταῖς ἐνδιατρίβει φωναῖς, ὥσπερ ἐντρυφῶν τῇ κοινῇ πάντων ἀνθρώπων σωτηρίᾳ. Διὸ ἐπαναλαμβάνει δεύτερον καὶ τρίτον, καὶ οὐ βούλεται ἀναχωρεῖν τοῦ σωτηρίου καὶ εὐαγγελικοῦ ᾄσματος. Πάλιν οὖν φησιν· «Ἐξομολογησάσθωσάν σοι λαοί, ὁ Θεός.» Ὃ δὴ μέγιστον ἦν θαῦμα, ὅτι Ἰουδαῖοι μέν, ἐκ πατέρων τὸν τῶν ὅλων Θεὸν σέβειν δεδιδαγμένοι, συνεχῶς ἐξετραχηλίζοντο ἐπὶ τὴν πλάνην τῆς εἰδωλολατρείας· λαοὶ δὲ πάντες οἱ καθ' ὅλης τῆς οἰκουμένης ἐκ τοῦ μακροῦ αἰῶνος πεπλανημένοι εἰς τοσαύτην ἥξουσι μεταβολήν, ὡς μὴ μόνον ἐπιγνῶναί σε τὸν ἐπὶ πάντων Θεόν, ἀλλὰ καὶ ἐπιστήμην ἀναλαβεῖν τοῦ ἐξομολογεῖσθαί σοι κατὰ τὸν ἀποδοθέντα διττὸν τρόπον· ὅπερ ἵνα γένηται ἤδη ποτέ, τάχυνον τὰ τῆς προφητείας, ἵνα αὐτόπται τῶν αἰωνίων ἐπαγγελιῶν

---

1. Ματθ. 11, 25.

γενοίμεθα. Ἀκουστέον δὲ τῶν προκειμένων ὡς δυναμένων καὶ ἐκ προσώπου τῶν προφητῶν λέγεσθαι· ὥστ' εἶναι τὰ μὲν πρὸ τοῦ διαψάλματος, ἁρμόζοντα τῷ προσώπῳ τῶν ἀποστόλων, τὰ δὲ μετὰ τὸ διάψαλμα, τῷ χορῷ τῶν προφητῶν, οἵτινες ἐπεθύμουν ἰδεῖν ἃ ἡμεῖς βλέπομεν, καὶ οὐκ εἶδον κατὰ τὴν σωτήριον φωνήν.[1] Ἑξῆς τούτοις εἴρηται· «Γῆ ἔδωκε τὸν καρπὸν αὐτῆς·» ἢ κατὰ τὸν Σύμμαχον· «Γῆ δώσει τὴν φορὰν αὐτῆς.» Καρπὸς γὰρ ὡς ἀληθῶς ὁ κατὰ φύσιν τῆς γῆς ἐστι τὸ γνωρίζειν τὸν ἐπὶ πάντων Θεόν, καὶ τὰς ὀφειλομένας αὐτῷ ἐξομολογήσεις καὶ εὐχαριστίας ἀναπέμπειν τοὺς οἰκεῖν αὐτὴν ἐπιτραπέντας. Ἐπὶ τοῦτο μὲν γὰρ κατεσκεύασται τὸ τῆς γῆς στοιχεῖον, ἐπὶ τὸ τοὺς ἐν αὐτῇ τὰς διατριβὰς ποιουμένους εὐσεβείας προσφέρειν καρπούς· διὰ δὲ τὴν τοῦ πρώτου ἀνδρὸς παράβασιν ἐλέχθη· «Ἐπικατάρατος ἡ γῆ ἐν τοῖς ἔργοις σου. Ἐν λύπαις φάγῃ αὐτὴν πάσας τὰς ἡμέρας τῆς ζωῆς σου· ἀκάνθας καὶ τριβόλους ἀνατελεῖ σοι.[2]» Ἀλλ' οὐκ ἦν οὗτος ὁ κατὰ φύσιν καρπὸς τῆς γῆς· πρόρρησις δὲ τῆς μελλούσης φύειν ἐν αὐτῇ παρὰ φύσιν κακίας. Παρὰ φύσιν γὰρ αἱ ἄκανθαι καὶ τρίβολοι διὰ τὴν παράβασιν ὑποστᾶσαι οὐ μόνον τοῦ πρώτου ἀνθρώπου, ἀλλὰ καὶ τῶν μετ' αὐτὸν ἠσεβηκότων· ἐπεὶ κατ' ἀρχάς, ὅτε εἶπεν ὁ Θεός· «Βλαστησάτω ἡ γῆ βοτάνην χόρτου· σπεῖρον σπέρμα κατὰ γένος καὶ καθ' ὁμοιότητα, καὶ ξύλον κάρπιμον ποιοῦν καρπόν, οὗ τὸ σπέρμα αὐτοῦ ἐν αὐτῷ κατὰ γένος ἐπὶ τῆς γῆς·[3]» οὐδαμῇ μνήμη γέγονεν ἀκανθῶν οὐδὲ τριβόλων· οὐδ' ἂν ἔφυσε ταῦτα ἡ γῆ, εἰ μὴ τὰ τῆς παρακοῆς ἐπηκολούθησεν ἀνθρώπῳ. Τῆς γοῦν ὕστερον ἐπισυμβάσης ἀνθρώποις κακίας εἰκόνες ἐφύησαν ἄκανθαι καὶ τρίβολοι. Ὅθεν ἵνα ταῦτα ἀπόληται, πῦρ ἦλθε βαλεῖν ἐπὶ τὴν γῆν ὁ Σωτήρ. Καὶ δὴ τοῦ σωτηρίου λόγου δίκην πυρὸς τὰς ἀκάνθας καὶ τοὺς τριβόλους ἀφανίζοντος, νεωθεῖσα τῆς κακίας ἡ ψυχή, τὸν προσήκοντα αὐτῇ καὶ κατάλληλον καρπὸν ἀποδίδωσι. Διόπερ λαοὶ μὲν πάντες ἐξομολογοῦνται· ἔθνη δὲ ἐπὶ τῆς γῆς ὁδηγοῦνται. Τούτοις τε ἀκολούθως, ἐπενήνεκται τό· «Γῆ ἔδωκε τὸν καρπὸν αὐτῆς. Εὐλογήσαι ἡμᾶς ὁ Θεός, ὁ Θεὸς ἡμῶν, εὐλογήσαι ἡμᾶς ὁ Θεός. Καὶ φοβηθήτωσαν αὐτὸν πάντα τὰ πέρατα τῆς γῆς.» Εἴτε οἱ ἀπόστολοι τοῦ Σωτῆρος ἡμῶν, εἴτε οἱ παλαιοὶ τοῦ Θεοῦ προφῆται (ἑκατέρῳ γὰρ τάγματι ἐφαρμόζει τὰ λεγόμενα), εὔχονται τῆς παρὰ τοῦ Θεοῦ εὐλογίας τυχεῖν, ἧς καὶ ἀνωτέρω τὴν διάνοιαν παρεστήσαμεν, δεικνύντες ὅπως τό, «Αὐξάνεσθε καὶ πληθύνεσθε καὶ πληρώσατε τὴν γῆν, καὶ κατακυριεύσατε αὐτῆς[4]», ἐπὶ τούτων ἐπληροῦτο πνευματικῶς. Πάρεστι γοῦν ἔργῳ παραλαβεῖν, ὡς ἡ σύμπασα γῆ τῆς ἐκείνων διαδοχῆς ἐπληρώθη. Αἵ τε καθ' ὅλης τῆς οἰκουμένης ἱδρυθεῖσαι τοῦ Σωτῆρος ἡμῶν Ἐκκλησίαι, καὶ οἱ καθ' ἑκάστην μυρίανδροι λαοὶ τῆς εὐλογίας αὐτῶν ἐμφαίνουσι τὰ ἀποτελέσματα. Πρεπόντως δὲ αὐ-

---

1. Πρβλ. Λουκ. 10, 24. 2. Γεν. 3, 17-18. 3. Γεν. 1, 11. 4. Γεν. 1, 28.

τοῖς τό, «Ὁ Θεὸς ἡμῶν», ἐν τῷ, «Εὐλογήσαι ἡμᾶς ὁ Θεός, ὁ Θεὸς ἡμῶν·» ὡς ἂν πάτριον κεκτημένοι τὸ τοῦ Θεοῦ αὐτῶν γνώρισμα. Ἀλλ' ἑξῆς ἐπισυνάπτουσιν ἀορίστως λέγοντες τό, «Εὐλογήσαι ἡμᾶς ὁ Θεός·» ὡς μηκέτι μόνων αὐτῶν, ἀλλὰ καὶ πάντων τῶν δι' αὐτῶν σωθησομένων Θεὸν ὄντα. Καὶ μετὰ πάντα τὸ συμπέρασμα τῆς ὅλης προφητείας ἐπισφραγίζονται λέγοντες· «Καὶ φοβηθήτωσαν αὐτὸν πάντα τὰ πέρατα τῆς γῆς.» Ἐπειδὴ γὰρ «ἀρχὴ σοφίας φόβος Κυρίου[1]», ἀναγκαίως ὥσπερ εἰσαγωγὴν τῆς θεοσεβείας τὸν φόβον τοῦ Θεοῦ ἐγγενέσθαι πᾶσιν ἀνθρώποις τοῖς καὶ μέχρι τῶν ἐσχάτων τῆς γῆς οἰκοῦσιν ἐπεύχονται· ὃ δὴ καὶ ἐπληροῦτο μετὰ τὴν τοῦ Σωτῆρος ἡμῶν θεοφάνειαν, μεθ' ἣν εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος τῶν ἀποστόλων αὐτοῦ, καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα αὐτῶν. Περὶ τούτων δὲ τῶν περάτων τῆς γῆς καὶ διὰ τῶν ἔμπροσθεν ἐλέγετο·«Ἐπάκουσον ἡμῶν, ὁ Θεὸς ὁ Σωτὴρ ἡμῶν, ἡ ἐλπὶς πάντων τῶν περάτων τῆς γῆς καὶ τῶν ἐν θαλάσσῃ μακράν.[2]»

ΕΙΣ ΤΟ ΤΕΛΟΣ ΤΩ ΔΑΥΙΔ ΨΑΛΜΟΣ ΩΔΗΣ ΞΖ.'

Στίχ. β'-δ'. «Ἀναστήτω ὁ Θεός, καὶ διασκορπισθήτωσαν οἱ ἐχθροὶ αὐτοῦ, καὶ φυγέτωσαν ἀπὸ προσώπου αὐτοῦ οἱ μισοῦντες αὐτόν.»

Οἱ μὲν πρὸ τοῦ μετὰ χεῖρας τρεῖς ἐφεξῆς τὴν κλῆσιν τῶν ἐθνῶν προεφώνουν· ὧν ὁ μὲν ξδ' «Ψαλμὸς ᾠδῆς» ἐπεγέγραπτο «Τῷ Δαυΐδ·» ὁ δ' ἑπόμενος «Ὠδὴ ψαλμοῦ·» ὁ δὲ τρίτος «Ἐν ὕμνοις ψαλμὸς ᾠδῆς.» Εἰκότως τοιγαροῦν καὶ ὁ μετὰ χεῖρας, εὐαγγελικὸς ὢν καὶ αὐτός, καὶ οὐ περὶ τῆς κλήσεως τῶν ἐθνῶν μόνον, ἀλλὰ καὶ περὶ τοῦ Σωτῆρος αὐτοῦ προφητείαν περιέχων, «εἰς τὸ τέλος τῷ Δαυΐδ» ἐπιγέγραπται, καὶ «ψαλμὸς ᾠδῆς» ὁμοίως τοῖς πρὸ αὐτοῦ. Ἔδει γὰρ τοὺς τῶν ἀγαθῶν ἐπαγγελματικοὺς λόγους μὴ μόνον ψαλμούς, ἀλλ' ὁμοῦ καὶ κατὰ τὸ αὐτὸ ψαλμοὺς ᾠδῶν καὶ ᾠδὰς ψαλμῶν ὀνομάζεσθαι καὶ «εἰς τὸ τέλος» ἀναπέμπειν· ὡς ἂν μακροῖς ὕστερον χρόνοις ἐπὶ συντελείᾳ τοῦ αἰῶνος μελλόντων πληροῦσθαι τῶν ἐν αὐτοῖς θεσπιζομένων. Λέλεκται δὲ καὶ αὐτὸς ὑπὸ τοῦ προφητικοῦ Πνεύματος ἐκ προσώπου τῶν ἀποστόλων. Ὥσπερ οὖν διὰ τῶν ἔμπροσθεν ἐπηύχοντο ἑαυτοῖς ἀνακαλούμενοι Θεὸν συνεργὸν εἰς τὸ εὐαγγελικὸν κήρυγμα, τὸν αὐτὸν τρόπον καὶ ἐν τοῖς προκειμένοις οἱ αὐτοὶ προϊόντες, φασίν· «Εὐλογητὸς Κύριος ἡμέραν καθ' ἡμέραν· κατευοδώσει ἡμῖν ὁ Θεὸς τῶν σωτηρίων ἡμῶν·» καὶ πάλιν· «Ἔντειλαι, ὁ Θεός, τὴν δύναμίν σου· δυνάμωσον, ὁ Θεός, τοῦτο ὃ κατειργάσω ἡμῖν.» Ὁρᾷς γὰρ ὅπως κατευοδωθῆναι ὑπὸ τοῦ Θεοῦ καὶ δυναμωθῆναι εἰς τὸ ἀκωλύτως τὸν δρόμον τοῦ Εὐαγγελίου τελειῶσαι εὔχονται. Μέμνηνται δὲ σαφῶς καὶ τοῦ εὐαγγελικοῦ κηρύγματος λέγοντες· «Κύ-

1. Ψαλμ. 110, 10. 2. Ψαλμ. 64, 6.

ριος δώσει ῥῆμα τοῖς εὐαγγελιζομένοις δυνάμει πολλῇ·» ἀλλὰ καὶ τίσιν ἤμελλον κηρύττειν τὸ Εὐαγγέλιον θεσπίζουσιν ἐν οἷς φασιν· «Ἥξουσι πρέσβεις ἐξ Αἰγύπτου· Αἰθιοπία προφθάσει χεῖρα αὐτῆς τῷ Θεῷ.» Σαφῶς γὰρ διὰ τούτων Αἴγυπτον εὐαγγελίζονται, τοὺς εἰδωλολάτρας αἰνιττόμενοι· ἐπεὶ ἐξ Αἰγύπτου κατήρξατο ἡ εἰδωλολατρεία. Ἀλλὰ καὶ τὴν Αἰθιοπίαν προφθάσαι χεῖρα αὐτῆς τῷ Θεῷ φασι, τὰ ἔσχατα τῆς οἰκουμένης δηλοῦντες. Εἶθ' ἑξῆς τὰς βασιλείας τῆς γῆς πάσας ἀθρόως συγκαλοῦσι, τῶν ἐθνῶν ἁπάντων τοῦτον σημαινομένων τὸν τρόπον. Ἵνα δὲ τὰ διὰ τῶν λόγων προφητευόμενα ἤδη ποτὲ καὶ δι' ἔργων χωρήσῃ, ἀρχόμενον τὸ Πνεῦμα τὸ προφητικόν, διὰ τοῦ Δαυῒδ εὐχὴν ἀναπέμπει λέγον· «Ἀναστήτω ὁ Κύριος, καὶ διασκορπισθήτωσαν οἱ ἐχθροὶ αὐτοῦ.» Δεινοὶ γὰρ ἐχθροὶ τοῦ Θεοῦ κατετυράννουν πάλαι πρότερον τῶν ἐπὶ γῆς ἁπάντων, οἱ τὴν πολύθεον πλάνην καθ' ὅλης τῆς οἰκουμένης συστησάμενοι πονηροὶ δαίμονες. Οὐδεὶς τε ἦν ἐπαμύνων τοῖς κακοῖς, οὐ σοφὸς ἀνήρ, οὐ δίκαιος, οὐ προφήτης· ἀλλ' οὐδὲ ἀγγέλων τις ἢ πνευμάτων ἁγίων, ἢ τῶν κατ' οὐρανὸν θείων δυνάμεων. Διὸ δὴ αὐτὸν ἀναστῆναι τὸν Θεόν, καὶ τοῦ βασιλικοῦ διεγερθῆναι θρόνου παρακαλεῖ. Ἠρεμεῖν μὲν καὶ ἡσυχάζειν καὶ ὥσπερ διαναπαύεσθαι τὰ τῆς τοῦ Θεοῦ προνοίας λέγεται, ἐπειδὰν τῷ πλούτῳ τῆς χρηστότητος αὐτοῦ καὶ τῇ μακροθυμίᾳ φέρῃ τοὺς ἁμαρτάνοντας καὶ εἰς αὐτὸν ἀσεβοῦντας· τὸ δὲ κινεῖσθαι καὶ διανίστασθαι, ἐπειδὰν τὰς ἐκδικήσεις ποιῆσαι ἐπεξιὼν τοῖς ἁμαρτάνουσιν. Ἵν' οὖν ἤδη ποτὲ παύσωνται ταῖς κατὰ τῶν ἀνθρώπων δυναστείαις οἱ προλεχθέντες ἐχθροί, διαναστῆναι τὸν Θεὸν καὶ διεγεῖραι ἑαυτὸν εἰς ἐκδίκησιν ἱκετεύει, ὅπως οἱ πάλαι κατὰ τὸ αὐτὸ συνηγμένοι καὶ κακὴν συμφωνίαν πρὸς ἀλλήλους θέμενοι, τὴν τῆς δαιμονικῆς εἰδωλολατρείας, διασκεδασθῶσι μακρὰν ἀλλήλων γενόμενοι. Ἐχθροὶ δὲ τοῦ Θεοῦ καὶ μισοῦντες αὐτὸν ἦσαν, οἱ τὸν ὑπὲρ γῆς ἀέρα πληροῦντες καὶ τὴν ἐν ἀνθρώποις πολυπλανῆ κακίαν ἐνεργοῦντες δυσσεβεῖς τινες καὶ ἄθεοι δαίμονες· οἵ, κινηθέντος αὐτοῦ μόνον τοῦ Θεοῦ, καὶ ἐπὶ τὴν τῶν πραττομένων ἐκδίκησιν ἑαυτὸν διεγείραντος, πρῶτον μὲν ἐσκορπίζοντο μακρὰν ἀλλήλων διασκεδαννύμενοι, εἶτ' ἐχρῶντο φυγῇ· καὶ μετὰ ταῦτα ὡς ἐκλείπει καπνὸς ἐξέλιπον, καὶ ὡς τήκεται κηρὸς ἀπὸ προσώπου πυρός, οὕτως ἤμελλον ἀπόλλυσθαι. Νοήσεις δὲ ὅπως ὡς ἐκλείπει καπνὸς ἐξέλιπον οἱ ἐχθροὶ αὐτοῦ, ἐπιστήσας ὡς τὸ μὲν παλαιὸν μετεσχηματίζοντο εἰς ἀγγέλους φωτός, αὐτὸς δὲ ὁ διάβολος καὶ οἱ διάκονοι αὐτοῦ κατὰ τὸν Ἀπόστολον, ὅς φησιν· «Αὐτὸς γὰρ ὁ Σατανᾶς μετασχηματίζεται εἰς ἄγγελον φωτός.[1]» Οὐ μέγα οὖν εἰ καὶ οἱ διάκονοι αὐτοῦ μετασχηματίζονται εἰς ἀγγέλους δικαιοσύνης, ἐχρησμοδότουν τε τότε κατὰ πάντα τόπον, μαντείας καὶ θεραπείας ἐπαγγελλόμενοι,

1. Β' Κορ. 11, 14.

ὡς τοὺς δεισιδαίμονας θύειν αὐτοῖς καθ' ὑπερβολὴν μανίας καὶ τὰ ἑαυτῶν φίλτατα. Νυνὶ δὲ ἐκείνων πάντων ἀφανισμὸς καὶ ἐρημία γέγονεν, ὡς μηδὲ μνήμην αὐτῶν ἐπιλιπέσθαι· ἐξέλιπον δὲ ὡς ἐκλείπει καπνὸς ἀποσβεσθέντος αὐτῶν τοῦ πυρός· διὸ καὶ ἀλλαχοῦ εἴρηται· «Ἀνέβη καπνὸς ἐν ὀργῇ αὐτοῦ.[1]» Ἡ γὰρ τοῦ Θεοῦ ὀργὴ τούτοις αὐτοῖς ἐπελθοῦσα, τὸ πῦρ αὐτῶν ᾧ κατέφλεγον τὰς τῶν ἀνθρώπων ψυχὰς κατέσβεσεν· οὗ σβεσθέντος, ἀνέβη καπνός. Ἀλλὰ καὶ οὗτος ὁ καπνὸς μηκέθ' ὑποκαιόμενος, μηδὲ ἔχων ὁπόθεν ὑποστῇ, ἐκλείπει. Ἐπεὶ δὲ ὁ Θεὸς φῶς ἐστι, καὶ σκοτία ἐν αὐτῷ οὐκ ἔστιν οὐδεμία, τοῦτο τὸ φῶς τοῖς αὐτῷ φίλοις σοφίας καὶ γνώσεως, καὶ ἀληθείας μαρμαρυγὰς ἐκπέμπει, ὡς φάναι αὐτούς, «Ἐσημειώθη ἐφ' ἡμᾶς τὸ φῶς τοῦ προσώπου σου, Κύριε.[2]» Τοῖς δὲ προλεχθεῖσιν ἐχθροῖς αὐτοῦ πῦρ καταφλέγον γίγνεται. Διὸ λέλεκται ἐν ἑτέροις· «Πῦρ ἐνώπιον αὐτοῦ καυθήσεται, καὶ κύκλῳ αὐτοῦ καταιγὶς σφοδρά·[3]» καί, «Πῦρ ἐναντίον αὐτοῦ καυθήσεται, καὶ φλογιεῖ πάντας τοὺς ἐχθροὺς αὐτοῦ.[4]» Καὶ ἐν τῷ μετὰ χεῖρας οἱ ἐχθροὶ οὐ μόνον ἐκλείπειν ὡς καπνός, ἀλλὰ καὶ ὡς τήκεται κηρὸς ἀπὸ προσώπου πυρός, οὕτως ἐκτήκεσθαι εἴρηνται· ἐπειδήπερ αὐτοὶ ἑαυτοὺς ἐχθροὺς τοῦ Θεοῦ πεποιήκασιν. Ὁ γὰρ Θεὸς ἀγαπᾷ τὰ ὄντα πάντα, καὶ οὐδὲν βδελύσσεται ὧν ἐποίησεν· οὐδὲ γὰρ μισῶν τι κατεσκεύαζε· διὸ οὐδενὸς ἐχθρὸς αὐτός. Οἱ δὲ μακρύνοντες ἑαυτοὺς ἀπ' αὐτοῦ, καὶ ἐχθροποιοῦντες ἑαυτούς, ἐπισπῶνται τὴν ἀπώλειαν· ὡς λέγεσθαι· «Ὅτι ἰδοὺ οἱ μακρύνοντες ἑαυτοὺς ἀπὸ σοῦ ἀπολοῦνται.[5]» Οὕτω δὲ καὶ μισοῦσι τὸν Θεὸν οἱ τὰ ὑπ' αὐτοῦ μεμισημένα πράττοντες. Ταῦτα μὲν οὖν καθ' ἕνα λελέχθω τρόπον. Ἐπεὶ δὲ ἡ πᾶσα προφητεία εὐαγγελικὴ τυγχάνει, θέα μήποτε ταῦτα εἰς τὸν Θεὸν Λόγον ἀναφέρεται, ὃς ἦν μὲν πάλαι ἐν τοῖς κόλποις ἀναπαυόμενος τοῦ Πατρός· «Ἐν ἀρχῇ» γὰρ «ἦν ὁ Λόγος· καὶ ὁ Λόγος ἦν πρὸς τὸν Θεόν, καὶ Θεὸς ἦν ὁ Λόγος.[6]» Καί· «Οὗτος ἦν ἐν ἀρχῇ πρὸς τὸν Θεόν[7]», αὐτὸς ἦν ὁ Μονογενὴς τοῦ Θεοῦ ὁ ὢν εἰς τὸν κόλπον τοῦ Πατρός. Ἐπεὶ δὲ μορφὴν δούλου λαβών, καὶ σχήματι εὑρεθεὶς ὡς ἄνθρωπος, ἐταπείνωσεν ἑαυτὸν μέχρι θανάτου, τὸ Πνεῦμα τὸ ἅγιον εἰκότως τὴν ἀνάστασιν αὐτοῦ θεσπίζει λέγον· «Ἀναστήτω ὁ Θεός, καὶ διασκορπισθήτωσαν οἱ ἐχθροὶ αὐτοῦ·» Θεοῦ νοουμένου τοῦ Θεοῦ Λόγου. Ἢ τῆς εὐχῆς περὶ μὲν τοῦ Χριστοῦ λεγούσης τό, «Ἀναστήτω», πρὸς δὲ τὸν Θεὸν τῶν ὅλων ἀναπεμπομένης· ἵν' ᾖ τό, «ὁ Θεός», ἀντὶ τοῦ, ὦ Θεέ, ἀναστήτω ὁ Χριστός σου, καὶ διασκορπισθήτωσαν οἱ ἐχθροὶ αὐτοῦ. Συνήχθησαν μὲν γὰρ οἱ ἐχθροὶ αὐτοῦ κατὰ τὸν τοῦ πάθους αὐτοῦ καιρόν, ὁπηνίκα «ἐφρύαξαν ἔθνη, καὶ λαοὶ ἐμελέτησαν κενά. Παρέστησαν οἱ βασιλεῖς καὶ οἱ ἄρχοντες συνήχθησαν ἐπὶ τὸ αὐτὸ κατὰ τοῦ Κυρίου καὶ κατὰ

1. Ψαλμ. 17, 9. 2. Ψαλμ. 4, 7. 3. Ψαλμ. 49, 3. 4. Ψαλμ. 96, 3. 5. Ψαλμ. 72, 27. 6. Ἰω. 1, 1. 7. Ἰω. 1, 2.

τοῦ Χριστοῦ αὐτοῦ.[1]» Πάντων δὲ τούτων διασκορπισμὸν ἡ ἐκ νεκρῶν ἀνάστασις τοῦ Χριστοῦ κατειργάσατο· ἐξέλιπόν τε ὡς ἐκλείπει καπνός, καὶ ὡς τήκεται κηρὸς ἀπὸ προσώπου πυρός. Καὶ τοῦτόν γε τὸν Χριστὸν τοῦ Θεοῦ ἐμίσησαν, μισοῦσί τε εἰσέτι καὶ νῦν, οἱ συνεχῶς αὐτὸν ἀθέοις λόγοις καὶ λοιδορίαις βλασφημοῦντες, τήν τε Ἐκκλησίαν αὐτοῦ πολεμοῦντες, καὶ τὴν διδασκαλίαν διαβάλλοντες. Ἄλλως γὰρ τὸν ἐπὶ πάντων Θεὸν οὐκ ἂν εὕροι μισοῦντάς τινας· οὐδὲ γὰρ αὐτοὶ οἱ ἄθεοι καὶ δυσσεβεῖς· ἀλλ' οὐδὲ οἱ πονηροὶ δαίμονες, οὐδὲ τὰ ἀκάθαρτα πνεύματα τοῦτ' ἂν εἴποιεν. Τὸν δὲ Χριστὸν τοῦ Θεοῦ ὁμολογουμένως ἐμίσησαν· πρῶτοι μὲν ἐκεῖνοι, περὶ ὧν αὐτὸς διὰ τῆς προφητείας ἔφασκεν· «Ἐλάλησαν κατ' ἐμοῦ γλώσσῃ δολίᾳ, καὶ λόγοις μίσους ἐκύκλωσάν με, καὶ ἐπολέμησάν με δωρεάν. Ἀντὶ τοῦ ἀγαπᾶν με ἐνδιέβαλλόν με. Καὶ ἔθεντο κατ' ἐμοῦ κακὰ ἀντὶ ἀγαθῶν, καὶ μῖσος ἀντὶ τῆς ἀγαπήσεώς μου·[2]» ἔπειτα καὶ οἱ μετ' ἐκείνους εἰσέτι νῦν αὐτὸν βλασφημοῦντες. Πλὴν πάντες οἱ ἐχθροὶ αὐτοῦ, καὶ οἱ μισοῦντες αὐτὸν διεσκορπίσθησαν καὶ πεφεύγασιν ἀπὸ προσώπου τῆς δυνάμεως αὐτοῦ. Ἐξέλιπόν τε ὡς ἐκλείπει καπνὸς καὶ ὡς τήκεται κηρὸς ἀπὸ προσώπου πυρός. Αὐτίκα γοῦν οὐδεὶς πώποτε τῶν μεμισηκότων αὐτὸν ἀτιμώρητος διεξῆλθε τὸν βίον· ἀλλὰ καὶ οἱ πάλαι τὴν ἐπιβουλὴν αὐτῷ τυρεύσαντες ἀρχιερεῖς καὶ γραμματεῖς, Φαρισαῖοι καὶ Σαδδουκαῖοι οὕτως ἐξέλιπον, ὡς μηδὲ μνήμην αὐτῶν εἰσέτι νῦν μηδ' ὄνομα παρὰ Ἰουδαίοις σῴζεσθαι. Τότε πᾶν ἔθνος αὐτῶν διασκεδασμὸν καὶ διασκορπισμὸν ὑπέμεινε εἰς πάντα τὰ ἔθνη· καὶ ἐν τοῖς μετὰ ταῦτα δὲ χρόνοις πάντες ὅσοι τὴν Ἐκκλησίαν αὐτοῦ πεπολεμήκασιν, ὁμοίως ἐξέλιπον καὶ αὐτοὶ ὡς ἐκλείπει καπνὸς καὶ ὡς τήκεται κηρὸς ἀπὸ προσώπου πυρός. Οἱ μὲν οὖν ἐχθροὶ τοῦ Χριστοῦ καὶ οἱ μισοῦντες αὐτὸν τοιαῦτα πεπόνθασι, καὶ ἔτι μᾶλλον οἱ ἀόρατοι καὶ ἀφανεῖς ἐχθροί, πονηροὶ δαίμονες καὶ μοχθηρὰ πνεύματα, δι' ὧν τὰ τῆς πολυθέου πλάνης ἐνηργεῖτο πάλαι· ὧν παντελὴς διασκορπισμὸς μετὰ τὴν ἐκ νεκρῶν ἀνάστασιν γέγονεν· οἱ δ' αὐτοί, τηκόμενοι ὡς κηρὸς ἀπὸ προσώπου πυρός, ἐβόων λέγοντες· «Ἔα· τί ἡμῖν καὶ σοί, Υἱὲ Θεοῦ; Ἦλθες πρὸ καιροῦ βασανίσαι ἡμᾶς.[3]» Αἱ γὰρ τῆς θεότητος αὐτοῦ ἀόρατοι καὶ ἀφανεῖς ἀκτῖνες, βασάνους καὶ ἀλγηδόνας τοῖς ταῦτα λέγουσι παρεῖχον. Τὸ δέ γε δεξιὸν τῶν φίλων τοῦ Θεοῦ τάγμα ὁποίων ἀπέλαυεν ἀγαθῶν ἐν τῇ τοῦ Σωτῆρος ἡμῶν ἀναστάσει, ἑξῆς διδάσκει ἡ προφητεία λέγουσα· «Καὶ οἱ δίκαιοι εὐφρανθήτωσαν, ἀγαλλιάσθωσαν ἐνώπιον τοῦ Θεοῦ, τερφθήτωσαν ἐν εὐφροσύνῃ.» Ὁποῖον δέ ἐστι τὸ μὴ ἁπλῶς εὐφραίνεσθαι καὶ ἀγαλλιᾶν, ἀλλ' ἐνώπιον τοῦ Θεοῦ καὶ παρὰ τῷ Θεῷ τούτων ἀπολαύειν, ἡδονῇ τε θείᾳ ἐντρυφᾶν, οὐκ ἔστιν ἐπαξίως λόγῳ διηγήσασθαι.

---

1. Ψαλμ. 2, 1, 2. 2. Ψαλμ. 108, 3-5. 3. Ματθ. 8, 29.

Στίχ. ε', ς'. «Ἄσατε τῷ Θεῷ, ψάλατε τῷ ὀνόματι αὐτοῦ· ὁδοποιήσατε τῷ ἐπιβεβηκότι ἐπὶ δυσμῶν.»

Τὸν μὲν περὶ τῶν ἐχθρῶν καὶ μισούντων τὸν Θεὸν λόγον διὰ βραχέων ἐπετέμετο ἡ προφητεία· τὸν δὲ περὶ τῶν δικαίων ἐξαπλοῖ, ἐνδιατρίβουσα τῇ περὶ αὐτῶν μνήμῃ. Καὶ δὴ τὸ Πνεῦμα τὸ ἅγιον παρακελεύεται τοῖς δικαίοις ᾄδειν καὶ ψάλλειν τῷ Θεῷ, ὡς ἂν διὰ τούτων μέλλουσιν ἀπολαύειν τῆς θείας εὐφροσύνης καὶ τῆς προλεχθείσης τερπωλῆς καὶ ἀγαλλιάσεως. Καὶ ἐπείπερ τῶν δύο τούτων, λέγω δὲ τοῦ ᾄδειν καὶ ψάλλειν, τὸ μὲν κρεῖττον ἦν τὸ ᾄδειν, τὸ δὲ ὑποβεβηκὸς τὸ δι' ὀργάνου ἀνακρούεσθαι, εἰκότως τὸ μὲν κρεῖττον ἀνέθηκε τῷ Θεῷ, τὸ δὲ διὰ τοῦ ὀργάνου ἐνεργεῖν τῷ ὀνόματι αὐτοῦ. «Ἄσατε» γάρ, φησί, «τῷ Θεῷ, καὶ ψάλατε τῷ ὀνόματι αὐτοῦ.» Ἄδει δὲ τῷ Θεῷ ὁ δι' ὑγιῶν δογμάτων τὴν ψυχὴν πεπαιδευμένος καὶ τὰς πρεπούσας αὐτῷ θεολογίας ἐκ διανοίας κεκαθαρμένης ἀναπέμπων· ψάλλει δὲ τῷ ὀνόματι αὐτοῦ, ὁ διὰ τῶν τοῦ σώματος κινήσεων καὶ διὰ τῆς τῶν αἰσθητηρίων ἐνεργείας τοιαῦτα πράττων, ὡς δοξάζεσθαι δι' αὐτοῦ παρὰ τοῖς ὁρῶσι τὸ ὄνομα τοῦ Θεοῦ. Ταῦτα μὲν οὖν πρῶτα παρακελεύεται τῷ τῶν δικαίων χορῷ πράττειν ὁ λόγος· ἑξῆς δὲ πρᾶγμά τι ποιεῖν ἑτέροις χρήσιμον προστάττει. Ἵνα γὰρ ἐπιβῇ ὁ Θεὸς τῷ τῶν ἀνθρώπων βίῳ, καὶ ὅπως ἐμπεριπατήσῃ τοῖς ἐπὶ γῆς, τὴν ὁδὸν αὐτῷ λείαν καὶ ὁμαλὴν ἀπεργάζεσθαι διακελεύεται φάσκων· «Ὁδοποιήσατε·» ἢ κατὰ τὸν Σύμμαχον, «Καταστρώσατε·» κατὰ δὲ τὸν Ἀκύλαν, «Ἀποσκολοπίσατε», τουτέστι πᾶν σκολιὸν ἀφέλετε, καὶ πᾶν τραχὺ καταστρώσατε, ὡς ἂν γένοιτο λεία καὶ ὁμαλὴ τοῦ Θεοῦ ἡ εἰς ἀνθρώπους πορεία. Τοῦτο δὲ καὶ Ἡσαΐας ἐδήλου λέγων· «Ἑτοιμάσατε τὴν ὁδὸν Κυρίου, εὐθείας ποιεῖτε τὰς τρίβους αὐτοῦ. Πᾶσα φάραγξ πληρωθήσεται, καὶ πᾶν ὄρος καὶ βουνὸς ταπεινωθήσεται. Καὶ ἔσται τὰ σκολιὰ εἰς εὐθεῖαν, καὶ ἡ τραχεῖα εἰς ὁδοὺς λείας, καὶ ὄψεται πᾶσα σὰρξ τὸ σωτήριον τοῦ Θεοῦ.[1]» Ἐνταῦθα δὲ οὐ πρότερον ὁδοποιεῖν κελεύει ἢ πρῶτον αὐτοὺς μαθόντας ὅπως χρὴ ᾄδειν τῷ Θεῷ καὶ ὅπως ψάλλειν τῷ ὀνόματι αὐτοῦ. Ταῦτα γὰρ προμαθόντας καὶ ἔργοις ἐπιτελέσαντας, ἑξῆς βούλεται ὁδοποιεῖν, τουτέστι τὰς παρὰ τῶν ἀνθρώπων ψυχὰς παρασκευάζειν, καθαράς τε καὶ ἑτοίμους αὐτὰς ἀπεργάζεσθαι εἰς τὴν ἐπιδημίαν τοῦ προδηλωθέντος Θεοῦ. Διό φησιν· «Ὁδοποιήσατε τῷ ἐπιβεβηκότι ἐπὶ δυσμῶν, Κύριος ὄνομα αὐτῷ.» Κέκληκε δὲ τὸν Κύριον ἐνταῦθα καινοτέρᾳ φωνῇ κατὰ τὴν Ἑβραϊκὴν λέξιν· «ἴα» γὰρ αὐτὸν ὠνόμασεν· ὅθεν ὁ Σύμμαχος, «Διὰ τοῦ «ἴα» ἡ ὀνομασία αὐτοῦ», ἡρμήνευσεν· ἡ δὲ πέμπτη ἔκδοσις, «Ἐν τῷ «ἴα» τὸ ὄνομα αὐτοῦ.» Ἠνίξατο δὲ τὸ ὄνομα τοῦ Σωτῆρος Ἰησοῦ διὰ τῆς πρώτης συλλαβῆς. Καὶ τοῦτον τὸν Κύριον, οὗ τὸ ὄνομά φησιν εἶναι διὰ τοῦ «ἴα», ἢ ἐν τῷ «ἴα», ἐπιβεβηκέναι

---

1. Ἡσ. 40, 3-5.

ἐπὶ δυσμῶν διδάσκει· σημαίνει δὲ τὴν εἰς ἀνθρώπους αὐτοῦ πάροδον καὶ τὴν ἔνσαρκον ἐπιδημίαν. Οὐ γὰρ τὸν ἐν μορφῇ Θεοῦ Θεὸν Λόγον γυμνὸν ἐπιδείξας φώτων δίκην ἐξήστραψε τὸν τῶν ἀνθρώπων βίον, μορφὴν δὲ δούλου λαβὼν καὶ τὰς ἀκτῖνας τῆς ἑαυτοῦ θεότητος συστείλας, καὶ ὥσπερ καταδὺς ἐν τῷ σώματι, ἐπὶ δυσμῶν τε γενόμενος τοῦ θνητοῦ βίου, (ὃν ὁ θεῖος Ἀπόστολος σκότος ὠνόμασεν εἰπών· «Πρὸς τοὺς κοσμοκράτορας τοῦ σκότους τούτου·[1]») ἢ ἐν αὐτῷ καταδὺς τῷ θανάτῳ, λέλεκται ἐπιβεβηκέναι ἐπὶ δυσμῶν. Τούτῳ οὖν, φησί, τῷ ἐπιβεβηκότι ἐπὶ δυσμῶν Κυρίῳ, οὗ τὸ Ἰησοῦ ὄνομα διὰ τοῦ «ἴα» σημαίνεται, ὁδοποιήσατε. Προστάττει δὲ ταῦτα τὸ Πνεῦμα τὸ προφητικὸν τῷ ἀποστολικῷ χορῷ, καὶ τοῦτο πράττειν σὺν πολλῇ προθυμίᾳ καὶ παρρησίᾳ ἐπικελεύεται. Διὸ ἐπιλέγει ἑξῆς· «Καὶ ἀγαλλιᾶσθε ἐνώπιον αὐτοῦ·» ἢ κατὰ τὸν Σύμμαχον, «Καὶ γαυριᾶσθε εἰς πρόσωπον αὐτοῦ.» Καὶ ἄλλο δὲ γνώρισμα δίδωσι τοῦ προδηλωθέντος Κυρίου, λέγων· «Τοῦ πατρὸς τῶν ὀρφανῶν καὶ κριτοῦ τῶν χηρῶν.» Εἰ μὴ γὰρ ὀρφανῶν ἠξίωσε γενέσθαι πατήρ, χηρῶν τε ἔκδικος καὶ κριτής, οὐδεὶς ἦν αὐτῷ λόγος πρὸς τοὺς ἐπὶ γῆς ταπεινούς. Ἐπεὶ δὲ καθ' ὑπερβολὴν φιλανθρωπίας κατηξίωσεν ἐπιβῆναι ἐπὶ δυσμῶν, καὶ τῶν ἐν τῷ σκότῳ ὀρφανῶν χρηματίσαι πατήρ, τῶν τε ἀπεριστάτων χηρῶν τε καὶ ἐρήμων ψυχῶν κριτὴς καὶ ἔκδικος γενέσθαι· εἰκότως τὴν ὁδὸν τὴν ἄγουσαν ἐπὶ τοὺς ὀρφανοὺς τοὺς τὸν ἐπουράνιον ἀγνοοῦντας Πατέρα, ἐπί τε τὰς ἐστερημένας τοῦ νυμφίου χήρας ψυχὰς ὁδοποιεῖν παρακελεύεται. Καὶ ἄλλως δέ, τοῦ περὶ Προνοίας λόγου γένοιτ' ἂν ἡ διάνοια παραστατική, διδάσκουσα, ὅτι χῆραι καὶ ὀρφανοὶ ἔρημοι καὶ ἀπερίστατοι καταλείπονται ἐν τῷ βίῳ οὐκ ἄνευ λόγου καὶ σοφίας Θεοῦ, ἀλλ' εἰς δόξαν αὐτοῦ καὶ εἰς ἔνδειξιν τῆς αὐτοῦ θείας ἐπισκοπῆς. Πολλάκις γοῦν οἱ γονέων ἐστερημένοι παῖδες ὀρφανοὶ μᾶλλον τῶν ὑπὸ πατράσι τραφέντων λόγων καὶ παιδείας μετέσχον, μακρόβιοί τε καὶ πολυχρόνιοι γεγόνασι· καὶ οὐ μόνον τροφῆς ηὐπόρησαν, ἀλλὰ καὶ εἰς ἐπισήμους ἄνδρας προῆλθον. Καὶ γυναῖκες ὡσαύτως χηρίαν δυστυχήσασαι μᾶλλον τῶν ἐν συζυγίᾳ βίον εὔθυμον καὶ ἄλυπον καὶ θεοσεβῆ διεξῆλθον· τοῦ Θεοῦ τοῖς μὲν ὀρφανοῖς ὑπὲρ πάντα πατέρα καταστάντος, ταῖς δὲ χήραις ἀντιλήπτορος καὶ ἐκδίκου. Διὸ εἴρηται· «Τοῦ πατρὸς τῶν ὀρφανῶν καὶ κριτοῦ τῶν χηρῶν.» Ἀντὶ δὲ τοῦ, «Τῷ ἐπιβεβηκότι ἐπὶ δυσμῶν», ὁ Σύμμαχος· «Τῷ ἐποχουμένῳ ἐν τῇ ἀοικήτῳ.» Ἀοίκητον δὲ καλεῖ τὴν τῶν ἀλλογενῶν καὶ ἀλλοφύλων ἐθνῶν χώραν· ἣν ἔρημον ὀνομάζειν ἐν ἑτέροις εἴωθεν ὁ λόγος. Καὶ πάλιν ἀντί, «τοῦ κριτοῦ τῶν χηρῶν», ὁ μὲν Ἀκύλας, «δικαστοῦ χηρῶν», ὁ δὲ Σύμμαχος, «καὶ ὑπερδικοῦντος χηρῶν», ἡρμήνευσαν. Σφόδρα δὲ ἀκριβῶς ὀρφανῶν μὲν αὐτὸν πατέρα ἀποκαλεῖ, χηρῶν δὲ κριτήν. Ἐπεὶ γὰρ μὴ πᾶσαι χη-

1. Ἐφ. 6, 12.

ραι τῆς ἴσης ὑπάρχουσι προαιρέσεως, διακρίνων τὰς ἀξίας αὐτοῦ καὶ τὰς μὴ τοιαύτας, κριτὴς αὐτῶν καθίσταται. Οὐ μὴν καὶ ὀρφανῶν ὁμοίως γένοιτ' ἂν κριτής· ἐξ ἴσου γὰρ τούτων πατρὸς δίκην προνοεῖ.

Στίχ. ζ'. «Ὁ Θεὸς ἐν τόπῳ ἁγίῳ αὐτοῦ, ὁ Θεὸς κατοικίζει μονοτρόπους ἐν οἴκῳ.»

Ἐπειδὴ τὸν προδηλωθέντα Κύριον κάτω που ἐπὶ τὸ ταπεινὸν κατήγαγεν ὁ λόγος, ἐπιβεβηκέναι ἐπὶ δυσμῶν φήσας αὐτόν, ὀρφανῶν τε εἶναι πατέρα καὶ χηρῶν κριτήν, ἀναγκαίως ἐπανέρχεται ἐπὶ τὴν περὶ αὐτοῦ θεολογίαν, διδάσκων ὅτι ταῖς μὲν προλεχθείσαις δυσμαῖς διά τινας οἰκονομίας πρὸς βραχὺν ἐπιβαίνει χρόνον· τό γε μὴν οἰκητήριον αὐτοῦ καὶ ἡ πρέπουσα αὐτῷ διατριβὴ οὐκ ἐν δυσμαῖς ἐστιν, «ἀλλ' ἐν τόπῳ ἁγίῳ·» ἢ κατὰ τὸν Ἀκύλαν, «ἐν οἰκητηρίῳ ἡγιασμένῳ αὐτοῦ·» ἢ κατὰ τὸν Σύμμαχον, «ἐν βασιλείοις ἁγίοις αὐτοῦ.» Ἔστι μὲν γὰρ αὐτῷ τόπος ἐμπρέπων καὶ ἁρμόζων τῇ αὐτοῦ θεότητι· ὅμως δ' οὖν, φιλάνθρωπος ὤν, τοῦ οἰκείου μεγέθους ὑποκαταβαίνει, συγκαταβαίνει τε τοῖς ἐν δυσμαῖς οἰκοῦσιν ὀρφανοῖς καὶ χήραις. Διὸ καὶ ἀλλαχοῦ εἴρηται· «Ὅτι ἰδοὺ Κύριος Κύριος ἐκπορεύεται καὶ καταβήσεται ἐκ τοῦ τόπου αὐτοῦ.» Κατιὼν δὲ ἐνθένδε καὶ ἐπιβαίνων ἐπὶ δυσμάς, ὁποῖα διαπράττεται θεασώμεθα. «Κατοικίζει», φησί, «μονοτρόπους ἐν οἴκῳ.» Κατὰ δὲ τὸν Σύμμαχον, «Δίδωσιν οἰκεῖν μοναχοῖς οἰκίαν·» καὶ κατὰ τὸν Ἀκύλαν, «Καθίζει μονογενεῖς οἴκονδε·» κατὰ δὲ τὴν πέμπτην ἔκδοσιν, «Κατοικίζει μονοζώνους ἐν οἴκῳ.» Καὶ τοῦτ' ἦν τὸ πρῶτον αὐτοῦ κατόρθωμα· ὃ δὴ καὶ μέγιστον τῶν αὐτοῦ κατορθωμάτων τῷ τῶν ἀνθρώπων δεδώρηται γένει. Τὸ γοῦν πρῶτον τάγμα τῶν ἐν Χριστῷ προκοπτόντων τὸ τῶν μοναχῶν τυγχάνει. Σπάνιοι δέ εἰσιν οὗτοι· διὸ κατὰ τὸν Ἀκύλαν μονογενεῖς ὠνομάσθησαν ἀφωμοιωμένοι τῷ μονογενεῖ Υἱῷ τοῦ Θεοῦ. Κατὰ δὲ τοὺς Ἑβδομήκοντα μονότροποι τυγχάνουσιν, ἀλλ' οὐ πολύτροποι, οὐδὲ ἄλλοτε ἄλλως τὸν ἑαυτῶν μεταβάλλοντες τρόπον, ἕνα δὲ μόνον κατορθοῦντες, τὸν εἰς ἄκρον ἥκοντα ἀρετῆς. Μονοζώνους δὲ αὐτοὺς ἡ πέμπτη ἔκδοσις ὠνόμασεν, ὡς ἂν μονήρεις καὶ καθ' ἑαυτοὺς ἀνεζωσμένους. Τοιοῦτοι δὲ πάντες εἰσὶν οἱ τὸν μονήρη καὶ ἁγνὸν κατορθοῦντες βίον, ὧν πρῶτοι γεγόνασιν οἱ τοῦ Σωτῆρος ἡμῶν μαθηταί, οἷς εἴρητο· «Μὴ κτήσησθε χρυσόν, μηδὲ ἄργυρον εἰς τὰς ζώνας ὑμῶν, μὴ πήραν εἰς ὁδόν, μηδὲ ὑποδήματα, μηδὲ ῥάβδον.[1]» Ἐν γὰρ τῷ λέγειν μὴ δεῖν κτήσασθαι χρυσὸν μηδὲ ἄργυρον εἰς τὰς ζώνας ἀνεζωσμένους αὐτοὺς εἰσάγει. Οὕτω δὲ καὶ πᾶσιν ἡμῖν ὁ Ἀπόστολος παρακελεύεται λέγων· «Στῆτε οὖν περιζωσάμενοι τὴν ὀσφὺν ὑμῶν ἐν ἀληθείᾳ.[2]» Καὶ οἱ τὸ Πάσχα δὲ ἐσθίοντες ἐκελεύοντο τὰς ὀσφῦς ἔχειν περιεζωσμένας. Τοῦτο δὴ οὖν

1. Ματθ. 10, 9, 10. 2. Ἐφ. 6, 14.

πρῶτον κατορθοῖ τοῖς ἐν δυσμαῖς οἰκοῦσιν ἐπιδημήσας ὁ θεσπιζόμενος. Ἀπὸ γὰρ τῶν προλεχθέντων ὀρφανῶν καὶ τῶν δηλωθεισῶν χηρῶν ἀφορίσας, ἐξαίρετον καὶ τιμιώτατον ἑαυτῷ τάγμα τὸ τῶν μονοτρόπων κατοικίζει αὐτοὺς ἐν οἴκῳ, δηλαδὴ ἐν τῇ Ἐκκλησίᾳ αὐτοῦ, παραμένειν καὶ κατοικεῖν ἐν αὐτῇ καταξιῶν αὐτούς. Μετὰ δὲ τούτους δεύτερον ἔργον κοινωφελὲς καὶ εἰς πολλοὺς διαβαῖνον κατορθοῖ, «ἐξάγων πεπεδημένους ἐν ἀνδρείᾳ·» τῇ γὰρ ἑαυτοῦ ἀνδρείᾳ ἐξάγει τοὺς πρότερον σειραῖς ἁμαρτιῶν πεπεδημένους. Ἀντὶ δὲ τοῦ, «ἐν ἀνδρείᾳ», εἰς ἀπόλυσιν, ἡρμήνευσεν ὁ Σύμμαχος, εἰπών· «Ἐξάγει δεδεμένους εἰς ἀπόλυσιν.» Νοήσεις δὲ καὶ τοῦτο ἐκ τῆς λεγούσης ἐν Ἡσαΐᾳ προφητείας εἰς αὐτοῦ πρόσωπον τοῦ Κυρίου· «Ἰδοὺ δέδωκά σε εἰς διαθήκην γένους, εἰς φῶς ἐθνῶν, ἀνοῖξαι ὀφθαλμοὺς τυφλῶν, ἐξάγειν ἐκ δεσμῶν δεδεμένους, καὶ ἐξ οἴκου φυλακῆς καθημένους ἐν σκότει.[1]» Τοὺς γὰρ πάλαι δεσμοῖς διαβολικοῖς κατεσφιγμένους, καὶ τῇ πολυθέῳ καὶ δαιμονικῇ πλάνῃ προστετηκότας, λύσας τῶν δεσμῶν ἐξήγαγε, δοὺς ἄφεσιν ἁμαρτιῶν. Ἀλλὰ καὶ τοὺς ἐν τῷ θανάτῳ δεσμίους ὄντας ἐξ αἰῶνος συσανέστησεν ἑαυτῷ, λύσας τῶν πικρῶν τοῦ θανάτου δεσμῶν. Καὶ τοῦτο ἔπραξεν «ἐν ἀνδρείᾳ·» ἀνδρὸς γὰρ σχῆμα λαβών, καὶ δι' ἀνθρωπείου σώματος ἀνδρισάμενος, ἐξήγαγε τῶν δεσμῶν τοὺς προλεχθέντας. Ταῦτ' ἦν τὰ κατορθώματα τῆς εἰς ἀνθρώπους ἐπιδημίας τοῦ Θεοῦ Λόγου, οἷς ἑξῆς εἴρηται· «Ὁμοίως τοὺς παραπικραίνοντας τοὺς κατοικοῦντας ἐν τάφοις.» Ὅπερ ὁ Σύμμαχος ἡρμήνευσε λευκότερον, διασαφήσας τὴν διάνοιαν καὶ εἰπών· «Οἱ δὲ ἀπειθεῖς κατοικήσουσι καύσωνος ξηρότητα·» ὁ δὲ Ἀκύλας, «Πλὴν ἀφιστάμενοι», φησίν, «ἐσκήνωσαν λεωπετρίανδε.» Ἐβούλετο μὲν γὰρ αὐτὸς καὶ τοὺς παραπικραίνοντας ἐξαγαγεῖν καὶ ἐλευθερῶσαι τῶν δεσμῶν. Ἐπιμένοντες δὲ οὗτοι τῇ ἀπειθείᾳ, παροξύνοντές τε ἐν αὐτῷ τούτῳ καὶ παραπικραίνοντες τὸν Θεόν, κατοικήσουσι τοὺς ἑαυτῶν τάφους, ὡς λέγεσθαι περὶ αὐτῶν· «Ἄφες τοὺς νεκροὺς θάπτειν τοὺς ἑαυτῶν νεκρούς·[2]» ἢ «κατοικήσουσι καύσωνος ξηρότητα·» ὡς ἂν μέλλοντες πορεύεσθαι «εἰς τὸ πῦρ τὸ αἰώνιον τὸ ἡτοιμασμένον τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ.[3]»

Στίχ. η', θ'. «Ὁ Θεός, ἐν τῷ ἐκπορεύεσθαί σε ἐνώπιον τοῦ λαοῦ σου, ἐν τῷ διαβαίνειν σε ἐν τῇ ἐρήμῳ. Διάψαλμα.»

Ὅτι μὴ μόνον ἐν τῇ συντελείᾳ τῶν αἰώνων ἀνθρώποις ἐπεδήμει ὁ τοῦ Θεοῦ Λόγος, ἀλλὰ καὶ πρότερον αὐτὸς ἦν ὁ διὰ Μωϋσέως χρηματίζων, ὁ παρὼν διδάσκει λόγος φάσκων· «Ὁ Θεός, ἐν τῷ ἐκπορεύεσθαί σε ἐνώπιον τοῦ λαοῦ σου, ἐν τῷ διαβαίνειν σε ἐν τῇ ἐρήμῳ, γῆ ἐσείσθη, καὶ γὰρ οἱ οὐρανοὶ ἔσταξαν.» Καὶ τότε γάρ, φησί, καθ' ὃν χρόνον ἐξῆγες τοὺς υἱοὺς Ἰσραὴλ ἀπὸ γῆς Αἰγύπτου, ἡ σύμπασα γῆ ἐσείετο τῆς φήμης τῶν ἐν Αἰγύπτῳ πεπραγμένων διατρεχούσης

1. Ἡσ. 42, 6-7. 2. Λουκ. 9, 60. 3. Ματθ. 25, 41.

εἰς πάντας. Ἀλλ' ἡ μὲν γῆ τότε ἐσείετο· ἤτοι τῆς φήμης, ὡς εἴρηται, τὰς πάντων τῶν ἐπὶ γῆς ἀκοὰς πληρούσης, ἢ καὶ αὐτοῦ τοῦ στοιχείου χαίροντος ἐπὶ τῇ ἐπιβάσει τοῦ Θεοῦ. Ὃ δὴ διδάσκει καὶ ἕτερος ψαλμὸς λέγων· «Ἐν ἐξόδῳ Ἰσραὴλ ἐξ Αἰγύπτου, οἴκου Ἰακὼβ ἐκ λαοῦ βαρβάρου, τὰ ὄρη ἐσκίρτησαν ὡς κριοί, καὶ οἱ βουνοὶ ὡς ἀρνία προβάτων.[1]» Ἡ μὲν οὖν γῆ χαίρουσα ἐσείετο· οἱ δὲ οὐρανοὶ ἔσταξαν. Τί δὲ ἔσταξαν, ἀλλ' ἤτοι τὴν τροφὴν τὴν παραδόξως ἐνεχθεῖσαν τοῖς ἐπὶ τῆς ἐρήμου, ἢ καὶ τοὺς θείους λόγους τε καὶ νόμους τροφὴν ὄντας ψυχῶν λογικῶν; Ἐσείετο δὲ ἡ γῆ, καὶ ἔσταξαν οἱ οὐρανοὶ «ἀπὸ προσώπου τοῦ Θεοῦ τοῦ Σιναΐ», τουτέστι τοῦ ἐν τῷ ὄρει Σιναΐ χρηματίσαντος. Καὶ ταῦτα δὲ σαφέστερον ἡρμήνευσεν ὁ Σύμμαχος εἰπών· «Γῆ ἐσείετο, οὐρανὸς δὲ ἀπέσταξεν ἀπὸ προσώπου τοῦ Θεοῦ τούτου τοῦ Σιναΐ, καὶ ἀπὸ προσώπου τοῦ Θεοῦ, Θεοῦ Ἰσραήλ.» Μήποτε δὲ καὶ αἱ οὐράνιοι δυνάμεις ὥσπερ τροφοί τινες καὶ τιθηνοὶ ἀπὸ θηλῆς γάλα νηπίοις ἀποστάζουσαι, οὕτως καὶ αὗται τὴν ἐξ αὐτῶν χορηγίαν παρεῖχον τοῖς τότε τὰς ψυχὰς νηπίοις; Δι' ὃ καὶ παιδαγωγὸς ὠνόμασται παρὰ τῷ Ἀποστόλῳ ὁ διὰ Μωϋσέως λαληθεὶς λόγος.[2]

Στίχ. ι', ια'. «Βροχὴν ἑκούσιον ἀφοριεῖς, ὁ Θεός, τῇ κληρονομίᾳ σου, καὶ ἠσθένησε, σὺ δὲ κατηρτίσω αὐτήν.»

Τότε μέν, φησίν, «ἐν τῷ ἐκπορεύεσθαί σε ἐνώπιον τοῦ λαοῦ σου, καὶ ἐν τῷ διαβαίνειν σε ἐν τῇ ἐρήμῳ, γῆ ἐσείσθη, καὶ οἱ οὐρανοὶ ἔσταξαν·» ἐπὶ δὲ τοῦ παρόντος, ὅτε ἐπιβέβηκας ἐπὶ δυσμῶν, ἕτερα παράδοξα εἰργάσω. Τῇ γὰρ κληρονομίᾳ σου ἀφώρισας βροχὴν ἑκούσιον. Κληρονομία δὲ αὐτοῦ τίς ἦν μετὰ τὸν πρότερον λαὸν ἀλλ' ἡ ἐξ ἐθνῶν Ἐκκλησία, ὥσπερ οὖν διδάσκει λέγων αὐτὸς ἐν δευτέρῳ ψαλμῷ· «Κύριος εἶπε πρός με· Υἱός μου εἶ σύ, ἐγὼ σήμερον γεγέννηκά σε. Αἴτησαι παρ' ἐμοῦ, καὶ δώσω σοι ἔθνη τὴν κληρονομίαν σου καὶ τὴν κατάσχεσίν σου τὰ πέρατα τῆς γῆς.[3]» Υἱὸς γὰρ Θεοῦ κελευόμενος πρὸς τοῦ Πατρὸς αἰτεῖν κληρονομίαν, οὔτε Ἰουδαίων ἔθνος, ἀλλὰ πάντα τὰ ἔθνη καὶ τὰ πέρατα τῆς γῆς, τίς ἂν γένοιτο ἢ ὁ τὴν ἐξ ἐθνῶν Ἐκκλησίαν συστησάμενος; Ταύτῃ οὖν τῇ κληρονομίᾳ αὐτοῦ ἀφώρισε βροχὴν ἑκούσιον· διὸ λέλεκται περὶ αὐτοῦ· «Καταβήσεται ὡς ὑετὸς ἐπὶ πόκον, καὶ ὡσεὶ σταγόνες στάζουσαι ἐπὶ τὴν γῆν.[4]» Λόγος δὲ ἦν εὐαγγελικὸς ἡ βροχὴ ἡ ἑκουσία, καὶ τὸ τῆς Καινῆς Διαθήκης κήρυγμα τῇ ἐξ ἐθνῶν Ἐκκλησίᾳ παραδεδομένον. Καλὴ δὲ ἡ προσθήκη τῆς «ἑκουσίας βροχῆς·» διὰ Μωϋσέως μὲν γὰρ οὐχ ἑκούσιος τοῖς παλαιοῖς παρείχετο λόγος, ἐπεὶ οὐ κατὰ γνώμην τὴν αὐτοῦ ἐνομοθετεῖτο· διὸ πρὸς αὐτοὺς ἔλεγεν ὁ Σωτήρ· «Μωϋσῆς πρὸς τὴν σκληροκαρδίαν ὑμῶν ἔγραψεν·[5]» ὁ δὲ λόγος ὁ εὐαγγελικὸς κατὰ βουλὴν καὶ κατὰ προαίρεσιν Θεοῦ ἀφωρίσθη «τῇ κληρονομίᾳ» αὐτοῦ, ἣν ἀσθε-

1. Ψαλμ. 113, 1, 4. 2. Πρβλ. Γαλ. 3, 24. 3. Ψαλμ. 2, 7-8. 4. Ψαλμ. 71, 6. 5. Μάρκ. 10, 5.

νήσασαν σύ, φησί, κατηρτίσω· κατὰ δὲ τὸν Ἀκύλαν, «Μεμοχθηκυῖαν», φησί, «σὺ ἥδρασας αὐτήν·» κατὰ δὲ τὸν Σύμμαχον, «Ἣν ἐξεπόνησας», φησί, «καὶ ἥδρασας.» Οὐ δεῖ δὲ πολλῶν λόγων εἰς τὸ παραστῆσαι ὅπως ἡ ἐξ ἐθνῶν πάλαι πρότερον ἦν μεμοχθηκυῖα πόνοις καὶ μόχθοις τῆς εἰδωλολάτρου πλάνης καταπονηθεῖσα· ἀσθενήσασά τε ἦν εἰς ὑπερβολήν, ὡς μηδεμίαν ἐν αὐτῇ καταλειφθῆναι δύναμιν. Ἀλλ' ἀναλαβὼν αὐτὴν ὁ Σωτὴρ κατηρτίσατο αὐτήν, ἑδράσας ἐπὶ τὴν πέτραν τὴν ἀρραγῆ καὶ ἄσειστον τῆς αὐτοῦ πίστεως· ὃ δὴ καὶ ἐπηγγείλατο ποιήσειν εἰπών· «Ἐπὶ τὴν πέτραν οἰκοδομήσω μου τὴν Ἐκκλησίαν· καὶ πύλαι ᾅδου οὐ κατισχύσουσιν αὐτῆς.[1]» Ἑδράσας δὲ αὐτὴν καὶ καταρτισάμενος, τὰ ζῷα ἑαυτοῦ κατῴκισεν ἐν αὐτῇ. Ζῷα δὲ τίνα ἂν εἴποις τοῦ Θεοῦ ἢ τὰς ἐκ τῆς παρ' αὐτῷ ζωῆς ἀρυομένας καὶ ζωοποιουμένας ψυχάς; Καὶ ταῦτα πάντα, φησίν, «ἡτοίμασας» διὰ τῆς σῆς χρηστότητος καὶ φιλανθρωπίας, ἢ διὰ «τῆς σῆς ἀγαθωσύνης», κατὰ τοὺς λοιποὺς ἑρμηνευτάς, «τῷ πτωχῷ.» Πτωχὸν δὲ ἐνταῦθα κέκληκε μυστικῶς τὸν κατὰ σάρκα ἄνθρωπον τοῦ Σωτῆρος ἡμῶν, ὃς «πλούσιος ὢν ἐπτώχευσε δι' ἡμᾶς, ἵνα ἡμεῖς τῇ αὐτοῦ πτωχείᾳ πλουτήσωμεν.[2]» Ἐδήλου δὲ αὐτοῦ τὴν πτωχείαν καὶ αὐτὸς λέγων· «Μάθετε ἀπ' ἐμοῦ, ὅτι πρᾶός εἰμι καὶ ταπεινὸς τῇ καρδίᾳ.[3]» Τούτῳ οὖν τῷ πτωχῷ ὁ Θεὸς καὶ Πατὴρ αὐτοῦ τῇ αὐτοῦ φιλανθρωπίᾳ καὶ χρηστότητι ἡτοίμασε τὰ προλεχθέντα πάντα· λέγω δὲ τὴν ἑκούσιον βροχήν, τὴν δηλωθεῖσαν κληρονομίαν, τὰ προλεχθέντα ζῷα. Διὸ τοῖς πᾶσιν ἐπενήνεκται τό, «Ἡτοίμασας ἐν τῇ χρηστότητί σου τῷ πτωχῷ. Κύριος δώσει τὸ ῥῆμα τοῖς εὐαγγελιζομένοις δυνάμει πολλῇ.» Τὰ μὲν κατορθώματα τοῦ ἐπιβεβηκότος ἐπὶ δυσμῶν Κυρίου τοιαῦτα. Ἐπεὶ δ' ἐχρῆν αὐτὰ ἐξάκουστα πᾶσιν ἀνθρώποις γενέσθαι, πάλιν ὁ αὐτὸς Κύριος καὶ τοῦτο πρὸς τοῖς ἄλλοις ἐπιτελεῖ. Πῶς δὲ καὶ τίνα τρόπον; Ἀνθρώποις μὴ ἔχουσιν ἴδιον λόγον, μηδὲ οἰκείαν σοφίαν, παντελῶς δὲ ἰδιώταις ἀνεπιστήμοσιν, αὐτὸς ἐπιχορηγήσει ῥῆμα μεστὸν ἀφάτου καὶ πολλῆς δυνάμεως. Οἱ δὲ δυναμωθέντες καὶ στομωθέντες ὑπὸ τοῦ δωρηθέντος αὐτοῖς ῥήματος κήρυκες ἀγαθῶν τοῦ παντὸς κόσμου καταστήσονται εὐαγγελιζόμενοι πᾶσιν ἀνθρώποις τὰ προλελεγμένα. Διὸ ἀκολούθως τοῖς τοῦ Κυρίου κατορθώμασιν ἐπενήνεκται τό·

«Κύριος δώσει ῥῆμα τοῖς εὐαγγελιζομένοις δυνάμει πολλῇ.»

Ἀναγκαῖον δὲ ἦν γνῶναι ἡμᾶς καὶ τοῦτο. Ἐπειδὴ ἀνωτέρω παρεκελεύετό τισιν ᾄδειν καὶ ψάλλειν τῷ Θεῷ, ὁδοποιεῖν τε τῷ ἐπιβεβηκότι ἐπὶ δυσμῶν, παρέστησεν εἰπών· «Κύριος δώσει ῥῆμα τοῖς εὐαγγελιζομένοις δυνάμει πολλῇ.» Τούτοις γὰρ τοῖς εὐαγγελιζομένοις καὶ ὁδοποιοῦσιν αὐτῷ τὴν εἰς ἀνθρώπους πάροδον αὐτὸς ὁ πρὸς αὐτῶν καταγγελλόμενος δώσει ῥῆμα θεϊκόν. Τοσοῦτοι γὰρ ἦσαν χωρη-

1. Ματθ. 16, 18. 2. Β' Κορ. 8, 9. 3. Ματθ. 11, 29.

τικοὶ σὺν πολλῇ δυνάμει· καὶ μέγα ἦν αὐτοῖς τουτὶ τὸ ῥῆμα καὶ αὔταρκες εἰς τὴν τοῦ Εὐαγγελίου διακονίαν. Αὐτὸς μὲν γὰρ ὁ Κύριος ὁ τέλειος ἦν τοῦ Θεοῦ Λόγος. Οἱ δὲ ῥῆμα λαβόντες καὶ βραχείας τινὸς τῆς αὐτοῦ δυνάμεως ἐμπνεύσεως καταξιωθέντες τὴν σύμπασαν ἐπλήρουν οἰκουμένην τοῦ Εὐαγγελίου σὺν πολλῇ δυνάμει κηρύττοντες. Τοῦτο γοῦν καὶ ἐπήγγελτο αὐτοῖς δι᾽ ἑαυτοῦ φήσας· «Ὑμεῖς δὲ λήψεσθε δύναμιν ἐπελθόντος τοῦ ἁγίου Πνεύματος ἐφ᾽ ὑμᾶς.[1]» Κατὰ δὲ τὸν Σύμμαχον, «Κύριος», φησίν, «ἔδωκε ῥήσεις εὐαγγελιζομένῃ στρατιᾷ πολλῇ.» Στρατιὰ δὲ ἦν πολλὴ τοῦ Σωτῆρος ἡμῶν ἡ τῶν εὐαγγελιζομένων τὰς δοθείσας αὐτοῖς ῥήσεις, πρῶτον μὲν ἀποστόλων ιβ'· ἔπειτα μαθητῶν ο'· καὶ ἐπὶ τούτοις ἑτέρων φ', οἷς ἀθρόως ἐφάνη μετὰ τὴν ἀνάστασιν, ὡς ὁ θεῖος ἐμαρτύρησεν Ἀπόστολος εἰπών· «Ἔπειτα ὤφθη ἐπάνω φ' ἀδελφοῖς ἐφάπαξ· ἐξ ὧν οἱ πλείονες μένουσι ἕως ἄρτι, τινὲς δὲ καὶ ἐκοιμήθησαν·[2]» οἷς ἐπιλέγει· «Ἔπειτα ὤφθη τοῖς ἀποστόλοις πᾶσιν.[3]» Ἦσαν γὰρ ἦσαν καὶ μετὰ τοὺς ιβ', καὶ μετὰ τοὺς ο', καὶ μετὰ τοὺς φ' ἕτεροι πλείους κήρυκες τοῦ Εὐαγγελίου, κατά τε τοὺς χρόνους τοὺς ἀποστολικούς, καὶ μετ᾽ ἐκείνους ἕτεροι οἱ κατὰ πᾶσαν τὴν οἰκουμένην ἐν ταῖς Ἐκκλησίαις αὐτοῦ τὸ Εὐαγγέλιον αὐτοῦ κηρύττοντες, οἷς ὁ βασιλεὺς τῶν δυνάμεων τὴν τοῦ Ἀγαπητοῦ δύναμιν ἐχορήγει. Ἕτεραι δὲ παρὰ ταύταις τοῦ Ἀγαπητοῦ δυνάμεις ἦσαν αἱ κατ᾽ οὐρανὸν στρατιαί, ἄγγελοι καὶ ἀρχάγγελοι, καὶ πνεύματα θεῖα. Αὗται γὰρ ἦσαν αἱ δυνάμεις τοῦ Ἀγαπητοῦ. Διὸ Κύριος τῶν δυνάμεων ἀνηγόρευται. Ἀγαπητὸς δὲ τοῦ Θεοῦ τίς ἦν ἢ ὁ Μονογενὴς Υἱὸς τοῦ Θεοῦ; ᾧ ἡ πατρικὴ φωνὴ ἐμαρτύρει φήσασα· «Οὗτός ἐστιν ὁ Υἱός μου ὁ ἀγαπητός, εἰς ὃν ηὐδόκησα·[4]» Οὗτος τοίνυν ὁ βασιλεὺς τῶν τοῦ Ἀγαπητοῦ δυνάμεων, ὥσπερ ταῖς κατ᾽ οὐρανὸν δυνάμεσιν ἐχορήγει τὰς ἑαυτοῦ εὐεργεσίας, οὕτως καὶ τοῖς ἐπὶ γῆς εὐαγγελιζομένοις δίδωσι τὸ εὐαγγελικὸν ῥῆμα σὺν δυνάμει πολλῇ. Καὶ αὐτοὶ δὲ οὗτοι οἱ ἐπὶ γῆς στρατιαὶ ἦσαν αὐτοῦ καὶ δυνάμεις αὐτοῦ. Διὸ κατὰ τὸν Σύμμαχον λέλεκται· «Βασιλεῖς τῶν στρατειῶν ἠγαπήθησαν», ἤ, ἀγαπητοὶ ἐγένοντο. Τούτοις δὲ αὐτοῖς καὶ ἄλλο χάρισμα ἐδωρήσατο· τοῦτο δὲ ἦν τὸ διελέσθαι σκῦλα εἰς ὡραιότητα τοῦ οἴκου. Ὡραιότης μὲν οἴκου τὰ διαπρέποντα ἐν τῇ Ἐκκλησίᾳ τοῦ Θεοῦ εἴη ἂν τάγματα· ὧν καὶ ἐπιθυμητὴς ὁμολογεῖ τις γεγονέναι, φήσας· «Κύριε, ἠγάπησα εὐπρέπειαν οἴκου σου, καὶ τόπον σκηνώματος δόξης σου.[5]» Καὶ πάλιν· «Μίαν ᾐτησάμην παρὰ Κυρίου, ταύτην ζητήσω, τὸ κατοικεῖν με ἐν οἴκῳ Κυρίου πάσας τὰς ἡμέρας τῆς ζωῆς μου, τοῦ θεωρεῖν με τὴν τερπνότητα Κυρίου καὶ ἐπισκέπτεσθαι τὸν ναὸν αὐτοῦ.[6]»

Τὰ Ἅγια τοίνυν τῶν ἁγίων εἴη ἂν ἡ τερπνότης καὶ ὡραιότης

1. Πράξ. 1, 8. 2. Α' Κορ. 15, 6. 3. Α' Κορ. 15. 7. 4. Ματθ. 3, 17. 5. Ψαλμ. 25, 8. 6. Ψαλμ. 26, 4.

τοῦ οἴκου τοῦ Θεοῦ. Ταῦτα δέ ἐστι τὰ ἐν σωφροσύνῃ καὶ ἁγνείᾳ, καὶ δικαιοσύνῃ, καὶ ταῖς λοιπαῖς ἀρεταῖς διαλάμποντα τῆς Ἐκκλησίας τοῦ Θεοῦ τάγματα. Εἰς δὲ τὴν ὡραιότητα ταύτην σκῦλα διελέσθαι τοῖς αὐτοῦ στρατιώταις ἐδωρήσατο ὁ βασιλεὺς τῶν δυνάμεων. Τῶν γὰρ πολεμίων ἀνατραπέντων καὶ εἰς φυγὴν κεχωρηκότων, λέγω δὲ τῶν ἀφανῶν καὶ ἀοράτων δυνάμεων, περὶ ὧν ἀνωτέρω ἐλέγετο· «Ἀναστήτω ὁ Θεὸς καὶ διασκορπισθήτωσαν οἱ ἐχθροὶ αὐτοῦ, φυγέτωσαν πάντες οἱ μισοῦντες αὐτὸν ἀπὸ προσώπου αὐτοῦ», οἱ τοῦ νικητοῦ βασιλέως στρατιῶται τὰ σκῦλα τούτων εἰς ἑαυτοὺς διῃροῦντο. Σκῦλα δὲ ἦμεν ἡμεῖς καὶ πᾶν τὸ τῶν ἀνθρώπων γένος, τὸ πάλαι πρότερον ὑποχείριον τῶν ἀντικειμένων δυνάμεων γεγενημένον· ὧν ἀπελασθεισῶν, οἱ τοῦ Σωτῆρος ἡμῶν μαθηταὶ καὶ ἀπόστολοι, καὶ εὐαγγελισταί, ἥ τε λοιπὴ αὐτοῦ στρατεία, τὰς πάλαι πρότερον ἐσκυλευμένας ψυχάς, κτῆμα ἴδιον ποιησάμενοι, διενείμαντο εἰς ἀλλήλους. Παῦλος μὲν οὖν ἀπὸ Ἱερουσαλὴμ καὶ κύκλῳ μέχρι τοῦ Ἰλλυρικοῦ τὰ ἐξ ἐθνῶν ἐκληροῦτο σκῦλα· Πέτρος δὲ πάλιν ἑτέρων ἐθνῶν καὶ Ἰωάννης ὡσαύτως ἑτέρων, καὶ τῶν λοιπῶν ἀποστόλων ἕκαστος παραπλησίως. Ἀφ' ὧν σκύλων τὰ ἐξαίρετα ἀναθήματα, εἰς ὡραιότητα τοῦ οἴκου τοῦ Θεοῦ ἀφώριζον. Διὸ λέλεκται· «Καὶ ὡραιότητι τοῦ οἴκου διελέσθαι σκῦλα. Ἐὰν κοιμηθῆτε ἀνὰ μέσον τῶν κλήρων πτέρυγες περιστερᾶς περιηργυρωμέναι, καὶ τὰ μετάφρενα αὐτῆς ἐν χλωρότητι χρυσίου.» Μνημονεύσας ὁ λόγος τῶν εὐαγγελιζομένων δυνάμει πολλῇ τοῦ τε οἴκου καὶ τῆς ὡραιότητος αὐτοῦ, ἔτι μὴν καὶ τῶν ἐν αὐτῷ σκύλων, δι' ὧν ᾐνίττετο τὴν Ἐκκλησίαν τοῦ Θεοῦ καὶ τοὺς ἐν αὐτῇ διαπρέποντας· ἀκολούθως διὰ τῶν μετὰ χεῖρας καὶ τῶν θεοπνεύστων ἀναγνωσμάτων τὴν μνήμην ποιεῖται ὡς πρὸς ἡμᾶς λέγων· «Ἐὰν κοιμηθῆτε ἀνὰ μέσον τῶν κλήρων.» Κλῆροι δὲ τῆς Ἐκκλησίας εἰσὶν ἥ τε Παλαιὰ καὶ ἡ Καινὴ Διαθήκη τοῦ Θεοῦ· ὧν τοὺς ἐν μέσῳ διαστρεφομένους διδάσκει πτέρυγας περιστερᾶς περιηργυρωμένας εὑρήσειν· ἧς περιστερᾶς τὰ μετάφρενα εἶναι ἐν χλωρότητι χρυσίου. Τοῦ γὰρ ἁγίου Πνεύματος περιστερᾶς νοουμένου, οἱ ἐν Παλαιᾷ καὶ Καινῇ λελαλημένοι λόγοι, κατὰ μὲν τὴν ἐπιπόλαιον ἀνάγνωσιν, πτέρυξιν ὥσπερ ἐγκεκαλυμμένοι τυγχάνουσι, καὶ πτέρυξι περιηργυρωμέναις, ἐπειδὴ τὰ λόγια Κυρίου ἀργύριόν ἐστι πεπυρωμένον, δοκίμιον τῇ γῇ· τὰ δὲ κατὰ βάθους ἐγκεκρυμμένα νοήματα, ἅπερ ἔοικε μεταφρένοις τῆς ἀποδοθείσης περιστερᾶς, δηλαδὴ τοῦ ἁγίου Πνεύματος, ἐν χλωρότητι λέγεται εἶναι, τῆς ἐγκεκρυμμένης τῇ λέξει διανοίας καὶ τοῦ καθαρωτάτου νοῦ χρυσοῦ δίκην ἀποστράπτοντος. Ταῦτα δὲ ἀναφωνεῖται πᾶσιν ἡμῖν τοῖς ἐν τῷ οἴκῳ τοῦ Θεοῦ συνηγμένοις, οὓς διὰ τῶν ἔμπροσθεν σκῦλα ὁ λόγος ὠνόμαζεν. Ἀντὶ δὲ τοῦ, «Ἐὰν κοιμηθῆτε», κατὰ τὸν Σύμμαχον, «Ἐὰν ἀναπέσητε μεταξὺ τῶν κλήρων», εἴρηται. Τὸ γὰρ κοιμηθῆναι νῦν διαναπαύσεσθαι δηλοῖ. Τοῖς οὖν τῶν ἱερῶν ἀσκηταῖς λόγων προτρεπτικῶς ἡ

προσφώνησις ἐπαγγέλλεται τὴν ἐκ τῶν θείων λόγων ὠφέλειαν· ἥ τε γὰρ λέξις τῶν ἱερῶν ἀναγνωσμάτων κεκάθαρται δίκην ἀργυρίου πεπυρωμένου, κατὰ τὸν φήσαντα λόγον· «Τὰ λόγια Κυρίου πεπυρωμένα·[1]» καὶ πάλιν· «Τὰ λόγια Κυρίου λόγια ἁγνά, ἀργύριον πεπυρωμένον, δοκίμιον τῇ γῇ, κεκαθαρισμένον ἑπταπλασίως·[2]» ἥ τε διάνοια ἡ πνευματικὴ ἐξαίρετος καὶ πολυτίμητος διὰ τοῦ λέγεσθαι, «Ἐν χλωρότητι χρυσίου», παρίσταται.

Στίχ. ιε΄-ιζ΄. «Ἐν τῷ διαστέλλειν τὸν οὐράνιον βασιλεῖς ἐπ᾿ αὐτήν, χιονωθήσονται ἐν Σελμών.»

Ἀντὶ τοῦ, «Ἐν τῷ διαστέλλειν τὸν ἐπουράνιον» καὶ τὰ ἑξῆς, ὁ Σύμμαχος τοῦτον ἡρμήνευσε τὸν τρόπον· «Ὁπότε κατεμέριζεν ὁ ἱκανὸς βασιλεύειν αὐτήν, ὡς χιονισθεῖσα ἦν. Σελμὼν ὄρος Θεοῦ, ὄρος εὐτροφίας, ὄρος ὑψηλότατον, ὄρος εὐτροφίας· εἰς τί περισπουδάζεται τὰ ὄρη τὰ ὑψηλά; Τὸ ὄρος ὅπερ ἐπόθησεν ὁ Θεὸς εἰς τὸ κατοικεῖν ἐν αὐτῷ, καὶ Κύριος κατασκηνώσει εἰς τέλος.» Διδάσκει δὲ ὁ λόγος, ὡς ἄρα κατὰ τὸν καιρὸν ἐν ᾧ ὁ ἐπουράνιος, δηλαδὴ ὁ τῶν ἐν οὐρανοῖς οἰκούντων Θεός, τὴν προλεχθεῖσαν περιστερὰν κατεμέριζε τοῖς ἐπὶ τῆς γῆς βασιλεῦσι, τουτέστι τοῖς ἐν τῇ γῇ μετόχοις τῆς αὐτοῦ βασιλείας, (προφῆται δὲ ἦσαν οὗτοι, δίκαιοί τε καὶ θεοφιλεῖς ἄνδρες, οἵ τε μαθηταὶ καὶ ἀπόστολοι τοῦ Σωτῆρος ἡμῶν, οἷς τὸ Πνεῦμα τὸ ἅγιον ὁ Θεὸς διεμέριζεν ὁ ἐπουράνιος,) χιόνος δίκην ἐλαμπρύνοντο οἱ τῶν τοῦ θείου Πνεύματος χαρισμάτων καταξιούμενοι. Διὸ λέλεκται· «Ἵνα τί ὑπολαμβάνετε ὄρη τετυρωμένα;» Ἐπιτιμῶντος τοῦ λόγου τοῖς ἕτερόν τι νομίζουσιν ὅμοιον αὐτῷ εἶναι. Ἐπιλέγει δὲ καὶ αἰτίαν δι᾿ ἣν οὐ προσήκει ἀντιπαραβάλλειν αὐτῷ ἕτερον· διό φησι· «Τὸ ὄρος ὃ ηὐδόκησεν ὁ Θεὸς κατοικεῖν ἐν αὐτῷ· καὶ γὰρ ὁ Κύριος κατασκηνώσει εἰς τέλος.» Μόνον γάρ ἐστι τοῦτο ἐν ᾧ ηὐδόκησεν ὁ Θεὸς κατοικεῖν, καὶ ἐν ᾧ ὁ Πατὴρ κατασκηνοῖ εἰς ἀπείρους αἰῶνας· διὸ οὐ προσήκει ἕτερον ἀντιπαραβάλλειν αὐτῷ. Εἰ γὰρ καὶ λέλεκται περὶ ἑτέρων τό, «Ἐνοικήσω ἐν αὐτοῖς καὶ ἐμπεριπατήσω, καὶ ἔσομαι αὐτῶν Θεός, καὶ αὐτοὶ ἔσονταί μου λαός·[3]» ἀλλ᾿ οὐχ οὕτως ἐνοικεῖ καὶ ἐμπεριπατεῖ ἐν τούτοις, ὡς ἐν τῷ αὐτοῦ ὄρει· ὁ γὰρ Πατὴρ ἐν τῷ Υἱῷ καὶ ὁ Υἱὸς ἐν τῷ Πατρί· «καὶ ἐν αὐτῷ ηὐδόκησε πᾶν τὸ πλήρωμα τῆς θεότητος κατοικῆσαι·[4]» καὶ οὐ ποτὲ μὲν ᾤκησεν ἐν αὐτῷ, ἄλλοτε δὲ αὐτοῦ ἀπέστη· ἀλλ᾿ εἰς τὸ ἄπειρον τέλος ἀεὶ ὁ Πατὴρ ἐν τῷ Υἱῷ κατοικεῖ. Αὐτὸς δέ ἐστιν ἡ εἰρήνη ἡμῶν κατὰ τὸν Ἀπόστολον.[5]» Διὸ καὶ Σαλμὼν ὠνόμασται, ὅπερ ἐστὶν Εἰρήνη· καὶ τόπος τοῦ Θεοῦ ἡ εἰρήνη λέλεκται, κατὰ τό, «Ἐν εἰρήνῃ ἁγίᾳ ὁ τόπος αὐτοῦ.[6]»

Στίχ. ιη΄. «Τὸ ἅρμα τοῦ Θεοῦ μυριοπλάσιον, χιλιάδες εὐθηνούντων· Κύριος ἐν αὐτοῖς ἐν Σινὰ ἐν τῷ ἁγίῳ.»

---

1. Ψαλμ. 17, 31. 2. Ψαλμ. 11, 7. 3. Λευϊτ. 26, 12. Β΄ Κορ. 6, 16. 4. Κολ. 1, 19. 5. Ἐφ. 2, 14. 6. Ψαλμ. 75, 3.

Ἀποδοὺς ὁ λόγος πρώτην τὴν περὶ τοῦ ἁγίου Πνεύματος διδασκαλίαν διὰ τῆς περιστερᾶς, ἔπειτα τὴν περὶ τοῦ Υἱοῦ διὰ τοῦ ὄρους τοῦ Θεοῦ, καταβαίνει λοιπὸν ἐπὶ τὰς ὑποβεβηκυίας δυνάμεις· παριστάς, ὅτι, εἰ καὶ τὰ μάλιστα τὸ ὄρος τὸ ἀποδοθὲν τοιοῦτον τυγχάνει, ὡς ἐν αὐτῷ κατοικεῖν πᾶν τὸ πλήρωμα τῆς πατρικῆς θεότητος, ἀλλ' οὐ μόνον τοῦτο κτῆμά ἐστι τοῦ Πατρός, ἔχει δὲ καὶ ἄλλας ὑποβεβηκυίας διακονικὰς καὶ λειτουργικὰς δυνάμεις, ἃς μυρίας οὔσας καὶ πολλάς, τῇ τε ἀρετῇ διαφερούσας ὑφ' ἕνα ζυγὸν καταδησάμενος, ἅρμα ἑαυτῷ κατέζευξεν ὁ παμβασιλεὺς Θεός, ὑφ' ἡνιόχῳ τῷ Μονογενεῖ αὐτοῦ Λόγῳ. Τὸ δὲ τούτων πλῆθος καὶ Δανιὴλ ὁ προφήτης ἐν τῇ θεοπτίᾳ παρίστησι λέγων· «Μύριαι μυριάδες ἐλειτούργουν αὐτῷ, καὶ χίλιαι χιλιάδες παρειστήκεισαν ἔμπροσθεν αὐτοῦ.[1]» Ὧ συμφώνως καὶ νῦν λέλεκται· «Τὸ ἅρμα τοῦ Θεοῦ μυριοπλάσιον, χιλιάδες εὐθηνούντων.» Ἀνθ' οὗ ὁ Σύμμαχος ἡρμήνευσεν· «Ὄχησις τοῦ Θεοῦ μυριάδων, χιλιάδες ἠχούντων.» Τί δὲ «ἠχούντων» ἢ πάντως που φωνὰς πλήρεις δοξολογίας καὶ θεολογίας; Οἷα καὶ τὰ σεραφεὶμ ἀναγέγραπται παρὰ τῷ Ἡσαΐᾳ βοῶντα καὶ λέγοντα· «Ἅγιος, ἅγιος, ἅγιος Κύριος Σαβαώθ, πλήρης πᾶσα ἡ γῆ τῆς δόξης αὐτοῦ.[2]» Ἐν ταύταις δὲ ταῖς χιλιάσι καὶ ταῖς μυριάσι ταῖς ὑπεζευγμέναις τῷ ἅρματι τοῦ Θεοῦ καὶ αὐτὸς ὁ Κύριος μέσος ἐμπολιτεύεται, ὥσπερ ἡνιοχῶν αὐτὰς καὶ τῷ Πνεύματι παρασκευάζων. Διὸ ἐπιλέγεται, «Κύριος ἐν αὐτοῖς.» Ποῖος δὲ Κύριος, σημαίνει προϊὼν καὶ φάσκων· «Ἐν Σινᾶ ἐν τῷ ἁγίῳ.» Αὐτὸς γὰρ ἐκεῖνος, φησίν, ὁ Κύριος ὁ ἐν Σινᾶ τῷ ἁγίῳ ὄρει ὀφθείς· ἦν δὲ οὗτος ὁ τοῦ Θεοῦ Λόγος, δηλαδὴ τοῖς ὑπὸ τὸ ἅρμα τοῦ Θεοῦ ἐζευγμένοις. Διὸ οὐ τῷ יהוה τετραγράμμῳ κέχρηται ἡ Ἑβραϊκὴ λέξις, στοιχείοις δὲ κοινοῖς τὸν Κύριον περιέχει ἐν τῷ, «Κύριος ἐν αὐτοῖς.» Ἵνα γὰρ ἕτερον παραστήσῃ τοῦτον τοῦ ἀνωτέρω διὰ τοῦ τετραγράμμου σημανθέντος Θεοῦ, ὅτε μὲν «τὸ ἅρμα τοῦ Θεοῦ» ἐλέγετο, διὰ τῶν ἀνεκφωνήτων παρ' Ἑβραίοις ἐδηλοῦτο στοιχείων· νυνὶ δὲ τοῖς κοινοτέροις χαρακτῆρσιν, οἷς καὶ ὁ παρ' ἀνθρώποις γράφεται κύριος. Ἀκριβῶς δὲ καὶ τὸν τόπον ἐπισημαίνεται τὸν «ἐν Σινᾶ», ἵνα σημήνῃ τὸν ἐπὶ γῆς ὀφθέντα Κύριον. Σφόδρα δὲ ἀκολούθως ἐπιλέγει ἑξῆς·

Στίχ. κβ'. «Ἀνέβης εἰς ὕψος, ᾐχμαλώτευσας αἰχμαλωσίαν· ἔλαβες δόματα ἐν ἀνθρώποις.»

Αἰνίττεται δὲ αὐτοῦ τὴν κάθοδον, διὰ τοῦ φάναι, «ἀνέβης·» οὐ γὰρ ἂν ἄλλως ἀνέβη, εἰ μὴ πρότερον καταβεβήκει. «Ὁ γὰρ καταβάς, αὐτός ἐστι καὶ ὁ ἀναβὰς ὑπεράνω πάντων τῶν οὐρανῶν, ἵνα πληρώσῃ τὰ πάντα.[3]» Ἀναβὰς δὲ τί ἔπραξεν; Ἠχμαλώτευσεν αἰχμαλωσίαν, καὶ ἔλαβε δόματα ἐν ἀνθρώποις. Ποίαν δὲ αἰχμαλωσίαν ᾐχμαλώτευσεν ἢ τὰ προλεχθέντα σκῦλα, ἃ διενείμαντο οἱ αὐτοῦ στρατιῶται;

---

1. Δαν. 7, 10. 2. Ἡσ. 6, 3. 3. Ἐφ. 4, 10.

Ἀλλὰ καὶ ἔλαβε δόματα ἐν ἀνθρώποις, τοῦ Πατρὸς αὐτῷ δεδωρημένου, καθ' ἣν ἐπήγγελται πρὸς αὐτὸν ἐπαγγελίαν, φήσας· «Αἴτησαι παρ' ἐμοῦ, καὶ δώσω σοι ἔθνη τὴν κληρονομίαν σου καὶ τὴν κατάσχεσίν σου τὰ πέρατα τῆς γῆς.[1]» Ταῦτα δὲ τὰ δόματα «ἐν ἀνθρώποις» παρὰ τοῦ Πατρὸς λαβών, συνεστήσατο τὴν Ἐκκλησίαν αὐτοῦ. Τούτοις ἑξῆς εἴρηται· «Καὶ γὰρ ἀπειθοῦντες τοῦ κατασκηνῶσαι·» ὅπερ σαφέστερον ἀπέδωκεν ὁ Σύμμαχος εἰπών· «Ἔτι καὶ ἐν ἀπειθοῦσι κατασκηνῶσαι.» Καὶ τοῦτο γάρ, φησί, παρὰ τοῦ Πατρὸς ἔλαβε, τὸ κατασκηνῶσαι ἐν τοῖς πάλαι ἀπειθοῦσι καὶ ἀντιλέγουσι τῇ τοῦ Θεοῦ εὐσεβείᾳ. Καὶ ταύτην γὰρ εἴληφε τὴν ἐξουσίαν, ὥστε ἐν μέσῳ τῶν ἀπειθούντων κατασκηνοῦν, ἐξ αὐτῶν τε τῶν ἀπειθούντων λαμβάνειν ἑαυτῷ δόματα. Τοσούτων δὴ μαθημάτων παραδοθέντων διὰ τῆς προφητείας, ἑξῆς τὸ Πνεῦμα τὸ ἅγιον, ὡς ἐπὶ μεγάλοις καὶ παραδόξοις κατορθώμασιν, εὐλογεῖ τὸν τοσούτων ἀγαθῶν δοτῆρα φάσκον· «Κύριος ὁ Θεὸς εὐλογητός, εὐλογητὸς Κύριος ἡμέραν καθ' ἡμέραν.» Οὐκέτι γάρ, φησίν, ἄνθρωποι δαίμονας πονηροὺς πεπλανημένως δοξάζουσιν, ἀλλ' ἐφ' ἑκάστης ἡμέρας καὶ καθ' ἑκάστην ὥραν τὸν προδηλωθέντα Κύριον εὐλογοῦσιν. Ὁ δὲ αὐτὸς Κύριος «κατευοδώσει ἡμῖν», αὐτὸς ὢν «ὁ Θεὸς τῶν σωτηριῶν ἡμῶν.» Λέγει δὲ ταῦτα τὸ Πνεῦμα τὸ ἅγιον ἐκ προσώπου τοῦ χοροῦ τῶν ἀποστόλων, ὥσπερ οὖν καὶ ἀρχόμενοι τοῦ λόγου παρεστήσαμεν. Ἐπεὶ τοίνυν τῆς ἐκ τοῦ Θεοῦ κατευοδώσεως ἐδέοντο οὗτοι, εἰς τὸ ὁδοποιῆσαι αὐτῷ, κατὰ τὰ ἔμπροσθεν εἰρημένα, ἀναγκαίως φασίν· «Εὐλογητὸς Κύριος ἡμέραν καθ' ἡμέραν, κατευοδώσει ἡμῖν ὁ Θεὸς τῶν σωτηριῶν ἡμῶν.» Ἀντὶ δὲ τοῦ, «τῶν σωτηριῶν ἡμῶν», ὁ Σύμμαχος, «τοῦ Σωτῆρος ἡμῶν», ἡρμήνευσεν· ἀνθ' οὗ τὸ Ἑβραϊκὸν πάλιν τοῦ ὀνόματος τοῦ Σωτῆρος ἡμῶν Ἰησοῦ μέμνηται. «Ὁ Θεὸς ἡμῶν, ὁ Θεὸς τοῦ σῴζειν, καὶ τοῦ Κυρίου Κυρίου αἱ διέξοδοι τοῦ θανάτου.» Πάλιν ἐκ προσώπου τῶν ἀποστόλων προφητικῶς καὶ ταῦτα λέλεκται. Ἐπεὶ γὰρ ἐθεολόγησαν διὰ τῶν ἔμπροσθεν, ἀκολούθως καὶ διὰ τῶν μετὰ χεῖράς φασιν· «Ὁ Θεὸς ἡμῶν, ὁ Θεὸς τοῦ σῴζειν, καὶ τοῦ Κυρίου Κυρίου αἱ διέξοδοι τοῦ θανάτου·» ἢ κατὰ τὸν Σύμμαχον· «Ὁ Θεὸς ἡμῖν Θεὸς εἰς σωτηρίαν, καὶ τοῦ Κυρίου τοῦ δεσπότου αἱ εἰς θάνατον ἔξοδοι.» Μόνος γὰρ οὗτος Θεὸς ὢν τοῦ σῴζειν ἐξόδους εὕρετο τοῦ θανάτου. Ἐπειδὴ πᾶς ἄνθρωπος εἰς μὲν τὴν εἴσοδον τοῦ θανάτου ἔφθασεν, οὐκέτι δὲ καὶ διεξελθεῖν αὐτὸν δεδύνηται. Ὁ δὲ διὰ τῶν παρόντων δηλούμενος Κύριος, καὶ νῦν διὰ τῶν κοινῶν στοιχείων ἐν τῇ Ἑβραϊκῇ βίβλῳ γραφόμενος, διεξόδους ποιησάμενος τοῦ θανάτου, γέγονε Θεὸς ἐπώνυμος σωτηρίας. Διὸ λέλεκται· «Ὁ Θεὸς ἡμῶν, ὁ Θεὸς τοῦ σῴζειν.» Διὸ καὶ τῷ Ἰὼβ ὁ αὐτὸς οὗτος χρηματίζων ἔλεγεν· «Ἦλθες δὲ ἐπὶ πηγὴν θαλάσσης· ἐν δὲ ἴχνεσιν ἀβύσσου περιεπάτησας. Ἀνοίγονται δέ σοι φόβῳ πύλαι

1. Ψαλμ. 2, 8.

θανάτου. Πυλωροὶ δὲ ᾅδου ἰδόντες σε ἔπτηξαν.[1]» Διαρρήδην καὶ ἐν ἐκείνοις τὴν εἰς τὸν θάνατον αὐτοῦ κάθοδον καὶ τὴν ἐκεῖθεν διέξοδον παριστάς, ὥσπερ οὖν καὶ ἐν τοῖς προκειμένοις, οἷς ἀκολούθως τὴν τῶν ἐχθρῶν αὐτοῦ συντριβὴν διδάσκει λέγων· «Πλὴν ὁ Θεὸς συνθλάσει κεφαλὰς ἐχθρῶν αὐτοῦ.» Καὶ τοῦτο δὲ νοήσεις παραθεὶς τὴν ἐν ἑτέρῳ λέγουσαν φωνήν· «Σὺ ἐκραταίωσας τῇ δυνάμει σου τὴν θάλασσαν, σὺ συνέτριψας τὰς κεφαλὰς τῶν δρακόντων ἐπὶ τοῦ ὕδατος. Σὺ συνέθλασας τὴν κεφαλὴν τοῦ δράκοντος.» Διὰ γὰρ τούτων καὶ οἱ ἐχθροὶ τοῦ Θεοῦ ἐδηλώθησαν, περὶ ὧν ἐνταῦθα λέλεκται· «Πλὴν ὁ Θεὸς συνθλάσει κεφαλὰς ἐχθρῶν αὐτοῦ.» Ἦσαν δὲ οὗτοι δράκοντες οἱ ἐν θαλάσσῃ καὶ ἐπὶ ὑγρᾶς οὐσίας νηχόμενοι, δυνάμεις δηλαδὴ ἀντικείμεναι ἐχθραὶ τοῦ Θεοῦ, τοῖς ἁλμυροῖς καὶ ῥευστοῖς τοῦ βίου κύμασιν ἐγκαλινδούμεναι. Ὅθεν καὶ ἐν τῷ Ἰὼβ ἐλέγετο· «Ἦλθες δὲ ἐπὶ πηγὴν θαλάσσης, ἐν δὲ ἴχνεσιν ἀβύσσου περιεπάτησας. Ἀνοίγονται δέ σοι φόβῳ πύλαι θανάτου. Πυλωροὶ δὲ ᾅδου, ἰδόντες σε, ἔπτηξαν.» Συντριβομένων γὰρ τῶν κεφαλῶν τῶν δρακόντων, ἔπτησσον οἱ πυλωροὶ τοῦ ᾅδου· διὸ καὶ φόβῳ τὰς πύλας ἤνοιγον τοῦ θανάτου τῷ τὰς κεφαλὰς τῶν ἐχθρῶν αὐτοῦ συνθλῶντι. Οὗτοι δὲ οἱ ἐχθροὶ τοῦ Κυρίου τὸ πάντων ἀνθρώπων κατεπάτουν γένος. Διὸ λέλεκται ἑξῆς· «Κορυφὴν τριχὸς διαπορευομένων ἐν πλημμελείαις αὐτῶν.» Τούτων γὰρ ὁ Θεὸς συνθλάσει τὰς κεφαλάς, φησί, τῶν διαπορευομένων τὰς τῶν ἀνθρώπων κεφαλάς. Ἀντὶ γὰρ τοῦ, «κορυφὴν τριχός», «κορυφὴν ἔντριχον», ἡρμήνευσεν ὁ Σύμμαχος. Κορυφὴ δὲ ἔντριχος ἡ κεφαλὴ τῶν ἀνθρώπων σημαίνεται. Τούτων οὖν αὐτῶν τῶν ἐχθρῶν ἑαυτοῦ, τῶν πρότερον τὰς τῶν ἀνθρώπων κεφαλὰς διαπορευομένων καὶ ὑπὸ τοῖς ἑαυτῶν ποσὶ καταπατούντων, ὁ τὰς διεξόδους τοῦ θανάτου πεποιημένος Θεὸς τὰς κεφαλὰς συνθλάσει. Ἀντὶ δὲ τοῦ, «ἐν πλημμελείαις αὐτῶν», ὁ Σύμμαχος, «ἐν ταῖς πλημμελείαις αὐτῆς», ἡρμήνευσεν εἰπών· «Κορυφὴν ἔντριχον ἀναστρεφομένην ἐν ταῖς πλημμελείαις αὐτῆς.» Οὐδὲ γὰρ ἄλλως δυνατὸν ἦν τοῖς ἐχθροῖς τοῦ Θεοῦ καταπατεῖν κορυφὴν ἔντριχον, τουτέστι τὰς τῶν ἀνθρώπων κεφαλάς, εἰ μὴ ταῖς οἰκείαις πλημμελείαις καὶ ἁμαρτίαις τεταπείνωντο. Διὸ τοῖς μὴ τοιούτοις ὁ Σωτὴρ ἔλεγεν· «Ὑμῶν δὲ καὶ αἱ τρίχες τῆς κεφαλῆς πᾶσαι ἠριθμημέναι εἰσίν.[2]» Τῶν γὰρ αὐτῶν μαθητῶν καὶ ἑκάστη θρὶξ τοῦ τιμιωτέρου μέρους τοῦ σώματος, ὡς ἀναγκαία καὶ κόσμῳ τοῦ παντὸς συμβαλλομένη, ἀριθμοῦ κατηξίωται θείου καὶ φυλακῆς· ὡς ἂν μὴ ξυρηθῶσι τῷ ξυρῷ τῶν ἐχθρῶν τῶν ἐμπεριπατούντων καταπατούντων πᾶσαν κορυφὴν ἔντριχον τὴν ἀναστρεφομένην ἐν πλημμελείαις αὐτῆς.

Στίχ. κγ'. «Εἶπε Κύριος· Ἐκ Βασὰν ἐπιστρέψω, ἐπιστρέψω ἐν βυθοῖς θαλάσσης.»

1. Ἰὼβ 38, 16-17. 2. Ματθ. 10, 30.

Πάλιν κἀνταῦθα «ὁ Κύριος» οὐ διὰ τετραγράμμου παρ' Ἑβραίοις ἐκπεφώνηται, διὰ δὲ τῶν κοινοτέρων στοιχείων. Ἤδη δὲ τρίτον τοῦτον ἐδήλωσεν ἡ παροῦσα Γραφὴ ἐφιστῶσα τὸν ὡς ἂν εἴποι τις, δεύτερον Κύριον. Ἐπεὶ καὶ ἐν τῷ φάσκοντι ψαλμῷ· «Εἶπε Κύριος τῷ Κυρίῳ μου. Κάθου ἐκ δεξιῶν μου[1]», διὰ τῶν ἀνεκφωνήτων παρ' Ἑβραίοις τεττάρων στοιχείων ἐγέγραπτο. Ὁ δὲ δεύτερος, ὃν ἑαυτοῦ Κύριον ὁ προφήτης ἐδήλου φάσκων, «Τῷ Κυρίῳ μου», ἑτέροις στοιχείοις ἐδηλοῦτο, οἷς καὶ πᾶς ὁ ἐν ἀνθρώποις δούλου κύριος σημαίνεται. Οὕτως οὖν καὶ ἐνταῦθα ἤδη τρίτον ὁ μέχρις ᾅδου καταβὰς καὶ διεξόδους θανάτου πεποιημένος Κύριος διὰ τῶν παρ' Ἑβραίοις κοινῶς γραφομένων στοιχείων ὠνόμασται. Διόπερ ὁ Σύμμαχος «δεσπότην» ἡρμήνευσεν αὐτόν. Οὗτος οὖν ὁ Κύριος, αὐτὸς ὁ τοῦ Θεοῦ Λόγος δηλαδή, εἶπε· «Ἐκ Βασὰν ἐπιστρέψω·» καὶ πάλιν· «Ἐπιστρέψω ἐκ βυθῶν θαλάσσης.» Ἀντὶ δὲ τοῦ, «ἐπιστρέψω», καὶ τοῦ δεύτερον, «ἐπιστρέψω», ὁ Σύμμαχος τοῦτον ἡρμήνευσε τὸν τρόπον· «Εἶπε Κύριος· Ἀπὸ Βασὰν ἐπιστρέψω, καὶ ἀναστρέψαι ποιήσω ἀπὸ βυθῶν θαλάσσης.» Ὁρᾷς ὁποῖα κατορθώματα εἰργάσατο καταβὰς εἰς τοὺς βυθοὺς τῆς θαλάσσης ὁ Κύριος; συνέθλασε τὰς κεφαλὰς τῶν δρακόντων ἐπὶ τοῦ ὕδατος, καὶ τὰς τρίχας τῶν ἐχθρῶν αὐτοῦ τῶν «τὴν ἔντριχον κορυφὴν ἐν πλημμελείαις» διαπορευομένων· ἐπιστρέψαι δὲ ἐποίει ἀπὸ Βασὰν καὶ ἀπὸ βυθῶν τῆς θαλάσσης τὰς πάλαι καταπεποντωμένας αὐτόσε ψυχάς. Βασὰν δὲ ἡρμήνευται αἰσχύνη, ἔνθα δι' ἡμᾶς κατῆλθεν ὁ διὰ τῶν εἰρημένων στοιχείων δηλωθεὶς Κύριος, αἰσχύνης καταφρονήσας ὑπὲρ σωτηρίας τῶν αὐτόθι καταδεδουλωμένων. Διὸ λέλεκται· «Εἶπε Κύριος· Ἐκ Βασὰν ἐπιστρέψω, ἐπιστρέψω ἐκ βυθῶν θαλάσσης·» εἶθ' ἑξῆς λέλεκται· «Ὅπως ἂν βαφῇ ὁ πούς σου ἐν αἵματι.» Ἀνθ' οὗ ὁ Σύμμαχος ἡρμήνευσεν εἰπών· «Ὅπως συγκατεάξῃ ὁ πούς σου μετὰ αἵματος, καὶ λάψῃ ἡ γλῶσσα τῶν κυνῶν σου ἀπὸ ἑκάστου τῶν ἐχθρῶν σου.» Συντρίβων γὰρ τοὺς ἑαυτοῦ ἐχθροὺς καὶ τὰς κεφαλὰς αὐτῶν συνθλῶν, ἐπλήρου τὸν ἑαυτοῦ πόδα αἵματος, τοῦ ἐκ τῶν κεφαλῶν τοῦ ἐχθροῦ αὐτοῦ ῥυέντος. Διὸ ἐλέγετο ἐν Ἡσαΐᾳ· «Τίς οὗτος ὁ παραγενόμενος ἐξ Ἐδώμ, ἐρύθημα ἱματίων ἐκ Βοσόρ;[2]» καὶ ἑξῆς· «Διὰ τί σου ἐρυθρὰ τὰ ἱμάτια, καὶ τὰ ἐνδύματά σου ὡς ἀποπατητοῦ ληνοῦ, πλήρης πεπατημένης;[3]» Εἶθ' ἑξῆς ἀποκρίνεται πρὸς τοὺς ἐρωτήσαντας, καί φησι· «Κατεπάτησα αὐτοὺς ἐν θυμῷ μου.[4]» Καὶ ἐνταῦθα τοίνυν μετὰ τὴν συντριβὴν τῶν κεφαλῶν τῶν δρακόντων λέλεκται· «Ὅπως ἂν συγκατεάξῃ ὁ πούς σου μετὰ αἵματος», ἤ, «Ὅπως βαφῇ ὁ πούς σου ἐν αἵματι, καὶ ἡ γλῶσσα τῶν κυνῶν σου ἐξ ἐχθρῶν παρ' αὐτοῦ.» Ἀνθ' οὗ λευκότερον ὁ Σύμμαχος ἡρμήνευσεν εἰπών· «Καὶ λάψῃ ἡ γλῶσσα τῶν κυνῶν σου ἀπὸ ἑκάστου τῶν ἐχθρῶν σου.» Κύνας δὲ τοῦ Κυρίου

1. Ψαλμ. 109, 1. 2. Ἡσ. 63, 1. 3. Ἡσ. 63, 2. 4. Ἡσ. 63, 3.

λάπτοντας τὸ αἷμα τῶν ἐχθρῶν αὐτοῦ τίνας ἂν εἴποις ἢ τοὺς τὰ ποίμνια αὐτοῦ φυλάττοντας φύλακάς τινας ἐγρηγόρους, τὴν Ἐκκλησίαν αὐτοῦ φρουροῦντας, ἢ τιμωρητικάς τινας δυνάμεις ἐπεμβαινούσας τῇ συντριβῇ τῶν ἐχθρῶν αὐτοῦ, καὶ ὥσπερ ἀπογεύεσθαι πειρωμένας τῆς ἀπωλείας αὐτῶν;

Στίχ. κε', κς'. «Ἐθεωρήθησαν αἱ πορεῖαί σου, Θεός, αἱ πορεῖαι τοῦ Θεοῦ μου, τοῦ βασιλέως μου, τοῦ ἐν τῷ ἁγίῳ.»

Καὶ ταῦτα τοῖς προλεχθεῖσιν ἀκολούθως ἐπενήνεκται. Ἐπειδὴ γὰρ τὰ θεσπιζόμενα πρὶν γενέσθαι προεθεωρεῖτο τοῖς ἁγίοις τοῦ Θεοῦ προφήταις, διὰ τοῦτό φησιν ὁ λόγος· «Ἐθεωρήθησαν αἱ πορεῖαί σου, ὁ Θεός.» Ποῖαι δὲ πορεῖαι; ἀλλὰ πρώτη μὴν ἡ κάθοδος αὐτοῦ ἡ ἐν Σιναΐ, καὶ πάλιν ἡ ἀνάβασις ἡ εἰς ὕψος, καὶ αὖθις ἡ κάθοδος ἡ ἐπὶ Βασὰν καὶ ἡ ἐκεῖθεν ἐπιστροφή, ἥ τε μέχρι τοῦ θανάτου κατάβασις, καὶ ἐντεῦθεν διέξοδοι αὐτοῦ, καὶ ἐπὶ πᾶσιν ἡ ἐκ τῶν βυθῶν τῆς θαλάσσης ἐπάνοδος; Αὗται πᾶσαι πορεῖαι ἦσαν τοῦ δηλουμένου Κυρίου, αἵτινες τοῖς τοῦ Θεοῦ προφήταις ἐθεωρήθησαν πρὶν γενέσθαι· διὸ καὶ ταῖς προφητικαῖς παρεδόθησαν Γραφαῖς. Εἰκότως οὖν εἴρηται· «Ἐθεωρήθησαν αἱ πορεῖαί σου, ὁ Θεός.» Εἶτ' ἀσφαλίζεται διδάσκων ποίου Θεοῦ αἱ πορεῖαι ἐθεωρήθησαν· διὸ ἐπιλέγει· «Αἱ πορεῖαι τοῦ Θεοῦ μου, τοῦ βασιλέως μου.» Οὐ γὰρ ἁπλῶς Θεοῦ, οὐδὲ βασιλέως, ἀλλὰ τοῦ «Θεοῦ μου.» Τοῦτο δὲ ὅμοιον τυγχάνει τῷ, «Εἶπε Κύριος τῷ Κυρίῳ μου·» ὁ μὲν γὰρ πρῶτος ὁ ἐπὶ πάντων εἴη ἂν Θεός· ὁ δὲ δεύτερος Κύριος ὁ ἀκούων· «Κάθου ἐκ δεξιῶν μου [1]», ἐμὸς τυγχάνει Κύριος· διό, «Εἶπε Κύριος τῷ Κυρίῳ μου.» Καὶ ἐνταῦθα τοίνυν τὸν δεύτερον σημαίνων ὁ αὐτὸς προφήτης φησίν· «Αἱ πορεῖαι τοῦ Θεοῦ μου, τοῦ βασιλέως μου, τοῦ ἐν τῷ ἁγίῳ.» Ἐὰν γὰρ λέγω θεωρουμένας πορείας, μή τις νομιζέτω με λέγειν τοῦ ἐπὶ πάντων Θεοῦ· ἀλλὰ τοῦ Θεοῦ μου καὶ τοῦ βασιλέως μου πορεῖαι. Ἀλλ' ἐπειδὴ «προέφθασαν ἄρχοντες ἐχόμενοι ψαλλόντων ἐν μέσῳ νεανίδων τυμπανιστριῶν.» Αὐτοὶ γὰρ οὗτοι οἱ προφθάσαντες ἄρχοντες, ἢ οἱ ᾄδοντες καὶ Πνεύματι ἁγίῳ τὸ μέλλον θεσπίζοντες, προεθεώρησαν τὰς πορείας τοῦ Θεοῦ μου καὶ τοῦ βασιλέως μου. Οὗτοι δὲ ἦσαν οἱ προφῆται, οἱ προφθάσαντες τοὺς μετὰ ταῦτα προελθόντας ἀποστόλους. Δύο γὰρ χορῶν τὴν τοῦ Σωτῆρος ἡμῶν θεολογίαν ἀνθρώποις παραδεδωκότων, ὁ μὲν προφθάσας χορὸς ἦν ὁ προφητικός, ὁ δὲ δεύτερος ἐπελθὼν ὁ τῶν ἀποστόλων καὶ μαθητῶν τοῦ Σωτῆρος. Πλὴν ἀλλὰ ἐθεωρήθησαν αἱ πορεῖαι τοῦ δηλωθέντος Θεοῦ· ἢ τοῖς μὲν ἀποστόλοις ἐθεωρήθησαν, οἳ καὶ ὄψει παρέλαβον τὰ πάλαι προγνώσει προπεφωνημένα. Οὗτοι μὲν οὖν αὐτοῖς ὀφθαλμοῖς τὰς πορείας ἐθεώρησαν τοῦ Θεοῦ· προέφθασαν δὲ αὐτοὺς ἄρχοντές τινες οὗτοι οἱ ἐχόμενοι τῶν ψαλλόντων. Σημαίνει δὲ ὁ λόγος τὸν Δαυῒδ αὐτὸν καὶ τοὺς

1. Ψαλμ. 109, 1.

σὺν αὐτῷ καὶ κατὰ τοὺς αὐτοὺς χρόνους ἡγουμένους τοῦ λαοῦ· οἵτινες ἐχόμενοι τῶν ψαλλόντων προέφθασαν ἐν μέσῳ νεανίδων τυμπανιστριῶν. Τοιαῦται δὲ ἦσαν αἱ Ἰουδαϊκαὶ συναγωγαί, ἀτελεῖς καὶ εἰσέτι νεάνιδες, πλέον οὐδὲν ἐπιστάμεναι ἢ τυμπάνοις χρῆσθαι τοῖς σωματικοῖς ὀργάνοις ἐκ δορᾶς νεκρῶν ζῴων κατεσκευασμένοις. Διὸ τυμπανίστριαι εἴρηνται, τῷ μηδὲν ἕτερον εἰδέναι ἢ τὰ σωματικὰ τοῦ νόμου παραγγέλματα.

Στίχ. κζ', κη'. «Ἐν Ἐκκλησίαις εὐλογεῖτε τὸν Θεὸν Κύριον ἐκ πηγῶν Ἰσραήλ.»

Μετὰ τοὺς προθεωρήσαντας τὰς τοῦ δηλωθέντος Θεοῦ πορείας, ἀκολούθως ὁ λόγος ἑτέροις τισὶ μετὰ τοὺς πρώτους γενομένους προσφωνεῖ λέγων· «Ἐν Ἐκκλησίαις εὐλογεῖτε τὸν Θεόν·» καὶ ἐπειδήπερ ἕτεροι ἦσαν οὗτοι παρὰ τοὺς προφθάσαντας ἄρχοντας, εἰκότως καὶ τὰς συνόδους αὐτῶν ἐκκλησίας ἀποκαλεῖ, μονονουχὶ γυμνῇ τῇ κεφαλῇ τὰς τοῦ Σωτῆρος ἡμῶν ἐκκλησίας προαγορευούσης τῆς προφητείας. Κελεύονται δὲ οὗτοι οἱ δεύτεροι οὐκ ἐν μέσῳ νεανίδων τυμπανιστριῶν, ἀλλ' ἐν ἐκκλησίαις εὐλογεῖν τὸν Θεόν. Καὶ ποῖον Θεόν, πάλιν ἐπιλέγει ἑξῆς, «Κύριον.» Καὶ πόθεν ἀρυομένους χρὴ ταῖς ἐκκλησίαις τὴν τοῦ Κυρίου παραδιδόναι θεολογίαν ἀναγκαίως παρίστησι λέγων· «Κύριον ἐκ πηγῶν Ἰσραήλ», τοῖς κοινοτέροις χαρακτῆρσι κἀνταῦθα πάλιν τοῦ Κυρίου σημαινομένου. Πηγαὶ δὲ Ἰσραὴλ αἱ προφητικαὶ Γραφαὶ τυγχάνουσιν, ἥ τε Μωϋσέως νομοθεσία· ἐξ ὧν ὥσπερ ἀπὸ πηγῶν ἀρυομένους τὰς περὶ τοῦ Σωτῆρος ἡμῶν μαρτυρίας εὐλογεῖν αὐτὸν ἐν ταῖς ἐκκλησίαις τοῖς δευτέροις παρακελεύεται. Εἶτα ἐπιλέγει· «Ἐκεῖ Βενιαμὶν νεώτερος ἐν ἐκστάσει.» Ἀντὶ δὲ τοῦ «ἐκεῖ», ὁ Σύμμαχος, «ὅπου», φησί, «Βενιαμὶν ὁ μικρότατος·» καὶ ὁ Ἀκύλας ὁμοίως· «Ἐκεῖ», φησί, «Βενιαμὶν ὁ βραχύς, ἐπικρατῶν αὐτῶν.» Βενιαμὶν δὲ νεώτερος καὶ μικρότατος ἢ βραχύτατος Παῦλος ἦν ὁ θεῖος Ἀπόστολος, φυλῆς ὢν Βενιαμίν, Ἑβραῖος ἐξ Ἑβραίων, καθὼς αὐτὸς διδάσκει λέγων· «Περιτομὴ ὀκταήμερος ἐκ γένους Ἰσραήλ, φυλῆς Βενιαμίν, Ἑβραῖος ἐξ Ἑβραίων.[1]» Νεώτερος δὲ εἴρηται, ἢ μικρότατος, ἢ βραχύς, ἐπεὶ καὶ αὐτὸς τοῦτο διδάσκει λέγων· «Ὕστερον δὲ πάντων ὥσπερ τῷ ἐκτρώματι ὤφθη κἀμοί.[2]» Ἀντὶ δὲ τοῦ, «ἐν ἐκστάσει», ὁ μὲν Ἀκύλας, «ἐπικρατῶν αὐτῶν·» ὁ δὲ Θεοδοτίων, «παιδευτὴς αὐτῶν·» ἡ δὲ πέμπτη ἔκδοσις, «παιδεύοντα», ἤ, «διδάσκοντα» ἡρμήνευσαν. Οὐ δεῖ δὲ ἡμῖν πλειόνων λόγων εἰς ἀπόδειξιν τοῦ κρατεῖν τῶν Ἐκκλησιῶν, καὶ παιδευτὴν αὐτῶν εἶναι τὸν ἱερὸν Ἀπόστολον Βενιαμὶν ὠνομασμένον. Οὐ μόνος δὲ ἄρα ὁ Βενιαμὶν ἦν ἐκεῖ, δηλαδὴ ἐν ταῖς Ἐκκλησίαις τοῦ Θεοῦ, ἀλλὰ καὶ «οἱ ἄρχοντες Ἰούδα ἡγεμόνες αὐτῶν, οἵ τε ἄρχοντες Ζαβουλὼν καὶ οἱ ἄρχοντες Νεφθαλείμ. Σημαίνει δὲ λόγος διὰ τού-

1. Φιλιπ. 3, 5. 2. Α' Κορ. 15, 8.

των τοὺς λοιποὺς ἀποστόλους, ὧν οἱ μὲν ἦσαν ἐκ φυλῆς Ἰούδα, οἱ δὲ ἐκ φυλῆς Ζαβουλὼν καὶ Νεφθαλείμ. Διὸ τῆς τούτων μέμνηται χώρας τὸ ἅγιον Πνεῦμα διὰ Ἠσαΐου τοῦ προφήτου λέγον· «Γῆ Ζαβουλὼν καὶ γῆ Νεφθαλείμ, ὁδὸν θαλάσσης, πέραν τοῦ Ἰορδάνου, Γαλιλαία τῶν ἐθνῶν.[1]» Καὶ αὐτὸς δὲ ὁ Σωτήρ, παραγαγὼν παρὰ τὴν θάλασσαν τῆς Γαλιλαίας, τοὺς ἑαυτοῦ μαθητὰς ἐνθένδε ἀνεκαλεῖτο. Σαφῶς οὖν ἐπικρατεῖν τῶν Ἐκκλησιῶν πρῶτον μὲν Παῦλον τὸν βραχύτατον καὶ μικρότατον, καὶ νεώτατον τῶν ἀποστόλων ἐδίδαξεν, ἐν ἐκστάσει ποτὲ γενόμενον, ὅτε ἐδίωκε τὴν Ἐκκλησίαν τοῦ Θεοῦ, καὶ ἐπόρθει αὐτήν, ἢ ὅτε ἐν ἀποκαλύψει τὸν Σωτῆρα τεθέατο· ἢ ὅτε ἡρπάγη εἰς τὴν παράδεισον ἕως τρίτου οὐρανοῦ· μετὰ δὲ τὸν Παῦλον τοὺς λοιποὺς ἀποστόλους ἐκεῖ ἐν τῇ αὐτῇ Ἐκκλησίᾳ διαπρέπειν θεσπίζει, ἄρχοντας ὄντας ἡμετέρους ἐκ φυλῆς Ἰούδα, καὶ ἄρχοντας Ζαβουλὼν καὶ ἄρχοντας Νεφθαλείμ. Ἐπὶ σχολῆς δ' ἄν τις φιλοκαλήσας, τὴν ἑκάστου τῶν ἀποστόλων εὑρήσει φυλήν· ἐπεὶ παντὶ τῷ ζητοῦντι ἡ τῆς εὑρέσεως δέδοται ὑπὸ τοῦ Σωτῆρος ἐπαγγελία.[2]

Στίχ. κθ΄. «Ἔντειλαι, ὁ Θεός, τὴν δύναμίν σου, δυνάμωσον, ὁ Θεός, τοῦτο ὃ κατειργάσω ἡμῖν.»

Ἕπεται καὶ ταῦτα τοῖς προλεχθεῖσιν. Ἐπειδὴ γὰρ προφητικῶς προσέταττεν ὁ λόγος τοῖς ἀποστόλοις ἐν ἐκκλησίαις εὐλογεῖν τὸν Κύριον, καὶ τοῦτο ποιεῖν μὴ ἑτέρων τινῶν ὁρμωμένους λόγων, ἀλλ' ἐκ τῶν πηγῶν Ἰσραήλ, ἀκολούθως ὑπὲρ αὐτῶν εὐχὴν ἀναπέμπει τὸ Πνεῦμα τὸ προφητικόν, φάσκον· «Ἔντειλαι, ὁ Θεός, τὴν δύναμίν σου·» ὡσεὶ σαφέστερον ἔλεγεν· Ἐπισπευσάτω ἡ δύναμίς σου, καὶ συνεργείτω τοῖς ἀνδράσιν· ἀλλὰ καὶ ἤδη ποτὲ τῇ ἰσχύϊ σου δι' ἔργων χωρησάτω τὰ προφητευόμενα· καὶ τοῦτο δὲ ὃ κατειργάσω ἡμῖν τῇ σῇ βουλῇ προορίσας, καὶ αὐτὸ δυνάμωσον· ὅπως τῇ σῇ δυνάμει ἔργοις ἐπιτελεσθείη. Τί δὲ ἦν τοῦτο ἢ τὸ ἑξῆς ἐπιφερόμενον, «Ἐπὶ τὸν ναόν σου τὸν ἐν Ἱερουσαλὴμ σοὶ οἴσουσι βασιλεῖς δῶρα;» τοῦτο γὰρ αὐτὸ ἐπαγγειλάμενος ἡμῖν δυνάμωσον γενέσθαι. Βασιλεῖς δὲ διὰ τοῦτο αἱ βασιλεῖαι τῆς γῆς εἴρηνται, τῶν ἐθνῶν ἁπάντων τοῦτο σημαινομένων τὸν τρόπον. Νεὼς δὲ ἐν Ἱερουσαλήμ, ἐφ' ὃν τὰ δῶρα οἴσουσιν οἱ βασιλεῖς, οὐδ' ἕτερος ἂν εἴη τῆς βασιλείας τῶν οὐρανῶν· εἴπερ ἴσμεν Ἱερουσαλὴμ ἐπουράνιον, ἣν ἔδειξεν ὁ εἰπών· «Ἡ δὲ ἄνω Ἱερουσαλὴμ ἐλευθέρα ἐστίν, ἥτις ἐστὶ μήτηρ ἡμῶν·[3]» καί, «Προσεληλύθατε Σιὼν ὄρει καὶ πόλει Θεοῦ ζῶντος, Ἱερουσαλὴμ ἐπουρανίῳ.[4]» Ταύτης οὖν τῆς ἐπουρανίου πόλεως τοῦ Θεοῦ τὸ ἐξαίρετον καὶ ἀνώτατον καὶ κρεῖττον ὁ νεώς ἐστι τοῦ Θεοῦ. Ἐπὶ τοῦτον τοίνυν τὸν νεών σου, φησίν, σοὶ οἴσουσι βασιλεῖς δῶρα· οἱ τὴν λοιπὴν δηλαδὴ πόλιν τὴν ἐπουράνιον οἰκοῦντες βασιλεῖς ὄντες, διὰ τὸ κατηξιω-

1. Ἠσ. 9, 1. 2. Ματθ. 7, 7-8. 3. Γαλ. 4, 26. 4. Ἑβρ. 12, 22.

σθαι τῆς βασιλείας τῶν οὐρανῶν, καὶ διὰ τοῦτο συμβασιλεύειν τῷ ἑαυτῶν Κυρίῳ. «Εἰ γὰρ συναπεθάνομεν, καὶ συζήσομεν, καὶ εἰ ὑπομένομεν Θεόν, καὶ συμβασιλεύσομεν.[1]» Οὗτοι οὖν οἱ βασιλεῖς, ὡς ἂν ὑπὸ μεγάλῳ ἀρχιερεῖ τῷ Μονογενεῖ τοῦ Θεοῦ λειτουργοῦντες, ἱερεῖς τε ὄντες, καὶ αὐτοὶ δῶρα προσοίσουσιν εἰς τὸν ναὸν αὐτοῦ τὸν ἐπουράνιον, συνεισερχόμενοι τῷ μεγάλῳ ἀρχιερεῖ. Ὅπως δὲ τοῦτο γένηται καὶ δι' ἔργων προχωρήσῃ, ἀναγκαίως ἐπηύξατο εἰπών· «Ἔντειλαι, ὁ Θεός, τὴν δύναμίν σου, δυνάμωσον, ὁ Θεός, τοῦτο ὃ κατειργάσω ἡμῖν.»

Στίχ. λα'-λγ'. «Ἐπιτίμησον τοῖς θηρίοις τοῦ καλάμου.»

Ὥσπερ ηὔξατο συνεργῆσαι τοῖς προλεχθεῖσιν εἰπών· «Ἔντειλαι, ὁ Θεός, τὴν δύναμίν σου·» καὶ «Δυνάμωσον, ὁ Θεός, τοῦτο ὃ κατειργάσω ἡμῖν·» οὕτω πάλιν εὔχεται τὰ κωλύματα ἐκποδὼν ἀρθῆναι ἐκ μέσου, ὅπως ἀκωλύτως ὁ λόγος διαδράμῃ. Συνεώρα γὰρ τῇ προγνώσει τοὺς μέλλοντας ἐπανίστασθαι τῷ εὐαγγελικῷ κηρύγματι διωγμοὺς καὶ τοὺς νοητοὺς θῆρας, ὧν ηὔχετο ῥυσθῆναι ὁ εἰπών· «Μὴ παραδῷς τοῖς θηρίοις ψυχὰς ἐξομολογουμένας σοι·[2]» θηρία δὲ καλάμου νοήσεις, μαθὼν ἀπὸ τοῦ Ἰὼβ ὅπως εἴρηται ὑπὸ τοῦ διαβόλου· «Ὑπὸ παντοδαπὰ δένδρα κοιμᾶται, παρὰ πάπυρον καὶ κάλαμον καὶ βούτομον.[3]» Οὐ γὰρ παρὰ συκῆν, οὐδὲ παρὰ ἄμπελον οὐδὲ παρὰ ἐλαίαν, ἢ φοίνικα, ἤ τι τῶν τούτοις παραπλησίων, ἀλλὰ παρὰ πάπυρον καὶ κάλαμον καὶ βούτομον ἀναπαίεσθαί φησιν αὐτόν, τὰς ἀτόνους καὶ καθύγρους καὶ μηδένα καρπὸν ἀναγκαῖον προφερούσας ψυχὰς τοῦτον αἰνιξάμενος τὸν τρόπον· παρὰ τοιαύταις γὰρ ἀνεπαύετο ὁ δράκων. Δεινὰ δὲ θηρία καλάμου τυγχάνουσιν αἱ ἀντικείμεναι δυνάμεις, οἵ τε πονηροὶ δαίμονες καὶ τὰ ἰοβόλα καὶ ἑρπυστικὰ πνεύματα, οἷς ἐπιτιμῆσαι τὸν Θεὸν τὸ Πνεῦμα τὸ ἅγιον διὰ τῶν μετὰ χεῖρας εὔχεται λέγον· «Ἐπιτίμησον τοῖς θηρίοις τοῦ καλάμου.» Καὶ τῇ συναγωγῇ δὲ τῶν ταύρων, ἤ, κατὰ τὸν Σύμμαχον, «συνόδῳ παμμεγέθων», καὶ ταῖς δαμάλεσι τῶν λαῶν ἐπιτιμῆσαι ἱκετεύει· δαμάλεις δὲ λαῶν καὶ ταῦροι οἱ παρ' Ἰουδαίοις εἰσὶ διῶκται τοῦ λόγου. Ὧν ἔργων τὸ ἑξῆς ἐπιλεγόμενον ἐν τῷ, «τοῦ ἐκκλεισθῆναι τοὺς δεδοκιμασμένους τῷ ἀργυρίῳ·» ὅπερ σαφέστερον ἡρμήνευσεν ὁ Σύμμαχος εἰπών· «Τοῖς διαλακτίζουσι τοὺς εὐδοκήτους ὡς δοκιμὴν ἀργυρίου.» Οὗτοι γὰρ οἱ ταῦροι, καὶ αἱ προλεχθεῖσαι δαμάλεις, ὑπὸ τῶν θηρίων τοῦ καλάμου ἐνεργούμεναι, τὴν πᾶσαν ποιοῦνται σπουδὴν πρὸς τὸ ἐκκλεισθῆναι τοὺς ἁγίους τοῦ Θεοῦ τῆς ἐπηγγελμένης αὐτοῖς ἐλπίδος. Ἅγιοι δὲ Θεοῦ οἱ δεδοκιμασμένοι τῷ ἀργυρίῳ. Ὥσπερ γὰρ «τὰ λόγια Κυρίου ἁγνά, ἀργύριον πεπυρωμένον[4]», οὕτως καὶ οἱ τοῦ Θεοῦ ἄνθρωποι δεδοκιμασμένοι εἰσὶν ὡς τὸ ἀργύριον· διό φασιν· «Ἐδοκίμασας ἡμᾶς, ὁ Θεός, ἐπύρωσας ἡμᾶς ὡς πυροῦται

1. Β' Τιμ. 2, 11, 12. 2. Ψαλμ. 73, 19. 3. Ἰὼβ 40, 21. 4. Ψαλμ. 11, 7.

τὸ ἀργύριον.[1]» Οἱ οὖν θῆρες οἱ τοῦ καλάμου καὶ ἡ συναγωγὴ τῶν ταύρων, καὶ αἱ δαμάλεις τῶν λαῶν, τοὺς δεδοκιμασμένους τῷ ἀργυρίῳ ἀποκλεισθῆναι σπουδάζουσι τῆς ἐπηγγελμένης αὐτοῖς ἐλπίδος. Ἤ, κατὰ τὸν Σύμμαχον, «Διαλακτίζουσι τούτους αὐτοὺς εὐδοκήτους ὄντας ὡς δοκιμὴν ἀργυρίου.» Ἵν' οὖν μὴ ἐμποδὼν γένωνται τοῖς ἁγίοις τοῦ Θεοῦ οἱ προλεχθέντες, ἀναγκαίως εἴρηται· «Ἐπιτίμησον τοῖς θηρίοις τοῦ καλάμου, ἡ συναγωγὴ τῶν ταύρων ἐν ταῖς δαμάλεσι τῶν λαῶν.» Καὶ ἄλλως ταύρους νοήσεις τοὺς Ἰουδαίων ἄρχοντας· δαμάλεις δὲ αὐτῶν τὰς ὑπὸ τούτους συναγωγὰς καὶ τοὺς λαοὺς τοὺς ἐπισυστάντας κατὰ τὸ πάθος τοῦ Σωτῆρος ἡμῶν. Μαρτυρεῖ δὲ τῷ λόγῳ ἡ ἐξ αὐτοῦ προσώπου τοῦ Σωτῆρος ἐν κα' ψαλμῷ φωνὴ φάσκουσα· «Ὅτι ἐκύκλωσάν με μόσχοι πολλοί, ταῦροι πίονες περιέσχον με. Ἤνοιξαν ἐπ' ἐμὲ τὸ στόμα αὐτῶν.[2]» Δι' ὧν ᾐνίττετο τοὺς ἄρχοντας τοῦ Ἰουδαίων λαοῦ καὶ τὰ ὑπ' αὐτοὺς πλήθη τὰ ἐπισυστάντα κατ' αὐτοῦ.

«Διασκόρπισον ἔθνη τὰ τοὺς πολέμους θέλοντα.» Τὰ μὲν ἀνώτερα περὶ τῶν ἀντικειμένων δυνάμεων, καὶ περὶ τῶν ἀρχόντων τοῦ Ἰουδαίων ἔθνους ἐδηλοῦτο, τὰ δὲ προκείμενα περὶ τῶν ἐν τοῖς λοιποῖς ἔθνεσι πολεμίων τῆς Ἐκκλησίας. Ἐπειδὴ γὰρ ἑώρα τὸ Πνεῦμα τὸ ἅγιον τοὺς ἐν ἀπιστίᾳ ἀπομείναντας τῶν ἐθνῶν ἐπαναστησομένους τοῖς πιστοῖς, καὶ διωγμοὺς κατὰ τῆς Ἐκκλησίας τοῦ Θεοῦ κινήσοντας, ἀναγκαίως καὶ περὶ τούτου εὔχεται λέγον· «Διασκόρπισον ἔθνη τὰ τοὺς πολέμους θέλοντα.» Διασκορπιζομένων γὰρ τούτων, ἡ χάρις ἡ εὐαγγελικὴ χώραν ἕξει. Ἤμελλε τοῦ ἐνεργεῖν καὶ ἐξ αὐτῶν πρώτων ἄρχεσθαι τῶν καθ' ὑπερβολὴν εἰδωλολατρῶν. Αἰγύπτιοι δὲ ἦσαν οἱ πάντων ἀνθρώπων καὶ πάντων ἐθνῶν δεισιδαιμονέστατοι. Διὸ ἑξῆς ἐπιλέγει· «Ἥξουσι πρέσβεις ἐξ Αἰγύπτου.» Κατὰ δὲ τὸν Ἀκύλαν, «Οἴσουσιν ἐσπευσμένως ἐξ Αἰγύπτου·» κατὰ δὲ τὸν Σύμμαχον, «Ἐλθέτωσαν ἐκφάναντες οἱ ἐξ Αἰγύπτου.» Καὶ τὸ μὲν πάντων εἰδωλολατρῶν γένος διὰ τῶν ἐλευσομένων ἐξ Αἰγύπτου καὶ διαβησομένων ἐπὶ τὴν τοῦ Θεοῦ γνῶσιν δεδήλωται· διὰ δὲ τοῦ ἑξῆς ἐπιλεγομένου· «Αἰθιοπία προφθάσει χεῖρα αὐτῆς τῷ Θεῷ», τὰ ἄκρα τῆς τῶν ἀνθρώπων οἰκουμένης. Σημαίνει γὰρ ὁ λόγος, ὡς ἄρα ἐξ ἁπάντων τῶν ἐθνῶν τῶν ἀπ' ἀνατολῆς ἡλίου μέχρι δυσμῶν ἥξουσιν, κατὰ τὸ φάσκον ἐν ἑτέροις λόγιον· «Μνησθήσονται καὶ ἐπιστραφήσονται πρὸς Κύριον πάντα τὰ πέρατα τῆς γῆς, καὶ προσκυνήσουσιν ἐνώπιον αὐτοῦ πᾶσαι αἱ πατριαὶ τῶν ἐθνῶν.[3]» Κατὰ δὲ τὸν Ἀκύλαν· «Αἰθίοψ», φησί, «δρομώσει χεῖρα αὐτοῦ τῷ Θεῷ·» κατὰ δὲ τὸν Σύμμαχον· «Αἰθιοπία σπευσάτω διδοῦσα χεῖρα τῷ Θεῷ.» Ἔστι δὲ καὶ κατὰ τὴν ἱστορίαν τοῦτο πεπληρῶσθαι φάναι ἐπὶ τοῦ Αἰθίοπος, οὗ μέμνηνται τῶν ἀποστόλων αἱ Πράξεις. Σχεδὸν γὰρ προέφθασεν οὗτος τὰ λοιπὰ

1. Ψαλμ. 65, 10. 2. Ψαλμ. 21, 13-14. 3. Ψαλμ. 21, 28.

ἔθνη, καταξιωθεὶς πρὸ πάντων τῆς γνώσεως τοῦ Σωτῆρος. Ὅπως δὲ καὶ πρέσβεις ἦλθον ἐξ Αἰγύπτου κατὰ τὴν ἱστορίαν, πάλιν αἱ Πράξεις τῶν ἀποστόλων δηλοῦσιν, ἐν αἷς εἴρηται, ὡς ἄρα κατὰ τὴν ἡμέραν τῆς Πεντηκοστῆς τὸ Πνεῦμα τὸ ἅγιον ἐπλήρωσε τὸν οἶκον ἔνθα ἦσαν οἱ ἀπόστολοι, ἐκάθισέ τε ἐπὶ τοὺς παρόντας ἅπαντας· ἐν οἷς ἦσαν Πάρθοι καὶ Μῆδοι καὶ Ἐλαμῖται καὶ οἱ κατοικοῦντες τὴν Μεσοποταμίαν, Ἰουδαίαν τε καὶ Καππαδοκίαν, Πόντον καὶ τὴν Ἀσίαν, Φρυγίαν τε καὶ Παμφυλίαν, Αἴγυπτον καὶ τὰ μέρη τῆς Λιβύης τῆς κατὰ Κυρήνην.[1] Οὗτοι δὴ οὖν πάντες ὡσπερεὶ πρέσβεις ἐτύγχανον τῶν ἐθνῶν, τῆς τοῦ ἁγίου Πνεύματος ἀπαρχῆς κατηξιωμένοι. Ἀλλὰ γὰρ μετὰ τοὺς ἐξ Αἰγύπτου, καὶ μετὰ τὴν προφθάσασαν Αἰθιοπίαν, ἑξῆς αἱ λοιπαὶ βασιλεῖαι τῆς γῆς καλοῦνται, δηλαδὴ καὶ τὰ ὑπὸ ταύταις ἔθνη. Διὸ ἐπιλέγεται· «Αἱ βασιλεῖαι τῆς γῆς, ᾄσατε τῷ Θεῷ, ψάλατε τῷ Κυρίῳ.» Ἃ καὶ οὐδ' ἄλλως ἢ διὰ μόνης τῆς τοῦ Σωτῆρος ἡμῶν διδασκαλίας τέλους ἐτύγχανεν. Οὐκ ἔστιν οὖν ἔθνος, οὐ χώρα, οὐ γένος ἀνθρώπων, οὐ βασιλεία καθ' ὅλης τῆς οἰκουμένης, ἔνθα οὐχὶ λαοὶ τῷ Θεῷ συστάντες τὸ κέλευσμα ἀποπληροῦσιν. Πάλιν δὲ κἀνταῦθα ᾄδειν μὲν προστάττει τῷ Θεῷ, ψάλλειν δὲ τῷ Κυρίῳ οὐχ ἵνα τοῦ τετραγράμμου, τῷ δὲ κοινοτέροις στοιχείοις δηλουμένῳ ὀνόματι. Καὶ ἵνα σαφέστερον γνῶμεν τίς ποτε ἦν οὗτος ὁ Κύριος, ἐπισυνάπτει λέγων ἑξῆς· «Τῷ ἐπιβεβηκότι ἐπὶ τὸν οὐρανὸν τοῦ οὐρανοῦ κατὰ ἀνατολάς·» σφόδρα ἀκολούθως· ἐπειδὴ γὰρ διὰ τῶν ἀνωτέρω εἴρητο· «Ὁδοποιήσατε τῷ ἐπιβεβηκότι ἐπὶ δυσμῶν, Κύριος ὄνομα αὐτῷ·» ἀκολούθως διὰ τῶν μετὰ χεῖρας οὐκέτι ἐπιβεβηκέναι αὐτὸν ἐπὶ δυσμῶν φησιν, ἀλλ' ἐπὶ τὸν οὐρανὸν κατ' ἀνατολάς. Ἔδει γὰρ ἡμᾶς, τὴν κάθοδον αὐτοῦ προμεμαθηκότας, καὶ τὴν ἐπάνοδον διδαχθῆναι. Ἡ μὲν οὖν κάθοδος διὰ τοῦ καλύπτειν αὐτοῦ τὰ φῶτα τῆς θεότητος ἐπὶ δυσμῶν ἐγίνετο· ἡ δὲ ἄνοδος ἐπὶ τὸν οὐρανὸν τοῦ οὐρανοῦ κατ' ἀνατολὰς διὰ τὴν ἔνδοξον αὐτοῦ εἰς οὐρανοὺς ἀποκατάστασιν. Νοήσεις δὲ τὸ λελεγμένον ἐκ τοῦ κατὰ τὸν ἥλιον παραδείγματος. Ὥσπερ γὰρ ὁ ἥλιος, κατὰ δυσμὰς γενόμενος, τὴν ἀφανῆ πορείαν ποιεῖται, εἶτ' ἐπὶ τὸν ἀνατολικὸν ὁρίζοντα καταντήσας, εὐθὺ τοῦ οὐρανοῦ φέρεται τὰ σύμπαντα φωτίζων καὶ λαμπρὰν ἡμέραν ἐργαζόμενος, κατὰ τὸν αὐτὸν τρόπον καὶ ὁ δηλούμενος ἐνταῦθα Κύριος, τὴν ἀποδοθεῖσαν κατάδυσιν ποιησάμενος κατὰ τὸν καιρὸν τοῦ πάθους καὶ τοῦ θανάτου, τὴν χώραν διαπορευθείς, μετὰ ταῦτα λέγεται ἀναβεβηκέναι ἐπὶ τὸν οὐρανὸν τοῦ οὐρανοῦ κατ' ἀνατολάς. Κατὰ δὲ τὸν Ἀκύλαν, «Τῷ ἐπιβεβηκότι ἐν οὐρανῷ οὐρανοῦ ἀρχῆθεν·» Κατὰ δὲ τὸν Σύμμαχον, «Τῷ ἐποχουμένῳ ἐπὶ τὸν οὐρανὸν τοῦ οὐρανοῦ ἐκ πρώτης», εἴρηται. Τὸ δέ, «ἐκ πρώτης» καί, «ἀρχῆθεν», νοήσεις αὐτοῦ λέγοντος ἀκούων τοῦ Σωτῆρος· «Πάτερ, δό-

1. Πράξ. 2, 1-10.

ξασόν με τῇ δόξῃ ᾗ εἶχον πρὸ τοῦ τὸν κόσμον εἶναι παρὰ σοί.[1]»

Στίχ. λδ´-λς´. «Ἰδοὺ δώσει τῇ φωνῇ αὐτοῦ φωνὴν δυνάμεως, δότε δόξαν τῷ Θεῷ ἐπὶ τὸν Ἰσραήλ.»

Γνώρισμα τοῦ δηλωθέντος Κυρίου παραδίδωσι λέγων· «Ἰδοὺ δώσει τῇ φωνῇ αὐτοῦ φωνὴν δυνάμεως.» Ἐντεῦθεν οὖν ἀληθῶς ἐστι χαρακτηρίσαι τὴν ἀρετὴν «τοῦ ἐν ἀρχῇ πρὸς τὸν Θεὸν[2]» Θεοῦ Λόγον, ἐκ τοῦ τὴν φωνὴν αὐτοῦ μὴ ὁμοίαν εἶναι ἀνθρώποις, δυνάμεως δὲ πεπληρῶσθαι θείας. «Δώσει» γάρ, φησί, «τῇ φωνῇ αὐτοῦ φωνὴν δυνάμεως.» Καὶ ἀνωτέρω δὲ ἐλέγετο· «Κύριος δώσει ῥῆμα τοῖς εὐαγγελιζομένοις δυνάμει πολλῇ.» Ἐπειδὴ γὰρ ἡ φωνὴ αὐτοῦ πεπλήρωτο δυνάμεως, εἰκότως καὶ τοῖς εὐαγγελιζομένοις τὸ περὶ αὐτοῦ κήρυγμα ἐδίδου ῥῆμα σὺν δυνάμει πολλῇ. Παρίστησι δὲ τὸ ἔργον τὴν δύναμιν. Ψιλῇ γὰρ φωνῇ τοῖς αὐτοῦ μαθηταῖς εἰπών· «Δεῦτε ἀκολουθεῖτέ μοι, καὶ ποιήσω ὑμᾶς ἁλιεῖς ἀνθρώπων[3]», δυνάμει τὸ ἔργον ἐποίει· καὶ πάλιν ἐντειλάμενος αὐτοῖς καὶ εἰπών· «Πορευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη ἐν τῷ ὀνόματί μου[4]», ἔργῳ τὴν δύναμιν ἐδείκνυ· καὶ αὖθις εἰπών· «Δεῖ κηρυχθῆναι τὸ Εὐαγγέλιον τῆς βασιλείας ἐν ὅλῃ τῇ οἰκουμένῃ εἰς μαρτύριον πᾶσι τοῖς ἔθνεσι[5]», τοῦ λόγου τὴν δύναμιν αὐτοῖς ἔργοις παρεῖχεν ὁρᾶν· καὶ ἄλλοτε φήσας· «Ἐπὶ τὴν πέτραν οἰκοδομήσω μου τὴν Ἐκκλησίαν, καὶ πύλαι ᾅδου οὐ κατισχύσουσιν αὐτῆς[6]», αὐτῷ πράγματι τὴν δύναμιν παρεστήσατο. Τὸν αὐτὸν οὖν τρόπον καὶ τοῖς λοιποῖς ἅπασι τοῖς τῆς διδασκαλίας αὐτοῦ ῥήμασι συγκεκραμένην εὕροις ἂν τὴν θεϊκὴν δύναμιν. Οὗ χάριν εἴρηται· «Ἰδοὺ δώσει τῇ φωνῇ αὐτοῦ φωνὴν δυνάμεως.» Ἀλλὰ γὰρ ταῦτα παιδεύσας, ἑξῆς παρακελεύεται φάσκων· «Δότε δόξαν τῷ Θεῷ ἐπὶ τὸν Ἰσραήλ· ἡ μεγαλοπρέπεια αὐτοῦ καὶ ἡ δύναμις αὐτοῦ ἐν ταῖς νεφέλαις.» Τὸ μὲν οὖν, «Δότε δόξαν τῷ Θεῷ», πᾶσιν εἴρηται τοῖς κεκλημένοις ὑπὸ τὴν σωτήριον πίστιν· Τὸ δέ, «ἐπὶ τὸν Ἰσραὴλ ἡ μεγαλοπρέπεια αὐτοῦ», σημαίνει τοὺς ἐξ Ἰσραὴλ γενομένους τῆς θεότητος αὐτοῦ κήρυκας, ἀποστόλους δηλαδὴ καὶ εὐαγγελιστάς, παρ' οἷς ἡ μεγαλοπρέπεια αὐτοῦ ἐγνωρίζετο· οὕτω τῆς θεότητος αὐτοῦ καλουμένης. Διὸ λέλεκται ἐν ἑτέροις· «Ὅτι ἐπήρθη ἡ μεγαλοπρέπειά σου ὑπεράνω τῶν οὐρανῶν.[7]» Ὅτι δὲ οὐ πάντες οἱ ἐξ Ἰσραὴλ οὗτοι Ἰσραήλ, οὐδὲ ὅτι εἰσὶ σπέρμα Ἀβραὰμ πάντες τέκνα· καὶ ὡς οὐ τὰ τέκνα τῆς σαρκὸς ταῦτα τέκνα τοῦ Θεοῦ·[8] οὐδὲ ὁ ἐν τῷ φανερῷ Ἰουδαῖός ἐστιν, οὐδὲ ἡ ἐν τῷ φανερῷ ἐν σαρκὶ περιτομή, ἀλλ' ὁ ἐν τῷ κρυπτῷ Ἰουδαῖος, καὶ περιτομὴ καρδίας ἐν πνεύματι, οὐ γράμματι[9], διδάσκει σαφῶς ὁ Ἀπόστολος. Ἐπὶ τὸν Ἰσραὴλ τοίνυν ἡ μεγαλοπρέπεια αὐτοῦ· ἀλλὰ καὶ «ἡ δύ-

---

1. Ἰω. 17, 5. 2. Ἰω. 1, 1. 3. Ματθ. 4, 19. 4. Ματθ. 28, 19. 5. Ματθ. 24, 14. 6. Ματθ. 16, 18. 7. Ψαλμ. 8, 2. 8. Ῥωμ. 9, 8. 9. Ῥωμ. 2, 28-29.

ναμις αὐτοῦ ἐν ταῖς νεφέλαις·» περὶ ὧν Ἡσαΐας θεσπίζει λέγων· «Καὶ ταῖς νεφέλαις ἐντελοῦμαι μὴ βρέξαι ἐπὶ τὸν ἀμπελῶνα ὑετόν.[1]» Ἐδήλου δὲ ἄρα τοὺς προφήτας καὶ τοὺς τῶν θείων μαθημάτων διδασκάλους, οἳ τῇ τοῦ Πνεύματος χορηγίᾳ τὸν οὐράνιον ὑετὸν ταῖς τῶν ἀνθρώπων ψυχαῖς ὥσπερ ἐν χώραις ἀγαθαῖς ἐπήρδευον. Οὕτως οὖν καὶ ἡ δύναμις αὐτοῦ ἐν ταῖς νεφέλαις. «Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς ἁγίοις αὐτοῦ», ἑτέροις οὖσι παρὰ τοὺς προωνομασμένους προφήτας καὶ ἀποστόλους. Τίνες δ' ἂν εἶεν οὗτοι ἀλλ' οἱ ἐξ ἁπάντων τῶν ἐθνῶν ἁγνείας καὶ ἁγιωσύνης ἠξιωμένοι; ἐν οἷς καὶ θαυμαστός ἐστιν ὁ Θεός, διδοὺς αὐτοῖς δύναμιν καὶ κραταίωσιν. Διὸ συνῆπται ἑξῆς· «Ὁ Θεὸς Ἰσραὴλ αὐτὸς δώσει δύναμιν καὶ κραταίωσιν τῷ λαῷ αὐτοῦ, εὐλογητὸς ὁ Θεός.» Πάλιν δὲ κἀνταῦθα δύναμιν ἀναγκαίως διδόναι λέλεκται τῷ ἁγίῳ λαῷ αὐτοῦ, ἵνα δύνηται λέγειν· «Πάντα ἰσχύω ἐν τῷ ἐνδυναμοῦντί με.[2]» Ἔδει γάρ, ὥσπερ τοῖς εὐαγγελιζομένοις δέδοτο ῥῆμα σὺν δυνάμει πολλῇ, οὕτω καὶ τῷ λαῷ αὐτοῦ κραταίωσιν καὶ δύναμιν παρέχειν, πρὸς τὸ δύνασθαι ἵστασθαι πρὸς τὰς μεθοδείας τοῦ διαβόλου, καὶ λέγειν ὁμοίως Παύλῳ· «Τίς ἡμᾶς χωρίσει ἀπὸ τῆς ἀγάπης τοῦ Θεοῦ; θλῖψις ἢ στενοχωρία, ἢ διωγμός, ἢ λιμός;[3]» καὶ τὰ τούτοις παραπλήσια.

ΕΙΣ ΤΟ ΤΕΛΟΣ ΥΠΕΡ ΤΩΝ ΑΛΛΟΙΩΘΗΣΟΜΕΝΩΝ, ΤΩ ΔΑΥΙΔ ΞΗ΄.

Στίχ. β΄, γ΄. «Σῶσόν με, ὁ Θεός, ὅτι εἰσήλθοσαν ὕδατα ἕως ψυχῆς μου.»

Τέτταρές εἰσιν οἱ ἐπιγεγραμμένοι «Ὑπὲρ τῶν ἀλλοιωθησομένων·» δύο μὲν τοῦ Δαυΐδ, ὁ μετὰ χεῖρας καὶ ὁ νθ΄· τῶν δὲ υἱῶν Κορὲ εἷς, ὁ μδ΄, καὶ τοῦ Ἀσὰφ ὁμοίως ὁ οθ΄. Ἐπὶ πάντων δὲ ἀντὶ τοῦ, «Ὑπὲρ τῶν ἀλλοιωθησομένων», ὁ μὲν Ἀκύλας, «Ἐπὶ κρίνων», ἐκδέδωκεν· ὁ δὲ Σύμμαχος, «Ὑπὲρ τῶν ἀνθῶν.» Ὁ μὲν οὖν μδ΄ τὴν περὶ τοῦ Ἀγαπητοῦ προφητείαν περιεῖχε, τῆς τε ἐξ ἐθνῶν Ἐκκλησίας τὴν ἀπὸ τῶν χειρόνων ἐπὶ τὰ κρείττω ἀλλοίωσιν· ὁ δὲ πεντηκοστὸς ἔνατος ἀποβολὴν τοῦ Ἰουδαίων ἔθνους καὶ τῶν ἀλλοφύλων ἐθνῶν τὴν ἐπὶ τὰ κάλλιστα μεταβολήν· ὁ δὲ οθ΄ αὖθις τὴν τοῦ Ἰουδαίων ἔθνους ἀπόπτωσιν, καὶ τοῦ Σωτῆρος ἡμῶν τὴν ἐνανθρώπησιν σημαίνει. Εἰκότως οὖν καὶ ὁ μετὰ χεῖρας, «Ὑπὲρ τῶν ἀλλοιωθησομένων», ἤ, «Ὑπὲρ τῶν ἀνθῶν», κατὰ τὸν Σύμμαχον, ἤ, «Ἐπὶ κρίνων», κατὰ τὸν Ἀκύλαν, ἐπιγέγραπται· ἐπειδὴ τὴν ἐπὶ τὸ χεῖρον ἀλλοίωσιν τοῦ ἐκ περιτομῆς λαοῦ καὶ αὐτὸς περιέχει, οὕς, κρίνα καὶ ἄνθη κατὰ καιρὸν ὀφθέντας, ἡ ἐπὶ τὰ χείρω διεδέξατο μεταβολή. Ἄνθεσι δὲ αὐτοὺς παραβάλλει καὶ ὁ Ἡσαΐας λέγων· «Πᾶσα σὰρξ

1. Ἡσ. 5, 6. 2. Φιλιπ. 4, 13. 3. Ῥωμ. 8, 35.

χόρτος, καὶ πᾶσα δόξα αὐτῆς ὡς ἄνθος χόρτου· ἐξηράνθη ὁ χόρτος, καὶ τὸ ἄνθος ἐξέπεσε·[1]» δι' ὧν τὸ πρὸς βραχύν τινα χρόνον ἀνθῆσαν καὶ ὡραῖον ὀφθὲν τῆς σωματικῆς Ἰουδαίων θρησκείας χόρτῳ καὶ ἄνθεσιν ἀπεικάζει. Καὶ διὰ τῶν προκειμένων τοίνυν τὴν ἀλλοίωσιν καὶ τὴν ἐπὶ τὸ χεῖρον μεταβολὴν τῆς ἄνθης αὐτῶν παρίστησι προϊὼν ὁ λόγος ἐν οἷς φησιν· «Γενηθήτω ἡ τράπεζα αὐτῶν ἐνώπιον αὐτῶν εἰς παγίδα καὶ εἰς ἀνταπόδοσιν καὶ εἰς σκάνδαλον. Σκοτισθήτωσαν οἱ ὀφθαλμοὶ αὐτῶν τοῦ μὴ βλέπειν», καὶ τὰ ἑξῆς. Καὶ ἐπειδήπερ μακροῖς ὕστερον χρόνοις ταῦτα δι' ἔργων χωρεῖν ἔμελλον, ἀναγκαίως «Εἰς τὸ τέλος» προγέγραπται. Οὔτε δὲ ψαλμός ἐστιν, οὔτε ᾠδή, οὔτε ὕμνος, οὔτε τι τοιοῦτον· ἐπεὶ μηδὲ κατάλληλα ἦν τὰ ἐπιλεγόμενα τοιαύτῃ προγραφῇ. Διὸ εἴποις ἂν προφητείαν ἐκ προσώπου τοῦ Σωτῆρος ἡμῶν διεξιόντος τὰ περὶ αὐτὸν συμβεβηκότα, προαναφώνησίν τε τῶν Ἰουδαίοις ἐπελθόντων μετὰ τὰ κατ' αὐτοὺς τετολμημένα. Ἀρχόμενος δ' οὖν ὁ Σωτήρ, εὐχὴν ἀναπέμπει πρὸς τὸν Πατέρα λέγων· «Σῶσόν με, ὁ Θεός, ὅτι εἰσήλθοσαν ὕδατα ἕως ψυχῆς μου.» Καί μοι δοκεῖ κατὰ λόγον ταῦτα τοῖς ἐν τῷ προλεχθέντι συνῆφθαι ψαλμῷ. Ἐν ἐκείνῳ μὲν γὰρ ἐλέγετο· «Εἶπε Κύριος· Ἐκ Βασὰν ἐπιστρέψω, ἐπιστρέψω ἐκ βυθῶν θαλάσσης·[2]» ἐν τούτῳ δέ, «Ἦλθον εἰς τὰ βάθη τῆς θαλάσσης, καὶ καταιγὶς κατεπόντισέ με.» Ἔδει γὰρ ἡμᾶς διδαχθῆναι πῶς εἰς τὴν Βασὰν κατῆλθεν ὁ Κύριος, ὅπερ ἐστὶν αἰσχύνη, καὶ πῶς ἔλεγεν, «Ἐπιστρέψω ἐκ βυθῶν θαλάσσης.» Διὸ δὴ ταῦτα αὐτὰ διὰ τῶν προκειμένων παρίστησι· περὶ μὲν τῆς αἰσχύνης προϊὼν καὶ λέγων· «Ὅτι ἕνεκα σοῦ ὑπήνεγκα ὀνειδισμόν, ἐκάλυψεν ἐντροπὴ τὸ πρόσωπόν μου·» καὶ αὖθις· «Σὺ γινώσκεις τὸν ὀνειδισμόν μου καὶ τὴν αἰσχύνην μου καὶ τὴν ἐντροπήν μου·» περὶ δὲ τοῦ βυθοῦ τῆς θαλάσσης τό, «Σῶσόν με, ὁ Θεός, ὅτι εἰσήλθοσαν ὕδατα ἕως ψυχῆς μου. Ἐνεπάγην εἰς ὕλην βυθοῦ, καὶ οὐκ ἔστιν ὑπόστασις. Ἦλθον εἰς τὰ βάθη τῆς θαλάσσης, καὶ καταιγὶς κατεπόντισέ με.» Ταῦτα γὰρ πλείστην ἔχοι ἂν ἀκολουθίαν πρὸς τὰ ἐν τῷ πρὸ τούτου ψαλμῷ λελεγμένα· ἐν τῷ, «Εἶπεν ὁ Κύριος· Ἐκ Βασὰν ἐπιστρέψω, ἐπιστρέψω ἐκ βυθῶν θαλάσσης.» Ἐπειδὴ ἐν ἐκείνῳ αὐτὸς ἦν ὁ Κύριος ὁ ταῦτα λέγων· ἔπειτα καὶ νῦν τὸν αὐτὸν εἶναι ἡγεῖσθαι τὸν τὰ προκείμενα διεξιόντα.

Αὐτὸς τοιγαροῦν, ὃν οὐδ' ἕτερον εἶναι ἢ τοῦ Θεοῦ Λόγον διὰ τῶν ἔμπροσθεν παρεστήσαμεν, εὐχὴν ἀναπέμπει τῷ Πατρί, ἰδιοποιούμενος τὰ καθ' οὗ ἀνείληφεν ἀνθρώπου πάθη· διό φησι· «Σῶσόν με, ὁ Θεός, ὅτι εἰσήλθοσαν ὕδατα ἕως ψυχῆς μου. Ἐνεπάγην εἰς ὕλην βυθοῦ, καὶ οὐκ ἔστιν ὑπόστασις. Ἦλθον εἰς τὰ βάθη τῆς θαλάσσης, καὶ καταιγὶς κατεπόντισέ με.» Ὁ μὲν οὖν πρὸ τούτου ψαλμὸς προσεφώνει φάσκων· «Ὁδοποιήσατε τῷ ἐπιβεβηκότι ἐπὶ δυσμῶν, Κύριος

1. Ἡσ. 40, 6-7. 2. Ψαλμ. 67, 23.

ὄνομα αὐτῷ·[1]» εἶθ' ἑξῆς τὴν ἅμα ἀνθρώποις διατριβὴν αὐτοῦ παρίστησι λέγων· «Καὶ ἀγαλλιᾶσθε ἐνώπιον αὐτοῦ, τοῦ πατρὸς τῶν ὀρφανῶν καὶ κριτοῦ τῶν χηρῶν.[2]» Καὶ τῶν μαθητῶν δὲ αὐτοῦ καὶ τῶν ἀποστόλων τὴν κλῆσιν ἐδήλου ἐν τῷ, «Κύριος δώσει ῥῆμα τοῖς εὐαγγελιζομένοις δυνάμει πολλῇ.[3]» Εἶθ' ἑξῆς εἰς τὸν θάνατον αὐτοῦ κάθοδον καὶ τὴν διέξοδον τὴν ἐντεῦθεν ἐδίδασκεν ἐν τῷ, «Καὶ τοῦ Κυρίου Κυρίου αἱ διέξοδοι τοῦ θανάτου·[4]» καὶ ἐν τῷ, «Εἶπε Κύριος· Ἐκ Βασὰν ἐπιστρέψω, ἐπιστρέψω ἐκ βυθῶν θαλάσσης·[5]» ἐπὶ πᾶσι δὲ τούτοις τὴν εἰς οὐρανοὺς ἐπάνοδον αὐτοῦ διὰ τοῦ αὐτοῦ ἐδήλου λέγων· «Ψάλατε τῷ Θεῷ τῷ ἐπιβεβηκότι ἐπὶ τὸν οὐρανὸν τοῦ οὐρανοῦ κατ' ἀνατολάς.[6]» Ταῦτα μὲν οὖν ἐν ἐκείνοις· διὰ δὲ τῶν προκειμένων τὰ ὡς ἐν παραδρομῇ τότε λελεγμένα πλατύνει, δεικνὺς ὅπως λέλεκτο· «Καὶ τοῦ Κυρίου Κυρίου αἱ διέξοδοι τοῦ θανάτου», καὶ τό, «Εἶπε Κύριος· Ἐκ Βασὰν ἐπιστρέψω, ἐπιστρέψω ἐκ βυθῶν θαλάσσης. Ταῦτα γὰρ εἰς πλάτος ἐπὶ τοῦ παρόντος διεξέρχεται λέγων· «Σῶσόν με, ὁ Θεός, ὅτι εἰσήλθοσαν ὕδατα ἕως ψυχῆς μου. Ἐνεπάγην εἰς ὕλην βυθοῦ, καὶ οὐκ ἔστιν ὑπόστασις. Ἦλθον εἰς τὰ βάθη τῆς θαλάσσης καὶ καταιγὶς κατεπόντισέ με.» Πειρασμοὺς δὲ καὶ διωγμοὺς καὶ ἐπαναστάσεις ἀσεβῶν ἀνδρῶν ὕδατα καλεῖν εἴωθεν ὁ Λόγος· Οὕτω γοῦν εἴρηται ἀλλαχοῦ· «Τὸν χείμαρρον διῆλθεν ἡ ψυχὴ ἡμῶν· ἄρα διῆλθεν ἡ ψυχὴ ἡμῶν τὸ ὕδωρ ἀνυπόστατον.[7]» Καὶ αὐτὸς δὲ ὁ Σωτὴρ ἐδίδασκε τοῦτο λέγων· «Κατέβη ἡ βροχή, ἦλθον οἱ ποταμοί, ἔπνευσαν οἱ ἄνεμοι, καὶ προσέρρηξαν τῇ οἰκίᾳ ἐκείνῃ, καὶ οὐκ ἔπεσε· τεθεμελίωτο γὰρ ἐπὶ τὴν πέτραν.[8]» Καὶ διὰ τῶν προκειμένων τοίνυν τοὺς πειρασμοὺς καὶ τὰς κατ' αὐτοῦ ἐπιβουλάς, ὕδατα ὀνομάζων εἰσεληλυθέναι ἕως τῆς ψυχῆς αὐτοῦ διδάσκει. Ἐπὶ μὲν οὖν τοῦ Ἰώβ, καίπερ ὄντος ἀθλητοῦ γενναίου, γέγραπται εἰρηκὼς ὁ Θεὸς τῷ πειράζοντι· «Ἰδοὺ πάντα ὅσα ὑπάρχει αὐτῷ δίδωμι ἐν τῇ χειρί σου, μόνον τὴν ψυχὴν αὐτοῦ διαφύλαξον.[9]» Ἐνταῦθα δὲ τὴν ψυχὴν αὐτὴν ὁ πειράζων πειράζει, ἥτις ποτὲ ἦν αὕτη, ἧς μέμνηται καὶ αὐτὸς λέγων· «Οὐδεὶς αἴρει τὴν ψυχήν μου ἀπ' ἐμοῦ· ἐξουσίαν ἔχω θεῖναι αὐτήν, καὶ ἐξουσίαν ἔχω λαβεῖν αὐτήν·[10]» καὶ πάλιν· «Τὴν ψυχήν μου τίθημι ὑπὲρ τῶν προβάτων μου·[11]» καί, «Νῦν ἡ ψυχή μου τετάρακται·[12]» καί, «Περίλυπός ἐστιν ἡ ψυχή μου ἕως θανάτου.[13]» Ὅθεν καὶ νῦν φησιν· «Ὅτι εἰσήλθοσαν ὕδατα ἕως ψυχῆς μου·» κατὰ δὲ τὸν Σύμμαχον· «Ὅτι ἐπῆλθεν ὕδατα ἕως ψυχῆς μου.» Εἶτα ἐπιλέγει· «Ἐνεπάγην εἰς ὕλην βυθοῦ, καὶ οὐκ ἔστιν ὑπόστασις·» κατὰ δὲ τὸν Σύμμαχον· «Ἐβαπτίσθην εἰς ἀπεράντους καταδύσεις, καὶ οὐκ

---

1. Ψαλμ. 67, 5. 2. Ψαλμ. 67, 5. 3. Ψαλμ. 67, 12. 4. Ψαλμ. 67, 21. 5. Ψαλμ. 67, 23. 6. Ψαλμ. 67, 34. 7. Ψαλμ. 123, 4-5. 8. Ματθ. 7, 25. 9. Ἰὼβ 2, 6. 10. Ἰω. 10, 18. 11. Ἰω. 10, 15. 12. Ἰω. 12, 27. 13. Ματθ. 26, 38.

ἔστι στάσις», ἡρμήνευσε· σφόδρα ἀκολούθως. Ἔνθα γὰρ οὐκ ἦν στάσις ἑτέροις, διὰ τὸ πάντας τοὺς αὐτόθι κατελθόντας ὀλίσθῳ περιπεσεῖν καὶ κατασύρεσθαι ὑπὸ τῶν τοῦ θανάτου ῥευμάτων, ἐνταῦθα καὶ αὐτὸς ἦλθον, ὁπηνίκα εἰς τὰ βάθη τῆς θαλάσσης ἐλήλυθα· ἤ, κατὰ τὸν Σύμμαχον, «Εἰσῆλθον εἰς τὰ βάθη τῶν ὑδάτων, καὶ ῥεῖθρον ἐπέκλυσέ με.» Καὶ τὰ παραπλήσια δὲ τούτοις καὶ Ἰωνᾶς ὁ προφήτης ἀπὸ τῆς κοιλίας τοῦ κήτους ἀναγέγραπται ηὐγμένος. Λέγει δ' οὖν καὶ αὐτός· «Περιεχύθη μοι ὕδωρ ἕως ψυχῆς μου· ἄβυσσος ἐκύκλωσέ με ἐσχάτη. Ἔδυ ἡ κεφαλή μου εἰς σχισμὰς ὀρέων, κατέβην εἰς γῆν, ἧς οἱ μοχλοὶ αὐτῆς κάτοχοι αἰώνιοι.[1]» Διόπερ τῷ παραδείγματι τοῦ Ἰωνᾶ κέχρηται ὁ Σωτὴρ πρὸς τοὺς αἰτήσαντας αὐτὸν σημεῖον, εἰπών· «Γενεὰ πονηρὰ καὶ μοιχαλὶς σημεῖον ἐπιζητεῖ, καὶ σημεῖον οὐ δοθήσεται αὐτῇ εἰ μὴ τὸ σημεῖον Ἰωνᾶ τοῦ προφήτου. Ὥσπερ γὰρ ἐγένετο Ἰωνᾶς ὁ προφήτης ἐν τῇ κοιλίᾳ τοῦ κήτους τρεῖς ἡμέρας καὶ τρεῖς νύκτας, οὕτως ἔσται καὶ ὁ Υἱὸς τοῦ ἀνθρώπου ἐν τῇ καρδίᾳ τῆς γῆς τρεῖς ἡμέρας καὶ τρεῖς νύκτας.[2]» Καρδίαν δὲ γῆς τὰ ἐνταῦθα λεγόμενα βάθη θαλάσσης ὀνομάζει, τὰ τοῦ ᾅδου χωρία αἰνιττόμενος. Διὸ καὶ ἐν τῷ Ἰὼβ χρηματίζων ὁ αὐτὸς Κύριος τὰ ὅμοια παρίστη λέγων· «Ἦλθες δὲ ἐπὶ πηγὴν θαλάσσης, ἐν δὲ ἴχνεσιν ἀβύσσου περιεπάτησας. Ἀνοίγονται δέ σοι φόβῳ πύλαι θανάτου, πυλωροὶ ᾅδου ἰδόντες σε ἔπτηξαν.[3]»

Ὁρᾷς γὰρ ὅπως καὶ ἐν τούτοις πηγὴν θαλάσσης ὀνομάσας, καὶ προσθεὶς τό, «Ἐν δὲ ἴχνεσιν ἀβύσσου περιεπάτησας», τὴν ἄβυσσον καὶ τὴν θάλασσαν τίνα ἐστὶ διασαφεῖ ἐπιλέγων· «Ἀνοίγονται δέ σοι φόβῳ πύλαι θανάτου, πυλωροὶ δὲ ᾅδου ἰδόντες σε ἔπτηξαν.» Οὐκοῦν καὶ ἐν τοῖς προκειμένοις τὰ βάθη τῆς θαλάσσης τὰ τοῦ θανάτου χωρία αἰνίττεται, ἔνθα μόνος καταβὰς ὁ Σωτὴρ καὶ Κύριος ἡμῶν διεξῆλθεν. Διὸ ἐν τῷ πρὸ τούτου ψαλμῷ ἐλέγετο· «Καὶ τοῦ Κυρίου Κυρίου αἱ διέξοδοι τοῦ θανάτου·[4]» καὶ πάλιν· «Εἶπε Κύριος· Ἐκ Βασὰν ἐπιστρέψω, ἐπιστρέψω ἐκ βυθῶν θαλάσσης.[5]» Ἀντὶ δὲ τοῦ· «Καὶ καταιγὶς κατεπόντισέ με», ὁ μὲν Ἀκύλας, «Καὶ ῥοῦς ἐπέκλυσέ με·» ὁ δὲ Σύμμαχος, «Καὶ ῥεῖθρον ἐπέκλυσέ με», ἡρμήνευσεν. Εἰκὸς γὰρ περὶ αὐτὸν γεγονέναι τὰς ἀντικειμένας δυνάμεις, ὅτε, ἐπιβὰς τῇ θαλάσσῃ, συνέτριβε τὰς κεφαλὰς τῶν δρακόντων ἐπὶ τοῦ ὕδατος. Διὸ καὶ ἐν τῷ πρὸ τούτου ἐλέγετο ψαλμῷ· «Καὶ τοῦ Κυρίου Κυρίου αἱ διέξοδοι τοῦ θανάτου. Πλὴν ὁ Θεὸς συνθλάσει κεφαλὰς τῶν ἐχθρῶν αὐτοῦ.[6]» Οὐ γὰρ ἂν ἄλλως διεξεληλύθει τὰς διεξόδους τοῦ θανάτου ἢ συνθλάσας τὰς κεφαλὰς τῶν αὐτόθι ἐχθρῶν αὐτοῦ. Ἐὰν δέ τις ταῦτα νομίζῃ λέγειν τὸν Δαυῒδ διὰ τὸ πολλοῖς περιπεπτωκέναι πειρασμοῖς, ἐπιστησάτω πῶς οἷόν τε ἦν τῷ Δαυῒδ ἁρμόζειν τὸ λέγειν· «Ἔδωκαν

1. Ἰων. 2, 6-7. 2. Ματθ. 12, 39-40. 3. Ἰὼβ 38, 16-17. 4. Ψαλμ. 67, 21. 5. Ψαλμ. 67, 23. 6. Ψαλμ. 67, 22.

εἰς τὸ βρῶμά μου χολήν, καὶ εἰς τὴν δίψαν μου ἐπότισάν με ὄξος·» ἢ τό, «Γενηθήτω ἡ τράπεζα αὐτῶν ἐνώπιον αὐτῶν εἰς παγίδα καὶ εἰς ἀνταποδόσεις καὶ εἰς σκάνδαλον. Σκοτισθήτωσαν οἱ ὀφθαλμοὶ αὐτῶν τοῦ μὴ βλέπειν, καὶ τὸν νῶτον αὐτῶν διὰ παντὸς σύγκαμψον.» Καὶ τὰ λοιπὰ δὲ τούτοις παραπλήσια συναγαγών τις ἑαυτῷ, εὕροι ἂν οὐδαμῶς ἁρμόζοντα τῷ τοῦ Δαυῒδ προσώπῳ. Τὴν δέ γε ἐπὶ τὸν ἡμέτερον Σωτῆρα ἑρμηνείαν πιστώσεται σφραγῖσιν ἀναμφιλέκτοις ἡ τῶν ἱερῶν Εὐαγγελίων μαρτυρία, ἀπό τε τοῦ παρατεθέντος τοῦ Ἰωνᾶ παραδείγματος, καὶ ἀπὸ τοῦ λέγεσθαι ἐν τοῖς προκειμένοις, «Ὅτι ὁ ζῆλος τοῦ οἴκου σου κατέφαγέ με·» ὅπερ αὐτολεξεὶ μεμαρτύρηται εἰς αὐτὸν πεπληρωμένον ἐν τῷ κατὰ Ἰωάννην Εὐαγγελίῳ, ἐν ᾧ γέγραπται· «Καὶ ἀνέβη ὁ Ἰησοῦς εἰς Ἱεροσόλυμα, καὶ εὗρεν ἐν τῷ ἱερῷ πρόβατα πωλοῦντας καὶ βόας καὶ περιστεράς.» Εἶθ' ὡς ἤλασε τούτους εἰπών· «Ἄρατε ταῦτα ἐντεῦθεν, μὴ ποιεῖτε τὸν οἶκον τοῦ Πατρός μου οἶκον ἐμπορίου», ἐπιλέγει ὁ εὐαγγελιστής· «Ἐμνήσθησαν οἱ μαθηταὶ αὐτοῦ, ὅτι γεγραμμένον ἐστίν· Ὁ ζῆλος τοῦ οἴκου σου κατέφαγέ με.[1]» Ἀλλὰ καὶ τό, «Ἔδωκαν εἰς βρῶμά μου χολήν, καὶ εἰς τὴν δίψαν μου ἐπότισάν με ὄξος», ἐν τοῖς μετὰ χεῖρας κείμενον, ἐκ προσώπου τοῦ Σωτῆρος ἡμῶν μεμαρτύρηται λελεγμένον, κατὰ τὸν Ἰωάννην, φήσαντα· «Μετὰ ταῦτα ἰδὼν ὁ Ἰησοῦς, ὅτι πάντα τετέλεσται ἤδη, ἵνα πληρωθῇ ἡ Γραφή, λέγει· Διψῶ. Λεκάνη ἔκειτο ὄξους μεστή· σπόγγον οὖν μεστὸν ποιήσαντες ὄξους μετὰ χολῆς, ὑσσώπῳ περιθέντες, προσήνεγκαν αὐτοῦ τῷ στόματι. Ὅτε οὖν ἔλαβεν ὁ Ἰησοῦς τὸ ὄξος μετὰ χολῆς, εἶπε· Τετέλεσται καὶ αὕτη ἡ Γραφή[2]», καὶ τὰ λοιπὰ δὲ εἰς πρόσωπον τοῦ Σωτῆρος ἡμῶν ἀναφερόμενα, σῴζει ἀναβίαστον τὴν ἑρμηνείαν.

Στίχ. δ', ε'. «Ἐκοπίασα κράζων, ἐβραγχίασεν ὁ λάρυγξ μου, ἐξέλιπον οἱ ὀφθαλμοί μου ἀπὸ τοῦ ἐλπίζειν με εἰς τὸν Θεόν μου.»

Καὶ ταῦτα ἐν τῷ κατὰ Ἰωάννην ἐπληροῦτο Εὐαγγελίῳ· ἐν ᾧ εἱστήκει ὁ Ἰησοῦς καὶ ἔκραζε λέγων· «Ἐάν τις διψᾷ, ἐρχέσθω πρός με καὶ πινέτω·[3]» αὖθις δὲ εἴρηται· «Ἰησοῦς δὲ ἔκραζε καὶ ἔλεγεν· Ὁ πιστεύων εἰς ἐμὲ οὐ πιστεύει εἰς ἐμέ, ἀλλ' εἰς τὸν πέμψαντά με. Καὶ ὁ θεωρῶν ἐμὲ θεωρεῖ τὸν πέμψαντά με. Ἐγὼ φῶς εἰς τὸν κόσμον ἐλήλυθα, ἵνα πᾶς ὁ πιστεύων εἰς ἐμὲ ἐν τῇ σκοτίᾳ μὴ μείνῃ.[4]» Καὶ ἐπὶ τοῦ Λαζάρου δὲ ἐπάρας τοὺς ὀφθαλμοὺς αὐτοῦ εἰς τὸν οὐρανὸν εἶπε· «Πάτερ, εὐχαριστῶ σοι, ὅτι ἤκουσάς μου. Ἐδὼ δὲ ᾔδειν, ὅτι πάντοτέ μου ἀκούεις. Καὶ ταῦτα εἰπών, φωνῇ μεγάλῃ ἐκραύγασε· Λάζαρε, δεῦρο ἔξω.[5]» Ἀλλὰ καὶ κατ' αὐτὸ τὸ πάθος ἱστορεῖ ὁ Ματθαῖος λέγων· «Ἀπὸ δὲ ἕκτης ὥρας σκότος ἐγένετο ἐπὶ πᾶσαν τὴν γῆν ἕως ὥρας ἐνάτης. Περὶ δὲ τὴν ἐνάτην ὥραν, ἀνεβόησεν ὁ Ἰησοῦς

---

1. Ἰω. 2, 13-17. 2. Ἰω. 19, 28. 3. Ἰω. 7, 37. 4. Ἰω. 12, 44-46. 5. Ἰω. 11, 41-43.

φωνῇ μεγάλῃ λέγων· Ἠλεί, Ἠλεί, Λαμὰ Σαβαχθανεί.[1]» Τότε μὲν οὖν συνὼν ἀνθρώποις, πάντας βοῶν παρεκάλει ἥκειν καὶ σπεύδειν ἐπὶ τὴν αὐτοῦ διδασκαλίαν· καὶ τόν τεταρταῖον δὲ νεκρὸν μετὰ μεγάλης ἀνεκαλεῖτο κραυγῆς. Ἀλλὰ καὶ περὶ τὴν ἐνάτην ὥραν τοῦ πάθους ἀνεβόα φωνῇ μεγάλῃ· καὶ μετὰ ταῦτα πάλιν· «Κράξας φωνῇ μεγάλῃ, ἀφῆκε τὸ πνεῦμα. Καὶ ἰδοὺ τὸ καταπέτασμα τοῦ ναοῦ ἐσχίσθη εἰς δύο, καὶ ἡ γῆ ἐσείσθη, καὶ αἱ πέτραι ἐρράγησαν, καὶ τὰ μνημεῖα ἀνεῴχθησαν, καὶ πολλὰ σώματα τῶν κεκοιμημένων ἁγίων ἠγέρθησαν·[2]» τὰ τοσαῦτα τῆς μεγάλης αὐτοῦ φωνῆς ἐνεργεῖν δυναμένης. Εἰ δὲ ἐπιστήσειέ τις, ὡς ἐξ ἐκείνου καὶ εἰς δεῦρο καθ' ὅλης τῆς ἀνθρώπων οἰκουμένης ἐν ταῖς ἐκκλησίαις αὐτοῦ βοᾷ, σπεύδειν ἐπὶ τὸ ζωοποιὸν αὐτοῦ πόμα παρακαλῶν, καὶ τοὺς ταῖς πρὸς θάνατον ἁμαρτίαις νενεκρωμένους ἀνακαλούμενος· τῷ τε βοωμένῳ αὐτοῦ πάθει τὴν σύμπασαν οἰκουμένην μᾶλλον ἢ τότε Σιών, ἐπείπερ «εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν, καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα αὐτῶν·[3]» εἴσεται ὅπως ἐν τοῖς προκειμένοις ἐξ αὐτοῦ προσώπου εἴρηται τό, «Ἐκοπίασα κράζων, ἐβραγχίασεν ὁ λάρυγξ μου.» Τὸ γὰρ παράμονον αὐτοῦ τῆς βοῆς διὰ τούτων σημαίνει. Οὐ γὰρ ἅπαξ ποτὲ βοήσας παρῆλθεν· ἀλλ' ἀεὶ βοᾷ καὶ κέκραγεν εἰς τὰς πάντων ψυχὰς διὰ τῶν αὐτοῦ μαθητῶν· ἀεὶ δὲ καὶ πρὸς τὸν Πατέρα βοᾷ ὑπὲρ τῶν εἰς αὐτὸν πεπιστευκότων. Διὸ ἑξῆς ἐπιλέγει· «Ἐξέλιπον οἱ ὀφθαλμοί μου ἀπὸ τοῦ ἐλπίζειν με ἐπὶ τὸν Θεόν μου.» Ἀντὶ δὲ τοῦ, «ἐξέλιπον», ὁ Ἀκύλας, «Ἐτελέσθησαν», φησίν, «οἱ ὀφθαλμοί μου περιμένοντες τὸν Θεόν.» Ἐβόα δὲ καὶ ἐκεκράγει διὰ τὸ πλῆθος τῶν ἐχθρῶν αὐτοῦ· ὃ δὴ παρίστησι λέγων· «Ἐπληθύνθησαν ὑπὲρ τὰς τρίχας τῆς κεφαλῆς μου οἱ μισοῦντές με δωρεάν.» Εἰ δὲ σῶμα αὐτοῦ τυγχάνει ἡ Ἐκκλησία αὐτοῦ, κατὰ τὸν Ἀπόστολον, ὃς ἐδίδασκε λέγων· «Ὑμεῖς δέ ἐστε σῶμα Χριστοῦ καὶ μέλη ἐκ μέρους·[4]» εἴποις ἂν τὰ μὲν ἀναγκαιότερα μέλη τοῦ σώματος, καὶ τά, ἵν' οὕτως εἴπω, αἰσθητήρια, τοὺς ἀναγκαίους εἶναι τοῦ λαοῦ· οἷον κεφαλὴν τοὺς ἡγουμένους, στόμα τοὺς διδασκάλους, καὶ τοὺς συνετοὺς ἀκροατὰς τὰ ὦτα, τοὺς ὀφθαλμοὺς τοὺς διορατικοὺς τῶν Γραφῶν, χεῖρας τοὺς πρακτικωτέρους, τούτοις τε ἀναλόγως τὰ λοιπὰ μέλη τοῦ σώματος, οἷς ἀκόλουθον εἴη νοεῖν τρίχας εἶναι τοῦ παντὸς τὰ πλήθη, καὶ τὸν περιττὸν ὄχλον φέροντας μέν τινα κόσμον ὅλῳ τῷ σώματι, μὴ μὴν ἀναγκαίαν τινὰ χρῆσιν ὁμοίαν τὰ λοιπὰ μέλη. Τῶν οὖν τοιούτων τριχῶν πολλῷ πλεῖστοι εἶεν ἂν οἱ ἀλλότριοι τῆς πίστεως, ἅτε δὴ τὴν πλατεῖαν καὶ τὴν εὐρύχωρον βαδίζοντες. Διὸ λέλεκται· «Ἐπληθύνθησαν ὑπὲρ τὰς τρίχας τῆς κεφαλῆς μου οἱ μισοῦντές με δωρεάν.» Δωρεὰν δὲ μισεῖν λέγονται οἱ οὐκ ἔχοντες αἰτίαν εἰπεῖν τοῦ μίσους,

1. Ματθ. 27, 45-46. 2. Ματθ. 27, 50-52. 3. Ψαλμ. 18, 5. 4. Α' Κορ. 12, 27.

ὡς οἱ τὸν σωτήριον λόγον διώκοντες καὶ μηδὲν καταμέμφεσθαι αὐτῷ δυνάμενοι. Ἀντὶ δὲ τοῦ, «οἱ μισοῦντές με δωρεάν», ὁ Σύμμαχος, «Οἱ μισοῦντές με», φησίν, «ἀναιτίως.» Οὗτοι οὖν μᾶλλον ἐπλεόνασαν, φησίν, ἢ αἱ τρίχες τῆς κεφαλῆς μου. Ἀλλὰ καὶ ἐκραταιώθησαν οἱ ἐχθροὶ αὐτοῦ οἱ διώκοντες αὐτόν. Ἴδοι γοῦν τις, καθ' ἕκαστον καιρὸν καθ' ὃν διώκειν συγχωροῦνται, κραταιουμένους καὶ ἐπαιρομένους, καὶ πολλὰ δυναμένους τοὺς ἐχθροὺς αὐτοῦ. Ἀδίκως δὲ αὐτὸν διώκουσιν οὗτοι, καὶ ἐμίσουν αὐτὸν δωρεάν. Μηδεμίαν γὰρ ἔχοντες ὑπόθεσιν ἔχθρας, μηδὲ αἰτίας εἰπεῖν εὐλόγους οἷοί τε δι' ἃς διώκουσιν, ὅμως ἀδίκως αὐτὸν διώκουσιν. Ὁ δὲ ὑπὲρ ὧν μὴ ἥρπασε, μηδὲ ἠδίκησε, κόλασιν ὑπέμεινεν. Εἰ γὰρ κατὰ νόμους προσήκει δίκην εἰσπράττεσθαι τοὺς ἠδικηκότας, οὔτε δὲ αὐτὸς οὔτε οἱ αὐτοῦ γνήσιοι μαθηταὶ ἥλωσάν ποτε ἐπὶ παρανομίᾳ· εἰκότως φησίν· «Ἃ οὐχ ἥρπασα τότε ἀπετίννυον.» Καὶ κατὰ τὸν καιρὸν δὲ τοῦ πάθους αὐτοῦ δωρεὰν ἔπασχε, καὶ ὑπὲρ ὧν μὴ ἠδικήκει τιμωρίαν ἐδίδου. Διὸ καὶ τότε ἔλεγεν· «Ἃ οὐχ ἥρπαζον τότε ἀπετίννυον·» ἤ, κατὰ τὸν Ἀκύλαν· «Ἃ οὐκ ἐβιασάμην τότε ἐπέστρεφον.»

Στίχ. ς'. «Ὁ Θεός, σὺ ἔγνως τὴν ἀφροσύνην μου.»

Ὥσπερ ἀνεγκλήτως ὁ θεῖος Ἀπόστολος «μωρὸν τοῦ Θεοῦ» ὠνόμασε τὸ πάθος τοῦ Σωτῆρος, καὶ ἀσθένειαν τὸν σταυρόν, εἰπών· «Ἐσταυρώθη ἐξ ἀσθενείας·[1]» καὶ πάλιν· «Ἡμεῖς δὲ κηρύσσομεν Χριστὸν ἐσταυρωμένον, Ἰουδαίοις μὲν σκάνδαλον, ἔθνεσι δὲ μωρίαν· ὅτι τὸ μωρὸν τοῦ Θεοῦ σοφώτερον τῶν ἀνθρώπων ἐστί, καὶ τὸ ἀσθενὲς τοῦ Θεοῦ ἰσχυρότερον τῶν ἀνθρώπων·[2]» οὕτω καὶ νῦν οὐκ ἂν ἁμάρτοις τὴν ἐνταῦθα λεγομένην ἀφροσύνην παραπλησίως νοήσας τῇ ὀνομασθείσῃ παρὰ τῷ Ἀποστόλῳ μωρίᾳ. Ἀλλὰ καὶ ὥσπερ ἔγνω Κύριος τοὺς ὄντας αὐτοῦ, ἐπείπερ ἐξαίρετοί τινές εἰσιν οἱ τῆς τοῦ Θεοῦ γνώσεως κατηξιωμένοι· οὕτως καὶ ἡ ἐνταῦθα ἀφροσύνη, ἀξία τῆς γνώσεως τυγχάνουσα τοῦ Θεοῦ, μέγαν τινὰ καὶ βαθὺν εἶχε λόγον. Οὐ γὰρ παρὰ τὴν σὴν βουλήν, οὐδὲ παρὰ τὴν σὴν γνῶσιν ἐγένετο, φησίν, ἡ ἀφροσύνη μου. Ποία δὲ αὕτη εἰ μὴ ἡ νομιζομένη τοῖς πολλοῖς; Ὡς γὰρ ἡ μωρία Ἕλλησιν ἐνομίζετο μωρία, κατὰ βαθεῖς δὲ λόγους Θεοῦ συνετελεῖτο· καὶ ἦν τὸ παρ' ἀνθρώποις μωρὸν νομιζόμενον σοφώτερον τῶν ἀνθρώπων· ηὐδόκησε γὰρ ὁ Θεὸς διὰ τῆς μωρίας τοῦ κηρύγματος σῶσαι τοὺς πιστεύοντας· οὕτως καὶ ἡ ἀφροσύνη, ἣν δι' ἡμᾶς ὑπῆλθε κενώσας ἑαυτὸν καὶ μορφὴν δούλου λαβὼν καὶ μέχρις θανάτου παρελθών, σοφωτέρα τῆς τῶν ἀνθρώπων σοφίας ἦν. Ὁ λόγος γὰρ ὁ τοῦ σταυροῦ τοῖς μὲν ἀπολλυμένοις, φησὶν ὁ Ἀπόστολος, μωρία ἐστίν, εἰ δὲ μωρία, καὶ ἀφροσύνη, τοῖς δὲ σῳζομένοις ἡμῖν δύναμις Θεοῦ ἐστι. Ταύτην οὖν τὴν ἀφροσύνην καὶ τὴν μωρίαν οὐκ ἠγνόησεν ὁ Θεός· αὐτοῦ γὰρ κρίσει γεγένηται. Διό φησιν·

1. Β' Κορ. 13, 4. 2. Α' Κορ. 1, 23-25.

«Ὁ Θεός, σὺ ἔγνως τὴν ἀφροσύνην μου.» Ἀπήλλαξε δὲ ἡμᾶς πραγμάτων ὁ Σύμμαχος, ἑρμηνεύσας καὶ εἰπών· «Ὁ Θεός, σὺ οἶδας τὴν ἀπειρίαν μου·» ἀπειρίαν δηλαδὴ τὴν ἐν ἀνθρώποις. Τῆς γὰρ ἐν ἀνθρώποις κακίας ἀλλότριος ὤν, τὴν καλὴν ταύτην ἀπειρίαν ἀνατίθησι τῇ γνώσει τοῦ ἑαυτοῦ Πατρός. Καὶ ἄλλη δὲ Γραφὴ θεία ἀφροσύνης μέμνηται τοῦ Σωτῆρος συμφώνως τῇ προκειμένῃ. Γέγραπται γοῦν ἐν Παροιμίαις· «Τάδε λέγει ἀνὴρ τοῖς πιστεύουσι Θεῷ, καὶ παύομαι. Ἀφρονέστατος γάρ εἰμι πάντων ἀνθρώπων, καὶ φρόνησις ἀνθρώπου οὐκ ἔστιν ἐν ἐμοί. Θεὸς δεδίδαχέ με σοφίαν, καὶ γνῶσιν ἁγίων ἔγνωκα.[1]» Καὶ ἐν τούτοις γὰρ πάντων μὲν ἀνθρώπων ἀφρονέστατον ἑαυτὸν εἶναι λέγει, καὶ φρόνησιν ἀνθρώπου μὴ ἐσχηκέναι· ὅμως δὲ παρ' αὐτοῦ τοῦ Θεοῦ δεδιδάχθαι τὴν πνευματικὴν σοφίαν, καὶ τὴν γνῶσιν τῶν ἁγίων ἐγνωκέναι. Ἀλλὰ καὶ «αἱ πλημμέλειαί μου», φησίν, «ἀπὸ σοῦ οὐκ ἀπεκρύβησαν.» Εἰ γὰρ ἦσάν τινες ἐν ἐμοὶ πλημμέλειαι, δι' ἃς τῷ σταυρῷ με προσετίμησαν, τάχα που σὺ πρῶτος ἔγνως, ὃν λανθάνειν οὐδὲν οἷόν τε· ἀλλ' οὐδένες [;] ἦσαν. Διὸ οἱ μισοῦντές με δωρεὰν ἐμίσουν, καὶ οἱ ἐκδιώκοντές με ἀδίκως ἃ οὐχ ἥρπασα ἐξέπραττον. Ἐπεὶ δὲ ψευδομάρτυρας καὶ συκοφάντας ἔστησαν ἐν τῇ κατ' ἐμοῦ κατηγορίᾳ, σὺ οἶδας, φησίν, ὁ Θεός, εἴ τινά μοι πεπλημμέληται. Οὐ γὰρ ἂν ἐκρύβησάν σε, εἴ τινες ἦσαν ἐν ἐμοὶ πλημμέλειαι. Καὶ ἄλλως, εἰ τὰς ἡμετέρας ἀνεμάξατο ἁμαρτίας, καὶ γέγονεν ὑπὲρ ἡμῶν κατάρα, ὡς λέγεσθαι περὶ αὐτοῦ· «Οὗτος τὰς ἁμαρτίας ἡμῶν φέρει, καὶ περὶ ἡμῶν ὀδυνᾶται. Καὶ αὐτὸς ἐτραυματίσθη διὰ τὰς ἁμαρτίας ἡμῶν, καὶ μεμαλάκισται διὰ τὰς ἀνομίας ἡμῶν. Καὶ Κύριος παρέδωκεν αὐτὸν ταῖς ἁμαρτίαις ἡμῶν.[2]» Καὶ ταύτας, φησί, τὰς πλημμελείας ὑπὲρ ἀνθρώπων ἀνεδεξάμην· σὺ ἔγνως, ὁ Θεός, ἐπεὶ μὴ ἀπεκρύβησάν σε. Οὐ γὰρ δίχα τῆς σῆς βουλήσεως ταύτας ἀνεδεξάμην· διὸ καὶ ἀξίας τῆς σαυτοῦ γνώσεως αὐτὰς ἐποιήσω.

Στίχ. ζ'. «Μὴ αἰσχυνθείησαν ἐπ' ἐμὲ οἱ ὑπομένοντές σε, Κύριε, Κύριε τῶν δυνάμεων.»

Ἐπειδὴ τὴν ἐμὴν διδασκαλίαν οἱ σοφοὶ τοῦ αἰῶνος τούτου διαβάλλουσιν, ἐλαύνουσί τε αὐτὴν ὡς μεστὴν ἀφροσύνης καὶ μωρίας διὰ τὸν ἐπονείδιστον σταυρόν, ἀντιβολῶ καὶ δέομαι, τοὺς εἰς ἐμὲ πιστεύοντας φυλάττεσθαι ὑπὸ σοῦ ἀδιατρέπτους, ὡς μήποτε καταισχυνθῆναι. Διὸ σὺ αὐτός, ὦ Κύριε, Κύριε τῶν δυνάμεων, τοὺς πολεμουμένους διὰ τὴν σὴν γνῶσιν, ἣν ὑπ' ἐμοῦ παρειλήφασι, πάντοτε ὑπομένοντας τὰ δεινὰ καὶ μέχρι θανάτου καρτεροῦντας, μὴ ἐγκαταλείπῃς, μηδὲ ἐντραπείησαν θαρσήσαντες ἐπ' ἐμοί, οἱ σὲ τὸν Θεὸν τοῦ Ἰσραὴλ ἐκζητοῦντες. Εἰ γὰρ καὶ τὰ μάλιστα ἦσάν ποτε ἀγνοοῦντές σε διὰ τὸ δαίμοσι πονηροῖς δεδουλῶσθαι, ἀλλὰ νῦν, ἐπιγνόντες σε, πάντων μὲν λήθην ἐποιήσαντο, σὲ δὲ μόνον διατελοῦσι ζητοῦντες. Διὸ ἱκετεύω μὴ

1. Παρμ. 24, 22. 2. Ἡσ. 53, 4-6.

καταισχυνθῆναι αὐτούς, μηδὲ «ἀσχημονῆσαι·» οὕτω γὰρ ἡρμήνευσεν ὁ Σύμμαχος εἰπών· «Μὴ καταισχυνθείησαν ἐπ' ἐμοὶ οἱ προσδοκῶντές σε, Κύριε Θεὲ τῶν δυνάμεων· μὴ ἀσχημονήσαιεν ἐπ' ἐμὲ οἱ ἐκζητοῦντές σε, Θεὲ τοῦ Ἰσραήλ.» Ἐπιτήρει δὲ ὅπως εἴρηται τό, «Κύριε, Κύριε τῶν δυνάμεων», δευτεροῦντος τοῦ λόγου τὴν κυριολογίαν καὶ ἐπὶ τὸν τῶν ὅλων Θεὸν ἀναπέμποντος.

Στίχ. η', θ'. «Ὅτι ἕνεκά σου ὑπήνεγκα ὀνειδισμόν, ἐκάλυψεν ἐντροπὴ τὸ πρόσωπόν μου.»

Οἱ μὲν λοιποί, φησίν, ἄνθρωποι δι' οἰκείας ἁμαρτίας ἐλέγχοις καὶ ὀνειδισμοῖς ὑποβάλλονται· ἐγὼ δὲ ὁ μὴ γνοὺς ἁμαρτίαν ἕνεκά σου ὑπήνεγκα ὀνειδισμόν· ἐπειδήπερ σὺ αὐτὸς ὁ φιλάνθρωπος Θεὸς ὑπὲρ τοῦ τῶν ἀνθρώπων γένους ἁμαρτίαν με ἐποίησας, ὅπως οἱ πιστεύοντες εἰς ἐμὲ γένωνται δικαιοσύνη. Ἀλλὰ καὶ «ἕνεκά σου ὑπήνεγκα ὀνειδισμόν», διὰ τὴν σὴν βουλὴν κενώσας ἐμαυτὸν καὶ μέχρι θανάτου ταπεινώσας, καθ' ὃν καιρὸν οἱ παραπορευόμενοι ἐβλασφήμουν κινοῦντες τὰς κεφαλὰς αὐτῶν καὶ λέγοντες· «Οὐὰ ὁ καταλύων τὸν ναόν, καὶ ἐν τρισὶν ἡμέραις οἰκοδομῶν, σῶσον σεαυτόν. Εἰ Υἱὸς εἶ τοῦ Θεοῦ, κατάβηθι ἀπὸ τοῦ σταυροῦ. Ὁμοίως δὲ καὶ οἱ ἀρχιερεῖς ἐμπαίζοντες μετὰ τῶν ἱερέων καὶ Γραμματέων καὶ Φαρισαίων ἔλεγον· Ἄλλους ἔσωσεν, ἑαυτὸν οὐ δύναται σῶσαι. Εἰ βασιλεὺς Ἰσραήλ ἐστι, καταβάτω νῦν ἀπὸ τοῦ σταυροῦ, καὶ πιστεύσομεν αὐτῷ. Πέποιθεν ἐπὶ τὸν Θεόν· ῥυσάσθω αὐτόν, εἰ θέλει αὐτόν. Εἶπε γάρ, ὅτι Θεοῦ Υἱός εἰμι.[1]» Ταῦτα δὴ οὖν θεσπίζων ἐπὶ τοῦ παρόντος, φησίν· «Ὅτι ἕνεκά σου ὑπήνεγκα ὀνειδισμόν, ἐκάλυψεν ἐντροπὴ τὸ πρόσωπόν μου.» Οὐ γὰρ δι' ἁμαρτίας ἐμάς, οὐδὲ διὰ παρανόμους πράξεις, ἀλλ', «ἕνεκά σου» καὶ τὸν προλεχθέντα «ὀνειδισμὸν ὑπέμεινα, καὶ τὸ πρόσωπόν μου ἐκάλυψεν ἐντροπή·» ἤ, κατὰ τὸν Σύμμαχον, «Ἐκάλυψεν ἀσχημόνησις τὸ πρόσωπον αὐτοῦ.» Καὶ ταῦτα πάντα ὑπέμεινα, φησίν, ἕνεκά σου, τουτέστιν ἕνεκα τοῦ σοῦ θελήματος. Ἀλλὰ καὶ «ἀπηλλοτριωμένος ἐγενήθην τοῖς ἀδελφοῖς μου, καὶ ξένος τοῖς υἱοῖς τῆς μητρός μου.» Δύο δὲ τάγματα ἐν τούτοις παρίστησιν· ἓν μὲν τὸ τῶν ἀληθῶς ἀδελφῶν αὐτοῦ, οἷς ἐγενήθη ἀπηλλοτριωμένος· ἕτερον δὲ τὸ τῶν υἱῶν τῆς μητρὸς αὐτοῦ, οὐ μὴν ἀδελφῶν αὐτοῦ, οἷς ἐγενήθη ξένος. Καὶ μὴν ἐχρῆν υἱοὺς μητρὸς αὐτοῦ, ὄντας ἀδελφούς, καὶ αὐτοὺς ὁμοίως τοῖς προτέροις χρηματίζειν. Ἀλλ' οὐκ ὠνόμασε τοὺς υἱοὺς τῆς μητρὸς ἀδελφούς, ὡς ἑτέρους ὄντας δηλαδὴ παρὰ τὸ πρῶτον τάγμα τῶν ὀνομασθέντων ἀδελφῶν αὐτοῦ. Εἰς οὖν ἀδελφοὺς μὲν αὐτοῦ γεγονέναι τοὺς αὐτοῦ μαθητάς, περὶ ὧν καὶ ἐν ἑτέρᾳ φησίν· «Ἀπαγγελῶ τὸ ὄνομά σου τοῖς ἀδελφοῖς μου, καὶ ἐν μέσῳ Ἐκκλησίας ὑμνήσω σε.[2]» Καὶ ἐν τῷ Εὐαγγελίῳ τῇ Μαρίᾳ φανεὶς μετὰ τὴν ἐκ νεκρῶν ἀνάστασιν ἔλεγε· «Πορεύου πρὸς τοὺς ἀδελφούς

1. Ματθ. 27, 40-43. 2. Ψαλμ. 21, 23.

μου, καὶ εἰπὲ αὐτοῖς· Ἀναβαίνω πρὸς τὸν Πατέρα μου καὶ Πατέρα ὑμῶν, καὶ Θεόν μου καὶ Θεὸν ὑμῶν.[1]» Τούτοις οὖν τοῖς ἀδελφοῖς αὐτοῦ ἀπηλλοτριωμένος ἐγενήθη κατὰ καιρὸν τοῦ δηλουμένου πάθους, ὅτε πάντες οἱ μαθηταὶ αὐτοῦ ἀφέντες αὐτὸν ἔφευγον, αὐτός τε ὁ κορυφαῖος τῶν ἀποστόλων Πέτρος ἠρνήσατο αὐτὸν τρίτον. Τούτοις ξένος καὶ ἀπηλλοτριωμένος ἐγενήθη· τοῖς δὲ υἱοῖς τῆς μητρὸς αὐτοῦ, οὐ μὴν καὶ ἀδελφοῖς οὖσιν αὐτοῦ, ξένος γέγονε. Μέμνηται δὲ τὸ Εὐαγγέλιον ἀδελφῶν αὐτοῦ καὶ μητρός, ὅτε, ἐλθὼν εἰς τὴν πατρίδα αὐτοῦ, ἐδίδασκεν ἐν τῇ συναγωγῇ, ὡς ἐκπλήσσεσθαι αὐτοὺς καὶ λέγειν· «Πόθεν τούτῳ ἡ σοφία αὕτη; Οὐχ οὗτός ἐστιν ὁ τοῦ τέκτονος υἱός; Οὐχ ἡ μήτηρ αὐτοῦ καὶ οἱ ἀδελφοὶ αὐτοῦ καὶ αἱ ἀδελφαὶ αὐτοῦ πᾶσαι πρὸς ἡμᾶς εἰσι; Πόθεν τούτῳ ταῦτα πάντα;[2]» Ἐὰν μὲν οὖν τοὺς ἐν τῷ μετὰ χεῖρας λεγομένους υἱοὺς μητρὸς αὐτοῦ τούτους εἶναι ἐκλάβοιμεν, ἀνάγκη τὴν ἁγίαν Παρθένον μητέρα φάναι γεγονέναι τῶν λοιπῶν ἀδελφῶν αὐτοῦ. Ἀλλ' ἐπιφαίνεται Ἰάκωβος ὁ χρηματίσας αὐτοῦ ἀδελφὸς οὐκ ἀπεξενωμένος αὐτοῦ γεγονώς, οὐδὲ ἀλλότριος τῆς εἰς αὐτὸν πίστεως, εἷς δὲ τῶν σφόδρα γνησίων αὐτοῦ μαθητῶν· ὡς καὶ τὸν θρόνον ἀναδέξασθαι πρῶτον τῆς ἐν Ἱεροσολύμοις Ἐκκλησίας. Καὶ οἱ λοιποὶ δὲ αὐτοῦ ἀδελφοί, εἰ καὶ τὰ μάλιστα κατ' ἀρχὰς οὐκ ἐπίστευον εἰς αὐτόν, ἀλλὰ μετὰ ταῦτα δῆλοί εἰσι πιστεύσαντες. Ἱστορεῖ δ' οὖν τὸ Εὐαγγέλιον, ὡς ἄρα ἡ μήτηρ αὐτοῦ καὶ οἱ ἀδελφοὶ αὐτοῦ εἱστήκεισαν ἔξω ζητοῦντες λαλῆσαι αὐτῷ.[3] Καὶ ἐν ταῖς Πράξεσι δὲ τῶν ἀποστόλων λέλεκται, ὡς ἄρα ἦσαν οἱ ἀπόστολοι κοινῇ πάντες προσκαρτεροῦντες τῇ προσευχῇ σὺν Μαριὰμ τῇ μητρὶ αὐτοῦ καὶ τοῖς ἀδελφοῖς αὐτοῦ.[4] Πῶς οὖν δύναται τούτοις ξένος εἶναι νομίζεσθαι; Ὥστε μὴ χώραν ἔχειν περὶ τούτων λέγεσθαι τό, «Ἀπηλλοτριωμένος ἐγενήθην τοῖς ἀδελφοῖς μου, καὶ ξένος τοῖς υἱοῖς τῆς μητρός μου.» Οὐ γὰρ ἦν τούτων ξένος, ἀλλὰ καὶ ἄγαν τίμιος· ὡς μηκέτι τοὺς προλεχθέντας αὐτοῦ ἀδελφοὺς υἱοὺς εἶναι τῆς Μαρίας ἡγεῖσθαι, ἕτεροι δ' ἂν εἶεν παρὰ τούτους οἱ διὰ τοῦ ψαλμοῦ λεγόμενοι υἱοὶ τῆς μητρὸς αὐτοῦ, οἷς ξένος ἐγενήθη. Νοήσεις δὲ μητέρα μὲν τὴν τῶν Ἰουδαίων Συναγωγὴν καὶ πᾶσαν τὴν κατὰ σάρκα συγγένειαν τῶν ἐκ περιτομῆς· υἱοὺς δὲ τῆς τοιαύτης μητρὸς τοὺς ἀρνησαμένους αὐτόν, καὶ εἰρηκότας· «Τοῦτον δὲ οὐκ οἴδαμεν πόθεν ἐστίν·[5]» Διὸ ἔλεγεν αὐτοῖς, ἐπειδὴ ξένον αὐτὸν ἐνόμιζον· «Διὰ τί τὴν λαλιὰν τὴν ἐμὴν οὐ γινώσκετε; ὅτι οὐ δύνασθε ἀκούειν τὸν λόγον τὸν ἐμόν.[6]» Ξένον δὲ αὐτὸν πάλιν ἡγοῦντο λέγοντες· «Οὐ καλῶς ἡμεῖς λέγομεν ὅτι Σαμαρείτης εἶ σύ, καὶ δαιμόνιον ἔχεις;[7]» Διὸ ἔλεγε πρὸς αὐτούς· «Ἐγὼ ἐλήλυθα ἐν τῷ ὀνόματι τοῦ Πατρός μου, καὶ οὐ λαμβάνετέ με· ἐὰν ἄλλος ἔλθῃ ἐν τῷ ὀνόματι τῷ ἰδίῳ, ἐκεῖνον λήψεσθε.[8]»

1. Ἰω. 20, 17. 2. Ματθ. 13, 54-56. 3. Ματθ. 12, 47. 4. Πράξ. 1, 14. 5. Ἰω. 9, 29. 6. Ἰω. 8, 43. 7. Ἰω. 8, 48. 8. Ἰω. 5, 43.

Οὕτω τοίνυν ξένος καὶ ἀλλότριος γέγονε τοῖς υἱοῖς τῆς μητρὸς αὐτοῦ. Ταῦτα δὲ πάντα ὑπέμεινε διὰ τὴν ἐπιλεγομένην αἰτίαν, ἣν ἀναγκαίως παρίστησι λέγων·

Στίχ. ι'-ιγ'. «Ὅτι ὁ ζῆλος τοῦ οἴκου σου κατέφαγέ με, καὶ οἱ ὀνειδισμοὶ τῶν ὀνειδιζόντων σε ἐπέπεσαν ἐπ' ἐμέ.»

Ἐπειδὴ γάρ, πολλῇ παρρησίᾳ χρώμενος, τοὺς τὸν οἶκον τοῦ Πατρὸς αὐτοῦ οἶκον ἐμπορίου καὶ σπήλαιον λῃστῶν ποιοῦντας ἤλεγχέ τε καὶ ἤλαυνε, τούτου χάριν ἐπεβούλευον αὐτῷ· ὃ δὴ παρίστησιν ὁ εὐαγγελιστὴς εἰπών· «Καὶ ἦν ἐγγὺς τὸ Πάσχα τῶν Ἰουδαίων, καὶ ἀνέβη ὁ Ἰησοῦς εἰς Ἱεροσόλυμα· καὶ εὗρεν ἐν τῷ ἱερῷ πωλοῦντας πρόβατα καὶ βόας, καὶ τῶν κολλυβιστῶν ἐξέχεε τὰ κέρματα καὶ τὰς τραπέζας. Καὶ τοῖς τὰς περιστερὰς πωλοῦσιν εἶπεν· Ἄρατε ταῦτα ἐντεῦθεν, καὶ μὴ ποιεῖτε τὸν οἶκον τοῦ Πατρός μου οἶκον ἐμπορίου·[1]» ἐπιλέγει· «Ἐμνήσθησαν οἱ μαθηταὶ αὐτοῦ, ὅτι γεγραμμένον ἐστίν· Ὁ ζῆλος τοῦ οἴκου σου κατέφαγέ με.[2]» Ἀλλὰ καὶ τοὺς ὀνειδισμοὺς τῶν ὀνειδιζόντων τὸν Θεὸν εἰς ἑαυτὸν ἀναλαμβάνων, ἔκδικος ἐγένετο τούτων· διὸ ἔλεγε· «Καὶ οἱ ὀνειδισμοὶ τῶν ὀνειδιζόντων σε ἐπέπεσαν ἐπ' ἐμέ.» Οὐ γὰρ φέρων τοὺς διὰ τῶν οἰκείων ἔργων ὄνειδος προστρίβοντας τῷ τῆς θεοσεβείας νόμῳ, τοὺς ἐλέγχους ἐποιεῖτο κατὰ τῶν ἀρχόντων τοῦ ἔθνους. Διὸ τοῖς ὄχλοις καὶ τοῖς μαθηταῖς αὐτοῦ παρῄνει λέγων· «Ἐπὶ τῆς καθέδρας Μωϋσέως ἐκάθισαν οἱ Γραμματεῖς καὶ οἱ Φαρισαῖοι· πάντα οὖν ὅσα ἂν εἴπωσιν ὑμῖν ποιήσατε καὶ τηρεῖτε· κατὰ δὲ τὰ ἔργα αὐτῶν μὴ ποιεῖτε. Λέγουσι γὰρ καὶ οὐ ποιοῦσιν.[3]» Εἶθ' ἑξῆς ἀπελέγχων αὐτοὺς εἰς αὐτῶν πρόσωπον ἔλεγεν· «Οὐαὶ ὑμῖν, Γραμματεῖς καὶ Φαρισαῖοι ὑποκριταί, ὅτι κλείετε τὴν βασιλείαν τῶν οὐρανῶν ἔμπροσθεν τῶν ἀνθρώπων·[4]» καὶ πάλιν· «Οὐαὶ ὑμῖν, γραμματεῖς καὶ Φαρισαῖοι, ὅτι παρομοιάζετε τάφοις κεκονιαμένοις.[5]» Τῶν γοῦν τοιούτων ἐλέγχων ἕνεκα τὴν ἐπιβουλὴν αὐτῷ συνεσκευάσαντο. Διόπερ ἐνταῦθά φησιν· «Ὁ ζῆλος τοῦ οἴκου σου κατέφαγέ με, καὶ οἱ ὀνειδισμοὶ τῶν ὀνειδιζόντων σε ἐπέπεσαν ἐπ' ἐμέ. Καὶ συνεκάλυψα ἐν νηστείᾳ τὴν ψυχήν μου, καὶ ἐγενήθη εἰς ὀνειδισμοὺς ἐμοί.» Ὅτε μέν, φησίν, ἑώρων τὸν σὸν οἶκον πάσης πληρούμενον ἀνομίας, καὶ ποτὲ μὲν γιγνόμενον οἶκον ἐμπορίου, ποτὲ δὲ σπήλαιον λῃστῶν, πυρούμενος ὑπὸ θείου ζήλου, ἤλαυνον τοὺς ἔνδον παρανομοῦντας· ἀλλὰ καὶ ὅτε ταῖς ἑαυτῶν ἀθεμίτοις πράξεσιν ὄνειδος περιῆπτόν σοι τῷ Θεῷ, οὗ τὴν θεοσέβειαν ἐπηγγέλλοντο, πάλιν εἰς ἑαυτὸν ἀναλαμβάνων τοὺς τοιούτους ὀνειδισμούς, ἠναγκαζόμην παρρησίᾳ χρῆσθαι, καὶ τοὺς ἐλέγχους αὐτοῖς θεραπευτικῶς προσφέρειν· ὅτε δὲ ἑώρων ἀναισθήτως αὐτοὺς ἔχοντας, καὶ μὴ ἐπιστρεφομένους τοὺς ἐμοὺς ἐλέγχους, ἀποκλαιόμενος αὐτῶν τὴν

1. Ἰω. 2, 13-16. 2. Ἰω. 2, 17. 3. Ματθ. 23, 2-3. 4. Ματθ. 23, 14. 5. Ματθ. 23, 27.

ἀπώλειαν, ἐνήστευον καὶ κατεπόνουν ἐμαυτὸν ὑπὲρ αὐτῶν. Οἱ δὲ καὶ οὕτως ὠνείδιζόν μοι διασύροντες καὶ χλευάζοντες τὴν ἐμὴν νηστείαν. Βουλόμενος δὲ αὐτοῖς ὑπογραμμὸν μετανοίας δεικνύναι, οὐ μόνον νηστείαις ἐμαυτὸν κατεπόνουν, ἀλλὰ καὶ τὸ ἔνδυμά μου σάκκον ἐποιούμην, κολάζων καὶ τιμωρούμενος τὴν ἐμαυτοῦ σάρκα, αὐτῷ τε ἔργῳ τρόπον ἐξομολογήσεως καὶ τῶν προτέρων ἁμαρτημάτων καθάρσεως ἐπιδεικνὺς αὐτοῖς. Οἱ δὲ καὶ ταῦτα γελῶντες ἀντὶ παραβολῆς με εἶχον, συνερχόμενοι μὲν ἅμα καὶ πρὸς ταῖς ἑαυτῶν πύλαις καθεζόμενοι, πᾶσαν δὲ τὴν ἑαυτῶν ὁμιλίαν περὶ ἐμοῦ ποιούμενοι, καὶ μονονουχὶ ἀδολεσχοῦντες πρὸς ἀλλήλους ἐν τῇ κατ' ἐμοῦ χλεύῃ. Οὐκ ἀπήρκει δὲ αὐτοῖς διασύρειν καὶ χλευάζειν τὰς ἐμὰς ὑπὲρ αὐτῶν ἀσκήσεις, ἀλλὰ καὶ συμπόσια συγκροτοῦντες, ᾠδὰς καὶ ᾄσματα εἰς ἐμὲ διεξῄεσαν οἰνοφλυγοῦντες καὶ μεθυσκόμενοι ἐν ταῖς κατ' ἐμοῦ παροινίαις. Ἐφ' οἷς ἔτι μᾶλλον ἐγὼ συνεκάλυπτον ἐν νηστείᾳ τὴν ψυχήν μου, καὶ ἐτιθέμην τὸ ἔνδυμά μου σάκκον, τὴν αὐτῶν ἀπώλειαν ἀποκλαιόμενος. Διὸ κατὰ τὸν Ἀκύλαν εἴρηται· «Καὶ ἔκλαυσα ἐν νηστείᾳ ψυχήν μου, καὶ ἐγενήθη εἰς ὀνειδισμοὺς ἐμοί. Καὶ ἔδωκεν ἔνδυσίν μου σάκκον, καὶ ἐγενόμην αὐτοῖς εἰς παραβολήν. Ὡμίλουν ἐν ἐμοὶ καθήμενοι πύλην· καὶ ψαλμοὶ πινόντων μέθυσμα.» Κατὰ δὲ τὸν Σύμμαχον· «Καὶ κλάοντι μετὰ νηστείας τὴν ψυχήν μου ἐγένετο εἰς ὄνειδος ἐμοί. Καὶ τάσσων τὸ ἔνδυμά μου σάκκον, καὶ ἐγενόμην αὐτοῖς εἰς παραβολήν. Διηγοῦντό με καθήμενοι ἐν πύλῃ, καὶ ἔψαλλόν με οἱ πίνοντες μέθυσμα.» Ἀλλὰ τούτοις συνεξετάσαι ἀναγκαῖον, πῶς εἴρηται ὑπὸ τοῦ Σωτῆρος ἐν Εὐαγγελίοις· «Ἦλθεν Ἰωάννης μήτε ἐσθίων, μήτε πίνων, καὶ λέγουσιν· Δαιμόνιον ἔχει. Ἦλθεν ὁ Υἱὸς τοῦ ἀνθρώπου ἐσθίων καὶ πίνων, καὶ λέγουσιν· Ἰδοὺ ἄνθρωπος φάγος καὶ οἰνοπότης, τελωνῶν φίλος καὶ ἁμαρτωλῶν.[1]» Ἀλλ' ἐρεῖς ταῦτα κατ' ἀρχὰς τοῦ Εὐαγγελίου γίγνεσθαι, ὅτε διὰ τὸ μὴ νηστεύειν τοὺς μαθητὰς αὐτοῦ, τὴν ὑπὲρ αὐτῶν ἀπολογίαν ποιούμενος, ἔφασκεν· «Οὐ δύνανται οἱ υἱοὶ τοῦ νυμφῶνος νηστεύειν, ἐφ' ὅσον μετ' αὐτῶν ἐστιν ὁ νυμφίος· ἀρθήσεται ἀπ' αὐτῶν ὁ νυμφίος, καὶ τότε νηστεύσουσιν.[2]» Ὁρᾷς γάρ, ὡς καὶ αὐτὸς ἠπίστατο τὸν τῆς νηστείας καιρόν; Εἰ τοίνυν τὸν καιρὸν τοῦ πάθους αὐτοῦ συνεξετάσειας τοῖς μετὰ χεῖρας προκειμένοις, εὕροις ἂν ὅπως ταῦτα ἐπληροῦτο, ὅτε λοιπὸν αἰρομένου τοῦ νυμφίου καὶ οἱ μαθηταὶ αὐτοῦ ἐνήστευον. Ἐφ' οἷς οὐκ ἀπεικὸς ἦν καὶ αὐτὸν προορῶντα, ὡς μικρὸν ὕστερον ἀπηλλοτριωμένος ἔσται αὐτοῖς, καὶ ὡς τὸ πᾶν ἔθνος τοῦ ἐκ περιτομῆς λαοῦ τὸ αἷμα αὐτοῦ ἐξαιτήσεται, καὶ ὡς Πέτρος αὐτὸν ἀρνήσεται, καὶ τοιαῦτα κατ' αὐτοῦ τολμηθήσεται, ὥστε σκότος διαλαβεῖν τὸ περιέχον, ἥλιόν τε αὐτὸν σκοτισθῆναι, καὶ τὸ καταπέτασμα τοῦ νεὼ σχισθῆναι, ἀνατραπῆναί τε πάντα τὰ πάλαι τοῦ Ἰσραὴλ σεμνά, λέγω δὲ

1. Ματθ. 11, 18-19. 2. Ματθ. 9, 15.

τὴν βασιλείαν αὐτῶν καὶ τὴν ἱερωσύνην καὶ τὰ Ἅγια τῶν ἁγίων· πάντων τε τούτων ἀποβολὴν καὶ ἀνατροπὴν ἀθρόαν γενέσθαι· τούτων ἕνεκα οὐκ ἀπεικὸς ἦν αὐτὸν καταπονεῖν ἐν νηστείᾳ τὴν ψυχὴν αὐτοῦ, καὶ τιθέναι τὸ ἔνδυμα αὐτοῦ σάκκον ἐφ' ᾧ καὶ ἐχλεύαζον αὐτὸν οἱ ἀσεβεῖς, ἀντὶ παραβολῆς ταῖς κατ' αὐτοῦ διηγήσεσιν ἀδολεσχοῦντες· καὶ τὸν μὲν ἄλλον καιρὸν τῆς ἡμέρας, ἐν ταῖς πύλαις συναγόμενοι, τοὺς δι' αὐτῶν διερχομένους ταῖς κατ' αὐτοῦ διαβολαῖς ἐπλάνων· ἐν δὲ τῷ καιρῷ τῆς τροφῆς, οἴνῳ καὶ μέθῃ σχολάζοντες, ᾠδὰς συνετίθεσαν κατ' αὐτοῦ. Διὸ συνεκάλυπτεν ἐν νηστείᾳ τὴν ψυχὴν αὐτοῦ, καὶ ἐτίθετο τὸ ἔνδυμα αὐτοῦ σάκκον, ὑπὲρ τῆς ἑτέρων σωτηρίας, δι' ὑπερβολὴν φιλανθρωπίας ταῦτα πράττων.

Στίχ. ιδ'. «Κἀγὼ δὲ ἡ προσευχή μου πρὸς σέ, Κύριε, καιρὸς εὐδοκίας, ὁ Θεός· ἐν τῷ πλήθει τοῦ ἐλέους σου ἐπάκουσόν μου.»

Οἱ μὲν ἐχλεύαζον, φησί, καὶ διέσυρον τὰς ἐμὰς κακώσεις· ἐγὼ δὲ προσεκαρτέρουν, τὴν ἐμὴν προσευχήν σοι τῷ Κυρίῳ προσαναφέρων. Τήρει δέ, ὡς καὶ ἐνταῦθα τὸν Κύριον διὰ τοῦ τετραγράμμου ἡ Ἑβραϊκὴ ἐπισημαίνεται γραφή. Εὐχόμενος δὲ πρὸς σὲ τὸν Κύριον ταῦτα ἔλεγον· «Καιρὸς εὐδοκίας, ὁ Θεός·» ἤ, κατὰ τὸν Σύμμαχον· «καιρὸς διαλλαγῆς. Ὁ Θεός, ἐν τῷ πλήθει τοῦ ἐλέους σου ἐπάκουσόν μου.» Εἰ γὰρ καί ποτε ἄλλοτε ἡ σὴ τοῦ Πατρὸς ἐμαρτύρησε φωνὴ λέγουσα· «Οὗτός ἐστιν ὁ Υἱός μου ὁ ἀγαπητός, ἐν ᾧ ηὐδόκησα.[1]» Ἀλλὰ νῦν μάλιστα καιρός ἐστι τῆς εὐδοκίας· διὸ ἱκετεύω ἐν τῷ πλήθει τοῦ ἐλέους σου ἐπακοῦσαί μου, καὶ ἐν ἀληθείᾳ τῆς σωτηρίας σου σῶσαί με. Οὐ γὰρ ἀνθρωπίνης δέομαι σωτηρίας, ἀλλὰ τῆς ἀληθοῦς· Τοιαύτη δέ ἐστιν ἡ παρὰ σοῦ, καθ' ἣν σωθῆναι ἱκετεύω ἀπὸ πηλοῦ, ἵνα μὴ ἐμπαγῶ. Ποίου δὲ πηλοῦ, ἢ περὶ οὗ ἀνωτέρω ἔλεγον· «Ἐνεπάγην εἰς ὕλην βυθοῦ, καὶ οὐκ ἔστιν ὑπόστασις;» Ἡ γὰρ ἀνωτέρω λεχθεῖσα ἰλὺς βυθοῦ ἐνταῦθα πηλὸς ὠνόμασται. Σημαίνει δὲ διὰ τούτων τὴν τοῦ σώματος ἐν τῷ θανάτῳ λύσιν περὶ ἧς ἐν ἑτέρῳ ἔφασκεν· «Οὐκ ἐγκαταλείψεις τὴν ψυχήν μου εἰς τὸν ᾅδην, οὐδὲ δώσεις τὸν ὅσιόν σου ἰδεῖν διαφθοράν.[2]» Οἱ μὲν οὖν ὑπὸ τοῦ θανάτου κρατηθέντες, διαφθορὰν ὑπομείναντες καὶ ἐν φθορᾷ γενόμενοι, ἐναπομείναντές τε αὐτῇ, ἐνεπάγησαν εἰς τὸν πηλόν. Ἐγὼ δὲ εἰ καὶ κατῆλθον κενώσας ἐμαυτὸν μέχρι τούτου· ἀλλ' ἱκετεύω λέγων· «Σῶσόν με ἀπὸ πηλοῦ, ἵνα μὴ ἐμπαγῶ.» Τὰ δὲ ἑξῆς ἐπιλεγόμενα τὰς ἐν αὐτῷ τῷ θανάτῳ δυνάμεις παρίστησιν· ἀφ' ὧν ῥυσθῆναι εὔχεται λέγων· «Ῥυσθείην ἐκ τῶν μισούντων με καὶ ἐκ τῶν βαθέων τῶν ὑδάτων. Μή με καταποντισάτω καταιγὶς ὕδατος, μηδὲ καταπιέτω με βυθός.» Ταῦτα δὲ τὰ ὕδατα οἵ τε ἐν αὐτοῖς δράκοντες καὶ διὰ τῶν ἔμπροσθεν ἐδηλοῦντο, κατὰ τό· «Σῶσόν με, ὁ Θεός, ὅτι εἰσήλθοσαν ὕδατα ἕως ψυχῆς μου· Ἐνεπάγην εἰς ὕλην βυθοῦ, καὶ οὐκ ἔστιν ὑπόστασις. Ἦλθον εἰς τὰ

1. Ματθ. 3, 17. 17, 5. 2. Ψαλμ. 15, 10.

βάθη τῆς θαλάσσης, καὶ καταιγὶς κατεπόντισέ με.» Ἀλλὰ διὰ μὲν τῶν προτέρων τὴν κάθοδον αὐτοῦ τὴν εἰς ταῦτα παρίστη, διὰ δὲ τῶν μετὰ χεῖρας τὴν ἀπὸ τούτων ἐπάνοδον. «Ῥυσθείην» γάρ φησιν «ἐκ τῶν βαθέων τῶν ὑδάτων καὶ μή με καταποντισάτω καταιγὶς ὕδατος, μηδὲ καταπιέτω με βυθός, μηδὲ συσχέτω ἐπ' ἐμὲ φρέαρ τὸ στόμα αὐτοῦ.» Τὰς μὲν γὰρ λοιπὰς τῶν ἀνθρώπων ψυχὰς κατέπιεν ὁ θάνατος ἰσχύσας, καὶ τὸ φρέαρ συνέσχε καὶ ἀπέκλεισε τῷ ἑαυτοῦ στόματι. Φρέαρ δὲ στόμα ἔχον αὐτὸς ἂν λεχθείη ὁ θάνατος, ὁ ἐξ αἰῶνος πάντας καταπεπωκὼς τοὺς εἰς αὐτὸν καταπεπτωκότας, καὶ μετὰ τὸ καταπιεῖν ἐνδακών, ὥσπερ καὶ ἀποκλείσας τὸ ἑαυτοῦ στόμα, πρὸς τὸ μή τινα παλινδρομῆσαι. Ἐπ' ἐμοῦ δὲ μὴ γένοιτο τοῦτο. Διὸ ἀντιβολῶ σε τὸν Πατέρα λέγων· «Μή με καταποντισάτω καταιγὶς ὕδατος, μηδὲ καταπιέτω με βυθός, μηδὲ συσχέτω ἐπ' ἐμὲ φρέαρ τὸ στόμα αὐτοῦ·» ἢ κατὰ τὸν Σύμμαχον, «Μηδὲ ἐπιπωμάσαι μου φρέαρ τὸ στόμα αὐτοῦ.» Καὶ νῦν μὲν ὑδάτων μέμνηται καὶ βυθῶν καὶ φρέατος· ἐν δὲ τῷ κα' ψαλμῷ τὰ αὐτὰ ταῦτα σημαίνων, ἑτέροις ὀνόμασι κέχρηται λέγων· «Ῥῦσαι ἀπὸ ῥομφαίας τὴν ψυχήν μου, καὶ ἐκ χειρὸς κυνὸς τὴν μονογενῆ μου. Σῶσόν με ἐκ στόματος λέοντος, καὶ ἀπὸ κεράτων μονοκερώτων τὴν ταπείνωσίν μου.[1]» Καὶ ταῦτα γὰρ περὶ τῶν ἐν τῷ καλουμένῳ ᾅδῃ δυνάμεων ἀντικειμένων λέλεκται, ὡς τοὺς τόπους διηγούμενοι παρεστήσαμεν.

Στίχ. ιζ'-κα'. «Εἰσάκουσόν μου, Κύριε, ὅτι χρηστὸν τὸ ἔλεός σου· κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐπίβλεψον ἐπ' ἐμέ.»

Καὶ ἐνταῦθα διὰ τοῦ παρ' Ἑβραίοις ἀνεκφωνήτου τὸν ἑαυτοῦ Πατέρα ὁ Σωτὴρ ἐπικαλεῖται λέγων· Ἐπειδὴ τάδε καὶ τάδε ᾔτησα, ἵνα μὴ ἐμπαγῶ εἰς τὸν πηλόν, καὶ ὅπως ῥυσθείην ἐκ τῶν βαθέων τῶν ὑδάτων, τά τε τούτοις ἑξῆς, τούτου χάριν ἐπίνευσόν μου τῇ δεήσει, ὦ Κύριε, «ὅτι χρηστὸν τὸ ἔλεός σου, καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐπίβλεψον ἐπ' ἐμέ. Μὴ ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τοῦ παιδός σου.» Ἐν οἷς παρακαλεῖ ἐπιβλέψαι, καὶ μὴ ἀποστρέψαι τὸ πρόσωπον ἐξ αὐτοῦ· ἵν' ὥσπερ μέγας ἀγωνοθέτης δοκιμάσῃ τὸν ἀγῶνα ὃν ὑπέστη καὶ τὴν ὑπομονὴν καὶ τὴν ταπείνωσιν, ἐφ' ᾗ σεμνυνόμενος ἀξιοῖ τὸν Πατέρα μὴ ἀποστρέψαι τὸ πρόσωπον ἐξ αὐτοῦ, ἀλλ' ἐπιβλέψαι εἰς αὐτόν. Εἶτα ἐπιλέγει· «Ὅτι θλίβομαι, ταχὺ ἐπάκουσόν μου·» ἢ κατὰ τὸν Ἀκύλαν, «Ὅτι στενόν μοι, ταχὺ ἐπάκουσόν μου.» Νοήσεις δὲ καὶ τούτου τὴν διάνοιαν ἐπιστήσας ὅπως εἴρηται τό, «Στενὴ καὶ τεθλιμμένη ἡ ὁδὸς ἡ ἀπάγουσα εἰς τὴν ζωήν, καὶ ὀλίγοι εἰσὶν οἱ εἰσερχόμενοι δι' αὐτῆς.[2]» Πρῶτος γοῦν αὐτὸς τὴν στενὴν αὐτὴν καὶ τὴν τεθλιμμένην ὁδεύσας ἔλεγεν· «Ὅτι στενή μοι», καί, «ὅτι θλίβομαι, ταχὺ ἐπάκουσόν μου·» Ἐδήλου δὲ καὶ διὰ τῶν ἔμπροσθεν τὴν θλῖψιν ἑαυτοῦ καὶ τὴν στένωσιν λέγων·

1. Ψαλμ. 21, 21-22. 2. Ματθ. 7, 14.

«Καὶ συνεκάλυψα ἐν νηστείᾳ τὴν ψυχήν μου, καὶ ἐγενήθη εἰς ὀνειδισμοὺς ἐμοί. Καὶ ἐθέμην τὸ ἔνδυμά μου σάκκον.» Ἐπὶ τούτοις οὖν καὶ παρεκάλει τὸν Πατέρα ἐμβλέψαι καὶ θεάσασθαι τοὺς ἄθλους οὓς ὑπὲρ ἡμῶν ὑπέμεινε· διὸ ἔλεγε· «Πρόσχες τῇ ψυχῇ μου, καὶ λύτρωσαι αὐτήν.» Εἶτα δεικνὺς αὐτοῦ τὰ κατορθώματα οἷς ἐμβλέψαι παρεκάλει, ἐπιλέγει· «Ἕνεκα τῶν ἐχθρῶν μου ῥῦσαί με. Σὺ γιγνώσκεις τὸν ὀνειδισμόν μου καὶ τὴν αἰσχύνην μου, καὶ τὴν ἐντροπήν μου.» Ὡς γὰρ ἀνωτέρω ἔλεγε· «Σὺ ἔγνως τὴν ἀφροσύνην μου, καὶ αἱ πλημμέλειαί μου ἀπὸ σοῦ οὐκ ἀπεκρύβησαν·» οὕτω καὶ νῦν τῆς σῆς, φησί, γνώσεως τυγχάνουσιν ἄξιοι οἱ ὀνειδισμοί μου. Ἐδήλου δὲ περὶ τούτων καὶ ἐν τοῖς ἔμπροσθεν λέγων· «Καὶ οἱ ὀνειδισμοὶ τῶν ὀνειδιζόντων σε ἐπέπεσαν ἐπ' ἐμέ.» Ἐπεὶ τοίνυν σῇ κρίσει καὶ σῷ πνεύματι τοὺς ὀνειδισμοὺς ὑπέμεινα, καὶ τὸ μεστὸν αἰσχύνης τὸ πάθος, διὰ τοῦτό φημι· «Σὺ γινώσκεις τὸν ὀνειδισμόν μου καὶ τὴν αἰσχύνην μου, καὶ τὴν ἐντροπήν μου.» Τὴν μὲν ἐμὴν οἶδας αἰσχύνην οὐκ οὖσαν ἀναξίαν τῆς σῆς γνώσεως. Καὶ τὴν ἐντροπήν μου, ἣν ὑπέμεινα, «τὸν νῶτόν μου δοὺς εἰς μάστιγας καὶ τὰς σιαγόνας μου εἰς ῥαπίσματα», γινώσκεις. Οὐκέτι δὲ ὁμοίως ἐμοὶ τοὺς θλίβοντάς με γινώσκεις· οὐ γὰρ τῆς σῆς τυγχάνουσι γνώσεως ἄξιοι. Διὸ περὶ αὐτῶν φημι, «Ἐναντίον σοῦ πάντες οἱ θλίβοντές με.» Οὕτω δέ εἰσιν ἐναντίον σοῦ, ὡς τὰ ἐναντία σοὶ προῃρημένοι· θλίβουσι δέ με μηδὲν ὠφελούμενοι ἐκ τῆς ἐμῆς θεραπείας, καὶ θλίβουσι διὰ τῆς αὐτῶν ἀπωλείας. Εἶτ' ἐπιλέγει· «Ὀνειδισμὸν προσεδόκησεν ἡ καρδία μου καὶ ταλαιπωρίαν·» ὃ δὴ σαφέστερον ἡρμήνευσεν ὁ Σύμμαχος εἰπών· «Ὀνειδισμὸς κατέαξε τὴν καρδίαν μου, καὶ ἠνιώμην·» ὁ δὲ Ἀκύλας, «Ὀνειδισμός», φησί, «συνέτριψε τὴν καρδίαν μου, καὶ ἀπεγνώσθην.»

Στίχ. κβ'-κε'. «Καὶ ὑπέμεινα συλλυπούμενον, καὶ οὐχ ὑπῆρξεν, καὶ παρακαλοῦντα, καὶ οὐχ εὗρον. Καὶ ἔδωκαν εἰς τὸ βρῶμά μου χολήν, καὶ εἰς τὴν δίψαν μου ἐπότισάν με ὄξος.»

Κατὰ δὲ τὸν Σύμμαχον· «Καὶ ἀνέμενον συλλυπούμενον, καὶ οὐχ ὑπῆρξε, καὶ παρηγοροῦντα, καὶ οὐχ εὕρισκον· Καὶ ἐνέβαλλον εἰς τὴν τροφήν μου χολήν, καὶ ἐν τῇ δίψει μου ἐπότισάν με ὄξος.» Ὅτι μὲν οἱ μαθηταὶ αὐτοῦ, καταλιπόντες αὐτόν, ἔφυγον κατὰ τὸν τοῦ πάθους καιρόν, ὅμως δ' ἐκτὸς λύπης οὐκ ἦσαν, διδάσκει τὸ Εὐαγγέλιον. Ὅτε γὰρ Πέτρος ἀναγέγραπται ἀποκλαυσάμενος πικρῶς, οἵ τε λοιποὶ συνηγμένοι καὶ ὑφ' ἕνα κρυπταζόμενοι οἶκον διὰ τὸν φόβον τῶν Ἰουδαίων, οὐκ ἔξω λύπης ὑπῆρχον. Οὐκ ἂν οὖν ἁρμόσειε ταῦτα περὶ τοῦ χοροῦ τῶν ἀποστόλων λέγεσθαι, ἀλλὰ περὶ τῶν θλιβόντων αὐτόν, περὶ ὧν ἔλεγεν· «Ἐναντίον σοῦ πάντες οἱ θλίβοντές με.» Ἐγὼ μὲν γὰρ πάντα ὑπὲρ τῆς αὐτῶν σωτηρίας ἐποίουν, καλύπτων ἐν νηστείᾳ τὴν ψυχήν μου, σάκκῳ τε ἐνδύματι χρώμενος· οἱ δὲ τὰ ἐναντία τούτοις ἔπραττον, τοτὲ μὲν ὀνειδίζοντες καὶ διασύροντες τὰς ἐμὰς νηστείας, τοτὲ δὲ ἐν ταῖς παροινίαις αὐτῶν κατ' ἐμοῦ ψάλ-

λοντες, καὶ πάντα μᾶλλον ἢ συλλυπούμενοι. Κἀγὼ μὲν ὑπὲρ αὐτῶν ἀλγῶν ἐλυπούμην· οἱ δὲ οὐ συνήλγουν μοι, οὐδὲ συνέπασχον· ἀλλ' οὐδὲ παράκλητός τις αὐτῶν εἰς ἐμὴν παραμυθίαν εὕρηται. Πάντα δὲ τὰ κατ' ἐμοῦ ἐγχειροῦντες, εἰς μὲν τὸ βρῶμά μου χολὴν ἔβαλλον, καίτοι τροφὰς αὐτοῖς ἐμοῦ πλουσίας παρεχομένου· διψῶντι δέ μοι ὄξος ἀντὶ ποτοῦ προσέφερον. Τοιαύτην δέ μοι ἐκίρνων χολὴν ὁποίαν ἐδήλου ὁ προφητικὸς λόγος εἰπών· «Πῶς ἐστράφης εἰς πικρίαν, ἡ ἄμπελος ἡ ἀλλοτρία; [1]» Νοήσεις δὲ ὅπως τρέφεται ὁ Σωτὴρ ἡμῶν ἐπακούων αὐτοῦ λέγοντος· «Ἐπείνων, καὶ ἐδώκατέ μοι φαγεῖν· ἐδίψων, καὶ ἐποτίσατέ με.[2]» Εἰ δὲ ἀντὶ τροφίμων καρπῶν τῶν διὰ εὐσεβοῦς βίου πικράς τις προσφέροι κατ' αὐτοῦ βλασφημίας, τῇ τε διδασκαλίᾳ αὐτοῦ παρεμπλέκοι ἄθεα καὶ ψευδῆ δόγματα, οὗτος εἰς τὸ βρῶμα αὐτοῦ χολὴν ἐμβάλλει, καὶ διψῶντι οἶνον ἐκτροπίαν τὸν ἐκ τῆς εὐθείας ὁδοῦ παρατετραμμένον δίδωσιν. Τοιαῦτα δὲ ἐθέσπιζε περὶ τοῦ Ἰουδαίων λαοῦ Μωϋσῆς ἐν μεγάλῃ ᾠδῇ προφητικῶς ἀναφωνῶν καὶ λέγων· Ἐκ γὰρ ἀμπέλου Σοδόμων ἡ ἄμπελος αὐτῶν, καὶ ἡ κληματὶς αὐτῶν ἐκ Γομόρρας· ἡ σταφυλὴ αὐτῶν σταφυλὴ χολῆς, βότρυς πικρίας αὐτῶν.[3]» Ἔνθεν εἰκότως τοῖς αὐτοῖς καὶ διὰ Ἡσαΐου καταμέμφεται τὸ Πνεῦμα λέγον· «Ἔμεινα ἵνα ποιήσῃ σταφυλήν, ἐποίησε δὲ ἀκάνθας·[4]» Καὶ πάλιν· «Ἔμεινα ἵνα ποιήσῃ κρίσιν, ἐποίησε δὲ ἀνομίαν, καὶ οὐ δικαιοσύνην, ἀλλὰ κραυγήν.[5]» Ἔργοις τοιγαροῦν καὶ πράξεσι, πικρῷ τε λόγῳ καὶ βίῳ ἔδωκαν εἰς τὸ βρῶμα τοῦ Σωτῆρος χολήν, καὶ εἰς τὴν δίψαν αὐτοῦ ἐπότισαν αὐτὸν ὄξος. Ἐπεὶ δὲ ἔδει καὶ κατὰ τὴν ἱστορίαν τὸν τῆς προφητείας ἀποπληρωθῆναι λόγον, κατὰ τὸν καιρὸν τοῦ πάθους αὐτοῦ ἱστορεῖ ὁ εὐαγγελιστὴς λέγων· «Μετὰ τοῦτο εἰδὼς ὁ Ἰησοῦς, ὅτι πάντα τετέλεσται ἤδη, ἵνα πληρωθῇ ἡ Γραφή, λέγει· Διψῶ. Λεκάνη ἔκειτο ὄξους μεστή. Σπόγγον οὖν μεστὸν ποιήσαντες ὄξους μετὰ χολῆς καὶ ὑσσώπῳ περιθέντες προσήνεγκαν αὐτοῦ τῷ στόματι. Ὅτε οὖν ἔλαβεν ὁ Ἰησοῦς τὸ ὄξος μετὰ τῆς χολῆς, εἶπε· Τετέλεσται καὶ αὕτη ἡ Γραφή. Καὶ κλίνας τὴν κεφαλήν, ἀφῆκε τὸ πνεῦμα.[6]» Καὶ ἐπειδὴ κλίνας τὴν κεφαλὴν παρέδωκε τὸ πνεῦμα μετὰ τὴν συμπλήρωσιν τῆς Γραφῆς, εἰκότως καὶ ἐν τῷ ψαλμῷ μέχρι τούτου τὰ ἑαυτοῦ περιγράφει πάθη. Εἶτ' ἐντεῦθεν ὁποῖα μετελεύσεται αὐτοὺς θεσπίζει· «Γενηθήτω ἡ τράπεζα αὐτῶν ἐνώπιον αὐτῶν εἰς παγίδα, καὶ εἰς ἀνταπόδοσιν καὶ εἰς σκάνδαλον.» Ὥσπερ κατά τινα συνήθειαν, τὰ μέλλοντα ὡς παρῳχηκότα προφέρεσθαι εἴωθεν ἡ Γραφή· ἀρτίως γοῦν ἔλεγε τό, «Ἔδωκαν εἰς τὸ βρῶμά μου χολήν», ἀντὶ τοῦ, «δώσουσι», «καὶ εἰς τὴν δίψαν μου ἐπότισάν με ὄξος·» ἀντὶ τοῦ, «ποτίσουσι.» Καὶ ἀλλαχοῦ δὲ ὁμοίως εἴρηται· «Διεμερίσαντο τὰ ἱμάτιά μου ἑαυτοῖς, καὶ ἐπὶ τὸν ἱματισμόν

1. Ἱερ. 2, 21. 2. Ματθ. 25, 35. 3. Δευτ. 32, 32. 4. Ἡσ. 5, 2. 5. Ἡσ. 5, 7. 6. Ἰω. 19, 28-30.

μου ἔβαλον κλῆρον·[1]» καὶ πάλιν· «Παρέστησαν οἱ βασιλεῖς τῆς γῆς, καὶ οἱ ἄρχοντες συνήχθησαν ἐπὶ τὸ αὐτό, κατὰ τοῦ Κυρίου καὶ κατὰ τοῦ Χριστοῦ αὐτοῦ.[2]» Ὁμοίως γὰρ καὶ ταῦτα μέλλοντα γίγνεσθαι ὡς ἤδη παρῳχηκότα προανεφωνεῖτο. Οὕτω καὶ ὅσα νομίζεται προστακτικῶς ἢ εὐκτικῶς λέγεσθαι, καὶ ταῦτα προφητικῷ τρόπῳ προαγορευτικῶς ἐξακούεται· οἷά ἐστι τὰ μετὰ χεῖρας. Τὸ γάρ, «Γενηθήτω ἡ τράπεζα αὐτῶν», ἀκουστέον ἀντὶ τοῦ, «γενήσεται·» καὶ τό, «Σκοτισθήτωσαν οἱ ὀφθαλμοὶ αὐτῶν», ἀντὶ τοῦ, «σκοτισθήσονται·» καὶ τὰ ἑξῆς τούτοις παραπλησίως. Οὐ γὰρ ἔχει λόγον τὸν ἡμῖν προστάττοντα μὴ ἀνταποδιδόναι κακὸν ἀντὶ κακοῦ, ἀλλὰ προσεύχεσθαι ὑπὲρ τῶν ἐπηρεαζόντων, καὶ εὐλογεῖν καὶ μὴ καταρᾶσθαι, ἀγαπᾶν δὲ καὶ τοὺς ἐχθρούς, αὐτὸν τοιαῦτα κατεύχεσθαι ἑτέροις. Οὐκ εὐκτικῶς τοίνυν, οὐδὲ προστακτικῶς, κατὰ δὲ τὸν ἀποδοθέντα τρόπον προφητικῶς καὶ ταῦτα λέλεκται. Ἀνθ' ὧν γὰρ τετολμήκασι καὶ διεπράξαντο κατ' ἐμοῦ, τοιαῦτα αὐτοὺς διαδέξεται· ἡ τράπεζα αὐτῶν ἔσται αὐτοῖς οὐκ εἰς παράθεσιν τροφῆς, ἀλλ' εἰς παγίδα καὶ εἰς ἀνταποδόσεις καὶ εἰς σκάνδαλον, ἀνθ' ὧν ἔδωκαν εἰς τὸ βρῶμά μου χολήν. Τράπεζαν δὲ τοῦ Ἰουδαίων ἔθνους τίνα ἂν εἴποις ἢ τὰς θεοπνεύστους Γραφάς, ἃς μελετᾶν καὶ ἀποστοματίζειν εἰώθασιν; ὧν ἡ μὲν θεωρία καὶ ἡ νόησις, ψυχῶν τροφὴν λογικῶν περιέχει, ἡ δὲ λέξις τραπέζης χώραν περιέχει.

Ταύτην τοίνυν τὴν τράπεζαν αὐτῶν, τὴν πρόχειρον τῶν θείων Γραφῶν ἀνάγνωσιν προαγορεύει ἔσεσθαι αὐτοῖς εἰς παγίδα καὶ εἰς ἀνταποδόσεις καὶ εἰς σκάνδαλον· καὶ ἔσεσθαι αὐτὴν τοιαύτην αὐτοῖς, οὐ φύσει οὖσαν τοιαύτην, ἀλλ' αὐτοῖς ἔσεσθαι τοιαύτην. Τοῦτο γὰρ σημαίνει ὁ λόγος εἰπών· «Ἐνώπιον αὐτῶν γενηθήτω ἡ τράπεζα αὐτῶν εἰς παγίδα, καὶ εἰς ἀνταποδόσεις καὶ εἰς σκάνδαλον.» Ἔργῳ δὲ τοῦτο εἰς αὐτοὺς πληροῦται. Ταῖς γοῦν θείαις Γραφαῖς ἐντυγχάνοντες ἐξ αὐτῶν παγίσι περιπείρονται, ἑτέρως ἢ κατὰ τὸν ἀληθῆ νοῦν ἐκλαμβάνοντες τὰς λέξεις, καὶ διαστρέφοντες τὸν ἐν αὐταῖς ὀρθὸν λόγον, ἐξ αὐτῶν τε εἰς ἀπιστίαν τοῦ Σωτῆρος περιπειρόμενοι. Ἀλλὰ καὶ εἰς ἀνταποδόσεις γίνεται αὐτοῖς ἡ τράπεζα αὐτῶν. Ἐν γὰρ αὐτῷ τούτῳ τῷ μὴ συνιέναι τὰ ἀναγνώσματα, ἀπολαμβάνουσιν ὧν ἔδρασαν κατ' αὐτοῦ τὴν τιμωρίαν. Διόπερ ὁ Σύμμαχος ἀντὶ τοῦ, «καὶ εἰς ἀνταποδόσεις», «καὶ εἰς τιμωρίαν», ἡρμήνευσεν. Ἀλλὰ καὶ εἰς σκάνδαλον γίνεται ἐνώπιον αὐτῶν ἡ τράπεζα αὐτῶν. Σκανδαλίζονται γὰρ ἐντυγχάνοντες ψιλαῖς ταῖς λέξεσι, καὶ μὴ συνιέντες τὴν ἐν αὐταῖς θεωρίαν· οἷον ἀκούοντες, ὡς, ἐπιστάντος τοῦ Χριστοῦ, συμβοσκήσεται λύκος μετὰ ἀρνός, καὶ πάρδαλις συναναπαύσεται ἐρίφῳ, καὶ λέων καὶ βοῦς φάγεται ἄχυρα·[3] ταῦτα καὶ τὰ τοιαῦτα μὴ συνιέντες, σκανδαλίζονται ἐπὶ τῷ ἐληλυθότι Χριστῷ, ὅτι μὴ αἰσθητῶς ἐγένετο

1. Ψαλμ. 21, 19. 2. Ψαλμ. 2, 2. 3. Πρβλ. Ἡσ. 11, 6.

ταῦτα ἐν τῇ αὐτοῦ παρουσίᾳ. Οὕτως οὖν ἡ ἀποδοθεῖσα αὐτῶν τράπεζα γέγονεν ἐνώπιον αὐτῶν εἰς παγίδα, καὶ εἰς ἀνταποδόσεις καὶ εἰς σκάνδαλον. Καὶ ταῦτα πεπόνθασιν, ἐπειδήπερ ἐσκοτίσθησαν οἱ ὀφθαλμοὶ αὐτῶν τοῦ μὴ βλέπειν, διὰ τὸ παρῃτῆσθαι τὸ φῶς τὸ φωτίζον πάντα ἄνθρωπον, καὶ ἐπεὶ ὀφθαλμοὺς ἔχοντες οὐκ ἔβλεπον, καὶ ὦτα ἔχοντες οὐκ ἤκουον. Ἐπαχύνθη γὰρ ἡ καρδία αὐτῶν, κατὰ τὸν Ἡσαΐαν, καὶ τοὺς ὀφθαλμοὺς ἐκάμμυσαν, καὶ τὰ ὦτα ἐβάρυναν. Διὸ προαγορεύει φάσκων ὁ λόγος· «Σκοτισθήτωσαν οἱ ὀφθαλμοὶ αὐτῶν τοῦ μὴ βλέπειν.» Καὶ ἄλλο δὲ ἐναργῶς συμβὰν αὐτοῖς θεσπίζει λέγων· «Καὶ τὸν νῶτον αὐτῶν διαπαντὸς σύγκαμψον», ἀντὶ τοῦ, «συγκάμψεις·» καί, «Ἔκχεον ἐπ' αὐτοὺς τὴν ὀργήν σου», ἀντὶ τοῦ, «ἐκχεεῖς·» καί, «ὁ θυμὸς τῆς ὀργῆς σου καταλάβοι αὐτούς», ἀντὶ τοῦ, «καταλήψεται.» Ὅπως δὲ καὶ ταῦτα μετὰ τὴν κατὰ τοῦ Σωτῆρος ἡμῶν τόλμαν τῷ Ἰουδαίων συμβέβηκεν ἔθνει, οὐ δυσχερὲς καταμαθεῖν. Πάλαι μὲν γὰρ διὰ τὰς εἰδωλολατρείας αὐτῶν ἐχθροῖς καὶ πολεμίοις πρὸς ὀλίγον καιρὸν ἐδουλοῦντο· εἶτ' αὖθις τὴν οἰκείαν ἐλευθερίαν ἐλάμβανον· αὐτόνομοί τε καὶ αὐτοβασίλευτοι διετέλουν, τὸ ἱερὸν καὶ τὴν ἐν αὐτῷ κατὰ τὸν Μωϋσέως νόμον λατρείαν διατρέχοντες· μετὰ δὲ τὴν κατὰ τοῦ Σωτῆρος ἡμῶν ἐπιβουλήν, πάντων ἀθρόως ἐστερήθησαν· πολιορκίαν τε καὶ δουλείαν τὴν ὑπὸ Ῥωμαίοις ὑπομείναντες, διέμειναν οὕτω ταπεινοί, καὶ μηκέτ' ἀνανεῦσαι δεδυνημένοι· ὃ δὴ σημαίνει ἡ μετὰ χεῖρας προφητεία ἐν τῷ λέγειν· «Καὶ τὸν νῶτον αὐτῶν διαπαντὸς σύγκαμψον.» Πρόσχες γὰρ ὅπως εἴρηται τό, «διαπαντός·» οὐ γὰρ πρὸς ὀλίγον τινὰ χρόνον καθὼς ἄλλοτε ἐγένετο, ἀλλά, «διαπαντός», φησίν. Ἀνθ' οὗ ὁ μὲν Ἀκύλας ἡρμήνευσε· «Καὶ τοὺς νώτους αὐτῶν ἐνδελεχῶς ἀτόνωσον·» ὁ δὲ Σύμμαχος· «Καὶ τὰς ὀσφῦς αὐτῶν διαπαντὸς ἐξάρθρωσον.» Καὶ τοῦτο δὲ αὐτοῖς συνέβη· ἐπεὶ ἡ ὀργὴ τοῦ Θεοῦ οὐκέτι μέτρῳ κατὰ τὸ παλαιὸν μετῆλθεν αὐτούς· ἡ πᾶσα δὲ ἀθρόως κατ' αὐτῶν ἐξεχύθη. Διὸ ἐπιλέγεται· «Ἔκχεον ἐπ' αὐτοὺς τὴν ὀργήν σου, καὶ ὁ θυμὸς τῆς ὀργῆς σου καταλάβοι αὐτούς.» Τοῦτο δὲ καὶ ἐν ἑτέρῳ δηλοῦται ψαλμῷ τῷ φήσαντι· «Ἱνατί, ὁ Θεός, ἀπώσω εἰς τέλος;[1]» Καὶ ὁ θεῖος δὲ Ἀπόστολος τούτοις συμφώνως ἔλεγεν· «Ἔφθασε δὲ ἐπ' αὐτοὺς ἡ ὀργὴ εἰς τέλος.[2]» Πρῶτον οὖν ἡ τράπεζα αὐτῶν ἐγένετο αὐτοῖς εἰς παγίδα· εἶτα οἱ ὀφθαλμοὶ αὐτῶν ἐσκοτίζοντο· εἶτα ὁ νῶτος αὐτῶν διαπαντὸς ἐκάμπτετο, τῆς τοῦ Θεοῦ ὀργῆς ἐπ' αὐτοὺς ἐκχεομένης. Μετὰ δὲ ταῦτα ἄλλο τι γενήσεσθαι αὐτοῖς προαγορεύει φάσκων·

Στίχ. κς'-κθ'. «Γενηθήτω ἡ ἔπαυλις αὐτῶν ἠρημωμένη·»

ἀντὶ τοῦ, «γενηθήσεται·» «καὶ ἐν τοῖς σκηνώμασιν αὐτῶν μὴ ἔστω ὁ κατοικῶν·» ἀντὶ τοῦ, «μὴ ἔσεται.» Ἔδει γὰρ μηδὲ τοῦτο παρελθεῖν τὴν προφητικὴν γνῶσιν· ὡς ἄρα καὶ ἡ ἔπαυλις αὐτῶν

1. Ψαλμ. 73, 1. 2. Α' Θεσ. 2, 16.

ἔσται ἔρημος· ἢ κατὰ τὸν Σύμμαχον, «ἀοίκητος·» ἢ κατὰ τὸν Ἀκύλαν, «ἠφανισμένη.» Ἔπαυλιν δὲ αὐτῶν τὴν Ἱερουσαλὴμ ὀνομάζει, οὐκέτι Θεοῦ πόλιν οὖσαν, ἀλλ' αὐτῶν ἔπαυλιν. Διὸ καὶ ἔρημον αὐτὴν ἔσεσθαί φησιν· ὃ δὴ καὶ ἔργῳ δείκνυται. Εἶτ' ἐπιλέγει· «Καὶ ἐν τοῖς σκηνώμασιν αὐτῶν μὴ ἔστω ὁ κατοικῶν», ἐξ αὐτῶν δηλαδὴ τῶν πάλαι οἰκητόρων· ὃ καὶ αὐτὸ ὀφθαλμοῖς ἡ ἀλήθεια τοῦ λόγου παρίστησιν. Εἰ γοῦν τις ἀφίκοιτο εἰς τοὺς τόπους, ἴδοι ἂν τὴν ἐσχάτην ἐρημίαν τοῦ τόπου· Ἰουδαίων δὲ οὐδένα τολμῶντα ἐπιβαίνειν τῇ πόλει, μήτι γε οἰκεῖν αὐτόθι· ἀλλ' οὐδὲ οἴκησις Ἰουδαϊκὴ περιλέλειπται ἐν τῷ τόπῳ, ὥς τινα τῶν Ἑλλήνων οἰκεῖν ἐν αὐτῇ δύνασθαι. Διὸ λέλεκται· «Καὶ ἐν τοῖς σκηνώμασιν αὐτῶν μὴ ἔστω ὁ κατοικῶν· ἢ κατὰ τὸν Σύμμαχον· «Ἐν ταῖς σκηναῖς αὐτῶν μὴ ἔστω ὁ κατοικῶν.» Ἄρδην γὰρ ἐκ βάθρων πᾶσαι αὐτῶν αἱ σκηναὶ καὶ αἱ οἰκήσεις κατεσκάφησαν. Ὅρα τοίνυν ὁπόσων ἐμνημόνευσεν ὁ λόγος, ἐρημίας τοῦ ἁγίου τόπου, ἀφανισμοῦ τῶν σκηνωμάτων αὐτῶν, τοῦ ἔθνους παντελοῦς ταπεινώσεως, σκοτισμοῦ τῆς διανοίας αὐτῶν, ἀνοησίας τῶν θείων Γραμμάτων, ἃ καὶ οὐκ ἄλλοτε ἐπληροῦτο εἰς αὐτοὺς ἢ μετὰ τὸ ἀσεβῆσαι εἰς τὸν Χριστὸν τοῦ Θεοῦ. Διὸ ἐπιλέγει τούτοις ἑξῆς τὴν αἰτίαν ὧδε φάσκουσα προφητεία· «Ὅτι ὃν σὺ ἐπάταξας, κατεδίωξαν, καὶ ἐπὶ τὸ ἄλγος τῶν τραυμάτων μου προσέθηκαν», καὶ τὰ ἑξῆς. Τὰ προλεχθέντα πάντα συμβήσεσθαι αὐτοῖς φησιν, οὐ διά τινα εἰδωλολατρείαν, ἀλλ' «ὅτι ὃν σὺ ἐπάταξας, κατεδίωξαν.» Σὺ μὲν γὰρ κατὰ τὴν λέγουσαν προφητείαν, «Πατάξω τὸν ποιμένα, καὶ διασκορπισθήσεται τὰ πρόβατα τῆς ποίμνης[1]», δι' οὓς αὐτὸς οἶδας λόγους ἐπάταξας. Ὅθεν εἴρηται παρὰ τῷ Ἀποστόλῳ· «Εἰ γὰρ τοῦ ἰδίου Υἱοῦ οὐκ ἐφείσατο, ἀλλ' ὑπὲρ ἡμῶν πάντων παρέδωκεν αὐτόν.[2]» Τίνι δὲ παρέδωκεν αὐτόν, Ἡσαΐας διδάξει λέγων· «Καὶ Κύριος παρέδωκεν αὐτὸν ἁμαρτίαις ἡμῶν·[3]» διὸ γέγονεν ὑπὲρ ἡμῶν κατάρα. Μὴ γνόντα γὰρ αὐτὸν ἁμαρτίαν ὁ Θεὸς ὑπὲρ ἡμῶν ἁμαρτίαν ἐποίησεν, ἵνα ἡμεῖς γενώμεθα δικαιοσύνη ἐν αὐτῷ. Ἀλλὰ καὶ «ἄνθρωπος ἐν πληγῇ ὤν, καὶ εἰδὼς φέρειν μαλακίαν γέγονε· καὶ τῷ μώλωπι αὐτοῦ ἡμεῖς ἰάθημεν.[4]» Οὐκοῦν καὶ πληγὰς καὶ μώλωπας εἴληφε, καὶ ταῦτα πάντα πέπονθε, τοῦ Πατρὸς βουλομένου καὶ συγχωροῦντος οὕτω γίγνεσθαι. Διὸ ἐν μὲν Ζαχαρίᾳ τῷ προφήτῃ λέλεκται· «Ῥομφαία, ἐξεγέρθητι ἐπὶ τὸν ποιμένα μου, καὶ ἐπ' ἄνδρα πολίτην αὐτοῦ. Πάταξον τὸν ποιμένα, καὶ διασκορπισθήτω τὰ πρόβατα τῆς ποίμνης·[5]» ἐν δὲ τῷ Εὐαγγελίῳ αὐτὸς ὁ Σωτὴρ ἡμῶν πρὸς τῷ πάθει γενόμενος τοῖς αὐτοῦ μαθηταῖς διεστέλλετο εἰπών· «Πάντες ὑμεῖς σκανδαλισθήσεσθε ἐν ἐμοί. Γέγραπται γάρ· Πατάξω τὸν ποιμένα, καὶ διασκορπισθήσεται τὰ πρόβατα τῆς ποίμνης.[6]» Καὶ ἐν τῷ

---

1. Ζαχ. 13, 7. 2. Ῥωμ. 8, 32. 3. Ἡσ. 53, 6. 4. Ἡσ. 53, 5. 5. Ζαχ. 13, 7. 6. Ματθ. 26, 31.

μετὰ χεῖρας τοιγαροῦν τούτοις συμφώνως εἴρηται τό, «Ὅτι ὃν σὺ ἐπάταξας, κατεδίωξαν.» Ὁ μὲν οὖν Πατὴρ τοῦ ἰδίου Υἱοῦ οὐκ ἐφείσατο, ἀλλ' ὑπὲρ ἡμῶν πάντων παρέδωκεν αὐτόν. Δυνάμει τε αὐτὸς ἦν ὁ πατάξας διὰ τοῦ συγχωρῆσαι τοιαῦτα αὐτὸν παθεῖν. Οἱ δὲ οὐκ ἐπάταξαν μόνον, ἀλλὰ καὶ ἤλασαν ἐξ ἑαυτῶν καὶ μακρὰν ἀπεδίωξαν αὐτόν· δέον καὶ παταχθέντα παραδέξασθαι· γνόντας, ὅτι Χριστὸς ὑπὲρ ἡμῶν ἀπέθανε, γενόμενος ὑπὲρ ἡμῶν κατάρα, καὶ ὅτι μὴ γνόντα ἁμαρτίαν, αὐτὸν ὁ Θεὸς ὑπὲρ ἡμῶν ἁμαρτίαν ἐποίησεν· ἵνα ἡμεῖς γενώμεθα δικαιοσύνη Θεοῦ ἐν αὐτῷ. Μνημονεῦσαι δὲ χρὴ καὶ τῶν Ἡσαΐου φωνῶν, δι' ὧν ἐλέγετο· «Ἄνθρωπος ἐν πληγῇ ὤν, καὶ εἰδὼς φέρειν μαλακίαν· καὶ Κύριος παρέδωκε ταῖς ἁμαρτίαις ἡμῶν·[1]» καί, «Ὅτι οὗτος τὰς ἁμαρτίας ἡμῶν φέρει, καὶ περὶ ἡμῶν ὀδυνᾶται·[2]» ὅτι τε ἐτραυματίσθη οὐ δι' ἄλλο τι, ἀλλὰ διὰ τὰς ἁμαρτίας ἡμῶν, καὶ μεμαλάκισται διὰ τὰς ἀνομίας ἡμῶν. Οἱ δὲ τούτων μὲν οὐδὲν διενοήθησαν, ἤλασαν δὲ αὐτὸν καὶ ἀπεδίωξαν ἑαυτῶν, ἐξαιτησάμενοι μὲν τὸν φονέα, τὸν δὲ ἀρχηγὸν τῆς ζωῆς ἀρνησάμενοι. Διό φησιν ἐνταῦθα· «Ὅτι ὃν σὺ ἐπάταξας, κατεδίωξαν, καὶ ἐπὶ τὸ ἄλγος τῶν τραυμάτων μου προσέθηκαν.» Ἐγὼ μὲν γὰρ τὰ ὑπὲρ αὐτῶν ἀνεδεχόμην τραύματα, καθαρμὸς αὐτῶν γενόμενος, καὶ ἀντίψυχον διὰ τὰς ἁμαρτίας αὐτῶν· οἱ δὲ προσέθηκαν ἐμοὶ τὰ ἑαυτῶν κακά. «Ἔδωκαν» γοῦν «εἰς τὸ βρῶμά μου χολήν, καὶ εἰς τὴν δίψαν μου ἐπότισάν με ὄξος·» οὐ μόνον καθ' ὃν ἔπασχον ὑπ' αὐτῶν καιρόν, ἀλλὰ καὶ ἐν τοῖς μετὰ ταῦτα χρόνοις ταῖς κατ' ἐμοῦ βλασφημίαις παραμένοντες. Διὸ κατὰ τὸν Ἀκύλαν, ἀντὶ τοῦ, «προσέθηκαν», «διηγήσονται», εἴρηται· κατὰ δὲ τὸν Σύμμαχον, «ἐξηγοῦντο.» Οὐ γὰρ ἀπήρκει τὸ ἅπαξ ποτὲ τραυματίσαι αὐτόν, καὶ τοιαῦτα κατ' αὐτοῦ τολμῆσαι· ἀλλ' ὥσπερ ἐπὶ κατορθώμασιν ἐγκαυχώμενοι τοῖς ἑαυτῶν τέκνοις, τὰ κατ' αὐτοῦ τολμηθέντα αὐτοῖς διηγοῦντο. Ἐπεὶ τοίνυν αὐτοὶ ταύτην εἵλαντο τὴν μερίδα, διώξαντες μὲν ὃν σὺ ἐπάταξας, ἀνομίας δὲ καὶ ἀσεβείας ἐφ' ἑαυτοὺς καὶ ἐπὶ τὰ τέκνα αὐτῶν σωρεύσαντες· εἰκότως ἐπιλέγεται τούτοις· «Πρόσθες ἀνομίαν ἐπὶ τὴν ἀνομίαν αὐτῶν·» ἀντὶ τοῦ, «προσθήσεις·» ἔσται γὰρ αὐτοῖς κακῶν προσθήκη. Τὰ μὲν γὰρ ἐκ τοῦ ἐφ' ἡμῖν ἀνθρώποις γίγνεται, τὰ δὲ ἐκ τῶν ἐπακολουθούντων ἔξωθεν τῷ ἐφ' ἡμῖν. Διὸ λέλεκταί που πρὸς τὸν Θεόν· «Μετὰ ὁσίου ὁσιωθήσῃ, καὶ μετὰ στρεβλοῦ διαστρέψεις·[3]» Καὶ ἐν τῷ νόμῳ δὲ εἴρηται ἐκ προσώπου αὐτοῦ. «Καὶ ἐὰν πορευθῆτε πρὸς μὲ πλάγιοι, πορεύσομαι κἀγὼ πρὸς ὑμᾶς θυμῷ πλαγίῳ.[4]» Ἐπεὶ τοίνυν αὐτοὶ ὥσπερ μακρῷ σχοινίῳ τὰς ἀνομίας ἑαυτῶν ἐπεσπάσαντο, εἰκότως καὶ σὺ ὁ δίκαιος κριτὴς προσθήσεις ἀνομίαν ἐπὶ τὴν ἀνομίαν αὐτῶν· δευτέραν αὐτοῖς πρὸς τῇ προτέρᾳ

1. Ἡσ. 53, 6. 2. Ἡσ. 53, 5. 3. Ψαλμ. 17, 26, 27. 4. Λευΐτ. 26, 23, 24.

λογιζόμενος. Ἀλλὰ καὶ «Μὴ εἰσελθέτωσαν», φησίν, «ἐν δικαιοσύνῃ σου.» Ἡ μὲν γὰρ σὴ δικαιοσύνη δικαίους εἰσκαλεῖται, καὶ πάντας εἰς τὰ ἐνδοτάτω τῆς σῆς βασιλείας κατὰ τὰς ἐπαγγελίας ὑποδέχεται· οἱ δὲ τοιαῦτα τολμήσαντες οὐκ εἰσελεύσονται μετὰ τῶν τῇ σῇ δικαιοσύνῃ συνελευσομένων· ἀλλ' οὐδὲ ἐγγραφήσονται ἐν βίβλῳ ζώντων· τοὐναντίον δὲ πείσονται τοῖς ἐγγραφομένοις. Εἰ γὰρ καὶ πρῶτοι τῆς ἐμῆς χάριτος ἀξιωθέντες ἐνεγράφησάν ποτε ἐν τῇ βίβλῳ τῶν ζώντων διὰ τοὺς παρὰ τῷ Θεῷ ζῶντας πατέρας αὐτῶν, ὡς καὶ αὐτοῖς δεδόσθαι τὰς ἐπαγγελίας· ἀλλ' ἐπεὶ τοιαῦτα τετολμήκασιν, «Ἐξαλειφθήτωσαν ἐκ βίβλου ζώντων.» Διασαφῶν δὲ τὴν ἔννοιαν τῆς βίβλου τῶν ζώντων, ἐπιλέγει ἑξῆς· «Καὶ μετὰ δικαίων μὴ γραφήτωσαν.» Ἐκλογῆς γὰρ γιγνομένης τῶν κατὰ τὸν ἀνθρώπινον βίον, οἱ μὲν ζωῆς ἄξιοι τῆς παρὰ τῷ Θεῷ διὰ τὴν οἰκείαν δικαιοσύνην ἀνάγραπτοι γενήσονται παρ' αὐτῷ· οἱ δὲ ἀπόβλητοι τῆς βίβλου ἔσονται οἱ τὸν ἀρχηγὸν τῆς ζωῆς παραιτησάμενοι. Καὶ τοῦτο μὲν τὸ τέλος τῶν τὰ προλεχθέντα κατὰ τοῦ Σωτῆρος ἡμῶν τετολμηκότων· τὰ δ' ἑξῆς ὁ λόγος ἐπὶ τὸ φαιδρότερον μεταβάλλει, ἐντεῦθεν λοιπὸν τῆς εὐαγγελικῆς χάριτος ἀπαρχόμενος.

Στίχ. λ', λα'. «Πτωχὸς καὶ ἀλγῶν ἐγώ εἰμι, ἡ σωτηρία σου, ὁ Θεός, ἀντελάβετό μου.»

Ὁ εἰπὼν ἐν Εὐαγγελίοις· «Μάθετε ἀπ' ἐμοῦ, ὅτι πρᾷός εἰμι καὶ ταπεινὸς τῇ καρδίᾳ[1]», διὰ τῶν προκειμένων πτωχὸς καὶ ἀλγῶν ἐγώ εἰμι, φησί. Πτωχὸς δὲ ἦν τὸν πλοῦτον τῆς αἰωνίου βασιλείας ἀποθέμενος. Διό φησιν ὁ Παῦλος· «Ἰησοῦς Χριστὸς πλούσιος ὤν, δι' ἡμᾶς ἐπτώχευσεν, ἵνα ἡμεῖς τῇ αὐτοῦ πτωχείᾳ πλουτήσωμεν.[2]» Ἀλλὰ καὶ «ἀλγῶν» γέγονε· διὸ ἔλεγεν ἀνωτέρω· «Καὶ ἐπὶ τὸ ἄλγος τῶν τραυμάτων μου προσέθηκαν.» Ἤλγει γὰρ ἐπὶ τοῖς ἀπολλυμένοις, καὶ ὑπερέπασχε τῶν μὴ προσιόντων τῇ δι' αὐτοῦ προξενουμένῃ σωτηρίᾳ. Διὸ ὥσπερ ἀλγῶν ἐβόα· «Ὦ γενεὰ ἄπιστε καὶ διεστραμμένη, ἕως πότε μεθ' ὑμῶν εἰμι; ἕως πότε ἀνέχομαι ὑμῶν;[3]» Διό φησι· «Πτωχὸς καὶ ἀλγῶν ἐγώ εἰμι· ἡ σωτηρία σου, ὁ Θεός, ἀντελάβετό μου.» Αἰνίττεται δὲ διὰ τούτων τὴν μετὰ τὸν θάνατον αὐτοῦ σωτηρίαν. Εἰ γὰρ ἐνεπάγη εἰς ὕλην βυθοῦ, καὶ ἦλθεν εἰς τὰ βάθη τῆς θαλάσσης, ὡς διὰ τῶν τῆς προφητείας ἐδήλου, νυνὶ δέ φησιν· «Ἡ σωτηρία σου, ὁ Θεός, ἀντελάβετό μου·» σαφῶς παρίστησιν ἀντιλήψεως τετυχηκέναι, μετὰ τὸ ἐληλυθέναι εἰς τὰ βάθη τῆς θαλάσσης, μετὰ τὸ πεπονθέναι τὰ προλεχθέντα. Διὸ καὶ ἐν κα' ψαλμῷ τὸν «ὑπὲρ τῆς ἀντιλήψεως τῆς ἑωθινῆς[4]» ἀνέπεμπεν ὕμνον. Εἶθ' ὡς τυχὼν ἀντιλήψεως, μεταβάλλει τοὺς λόγους ἐπὶ τὸ φαιδρότερον, ὕμνους ἀναπέμπων τῷ ἑαυτοῦ Πατρί, ἐν οἷς φησιν· «Αἰνέσω τὸ ὄνομα τοῦ Θεοῦ μετ' ᾠδῆς.» Τὸ δὲ μετὰ μέλους καὶ ᾠδῆς λόγους προσφέρεσθαι σύμβολον ἦν θυμηδίας

1. Ματθ. 11, 29. 2. Β' Κορ. 8, 9. 3. Ματθ. 17, 17. 4. Ψαλμ. 21, 1.

καὶ εὐφροσύνης. Ἀλλὰ καὶ «μεγαλυνῶ αὐτόν», φησίν· δῆλον δ' ὅτι τὸν αὐτοῦ Πατέρα. Πῶς δὲ καὶ αὐτὸν μεγαλυνεῖ, ἐπιλέγει ἑξῆς, «ἐν αἰνέσει·» ἢ κατὰ τὸν Ἀκύλαν, «ἐν εὐχαριστίᾳ.» Νοήσεις δὲ τὴν εὐχαριστίαν καὶ τὴν αἴνεσιν δι' ἧς ὁ Υἱὸς μεγαλύνει τὸν Πατέρα, ἐπιστήσας τοῖς μυστηρίοις τῆς Καινῆς Διαθήκης, ἐν οἷς καθ' ὅλης τῆς οἰκουμένης ἡ Ἐκκλησία τοῦ Θεοῦ τὰς εὐχαριστίας καὶ τὰς λογικὰς καὶ ἀκάπνους λατρείας ἀναφέρειν τῷ Θεῷ παρείληφεν. Αὕτη δὲ ἡ αἴνεσις καὶ ἡ εὐχαριστία πολὺ κρείττων τυγχάνει τῶν σωματικῶν θυσιῶν, τῶν κατὰ τὸν Μωϋσέως νόμον πάλαι προσαγομένων. Διὸ ἐπιλέγει· «Καὶ ἀρέσει τῷ Κυρίῳ ὑπὲρ μόσχον νέον, κέρατα ἐκφέροντα καὶ ὁπλάς.» Εἰ γὰρ ἐπὶ τούτοις σεμνύνονται Ἰουδαίων παῖδες, ἴστωσαν, ὅτι πολὺ βελτίων καὶ τῷ Θεῷ προτιμοτέρα ἡ ἐμὴ εὐχαριστία καὶ ἡ ἐμὴ αἴνεσις τῶν προλεχθέντων. Διὸ κατὰ τὸν Σύμμαχον εἴρηται· «Καὶ ἀρέσει τῷ Κυρίῳ μᾶλλον ἢ βοῦς ταῦρος διχηλῶν, κεράστης.» Διὰ τί δὲ ἐνταῦθα μόσχου μνημονεύει καὶ οὐχ ἑτέρου τινὸς τῶν προσφέρεσθαι εἰωθότων εἰς θυσίαν ζῴων, ἄξιον μὴ ἀβασανίστως παρελθεῖν. Τῶν γὰρ κατὰ τὸν Μωϋσέως νόμον θύεσθαι προσταττομένων ζῴων τὰ μὲν ἐξ ἀγέλης βοῶν προσήγετο, τὰ δὲ ἐκ προβάτων, τὰ δὲ ἀπὸ πετεινῶν· καὶ τὰ μὲν ἄρρενα, τὰ δὲ θήλεα· καὶ τὰ μὲν ἑκούσια κατὰ προαίρεσιν, τὰ δὲ κατὰ ὀφειλήν· καὶ τὰ μὲν ὠνομάζετο θυσία σωτηρίου, τὰ δὲ ὑπὲρ ἁμαρτίας· καὶ τὰ μὲν ὑπὲρ τοῦ ἀρχιερέως προσεφέρετο, τὰ δὲ ὑπὲρ παντὸς τοῦ λαοῦ, τὰ δὲ ὑπὲρ ἄρχοντος ἡμαρτηκότος. Πολλῆς δὲ οὔσης ἐν τούτοις διαφορᾶς, οὐδὲ πώποτε ὑπὲρ τοῦ τυχόντος ἄρχοντος, οὐδ' ὑπὲρ ἰδιώτου ἀνδρὸς μόσχος ἀνεφέρετο. Ποτὲ δὲ ὁ μόσχος ὁ ἄρρην ἐθύετο, ἄλλοτε πᾶσα ἡ συναγωγὴ ἁμαρτίᾳ περιπεπτώκει, ὑπὲρ ἧς καὶ αὐτὸς ὁ ἱερεὺς ὥσπερ κεφαλὴ ὢν τοῦ παντὸς λαοῦ τῆς ἁμαρτίας κοινωνὸς τὸν μόσχον προσῆγε. Ταῦτα δὲ ἐν Λευιτικῷ εὕροις ἂν ἐπιστήσας, ἐν ᾧ γέγραπται· «Καὶ ἐλάλησε Κύριος πρὸς Μωϋσῆν λέγων· Λάλησον πρὸς τοὺς υἱοὺς Ἰσραὴλ λέγων· Ἐὰν ὁ ἀρχιερεὺς ὁ κεχρισμένος ἁμάρτη τοῦ λαὸν ἁμαρτεῖν, καὶ προσάξει περὶ τῆς ἁμαρτίας αὐτοῦ ἧς ἥμαρτε, μόσχον ἐκ βοῶν ἄμωμον τῷ Κυρίῳ·[1]» καὶ ἑξῆς· «Ἐὰν δὲ πᾶσα συναγωγὴ Ἰσραὴλ ἀγνοήσῃ, καὶ λάθῃ ῥῆμα ἐξ ὀφθαλμῶν τῆς συναγωγῆς· καὶ ποιήσωσι μίαν ἀπὸ πασῶν τῶν ἐντολῶν τοῦ Κυρίου, ἣ οὐ ποιηθήσεται, καὶ πλημμελῶσι, καὶ γνωσθῇ αὐτοῖς ἡ ἁμαρτία ἣν ἥμαρτον ἐν αὐτῇ· καὶ προσάξει ἡ συναγωγὴ μόσχον ἐκ βοῶν περὶ τῆς ἁμαρτίας.[2]» Καὶ μετὰ ταῦτα ἡ ἱστορία εἰσάγει ὑπὲρ τοῦ ἀρχιερέως θυσίαν μόσχον, ἐν οἷς εἴρηται· «Καὶ προσήγαγε Μωϋσῆς τὸν μόσχον τὸν περὶ τῆς ἁμαρτίας, καὶ ἐπέθηκεν Ἀαρὼν καὶ οἱ υἱοὶ αὐτοῦ τὰς χεῖρας ἐπὶ τὴν κεφαλὴν τοῦ μόσχου τοῦ τῆς ἁμαρτίας, καὶ ἔσφαξεν αὐτόν.[3]» Ὁρᾷς ἐπὶ ποίοις ὁ μόσχος προσεφέρετο ἐπὶ πάσῃ

1. Λευϊτ. 4, 1-3. 2. Λευϊτ. 4, 13-14. 3. Λευϊτ. 8, 14.

τῇ συναγωγῇ Ἰσραὴλ ἁμαρτούσῃ, καὶ ἐπὶ ἀρχιερεῖ ἡμαρτηκότι· καὶ οὐχ ἁπλῶς ἡμαρτηκότι, ἀλλὰ καὶ τῷ λαῷ αἰτίῳ γενομένῳ ἁμαρτίας· λέγει γάρ· «Ἐὰν ὁ ἀρχιερεὺς ὁ κεχρισμένος ἁμάρτῃ τοῦ τὸν λαὸν ἁμαρτεῖν·» ἀνθ' οὗ ὁ Ἀκύλας ἡρμήνευσεν· «Εἰς πλημμέλησιν τοῦ λαοῦ.» Ἐπεὶ τοίνυν κατὰ τὸ σωτήριον πάθος οἱ ἀρχιερεῖς καὶ οἱ ἄρχοντες τοῦ Ἰουδαίων ἔθνους συνήχθησαν ἐπὶ τὸ αὐτὸ κατὰ τοῦ Κυρίου καὶ κατὰ τοῦ Χριστοῦ αὐτοῦ, τῷ τε παντὶ λαῷ διαστροφῆς αὐτοὶ γεγόνασιν αἴτιοι· γέγραπται γάρ· «Καὶ οἱ ἀρχιερεῖς καὶ τὸ συνέδριον ὅλον ἐζήτουν ψευδομαρτυρίαν κατὰ τοῦ Ἰησοῦ, ὅπως θανατώσωσιν αὐτόν·[1]» καὶ πάλιν ἑξῆς· «Οἱ δὲ ἀρχιερεῖς καὶ οἱ πρεσβύτεροι ἔπεισαν τοὺς ὄχλους ἵνα αἰτήσωσι τὸν Βαραββᾶν, τὸν δὲ Ἰησοῦν ἀπολέσωσιν·[2]» Χρεία δὲ ἦν καθάρσεως τοῖς ταῦτα τετολμηκόσι, καὶ θυσίας οὐκ ἄλλης, ἢ τῆς διὰ τοῦ μόσχου, ὡς μεμαρτύρηται διὰ τῆς προτεθείσης Γραφῆς· εἰκότως. Οὐκ αἰσθητὸν ἐγώ, φησί, μόσχον προσφέρω, διὰ τῶν προκειμένων ὁ Σωτὴρ ἡμῶν, ἀλλὰ τὴν καθαρὰν καὶ ἄναιμον θυσίαν, ἣν αὐτὸς ἐγὼ συνεστησάμην ἐν τῇ ἐμαυτοῦ Ἐκκλησίᾳ διὰ τῆς ἀναίμου καὶ ἀπύρου λειτουργίας, τῆς δι' αἰνέσεως· ἥτις ἀρέσει τῷ Θεῷ μᾶλλον ἢ ὁ παρὰ Μωϋσεῖ νενομοθετημένος μόσχος. Διὸ λέλεκται· «Μεγαλυνῶ αὐτὸν ἐν αἰνέσει. Καὶ ἀρέσει τῷ Θεῷ», ἡ αἴνεσις δηλαδή, «ὑπὲρ μόσχον νέον, κέρατα ἐκφέροντα καὶ ὁπλάς.» Ἔτυχον δ' ἂν ἀφέσεως καὶ καθάρσεως τῶν ἡμαρτημένων αὐτοῖς οἱ ἀρχιερεῖς καὶ οἱ τοῦ παντὸς ἔθνους, εἰ κέχρηντο ταύτῃ τῇ θυσίᾳ, τὴν καινὴν καὶ σωτήριον Διαθήκην παραδεξάμενοι.

Εἶτα εὐχὴν ἀναπέμπει ὁ προλεχθεὶς πτωχὸς ὑπὲρ τῶν παραπλησίως αὐτῷ πτωχῶν, περὶ ὧν διδάσκει λέγων· «Μακάριοι οἱ πτωχοὶ τῷ πνεύματι, ὅτι αὐτῶν ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν.[3]» Καί φησι διὰ τῆς εὐχῆς· «Ἰδέτωσαν πτωχοὶ καὶ εὐφρανθήτωσαν.» Εὔχεται δὲ ἤδη ποτὲ εἰς ἔργα χωρῆσαι τὰ προλεχθέντα, ὥστε ὀφθαλμοῖς αὐτὰ θεάσασθαι τοὺς εἰρημένους πτωχούς, δηλαδὴ τοὺς μαθητὰς αὐτοῦ καὶ τοὺς ἀποστόλους. Ἰδεῖν δὲ τούτοις εὔχεται τὴν ἀποδοθεῖσαν αὐτοῦ αἴνεσιν τὴν ὑπὲρ μόσχον νέον τὸν κέρατα ἐκφέροντα καὶ ὁπλάς. Καὶ δὴ πληρουμένης αὐτοῦ τῆς εὐχῆς μακροῖς ὕστερον χρόνοις, ἐμακάριζε τοὺς κατηξιωμένους τῆς τῶν πραγμάτων θέας· διὸ ἐν Εὐαγγελίοις ἀναγέγραπται τοῖς αὐτοῦ μαθηταῖς εἰπών· «Ὑμῶν δὲ μακάριοι οἱ ὀφθαλμοί, ὅτι βλέπουσι, καὶ τὰ ὦτα ὑμῶν, ὅτι ἀκούουσι.[4]» Ταῦτα γὰρ σύμφωνα ἦν τῷ φήσαντι λόγῳ· «Ἰδέτωσαν πτωχοὶ καὶ εὐφρανθήτωσαν· ἐκζητήσατε τὸν Θεόν, καὶ ζήσεται ἡ ψυχὴ ἡμῶν.» Εὐξάμενος ὑπὲρ τῶν πτωχῶν, πρὸς αὐτοὺς λοιπὸν ποιεῖται τὸν λόγον, εὐαγγελίζεταί τε αὐτοῖς ζωὴν οὐ σωμάτων, ἀλλὰ ψυχῶν· καὶ ταύτην αὐτοῖς εὑρεθήσεσθαι ἐκζητήσασι τὸν Θεὸν ἐπαγγέλλεται· διό φησι· «Ἐκζητήσατε τὸν Θεόν, καὶ ζήσεται ἡ ψυχὴ ὑμῶν.» Πηγὴ γὰρ ζωῆς παρ' αὐτῷ.

1. Ματθ. 26, 59. 2. Ματθ. 27, 20. 3. Ματθ. 5, 3. 4. Ματθ. 13, 16.

Διὸ πάντα δεύτερα θεμένους τοὺς εἰρημένους πτωχούς, ἐκζητεῖν αὐτὸν προστάττει μετὰ πίστεως καὶ ἀγαθῆς ἐλπίδος· ζήσεσθαι γὰρ αὐτοὺς ἐπαγγέλλεται ζωὴν ψυχῆς, περὶ ἧς καὶ ὁ Ἀπόστολος ἐδίδασκε λέγων· «Ἡ γὰρ ζωὴ ἡμῶν κέκρυπται σὺν τῷ Χριστῷ ἐν τῷ Θεῷ. Ὅταν ὁ Χριστὸς φανερωθῇ ἡ ζωὴ ὑμῶν, τότε καὶ ὑμεῖς σὺν αὐτῷ φανερωθήσεσθε ἐν δόξῃ.[1]» Εἶτ' ἐπιλέγει· «Ὅτι εἰσήκουσε τῶν πενήτων ὁ Κύριος, καὶ τοὺς πεπεδημένους αὐτοῦ οὐκ ἐξουδένωσε.» Πάλιν δὲ κἀνταῦθα τό, «εἰσήκουσεν», ἀντὶ τοῦ, «εἰσακούσεται», εἴρηται, καὶ τό, «οὐκ ἐξουδένωσεν», ἀντὶ τοῦ, «οὐκ ἐξουδενώσει.» Προειπὼν γάρ, «Ζητήσατε τὸν Θεόν, καὶ ζήσεται ἡ ψυχὴ ὑμῶν», θαρσούντως φησί, Ζητήσατε, ὅτι εἰσακούσεται τῶν πενήτων. Οὐ γὰρ τρυφώντων ἐστὶν ὁ Θεός, οὐδὲ ἐπηρμένων καὶ ἀλαζονευομένων, ἀλλὰ ταπεινῶν καὶ πενήτων. Διὸ εἴρηται· «Ἐπὶ τίνα ἐπιβλέψω ἢ ἐπὶ τὸν πρᾶον καὶ ταπεινόν, καὶ ἡσύχιον καὶ τρέμοντά μου τοὺς λόγους;[2]» Θαρσοῦντες οὖν ζητήσατε τὸν Θεόν, εἰδότες, ὅτι εἰσακούσεται ὑμῶν τῶν πενήτων Κύριος, καὶ τοὺς πεπεδημένους αὐτοῦ οὐκ ἐξουδενώσει· ἢ κατὰ τὸν Σύμμαχον, «Καὶ τοὺς δεσμώτας τοὺς ἑαυτοῦ οὐκ ἐξευτελίσει.» Νοήσεις δὲ ὅπως οἱ πτωχοὶ οὗτοι δεσμῶται καὶ πεπεδημένοι γεγόνασιν ἀκούων Παύλου λέγοντος· «Παῦλος δέσμιος Ἰησοῦ Χριστοῦ·[3]» ᾧ παραπλησίως καὶ οἱ λοιποὶ μαθηταὶ δέσμιοι ἦσαν Χριστοῦ. Ἀλλὰ καὶ οἱ ὄντες ἐν τῷ σκήνει ὥσπερ ἐν δεσμοῖς ντες στένουσι λυθῆναι τῶν δεσμῶν ἱκετεύοντες· διό φασι· «Ταλαίπωρος ἐγὼ ἄνθρωπος, τίς με ῥύσεται ἐκ σώματος τοῦ θανάτου τούτου;[4]» Οἱ μὲν οὖν τὸ φθαρτὸν σῶμα βαρούμενοι, καὶ τὴν φθορὰν ἀποστρεφόμενοι, στένοντές τε ἐπὶ τῷ φθαρτῷ βίῳ, δεσμῶται τοῦ Θεοῦ τυγχάνουσι, καὶ πεπεδημένοι αὐτοῦ, ὧν τὰς εὐχὰς οὐκ ἐξουδενώσει, οὐδὲ ἀποστραφήσεται. Οἱ δὲ τοὺς ἑαυτῶν δεσμοὺς πιαίνοντες, καὶ διὰ πολλῆς τρυφῆς περιέποντες, δεσμῶται φθορᾶς καὶ θανάτου λεχθεῖεν ἂν εἰκότως.

Στίχ. λε'. «Αἰνεσάτωσαν αὐτὸν οὐρανοὶ καὶ γῆ, θάλασσα καὶ πάντα τὰ ἕρποντα ἐν αὐτῇ.»

Ἐπειδὴ τοῖς πτωχοῖς ἐπηγγείλατο βασιλείαν οὐρανῶν εἰπών, «Μακάριοι οἱ πτωχοὶ τῷ πνεύματι, ὅτι αὐτῶν ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν·[5]» σφόδρα ἀκολούθως μετὰ τὸν περὶ τῶν πενήτων λόγον ἐπιφέρει· «Αἰνεσάτωσαν αὐτὸν οὐρανοί.» Ἐπειδὴ κατὰ πᾶσαν τὴν οἰκουμένην κατά τε γῆν καὶ θάλασσαν ἤμελλον Ἐκκλησίαι τῷ Θεῷ συνίστασθαι ἐκ τῶν προλελεγμένων πτωχῶν, ἀκολούθως ἐπισυνῆπται, «καὶ γῆ καὶ θάλασσα καὶ πάντα τὰ ἕρποντα ἐν αὐτοῖς.» Ἕρποντα δὲ ἐπὶ γῆς καὶ θαλάσσης ἐνταῦθα κελευόμενα σὺν οὐρανῷ καὶ γῇ αἰνεῖν τὰ ἔθνη τυγχάνει τὰ ἐν τῷ θνητῷ βίῳ τῶν

1. Κολ. 3, 3-4. 2. Ἡσ. 66, 2. 3. Φιλ. 1, 1. 4. Ῥωμ. 7, 24. 5. Ματθ. 5, 3.

ἀνθρώπων ἑρπετῶν δίκην τὸ παλαιὸν ἐπὶ τῷ στήθει καὶ τῇ κοιλίᾳ πορευόμενα. Καὶ παρὰ τῷ Ἡσαΐᾳ θηρία καὶ ἑρπετὰ ἀλληγορικῷ τρόπῳ τὰ ἔθνη κέκληται, ἐν οἷς εἴρηται· «Καὶ συμβοσκήσεται λύκος μετὰ ἀρνός, καὶ πάρδαλις συναναπαύσεται ἐρίφῳ, καὶ λέων ὡς βοῦς φάγεται ἄχυρα. Καὶ παιδίον νήπιον ἐπὶ τρώγλην ἀσπίδων καὶ ἐπὶ κοίτην ἐγγόνων ἀσπίδων τὴν χεῖρα ἐπιβαλεῖ, καὶ οὐ μὴ ἀδικήσουσιν·[1]» ἃ καὶ διερμηνεύων ἑξῆς ὁ λόγος ἐπιφέρει· «Καὶ ἔσται ἡ ῥίζα τοῦ Ἰεσσαὶ καὶ ὁ ἀνιστάμενος ἄρχειν ἐθνῶν, ἐν αὐτῷ ἔθνη ἐλπιοῦσι.[2]» Τῆς οὖν μεταβολῆς ταύτης τῶν ἐθνῶν ἐπὶ τῇ τοῦ Χριστοῦ παρουσίᾳ γιγνομένης, εἰκότως σὺν οὐρανῷ καὶ τοῖς κατ' οὐρανὸν ἀγγέλοις τὰ ἀποδοθέντα ἑρπετὰ αἰνεῖν προστάττεται τὸν Θεόν. Διὸ λέλεκται· «Αἰνεσάτωσαν αὐτὸν οὐρανοὶ καὶ γῆ, θάλασσα καὶ πάντα τὰ ἕρποντα ἐν αὐτοῖς.» Πῶς δὲ δύναται τὸν Θεὸν αἰνεῖν τὰ ἑρπετά, εἰ μὴ μετάσχοι φρονήσεως καὶ Θεοῦ γνώσεως; Οὐκοῦν θύσει τὴν θυσίαν τῆς αἰνέσεως καὶ τὰ ἑρπετά; Ὅτι δὲ ἀνθρώπους διὰ τούτων αἰνίττεται, διδάσκει τὸ Εὐαγγέλιον, ἐν ᾧ γέγραπται· «Γεννήματα ἐχιδνῶν, τίς ὑπέδειξεν ὑμῖν φυγεῖν ἀπὸ τῆς μελλούσης ὀργῆς; Ποιήσατε οὖν καρποὺς ἀξίους μετανοίας.[3]»

Στίχ. λς', λζ'. «Ὅτι ὁ Θεὸς σώσει τὴν Σιών, καὶ οἰκοδομηθήσονται αἱ πόλεις τῆς Ἰουδαίας.»

Αἰτίαν ἀποδίδωσι δι' ἣν οὐρανοὶ καὶ γῆ καὶ θάλασσα καὶ πάντα τὰ ἐν αὐτοῖς αἰνέσειν λέγονται τὸν Θεόν. Ἡ δὲ αἰτία ἐστὶν αὕτη, «Ὅτι ὁ Θεὸς σώσει τὴν Σιών, καὶ οἰκοδομηθήσονται αἱ πόλεις Ἰουδαίας.» Ποίαν δὲ Σιών, ἢ δηλονότι τὴν καθ' ὅλης τῆς οἰκουμένης ἱδρυθεῖσαν τοῦ Σωτῆρος ἡμῶν Ἐκκλησίαν; Πόλεις δὲ Ἰουδαίας μὴ ὄκνει λέγειν τὰς θεοπνεύστους Γραφάς, δι' ὧν ἡ Ἰουδαϊκὴ πολιτεία τετύπωται. Ἀλλ' αὗται μὲν αἱ πόλεις καθῄρηντο, ὅσον ἐπὶ Ἰουδαίοις, οἰκοδομὴν δὲ εἰλήφασι διὰ τῆς ἐν Χριστῷ καινῆς διδασκαλίας· δι' ἧς καὶ ἡ ἀληθινὴ περιτομὴ συνίσταται, καὶ τὰ πνευματικὰ Σάββατα, καὶ αἱ πνευματικαὶ θυσίαι καὶ πάντα τούτοις ἀκολούθως κατὰ τὴν ἑρμηνείαν τοῦ πνευματικοῦ νόμου. Οὕτως οὖν οἰκοδομοῦνται αἱ πόλεις τῆς Ἰουδαίας, καὶ κατοικήσουσιν ἐν αὐταῖς οἱ πολῖται καὶ οἱ κληρονόμοι τῶν ἐν ταῖς θείαις Γραφαῖς ἐπηγγελμένων· διὸ λέλεκται· «Καὶ κληρονομήσουσιν αὐτήν». Ἀλλὰ καὶ «τὸ σπέρμα τῶν δούλων αὐτοῦ καθέξουσιν αὐτήν.» Δοῦλοι δὲ αὐτοῦ τίνες ἂν εἶεν, ἢ πάντως οἱ τοῦ Σωτῆρος ἡμῶν μαθηταί, καὶ τὸ σπέρμα τὸ καθ' ὅλης τῆς οἰκουμένης κατασπαρέν, ὅπερ τὴν κληρονομίαν τὴν ἐπηγγελμένην ἐν ταῖς θείαις Γραφαῖς καθέξει; Ἀλλὰ καὶ «οἱ ἀγαπῶντες τὸ ὄνομα αὐτοῦ κατασκηνώσουσιν ἐν αὐτῇ», δῆλον δ' ὅτι τῇ κληρονομίᾳ· οἷς λεχθήσεται· «Δεῦτε οἱ εὐλογημένοι τοῦ Πατρός μου, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν ἀπὸ καταβολῆς κόσμου.[4]» Εἰ δὲ ἐπου-

1. Ἡσ. 11, 6-9. 2. Ἡσ. 11, 10. 3. Λουκ. 3, 8. 4. Ματθ. 25, 34.

ράνιός ἐστι τοῦ Θεοῦ πόλις Σιών, περὶ ἧς ὁ Ἀπόστολος ἐδίδαξεν εἰπών· «Ἡ δὲ ἄνω Ἱερουσαλὴμ ἐλευθέρα ἐστίν, ἥτις ἐστὶ μήτηρ ἡμῶν·[1]» καί, «Προσεληλύθατε Σιὼν ὄρει, καὶ πόλει Θεοῦ ζῶντος Ἱερουσαλὴμ ἐπουρανίῳ[2]», εἶεν ἂν πόλις τῆς Ἰουδαίας; δι' ἃς ἀκολούθως τῇ ἐπουρανίῳ Σιὼν αἱ πολλαὶ παρὰ τῷ Πατρὶ μοναί[3], ἐν αἷς κατοικήσουσι, καὶ ἃς κληρονομήσουσι πάντες οἱ δοῦλοι αὐτοῦ· οἵ τε πάλαι γενόμενοι προφῆται καὶ θεοφιλεῖς ἄνδρες, καὶ οἱ μετὰ ταῦτα ὑπηρέται καὶ διάκονοι τοῦ Εὐαγγελίου αὐτοῦ. Ἀλλὰ καὶ τὸ σπέρμα αὐτῶν, οἱ ἐξ αὐτῶν δηλαδὴ κατὰ Θεὸν γεγενημένοι, προκόψαντες καὶ εἰς τὸ τέλειον ἐλθόντες τῆς τοῦ Θεοῦ ἀγάπης, τοῦτο γέρας ἕξουσι καὶ μισθὸν ἐπάξιον παρ' αὐτοῦ, τὸ κατασκηνῶσαι ἐν τῇ ἐπηγγελμένῃ αὐτοῖς κληρονομίᾳ.

---

1. Γαλ. 4, 26. 2. Ἑβρ. 12, 22. 3. Ἰω. 14, 2.

ΠΙΝΑΞ

ΤΩΝ ΧΩΡΙΩΝ ΤΗΣ ΑΓΙΑΣ ΓΡΑΦΗΣ*

		Σελ.
Γεν.	1,1	79
	1,2	115. 199
	1,11	346
	1,16-17	81
	1,20	115
	1,26	47
	1,26,27	132
	1,28	344.346
	3,1	260
	3,5	260
	3,17-18	346
	4,7	165
	6,3	317
	12,3	157
	15,6	43
	32,28	276
	32,28-30	200
	49,12	195
Ἐξ.	5,2	53
	5,3	201
	5,8	201
	9,23-24	71
	22,28	213
	32,9	258
	33,13	108
	33,20	108
	33,23	108
	34,6	182
Λευΐτ.	4,1-3	392
	4,10-14	392
	8,14	392
	11,42	199
	11,45	138
	26,12	199.205.359
	26,23,24	390
	32,20	53
Ἀριθ.	12,3	43

		Σελ.
Δευτ.	4,24	69
	4,39	310
	15,6	158
	23,4	286
	23,22	214
	28,43-44	148
	30,19	214
	32,1	214
	32,8-9	63
	32,15	167
	32,21	152
	32,32	335.386
	32,34-35	67
Ἰησ. Ν.	3,15-16	181
Α΄ Βασ.	13,14	61
	16,17	45
	19,8	268
	19,8-12	267
	21,1	219
	21,1-6	139
	21,7	218
	21,7-17	218
	21,9	136
	21,11	219
	22,1	304
	22,1,2	250
	22,9-11	218
	22,18-19	218
	23,14	229
	23,14,15	304
	23,14,16,28	268
	23,16-18	230
	23,19	141.230
	23,25-28	230
	24,2-8	250
Β΄ Βασ.	8,3-6	278
	10,6-9	278
	10,19	278
	11,27	216

* Τὰ χωρία τῆς Παλαιᾶς Διαθήκης καταριθμοῦνται κατὰ τὸ κείμενον τῶν Ο΄.

		Σελ.
Γ' Βασ.	19,14	183
Α' Παρλ.	16,37	298
	16,41	298
	16,42	298
	25,1	298
Ψαλμ.	1,?	266
	1,4	301
	2,1-2	29
	2,1-2	273.350
	2,2	387
	2,4	272
	2,6	29.318
	2,7-8	355
	2,8	63.112.203.361
	3,2	33
	3,4	33
	4,2	38.39
	4,3	126
	4,7	334.344.349
	4,8	37
	6,7	219
	7,5	30
	7,15-17	207
	8,2	370
	11,7	158.359.367
	11,8	53
	12,1	224
	12,6	225
	13,1	225
	13,3	225
	13,6	227
	15,5	52
	15,5,6	294
	15,10	34.383
	15,11	29
	16,2	334
	17,3	186
	17,8	324
	17,9	249
	17,26,27	390
	17,31	359
	18,5	25.376
	18,10	52.138
	20,2-3	294
	20,5	294
	21,1	391
	21,13-14	368
	21,13,14	238
	21,15	143
	21,17	238.271

		Σελ
Ψαλμ.	21,19	387
	21,21	145
	21,21-22	311.384
	21,22	145
	21,23	44.146.277.379
	21,28	368
	22,1	153
	22,1-3	25
	22,23	23
	23,7,9	70
	25,6	108
	25,7	108
	25,8	292.357
	26,4	292.357
	26,6	129.330.340
	26,8-9	216
	26,13	111
	28,6	190
	28,9	178
	29,4	111.244
	29,7	162.216
	29,8	334
	29,12	117
	30,9	76
	30,23	120.121
	33,2	218
	33,8	209
	39,9	314
	33,16	128.334
	34,10	42
	34,13	163
	34,19	31
	35.10	177.178.307
	36,25	243
	37,5-6	269
	37,5,6	220
	38,2-3	297
	38,2,3	296
	38,6	296.301
	38,7	296.301.302
	38,9	296
	38,9-10	297
	38,11	297
	38,12	296.301
	38,13	58
	39,1	243
	39,2	99
	39,6	205
	39,7	341
	39,9	185
	41,3	307
	41,5	58.184
	42,3	254

		Σελ.			Σελ.
Ψαλμ.	43,6	68.116.177	Ψαλμ.	67,12	373
	43,11-14	177		67,12-13	190
	43,18	191		67,19	285
	43,23	191		67,21	373.374
	43,25	334		67,22	374
	44,11-12	114		67,23	372.373.374
	44,17	114		67,31	90
	45,5	151.205.289		67,34	373
	45,6-7	206		68,2,3	72
	45,11	34		68,10	89
	46,6	98		68,25	142
	46,8-9	205		71,6	355
	49,2	57		71,18,19	258
	49,3	69.349		72,2	297
	49,8	341		72,2,3	265
	49,9,10	341		72,25	307
	49,13	341		72,27	349
	49,14	217.233.249		73,1	388
	49,21	147		73,19	367
	50,11	178.334		75,2	201
	50,14	224		75,3	359
	50,18	341		76,3	289
	51,7	223		77,49	161
	51,10	223		81,1	213
	53,8	112		81,2	213
	54,7,8	245		81,6	34
	54,10	272		81,7	248
	54,10,11	271		83,2	58
	54,21,22	271		83,2-3	46
	54,24	268.271		83,3	321
	55,1	268.277		83,4	46
	56,1	268.277.314		83,5	285
	56,5	259.262.314		84,8	228
	56,6	283.284		87,7	243
	56,8	283		88,3	150
	56,10	259		88,16	129.330
	58,1	278.314		88,36	284.307
	58,7	280		91,12	273
	58,8	314		93,11	40
	59,14	62		95,1-3	228
	60,6	293		95,1-4	113
	61,10	39		96,3	69.349
	62,6	340		97,1,2	228
	64,6	347		101,5	163
	64,10	151		101,26	47
	64,12,13,	328		101,27-28	166
	64,14	341		102,1	122
	65,1	343		102,15	189
	65,4	343		103,24	159
	65,8	343		103,25	324
	65,10	368		103,26	324
	65,12	101		105,33	335
	67,5	373		105,43	335

		Σελ.
Ψαλμ.	106,20	132.253
	107,2,3	283
	107,4-6	283
	107,6	284
	107,7	283
	107,8	284
	107,10	281
	107,12	281
	108,3-5	350
	108,4-5	238
	108,5	143
	108,6	63
	108,24	163
	109,1	24.48.363.364
	109,3	24
	110,10	39.55.56.169.318
		347
	111,9	302
	113,1,4	255
	113,11	37
	113,24	79
	114,7	264
	114,7-8	339
	115,1	34
	115,2	170
	119,5	291
	123,4-5	373
	123,7	51.338
	126,1	216
	127,1	325
	128,3	77
	131,17	74
	134,19	91
	138,21	30
	140,2	308.326.341
	140,7	42
	141,2-4	251
	141,5	252
	141,8	258
	144,18	119
	146,1	326
	148,1	79
	148,4	79
	148,6	47
	148,13-14	186
Ἰὼβ	1,11	162
	2,5	162
	2,6	373
	3,3	216
	6,4	162
	19,21	162
	21,7,8	265
Ἰὼβ	38,16	199
	38,16-17	310.362.374
	39,1	178
	40,21	367
Παρμ.	1,24,26	313
	3,9	114
	3,18	19
	3,34	247
	13,8	212
	15,32	31
	18,17	220
	24,22	378
	27,3	38
Ἐκκλησ.	1,2	169.221.361
	5,3,4	319
	8,5	140
	12,14	20.210.267
Ἆσμ.	2,9,17	178
Σοφ. Σολ.	1,4-5	164
	1,13	48
	2,24	48.216
	7,13	137
	11,24	100
	13, 5	78.331
Σοφ. Σειρ.	8,10	252
Μιχ.	1,2-5	324
Ἰωὴλ	3,1	317
Ἰων.	2,6-7	374
Ἀββ.	3,15	198
Ζαχ.	13,7	138.143.389
Μαλ.	1,10-11	217
	1,10-12	115
Ἡσ.	1,2	214
	2,2	58
	2,4	201
	5,1	190
	5,1,6	70
	5,2	386
	5,5-6	257
	5,6	150.371
	5,7	386

		Σελ.
Ἠσ.	5,18	297
	6,3	258.360
	6,10	261
	7,9	34
	8,9	42
	9,1	366
	9,12	226
	11,6	387
	11,6-9	395
	11,10	395
	11,12	341
	21,1-2	52
	25,8	147
	26,18	189
	26,20	107
	27,1	324
	28,5	328
	30,15	125
	33,14	58
	35,1-6	333
	40,6	153
	40,9	58
	40,3-5	351
	40,6-7	372
	40,6-8	279
	40,7	279
	40,26	205
	40,14-16	88
	42,1-4	50
	42,6-7	354
	42,14	147
	48,28	61
	50,1-2	56
	50,6	145
	50,11	85
	51,17	52
	52,7	337
	52,10	288.317
	52,15	56
	53,2-3	192
	53,3	144.192
	53,4	144
	53,4-6	378
	53,5	87.144.389.390
	53,6	389.390
	53,7	119.176
	53,9	64
	56,10	271
	58,9	37.111.128.248 256.293
	59,20	57
	61,1	228
	61,1-2	327

		Σελ.
Ἠσ.	63,1	363
	63,2	363
	63,3	363
	65,13	271
	66,2	394
Ἱερ.	1,5	263
	1,14	206
	2,21	335.386
	5,1	183
	7,23	110.112
	8,4-5	297
	9,23	41
	10,12	115
	18,6	26
	20,14	216
	32,1	52
Ἰεζ.	2,3	335
	2,5	335
	2,7	335
	9,4	282
	9,5-6	282
	17,3-4	116
	17,12	116
	18,4	95.240
	18,23	118
	21,9	138
	21,9-10	193
	21,12	193
	21,19-20	193
Δαν.	2,10	25
	3,29	171
	7,7	25
	7,10	360
Ματθ.	1,21	31
	3,17	357.383
	4,19	370
	5,3	92.174.294.393.394
	5,4	110.119.179
	5,5	100.168
	5,6	92
	5,8	307
	5,16	114
	5,17	21
	5,44	30
	6,6	342
	6,9	79
	6,14	44
	6,22	42
	6,25	243

		Σελ.
Ματθ.	6,28	279
	6,30	153.279
	6,33	64
	7,2	105
	7,7	100
	7,7-8	366
	7,13	291
	7,14	27.384
	7,24	68
	7,25	373
	8,29	194.350
	9,15	382
	10,5,6	287
	10,9	243
	10,9,10	353
	10,22	252
	10,23	252
	10,27	336
	10,28	314
	10,30	209.362
	10,34-36	198
	10,40	30
	11,15	266
	11,18-19	382
	11,25	48.344
	11,28-30	23
	11,29	100.252.356.391
	12,3	140
	12,3-4	135
	12,36	64
	12,39-40	374
	12,41-42	53
	12,45	53
	12,47	380
	13,16	393
	13,51	211
	13,54-56	380
	15,24	287
	15,26	90
	16,18	71.289.356. 370
	17,5	190.383
	17,17	391
	17,20	199
	18,6	315
	18,10	209.315
	18,19	370
	18,20	26.70.146.206
	19,29	158.294
	21,16	46
	21,23	53.275
	22,7	193
	22,13	264
	22,16	243
Ματθ.	22,16-17	146
	22,32	240
	23,2-3	381
	23,14	381
	23,27	381
	23,37	143.182
	24,14	370
	24,31	214
	24,42	309
	24,43	309
	25,34	39.214.395
	25,34-35	174
	25,35	386
	25,35-36	214
	25,40	174.214
	25,41	354
	25,42	214
	26,31	143.389
	26,38	144.373
	26,39	61.63
	26,59	393
	27,1,2	238
	27,20	393
	27,25	90.272
	27,40-42	89
	27,40-43	379
	37,45-46	376
	27,50-52	376
	28,18-19	334
	28,20	26.70.113
	28,40-42	89
Μάρκ.	2,25-26	135
	10,5	355
Λουκ.	2,29-30	75
	2,29-31	228
	2,32	57
	2,34	84
	3,8	395
	4,18,19	228
	4,21	228
	4,34	284
	6,8	132
	6,21	119.168
	6,28	30.143
	8,11	199
	9,60	354
	10,19	76
	10,23	208
	10,24	208.346
	11,3	156
	12,30	243

Σελ.

Λουκ. 12,43 58
12,49 . . . . 69.198.214
15,7 180
19,23 158
21,26 79
23,2 38
23,5 38
23,42 38
24,1-6 86
24,29 90

Ἰω. 1,1 . . . .194.349.370
1,1-3 159
1,2 349
1,3 151
1,3,4 249
1,9 184
1,14 41
1,16 326
1,17 193
1,29 119
1,36 87
2,13-16 381
2,13-17 375
2,17 381
2,25 132
3,4 240
4,13 95
4,13-14 178
5,43 380
6,33 92
6,41 271
6,51 175
6,59 92
7,37 . . . . . . 95.375
7,37-38 178
7,38 . . . . . .122.171
7,38-39 326
7,39 95
7,51 234
8,12 185
8,31-32 34
8,43 380
8,48 380
9,10 249
9,29 380
10,11 . . . . . 113.210
10,18 373
10,16 63
10,27 113
10,27-28 63
11,41-43 375
12,27 . . . . . 144.373

Σελ.

Ἰω. 12,44-46 375
13,16 173
14,2 . . 98.196.321.396
14,6 . . 59.128.151.184
185
14,15-17 256
14,23 49
14,25,26 256
14,27 . . . . . 148.175
15,23 30
16,12,13 256
16,33 . . . . . . 27.214
17,5 . . . . . . 145.370
17,6,12 63
19,15 . . . . . . 90.272
19,28 375
19,28-30 386
20,17 . . . . . . 61.380

Πράξ. 1,8 357
1,9,10 70
1,14 380
2,1-10 369
2,20-32 60
4,32-35 158
8,1 285
8,4 285
8,17 285
12,15 209
13,22 61
17,5 198

Ῥωμ. 1,16-17 208
1,20 . . . . . . 79.331
1,22-23 226
2,4 . . . . . . 125.150
2,4-6 118
2,5 26
2,5-6 261
2,10 293
2,12 49
2,14 18
2,28-29 370
3,24-25 300
3,25 320
5,5 . . 68.85.103.151
164.185.222
5,8 168
5,20 37
7,24 . . . . . . 291.394
8,17 48
8,26 253
8,28-30 263

		Σελ.
Ῥωμ.	8,31	246.313
	8,32	389
	8,35	51.169.340
	8,37	32
	8,38	340
	9,8	370
	9,16	28
	9,27	80
	9,29	80
	10,11	80
	11,33	99.170
	11,22	303
	12,19	51
Α' Κορ.	1,5	326
	1,23-25	377
	1,24	211
	1,30	118
	1,31	41.80.129
	2,8	308
	2,9	101.154.322
	2,11	132
	2,16	58
	3,3	246.248
	3,11	71.206
	3,16-17	321
	3,21	41
	5,5	167
	6,16,17	310
	9,9	341
	9,27	109.172
	10,1	68
	10,4	71.107.292
	10,10	276
	10,11	231
	10,12	118
	10,22	152
	12,4-6	199
	12,8,9	321
	12,27	61.148.376
	12,26	141.182
	13,9	170.196
	13,10	196
	13,13	65
	15,6	357
	15,7	357
	15,8	365
	15,9	171
	15,10	290
	15,22	32
	15,26	48
	15,53	328
Β' Κορ.	1,9	179
	4,8	32
	4,8-9	313
	5,4	328
	5,10	210.267
	5,13	170
	5,16	41.58
	5,21	87
	6,1	42
	6,16	359
	8,9	174.356.391
	10,3	291.325
	11,3	315
	11,14	348
	11,25	338
	11,29	141.291
	12,11	109
	12,21	291
	13,4	144.377
Γαλ.	1,15	263
	2,20	138.281.306.325
	3,13	87
	3,24	355
	4,16	30
	4,17	153
	4,26	24.195.205.313 318.366.396
	6,14	41
Ἐφ.	1,3	31.41.344
	1,4	263
	1,11-12	263
	1,14	359
	1,17	332
	2,20	71
	4,10	310.360
	6,12	106.269.352
	6,13	162
	6,16	353
Φιλιπ.	2,7	174
	2,8	186
	2,9	77
	2,10	93.197
	3,2	90
	3,5	365
	3,12	109
	4,13	42.68.164.290 300.371
Κολ.	1,19	259
	2,16-17	36

		Σελ.
Κολ.	3,3-4	394
	3,5	195
Α' Θεσσ.	2,16	142.388
	4,16	180
	4,17	196
Α' Τιμ.	1,15	171
	2,1	102
	2,4	242
	3,6	82
	3,15	321
	6,16	178
Β' Τιμ.	2,11,12	367
	3,12	27.214
	4,7-8	32
	4,7,8	269
	4,8	41
Φιλ.	1,1	394
Ἑβρ.	3,13	107
	3,14	195

		Σελ.
Ἑβρ.	4,12	66.193
	8,1-2	180
	8,5	180
	9,11	59
	9,11-12	180
	10,37	185
	11,1	65
	11,37	291
	11,38	252
	12,16	286
	12,22	24.58.59.196 213.366.396
	12,22-23	205.218
Ἰακ.	5,12	59
	5,13	252
Α' Πέτρ.	1,4	39
	2,22	64. 87
	2,23	176
	5,5	247
	5,8	43.66
Α' Ἰω.	2,2	300.320
	5,17	95

ΠΙΝΑΞ

ΘΕΜΑΤΩΝ, ΟΝΟΜΑΤΩΝ, ΠΡΑΓΜΑΤΩΝ

(Συνταχθεὶς ὑπὸ τοῦ Ἐπισκόπου Ἀχαΐας Παντελεήμονος Καρανικόλα.

α) Οἱ πρῶτοι ἀριθμοὶ ἀναφέρονται εἰς τὴν σελίδα, οἱ δὲ μετὰ τὸ κόμμα εἰς τοὺς στίχους τῆς σελίδος.— β) Ὅταν εὑρίσκηται πρὸ τοῦ ἀριθμοῦ τῆς σελίδος τὸ σημεῖον σελ., τὸ ὄνομα ἢ πρᾶγμα ἀπαντᾶται περισσότερον ἢ δὶς εἰς τὴν αὐτὴν σελίδα.— γ) Ὅπου ἀπαντᾷ πρὸ τοῦ ἀριθμοῦ τῆς σελίδος τὸ σημεῖον σ, ἢ σ - ς, αἱ σελίδες δὲν ἔχουν τοὺς στίχους ἠριθμημένους.

Ἀαρὼν 91,10,15. 187,30. 392,39.

Ἀβακοὺμ 198,14.

Ἀβδοδώμ. Οἶκος — 16,17.

Ἀβεσσαλὼμ 27,7,12. 28,35. 31,33. σελ. 33. 35,9,21. σελ. 37. 38,40. 43,19. 45,16. 219,33,39. 304,37.

Ἀβηρὼν 240,15.

Ἀβιάθαρ 135,38,41. σελ. 136.

Ἀβιμέλεχ 133,35. σελ. 134. σελ. 135. σελ. 136. σελ. 141. σελ. 218. 219,11.

Ἀβραὰμ 58,1. 103,22. 157,17,19. σελ. 204. 239,43. 280,24. 370,35. Πίστις — 43,31.

Ἀγαθά. Ἀληθῶς — 36,1 ἑξ.

Ἀγαθόν. — τελικὸν 97,23 ἑξ. Ἔκκλινον ἀπὸ κακοῦ καὶ ποίησον — πῶς νοητέον 158,34 ἑξ.

Ἀγαλλίασις. — ἐν Κυρίῳ 129,11 ἑξ.

Ἀγάπη. — Θεοῦ πρὸς πάντα τὰ ὄντα κ.λ. 349,19 ἑξ. Πίστις, ἐλπὶς — 65,15.

Ἀγαπητός. — Θεοῦ σελ. 190. Βέλη τοῦ — πῶς νοητέα 194,5 ἑξ. Δυνάμεις — σελ. 357. Ἔργον τοῦ — 193,5 ἑξ. Περὶ δυνάμεων — 357, 20 ἑξ. Προφητεία ὑπὲρ — ἐν μδ' ψαλμῷ 371,28 ἑξ. Ὠδὴ ὑπὲρ — 189, 28,33.

Ἄγγελοι 357,21. — καὶ ἅγιοι, φρουροὶ Ἐκκλησίας 209,11. — φύλακες τῶν κατὰ τόπους Ἐκκλησιῶν 210,1 ἑξ.

Ἅγια. — ἁγίων 383,1. — ἁγίων, τί ἦσαν 107,12 ἑξ.

Ἅγιοι. — Θεοῦ οἱ δεδοκιμασμένοι τῷ ἀργυρίῳ 367,38. — καὶ ἄγγελοι φρουροὶ Ἐκκλησίας 209,11. — πάντες ἀνεδέχθησαν τὴν Χριστοῦ εἰκόνα 32,26. — συμβολισθέντες διὰ μονοκερώτων 115,40 ἑξ. — φόβος Θεοῦ, καθαρότης καρδίας κ.λ. 138,1 ἑξ. Ζωὴ — 291,11 ἑξ. Θλίψεις — 32,34 ἑξ. Νίκη — 32,30 ἑξ. Τιμωρίαι ἐχθρῶν καὶ βασανιστῶν 85,18 ἑξ. Τοῖς — τοῖς ἐν τῇ γῇ αὐτοῦ ἐθαυμάστωσεν ὁ Κύριος, πῶς ἑρμηνευτέον 61,22-62,36.

Ἅγιος. Θεὸς παντὸς ἔπαινος 88,11 ἑξ. Τὸ «ὁ Θεὸς ἐλάλησεν ἐν τῷ — αὐτοῦ», πῶς ἑρμηνευτέον 284,19 ἑξ.

Ἁγνεία. — διαρκὴς 82,1. — καὶ παρθενία, βραβευόμεναι 196,29. — παντελὴς 309,3 ἑξ. Καθαρότης καὶ — 306,25 ἑξ.

Ἀγχοῦς 249,12. 250,14. — βασιλεὺς Γὲθ 133,39, σελ. 134.

Ἀγών. — πνευματικὸς καὶ βοήθεια Θεοῦ κατ' αὐτὸν 246,23 ἑξ. — πρὸς ἀρχάς, ἐξουσίας, κοσμοκράτορας σκότους κ.λ.π. 246,3 ἑξ.

Ἀδὰμ 32,10. 211,26,29.

Ἅδης σελ. 212. — προσομοιαζόμενος λάκκῳ 244,5. Κάθοδος Χριστοῦ εἰς — 29,23. 46,34 ἑξ. 64, 29. Κατάβασις Χριστοῦ εἰς — προφητευθεῖσα 117,14.

Ἀδικία. Οὐ δεῖ ἐλπίζειν ἐπὶ — 302, 7 ἑξ.

Ἀδοναΐ. — Κύριος 193,25.

Ἀδραζὰρ σελ. 278. — βασιλεὺς Σωβᾶ 278,13.

Ἀδραζάρ. — υἱὸς Ἰαὰβ 278,7.

Ἀθανασία. Θάρρος ἐν ἐλέει Θεοῦ διὰ τὴν — 295,41 ἑξ.

Ἄθεοι. — βδελυκτοὶ Θεοῦ εἰσι 40,16.

Διδάγματα — ἀπαλλύμενα 86,3 ἑξ.
Ἄθεος. — ἄφρων ἀληθῶς ἐστι 39,30 ἑξ.
Ἀθῆναι 198,10.
Αἰγύπτιοι. — πάντων ἀνθρώπων καὶ ἐθνῶν δεισιδαιμονέστεροι 368,25 ἑξ.
Αἴγυπτος σελ. 71. 115,18. 201,31. 280,25. 283,6. σελ. 348. 354, 40,41. 355,4. σελ. 368. σελ. 369.
Αἰείας 298,23.
Αἰθάμ. — Ψαλμοὶ ἐπιγεγραμμένοι τῷ — 12,5.
Αἰθὰν 16,24. 17,15,36. 306,8.
Αἰθιοπία 348,3,6. 368,32,39. 369,11. «—σπευσάτω διδοῦσα χεῖρα τῷ Θεῷ», πῶς ἑρμηνευτέον 368,32 ἑξ.
Αἰλεὶν 250,24.
Αἷμα — καὶ σῶμα Χριστοῦ μεταλαμβανόμενα κατὰ Κυριακὴν 93, 10 ἑξ. — Χριστοῦ ἀπολυτρωτικὸν 119,12 ἑξ.
Αἰμὰν 16,24. 17,14,36. σελ. 298. 306,8.
Αἰνεῖν. Τὸ «—τὸν Θεὸν τὰ πάντα», πῶς νοητέον 394,30 ἑξ.
Αἱρέσεις. Τιμωρίαι Θεοῦ διὰ τὰς — 266,35 ἑξ.
Αἱρετικοί. — βδελυκτοὶ Θεοῦ εἰσι 40,16. — γέμουσιν ἀρᾶς 50,41 ἑξ.
Αἰσθήσεις. Ἀνάγκη καθαρότητος πασῶν — 129,27 ἑξ.
Αἰσχύνη. Βασὰν ἑρμηνευόμενον — 363,22.
Αἰών. Εὐφροσύνη πιστῶν ἐν τῷ μέλλοντι — 334,5 ἑξ.
Ἄκακοι. — κολλώμενοι — 102,16 ἑξ.
Ἀκτῖνες. — ἀόρατοι καὶ ἀφανεῖς Θεότητος Χριστοῦ 350,33.
Ἀκύλας. — δουλεύων τῇ Ἑβραϊκῇ λέξει 144,35. — μεταφραστὴς Π. Διαθήκης 11,25. 20,7. 24,30. 32,19,27. 34,13,14. 35,21. 50,32. 51,27. 62,22. 66,24,27. 68,13. 69,8. 72,38. 73,34. 75,6,39. 78,8. 81,10. 82,7. 84,20. σελ. 90. 92, 32. 93,20. 100,25. 101,21. 109, 4,36. 110,8. 112,18,22. 115,5. 122,24,27. 123,11. 124,32. 127, 7. 128,12. 129,22. 131,42. 135,1. 137,20,21. 144,3,34. 145,35.146, 10,32. 150,26. 152,32. 153,5. 154,1,17. 158,13. 161,1. 163,14. 166,12,21. 173,12. 175,26,30. σελ. 176. 177,25. 179,39. 180,34. 182,15. 188,6. 190,20. 191,31,40. 192,17. σελ. 194. σελ. 195. 197,8. 199,25. 203,36. 207,38. 209,15. 210,32. 212,27,38. 223,35. 227, 14. 230,21. 233,4. σελ. 235. 238, 36. 240,19,34. 242,18. 244,13. 245,6,29. σελ. 246. 247,26. 252, 30. 253,16. 254,35. 271,15. 275, 18. 276,20. σελ. 279. 280,9,40. 281,4,25. 282,2,15. 284,31. 285,1. σελ. 286. 291,1. 292,23,28. 293, 30. 295,24. 297,24. 298,25. 299, 12,36. 300,27. 301,6,15. 303,26. 306,23. 309,12. 312,10. 314,38. σελ. 324. 325,37. 331,21. 334,9. 338,14,26. 345,26. 351,23. 352, 39. 354,24. 356,1. 365,27,34. 368, 27,37. 369,38. 371,27,36. 374,31. 376,23. 377,16. 382,16. 384,35. 385,25. 388,25. 389,1. 390,24. 392,3. 393,4.
Ἀλαλαγμός. — τῷ Θεῷ, πῶς γίνεται 330,28 ἑξ.
Ἀλαλάζειν. — τῷ Κυρίῳ πᾶσαν τὴν γῆν, πῶς νοητέον 330,2 ἑξ.
Ἀλήθεια. — Θεοῦ 150,35 ἑξ. — Θεοῦ, ποῦ προχέεται 150,11 ἑξ. — καὶ πίστις 34,26 ἑξ. Ἔλεος καὶ — ἀποστελλόμεναι ἐκ Θεοῦ ὁ Υἱὸς Αὐτοῦ ἐστι 254,5 ἑξ. Ἐρασταὶ — 121,36. Θεὸς — 121,23. Περίφραξις δι' — 295,38.
Ἀλληλούϊα. — ψαλλόμενον ἐν Ψαλμοῖς 18,1. Ψαλμῳδία τοῦ — 16,33.
Ἀλλοιωθησόμενοι. Ψαλμοὶ ὑπὲρ τῶν — 371,24 ἑξ.
Ἀλλοίωσις. — μέλλουσα 279,18 ἑξ. Περὶ καλῆς — 190,10 ἑξ.
Ἁλός. Φάραγξ — 278,40.
Ἁλῶν. Φάραγξ — 219,23. 277,31. 278,6. 304,34.
Ἁμαρτάνειν. Ὀργίζεσθαι καὶ μὴ — πῶς νοητέον 35,5 ἑξ.
Ἁμαρτάνων. — παραδίδεται ὑπὸ Θεοῦ ἄφρονι 167,5 ἑξ.
Ἁμάρτημα. Πᾶν — ἐξ ἀσθενείας 41, 35 ἑξ.
Ἁμαρτήματα. Ἐξομολόγησις — 382, 6 ἑξ. Ἐξομολόγησις προτέρων — 99,37 ἑξ.
Ἁμαρτία. — καὶ κόλασις 26,36. — κόσμου, ἀναληφθεῖσα ὑπὸ ἀνα-

μαρτήτου Χριστοῦ 87,19 ἑξ. — λοιμός ἐστι 18,23 ἑξ. — μακρὰν παντὸς συνόντος Θεῷ 95,23. — οὐκ ἐπράχθη ὑπὸ Χριστοῦ 64,25 ἑξ. — οὐ κρύπτεται ἐξ ὀφθαλμῶν Θεοῦ 260,1 ἑξ. — ποιεῖ λησμονεῖν ἡμᾶς τὸν Θεὸν 54,32. Ἄφεσις — 57,12. Ἐλευθερία ἐξ — διὰ Χριστοῦ 354,8 ἑξ. Λάκκος ταλαιπωρίας τὸ βάθος — 168,31 ἑξ. Σκότος καὶ — 55,6 ἑξ. Χριστὸς οὐκ ἐποίησεν — 87,16 ἑξ.

Ἁμαρτίαι. — πρὸς θάνατον 133,22. Ἄφεσις — 117,12. Ἄφεσις — καὶ ἀνόρθωσις ἐξ αὐτῶν 72,30 ἑξ. Ἐλπίς, ἱκεσία καὶ θεραπεία — 164,37 ἑξ. Προσευχὴ δι' ἄφεσιν — 127,26 ἑξ. Ταπείνωσις ἐξ — 362,32. Ταπείνωσις καὶ ἄφεσις — 102,1 ἑξ. Τρόποι ἀφέσεως — 126,2-127,25.

Ἁμαρτωλοί. — συντριβήσονται ὑπὸ Θεοῦ 262,1 ἑξ. — τί μετὰ θάνατον κομιοῦνται 311,5 ἑξ. Κολάσεις — 52,11 ἑξ. Παιδεία Θεοῦ πρὸς — 52,29 ἑξ. Τιμωρίαι 264,4 ἑξ. Τιμωρίαι ἐπὶ — καὶ υἱῶν αὐτῶν 67,11 ἑξ.

Ἁμαρτωλός. — πότε εὐλογεῖ τὸν Θεὸν 213,3 ἑξ. — τίς καλεῖται παρὰ ψαλμῳδοῦ 215,3 ἑξ. Τέλος — 155,1 ἑξ. 155,20 ἑξ.

Ἀμμὰν 286,31.

Ἀμμὼν 278,24.

Ἀμνησικακία 43,28 ἑξ. 35 ἑξ.

Ἀμνός. — Θεοῦ 330,33.

Ἀναγέννησις. — ἀναγκαία ἐστὶ 23, 3 ἑξ. Ἀποτελέσματα — 169,8 ἑξ.

Ἀνάληψις. — Χριστοῦ 46,32 ἑξ. 285,8.

Ἀναμαρτησία. — Χριστοῦ 64,25 ἑξ.

Ἀνάστασις. — ἀσεβῶν — κολάσεως καὶ τιμωρίας 20,3 ἑξ. — μετὰ τῶν ἁγίων 264,29. — νεκρῶν 47,27. — Χριστοῦ 29,25. 54,1 ἑξ. 60, 30. 64,32. 143,25. 235,17. 349, 32 ἑξ. — Χριστοῦ καὶ διασκορπισμὸς ἐχθρῶν 350,1 ἑξ. — Χριστοῦ καὶ δι' αὐτοῦ — πάντων ἀνθρώπων 30,3 ἑξ. — Χριστοῦ προφητευθεῖσα ἐν ΝΔ' Ψαλμῷ 240, 23 ἑξ. Δαυῒδ πρωτος διδάξας περὶ — καὶ κρίσεως 20,14 ἑξ. Θάνατος καὶ — Χριστοῦ 31,17 ἑξ. Ὁδὸς — πάντων παρασχεθεῖσα ὑπὸ Χριστοῦ 29,31 ἑξ. Πόσοις ἐφάνη ὁ Χριστὸς μετὰ τὴν — 357,12 ἑξ. Προφητεία περὶ γεγονότων κατὰ τὴν — Χριστοῦ 86,27 ἑξ. Προφητεία περὶ — Χριστοῦ 60,17-61, 21.

Ἀναστῆναι. — τὸν Θεὸν καὶ διασκορπίζεσθαι τοὺς ἐχθροὺς αὐτοῦ κ.λ., πῶς νοητέον 348,17 ἑξ.

Ἀνεξικακία 30,17 ἑξ. — Δαυῒδ 103, 25. — Χριστοῦ 144,1 ἑξ.

Ἄνθρωποι. — ἀγαθοὶ καὶ κακοὶ μετὰ θάνατον τί κομιοῦνται 310,29 ἑξ. — διαφθαρέντες ἐσεβάσθησαν τὰ εἴδωλα 225,11 ἑξ. — κατ' εἰκόνα καὶ ὁμοίωσιν Θεοῦ 94,20 ἑξ. —

Ἄνθρωπος. — πονηρὸς καὶ φαῦλος τίσι θηρίοις προσομοιάζεται 254, 39 ἑξ. — ποῦ ὁδηγεῖται διὰ διδασκαλίας Κυρίου 101,14 ἑξ. — ποῦ ὁδηγεῖται δι' ὁδοῦ Κυρίου 101,4 ἑξ. — πρὸς ὕψη δεῖ ἵστασθαι 75, 17 ἑξ. — πῶς ὑψοῦται παρὰ Θεοῦ 28,21 ἑξ. Ἀγωνία — ἐν τῷ παρόντι βίῳ 111,1 ἑξ. Ἄκρα — τελειότης καὶ πρόσωπον Θεοῦ 108, 26 ἑξ. Ἀξία — 47,21-48,10. Ἔπαρσις — πῶς νοητέα 107,36 ἑξ. Καθαρότης καὶ ἀγνότης καρδίας — 64,25 ἑξ. Ὅτι οὐ δεῖ μακαρίζειν — πρὸ τελευτῆς αὐτοῦ 172,8. Πᾶς — παραβάτης 64,41.

Ἀνθρωπότης. — πρὸ τῆς Χριστοῦ παρουσίας 55,28-56,13.

Ἄννας 238,23.

Ἀνοχή. — Θεοῦ ἐπὶ ἀσεβέσι 51,17.

Ἀνταπόδοσις. Ἡμέρα — ἐλευσομένη 327,36 ἑξ. Κρίσις τελικὴ καὶ — 49,30 ἑξ.

Ἀντίοχος 14,12.

Ἀπάθεια. Ὕσσωπος σύμβολον — 216,30 ἑξ.

Ἀπιστία. — Ἰουδαίων προφητευθεῖσα 53,9 ἑξ.

Ἀπολύτρωσις. — τῷ Χριστοῦ αἵματι 119,12 ἑξ.

Ἀποσπάσματα. — εἰς τοὺς Ψαλμούς, ἔργον Εὐσεβίου Καισαρείας 11,1 ἑξ.

Ἀπόστολοι. — ἐκήρυξαν πᾶσι τοῖς ἔθνεσι 203,4 ἑξ. — κήρυκες ἐθνῶν 343,26. σῶμα Κυρίου 211,25. Διαδοχὴ — πληρώσασα τὴν 346,

36 ἑξ. Διασκορπισμὸς — προφητευθεὶς 143,15 ἑξ. Κήρυγμα — 200,25. Ὀνόματα — τινῶν καὶ ποῦ ἐδίδαξεν ἕκαστος 358,15 ἑξ. Προφῆται καὶ — παραδόντες τὴν Σωτῆρος Θεολογίαν 364,34 ἑξ. Ταπεινότης — προφητευθεῖσα 73, 34 ἑξ.
Ἀρεταί. — ἁγίων, δι' ὧν θαυμαστοῦται ὁ Θεὸς 61,30 ἑξ.
Ἀρετή. — Σωτῆρος 327,11. Ἐπίκλησις — πρὸς τὸν Θεὸν 269,30 ἑξ. 38 ἑξ. Θεοῦ — σημεῖον 325,41. Οὐ μία πρᾶξις καὶ — τελειοῖ τὸν ἄνθρωπον 59,20 ἑξ.
Ἀριθμός. Περὶ — ψαλμῶν 16,35.
Ἁρμονία. — ἐν τῇ δημιουργίᾳ 79, 31 ἑξ.
Ἅρπαγμα. Οὐ δεῖ ἐπιποθεῖν ἐπὶ — 302,8 ἑξ.
Ἄρτος. — οὐράνιος 137,31 ἑξ.
Ἀρχάγγελοι 357,22.
Ἀρχιερεύς. — μέγας ὁ Μονογενὴς Θεοῦ 367,4.
Ἀσὰφ 16,24. 17,14,36. 32,25. 176,33. σελ. 213. 298,18. 305,32. 306,7. 371,26. ψαλμοὶ ἐπιγεγραμμένοι τῷ — 125,5.
Ἀσεβεῖς. — οὐκ εὐθέως ἀλλὰ κύκλῳ περιπατοῦσι 54,21. — συντριβήσονται 116,14. Φῶς Θεοῦ τί ποιεῖ 124,30 ἑξ. Ἀνάστασις — ἀνάστασις κολάσεως καὶ τιμωρίας 20,3 ἑξ. Ἀνοχὴ Θεοῦ ἐπὶ — 51,17 ἑξ. Διδάγματα — ἀπολλύμενα 86,3 ἑξ. Καρπὸς πρόσκαιρος ὁ τῶν — ἐστὶ τοιοῦτος 19,37 ἑξ. Κρίσις — 51,17 ἑξ. Πρόσκαιρος ἡ εὐτυχία — 50, 15 ἑξ. Συγχρωτισμὸς μετὰ — φευκτέος 104,13 ἑξ. Τέλος — 155,20 ἑξ. 212,18 ἑξ. 262,1 ἑξ. Τιμωρίαι — 264,4 ἑξ.
Ἀσεβής. — εἰ καὶ μικρὸν ἀφίεται ὑπὸ Θεοῦ τῇ Ἐκκλησίᾳ τοῦ Θεοῦ, ὅμως ἐν τῷ τέλει ἐκτίλεται 211, 1 ἑξ. Πτῶσις — καὶ τέλος αὐτοῦ 160,6 ἑξ.
Ἀσία 369,7.
Ἄσκησις. — ἔνθεος 175,1.
Ἆσμα. — Θεῷ, τίς προσάγει 351, 12 ἑξ. Νυμφίος προσομοιαζόμενος ἐν — ἐλάφῳ 178,2.
Ἀστέριος. — Ἀρειανὸς 37,13.
Αὐτεξούσιον. — ἀνθρώπου 149,34. 262,1.36 ἑξ.
Ἀχιμέλεχ σελ. 134. 136,8. 218,3. 303,33. 304,12.
Ἀχιτόφελ 39,2. 43,20. 45,15.
Ἀχιτὼβ 218,13.
Ἀχοῦς. — βασιλεὺς Γὲθ 303,34.

Βαβυλὼν 15,20. 116,10. 185,24. 193, 30.
Βάπτισμα 126,28. Κάθαρσις διὰ — 215,32 ἑξ. Υἱοθεσία διὰ — 24,26 ἑξ.
Βαραββᾶς 38,28. 393,11.
Βασὰν 90,9,10. 362,40 σελ. 363. 364,13. σελ. 372. 373,8,14. 374, 29. — ἑρμηνευόμενον αἰσχύνη 363, 22.
Βασιλεία. — οὐρανῶν 318,22. — Χριστοῦ καὶ μετὰ τὸ πάθος αὐτοῦ 24,3 ἑξ.
Βασιλεῖαι. Βίβλοι — 16,15. 27,9. 134, 2. 135,25. 207,41. Βίβλος 17,1. 218,7. 229,34. 244,33. 280,27. σελ. 304. 305,38. Βίβλος Α' — 267,23. Βίβλος Β' — 278,7.
Βέλη. — Κυρίου καὶ — πονηροῦ 162, 5-163,5. — τοῦ Ἀγαπητοῦ, πῶς νοητέα 194,5 ἑξ.
Βενιαμὶν 270,33. σελ. 365.
Βερξελλί. — Γαλααδίτης 38,4.
Βηθσαβεὲ 279,2. 304,36. 215,26.
Βίος. — θεοσεβής, ὁδὸς Θεοῦ 344,27.
Βοήθεια. — ἐκ Θεοῦ ἀναγκαία 118, 29 ἑξ.
Βορρᾶς. Τὰ κατὰ τὸν Ψαλμῳδὸν πλευρὰ τοῦ — πῶς νοητέα 206, 7 ἑξ.
Βοσὸρ 363,33.
Βουλαί. — ἐθνῶν καὶ —ἀρχόντων κατὰ Χριστιανῶν διασκεδάζονται ὑπὸ Κυρίου 131,1 ἑξ.
Βούλημα. — Θεοῦ 118,11. 231,22. — Θείας Προνοίας 257,28.

Γαβεὲ 234,19.
Γάδ. — προφήτης 303,35.
Γαδδί. Ἔρημος — 250,21.
Γαλαὰδ 280,36. σελ. 286. 287,28. 288,5,37.
Γαλιλαία 86,38. 366,5,6.
Γὲθ 133,39. 134,6,28. 219,14. σελ. 244. σελ. 245. 249,12. 250,12,15.

251,41. 254,28. 255,13. 268,4. 277,37. 303,34. 304,27.
Γέννησις. — Χριστοῦ σαρκικὴ 24, 20 ἑξ.
Γῆ. — μετὰ τὴν παρακοὴν βλαστήσασα ἀκάνθας καὶ τριβόλους 346, 16 ἑξ. Ἀλαλάζειν τῷ Κυρίῳ πᾶσαν τὴν — πῶς ἑρμηνευτέον 330,2 ἑξ. Διαδοχὴ ἀποστόλων πληρώσασα — 346,36 ἑξ. Τὸ «ἀπὸ περάτων τῆς γῆς πρὸς σὲ κεκράξομαι», πῶς ἑρμηνευτέον 290,26 ἑξ.
Γινώσκειν. Πιστεύειν τὸν Θεὸν διάφορον τοῦ — αὐτόν ἐστι 34,36 ἑξ.
Γνόφος. — ὑπὸ τοὺς πόδας Θεοῦ 70, 1 ἑξ.
Γνῶσις. — Θεότητος ἐν Υἱῷ 48,27 ἑξ. — Θεοῦ 332,19. 368,31. 395,14. — Θεοῦ δι' εὐαγγελικοῦ κηρύγματος 116,21. — καὶ προσευχὴ 331,7 ἑξ. — σωτήριος 59,23. — Χριστοῦ ἀναγκαιοτάτη 27,1 ἑξ. — ψευδώνυμος, καθέδρα λοιμῶν 18,21. Κάθαρσις, ἀπάθεια καὶ — 216,31. Μέθεξις — θείας 201, 30.
Γοδολείας 298,23.
Γολγοθᾶς 238,32.
Γολιὰδ 314,5.
Γολιὰθ 135,20. σελ. 136. 268,8. 269,14.
Γομόρρα 335,29. 386,17.
Γονυκλισία 93,22 ἑξ.
Γραφαί. — θεῖαι 387,28. 395,33. — θεόπνευστοι 133,28. 341,20 ἑξ. — ἱεραὶ 25,11.
Γραφή. — θεία 239,32. 378,5. — θεόπνευστος 19,16. 100,41.

Δαθὰν 249,15.
Δαίμονες. — θηρία καλάμου λεχθέντες 367,25 ἑξ. Διασκορπισμὸς — 368,16 ἑξ.
Δάκρυα. — τροφὴ καθημερινὴ 179, 1 ἑξ. Ἱκεσία μετὰ — ἀναπεμπομένη 167,35 ἑξ.
Δαμασκός. Συρία — 278,12,15.
Δανεισμός. — πνευματικὸς 158,13 ἑξ.
Δανιὴλ 25,17. 171,37. 360,10. Κέρατα Γραφῆς — αἱ βασιλεῖαι νοητέαι 186,10 ἑξ.
Δαυῒδ σελ. 12. 13,29. 14,24,27. 15, 31. 16,16,29. σελ. 17. 24,24,39. σελ. 27. 28,30,32. σελ. 29. σελ. 31. σελ. 32. 33,6. 34,1,36. 35, 10. σελ. 37. 38,12. 39,1,10. 42, 24. σελ. 43. 44,32. σελ. 45. σελ. 51. 53,1. 54,24. 55,12. σελ. 57. 59,7. σελ. 60. 61,30. 63, 33. σελ. 67. σελ. 68. σελ. 74. 75,16. 77,29,32. 78,3,7. σελ. 83. σελ. 84. 85,1,13. 86,26. 87,5. σελ. 94. 95,15. 96,21. σελ. 98. 99,36,38. 102,33,36. σελ. 103. 105,21,22. 106,33. 107,41. σελ. 110. 111,9. 112,27. 113,7. 116, 36. 117,20,26. 121,4,7. 126,1,5. 128,9,31. 129,5. 133,34,38. σελ. 134. σελ. 135. σελ. 136. σελ. 137. 138,11. 139,24. σελ. 140. σελ. 141. 144,32. σελ. 149. 152,23. σελ. 160. 161,34. σελ. 162. 163,1,22. σελ. 165. 167,8. σελ. 168. 170,17. 171,17. 172,12. 173,21. 174,18,20. 175,20. 176,32,34. 177,15,22. 183, 6. 215,24. σελ. 218. σελ. 219. 220,18. 221,35. 222,9. 223,34. σελ. 224. σελ. 229. σελ. 230. 231,35. 232,38. σελ. 233. σελ. 234. σελ. 244. σελ. 245. 249,34. σελ. 250. σελ. 251. σελ. 252. 253,1,29. 254,5. 255,12. σελ. 258, 259,11. 262,17. σελ. 267. σελ. 268. σελ. 269. 273,14,19. 277,28,36. σελ. 278. 279,2,40. σελ. 280. 281,20. 283,29. 284, 28. 290,30. 292,1. 293,8. 294, 25,39. σελ. 295. σελ. 296. 297, 3,17. σελ. 298. 299,9,28. σελ. 303. σελ. 304. 305,33. σελ. 306. 307,29. 308,40. 310,9. 311,20, 24. 312,4. σελ. 313. 314,25. 315, 19,40. 317,14,26. σελ. 320. 322, 12. 341,36. σελ. 347. 348,11. 364,41. 371,21,25. 374,39,40. 375,6. — πρῶτος τὴν ἀνάστασιν καὶ κρίσιν διδάξας 20,14 ἑξ. Ἔκτασις βασιλείας — 280,21 ἑξ. Οὐχὶ πάντες οἱ ψαλμοὶ — εἰσὶ 11,29 ἑξ. Ψαλμοὶ ἐπιγεγραμμένοι τῷ — 12,4. 110,26 ἑξ.
Δεήσεις. Ψαλμοὶ ὄντες — ἢ ἱκεσίαι ἢ ἐξομολογήσεις 103,6 ἑξ.
Δέρβη 198,9.
Δεσμοί. — ἐν ἰδίοις κακοῖς 22,8 ἑξ.
Δημήτριος. — ἐν Ἐφέσῳ 198,8.

Δημιουργήματα. Θαυμαστὰ τὰ Θεοῦ — 46,41 ἑξ.

Δημιουργία. — καὶ Λόγος Θεοῦ 96, 26 ἑξ. Ἁρμονία ἐν τῇ — 79,31 ἑξ. Λόγος Θεοῦ, πνεῦμα στόματος αὐτοῦ καὶ — 130,13 ἑξ.

Δημιουργός. Θεὸς ποιητὴς — καὶ βασιλεὺς πάντων 319,6.

Διάβολος. — μιμητέος ὡς πρὸς τὴν σπουδὴν διὰ τὸ ἔργον αὐτοῦ 66,4. —νοητέος ἐχθρὸς δυνατώτερος πάντων 139,33. Βέλη Θεοῦ καὶ βέλη — 162,5-163,5. Καθαίρεσις παρατάξεως — 323,35 ἑξ.

Διαθήκη. — Καινὴ 13,22. 39,21. 50,5. 113,25. 213,12. 215,7. 243, 19. 330,31. 355,34. 358,28.32. 392,5. — καινὴ καὶ σωτήριος 393, 23. Κυρίου 16,17. — Κυρίου 100, 32, ἑξ. 40 ἑξ. 101,20 ἑξ. Παλαιὰ 115,13. 358,28,32. — σωτήριος 393,23. Κιβωτὸς — Κυρίου 16, 17,27.

Διάνοια. Εὐφροσύνη ἡ κατὰ — 37,1.

Διασπορά. — Ἰουδαίων μετὰ Χριστοῦ παρουσίαν 287,29 ἑξ. — Ἰουδαίων προλεχθεῖσα 388,38 ἑξ.

Διάψαλμα 11,25. — παρὰ τοὺς Ἑβδομήκοντα ἐλλείπει παρὰ Συμμάχῳ καὶ Θεοδοτίωνι 21,36 ἑξ. Εὐσεβίου Καισαρείας περὶ τοῦ — 17,33 ἑξ. Περὶ ᾠδῆς — 49,21 ἑξ.

Διδασκαλία. — Κυρίου ποῦ ὁδηγεῖ τὸν ἄνθρωπον 101,14 ἑξ.

Δίκαιοι. — διατί ὑπὸ Θεοῦ κριθήσονται 52,9. — παρακελεύονται ᾄδειν καὶ ψάλλειν τῷ Θεῷ 351, 1,17 ἑξ. — τί μετὰ θάνατον κομιοῦνται 311,5 ἑξ. — τί λήψονται ὑπὸ τοῦ μεγάλου ἀγωνοθέτου 312,31 ἑξ. Ἀπολαυαὶ — 156,20 ἑξ. Εὐφροσύνη — ἐν ἀναστάσει Κυρίου 350,34 ἑξ. Κληρονομία — 159,7 ἑξ. Ὁδὸς λεία ἣν ἀπεργάζονται, τίς νοητέα 351, 19 ἑξ. Ὀφθαλμοὶ Κυρίου ἐπὶ — 128,23 ἑξ. Πολλοὶ οἱ πειρασμοὶ — 172,31. — 173,20.

Δικαιοκρισία. — Θεοῦ 44,39 ἑξ.

Δίκαιος. — κατὰ Θεὸν πλουτῶν 157, 12 ἑξ. — οὐκ ἐγκαταλείπεται ὑπὸ Θεοῦ 157,36 ἑξ. — πότε εὐλογεῖ τὸν Θεὸν 213,3 ἑξ. — πῶς παραδειγματίζεται ἐκ τοῦ ἀσεβοῦς 160, 17 ἑξ. — σχολάζει εὐχαῖς 313,1 ἑξ. — ὑπὸ Θεοῦ κατευθύνεται 157, 24 ἑξ. — χαίρει ἐπὶ τῇ ἀποδόσει τῆς δικαιοσύνης 265,19 ἑξ. Ἐκ δεξιῶν — ὁ Κύριος 63,31. Κατάρα οὐχ ἵσταται — 157,21 ἑξ. Κρεῖσσον ὀλίγον τῷ — 156,6 ἑξ. Περὶ — ἀρετῶν αὐτοῦ καὶ ὅτι οὐκ ἐγκαταλείπεται ὑπὸ τοῦ Θεοῦ 159, 18 ἑξ.

Δικαιοσύνη. — Θεοῦ 52,27 ἑξ. 150, 20 ἑξ. 35 ἑξ. Ὁ Χριστὸς 40,23. Ἀνταπόδοσις Θεοῦ κατὰ — 72, 41 ἑξ. Ἀπόδοσις — χαρά ἐστι τῷ δικαίῳ 265,19 ἑξ. Θεὸς τὰ πάντα διέπει διὰ — 270,24 ἑξ. Θυσία — 35,25 ἑξ. Χαρὰ καὶ εἰρήνη τῶν θελόντων — 148,10 ἑξ.

Δικαιωτήριον — θεῖον 210,17.

Δίψα. — διὰ διψώσης ἐλάφου συμβολιζομένη, πῶς ἑρμηνευτέα 177, 31 ἑξ.

Διωγμοί. — καὶ πειρασμοὶ ὕδατα καλούμενοι 373,18 ἑξ. — κατὰ Ἐκκλησίας καὶ νῖκαι αὐτῆς 200, 12 ἑξ. — κηρύκων Εὐαγγελίου 337,5 ἑξ. — κηρύκων Εὐαγγελίου καὶ Χριστιανῶν καθαρτικὰ ἐγένοντο τοῖς μάρτυσι 337,20-339,14 ἑξ. — προλεχθέντες 367,14 ἑξ. — προσδοκώμενοι ὑπὸ τῶν κατὰ Θεὸν ζώντων 27,22 ἑξ. — προφητευθέντες 131,3 ἑξ. Ἀνοχὴ εἰς — προλαληθεῖσα 188,9 ἑξ. Δύναμις ἐν τῇ Ἐκκλησίᾳ κατὰ — κ.λ. 197,32 ἑξ. Ἐκ — μάρτυρες ἐξήχθησαν ὑπὸ Θεοῦ εἰς ἀναψυχὴν 339,15 ἑξ. Νίκη Ἐκκλησίας Θεοῦ κατὰ τοὺς — 207,4 ἑξ. Προσευχαὶ κ.λ. μαρτύρων κατὰ — 341,4 ἑξ. Προστασία Θεοῦ κατὰ — Χριστιανῶν 107,10 ἑξ. Χριστιανοὶ καὶ Ἐκκλησία ὑπερίσχυσαν — 131,22 ἑξ.

Διώξεις. Ἀντοχὴ καὶ νίκη πιστων ἔναντι τῶν — τῶν διαφόρων πολεμίων 313,37-317,13.

Δόγματα. Ὁ ἔχων — ὑγιῆ παρακελεύεται ᾄδειν καὶ ψάλλειν τῷ Θεῷ 351,13 ἑξ.

Δοκιμασίαι. — καὶ πειρασμοὶ καὶ κατίσχυσις ἐπ' αὐτῶν 247,11 ἑξ.

Δόξα. — εἰς χοῦν κατασκηνοῦσα, πῶς νοητέα 44,5 ἑξ. — Θεοῦ 258,9 ἑξ.

Διατί δεῖ διδόναι — Θεῷ 330,3 ἑξ. 331,14 ἑξ. Περὶ τοῦ δίδειν — Θεῷ 370,26 ἑξ.
Δοξολογία 343,15. — ὀνόματος Θεοῦ 114,26 ἑξ.
Δοξολογίαι. — ἀνθρώπου πρὸς Θεὸν 80,37. — ἀπαραίτητοι ἀνθρώπων πρὸς Θεὸν 78,24 ἑξ.
Δυνάμεις. — Ἀγαπητοῦ 357,20 ἑξ. — ἀντικείμεναι καθηρέθησαν ὑπὸ τοῦ Θεοῦ 326,12 ἑξ. — ἐπισκοπικαὶ Θεοῦ ἐπὶ πάντα τὰ ἔθνη ἀπλωθεῖσαι 334,35. — ἤτοι ἅγιοι καὶ ἄγγελοι φρουροὶ Ἐκκλησίας 209,11. — προνοητικαί, δι' ὧν σκέπεται ὁ θεοφιλὴς 292,33 ἑξ.
Δύναμις. — ἀνθρώπου διὰ Θεοῦ 74, 15 ἑξ. — ἀπερίληπτος Θεοῦ 79, 32 ἑξ. — ἐν τῇ Ἐκκλησίᾳ ἐν διωγμοῖς κ.λ. 197,32 ἑξ. — εὐαγγελιζομένων τὸ περὶ Θεοῦ κήρυγμα 370,11 ἑξ. — Σωτῆρος 325,31 ἑξ. — ὑπάρχουσα ἐν τῷ Χριστιανισμῷ 75,23 ἑξ. — ὑπὸ Θεοῦ διδομένη 371,1 ἑξ. — φωνῆς Κυρίου 115,21 ἑξ. — Χριστιανῶν συμβολισθεῖσα 116,25 ἑξ.
Δωὴκ σελ. 218. 219,9. 220,30. σελ. 304,17,19. 314,26. — ὁ Σῦρος 220,26. 221,6.

Ἑβδομήκοντα. Μετάφρασις Π. Διαθήκης καλουμένη τῶν — 21,37,39. 24,31. 30,12. 32,27. 60,35. 87, 14,28. 93,32. 113,36,38. 127,40. 135,16. 173,15. 189,7. 192,10. 195.8. 204,13. 213,23. 240,31. 243,8. 247,10. 248,3. 264,8. 265, 4. 280,2. 281,7. 293,7. 314,21. 319,9. 353,29.
Ἑβραῖοι. Ἐπιστολὴ πρὸς — 24,31.
Ἐγρήγορσις 309,17 ἑξ. Νῆψις καὶ — 289,35 ἑξ.
Ἐδὼμ 278,40. 286,38. 363,32.
Ἐζεκίας 84,16.
Ἐζεκιὴλ 240,2. 282,30.
Ἔθνη. — Θεολογοῦντα, ἐξ ἀθεότητος εἰς ἔνθεον διδασκαλίαν μεταβεβλημένα 204,37 ἑξ. — κροτοῦντα χεῖρας καὶ ἀλαλάζοντα τῷ Θεῷ 202,5 ἑξ. — λαβόντα χάριν Θεοῦ 334,28. — πάντα κληθέντα ὑπὸ λόγου Θεοῦ εἰς φόβον Θεοῦ 132, 37 ἑξ. — πάντα φωτισθέντα διὰ φωτὸς σωτηρίου 92,23 ἑξ. — προσελθόντα τῇ Ἐκκλησίᾳ 197,6 ἑξ. — φοβούμενα τὸν Θεὸν οἱ εἰς Χριστὸν προσελθόντες Ἐθνικοὶ 342, 1 ἑξ. Διαλλαγὴ Θεοῦ μετ' — 334,23 ἑξ. Ἐπιδημία Χριστοῦ καὶ κλῆσις — 288,16 ἑξ. Ἐπίσκεψις — ὑπὸ Θεοῦ 270,16 ἑξ. Ἐπισκοπὴ — ὑπὸ Θεοῦ 334,19 ἑξ. Εὐαγγελισμὸς — 285,16 ἑξ. Θεὸς ἐλάλησε διὰ Χριστοῦ τοῖς — 284, 19 — 288,15. Θεοῦ ἐπισκοπὴ 271, 10 ἑξ. Κλῆσις — 20,32 ἑξ. 210, 14 ἑξ. 334,21. Κλῆσις — καὶ δοξολογία ὑπ' αὐτων Θεοῦ 336,1 ἑξ. Κλῆσις — προφητευθεῖσα ἐν ἐνίοις Ψαλμοῖς 259,16 ἑξ. Κληρονομία — τῷ Χριστῷ προφητευθεῖσα 24,37 ἑξ. Οἱ ἐξ — προσελθόντες τῇ Ἐκκλησίᾳ, τίνων δωρεῶν κατηξιώθησαν 320,25-322,28. 325,8 ἑξ. Ὄνομα Θεοῦ δοξαζόμενον διὰ τῶν — 116,34 ἑξ. Προσέλευσις — τῇ Ἐκκλησίᾳ προλεχθεῖσα 319,35 ἑξ. Προφητεῖαι περὶ μεταστροφῆς των — 56,14-57,33. Σωτηρία — 335,33 ἑξ. Ὑποταγὴ — νοητέα ὡς ὑποταγὴ τῷ εὐαγγελικῷ κηρύγματι 202,41 ἑξ. Ψαλμοὶ ὁμιλήσαντες περὶ κλήσεως — 347, 19. Ψαλμῳδία — πρὸς Θεὸν προφητευθεῖσα 257,5 ἑξ.
Ἔθνος — μακάριον πάντα τὰ πιστεύσαντα ἔθνη 131,29 ἑξ.
Εἴδωλα. — τιμηθέντα ὑπ' ἀνθρώπων διαφθαρέντων 225,11 ἑξ. Πτῶσις — δι' εὐαγγελικοῦ κηρύγματος 201, 8 ἑξ.
Εἰδωλολατρεία. — ἐξ Αἰγύπτου κατήρξατο 348,5. Λύσις ἐκ δεσμῶν — διὰ Χριστοῦ γενομένη 354,14 ἑξ.
Εἰρήνη. — καὶ χαρὰ τῶν θελόντων δικαιοσύνην 148,10 ἑξ. Σαλμὼν ἑρμηνευόμενον — 359,37.
Εἰστὼβ 278,22,25.
Ἐκκλησία 39,12. 61,25,28. 63,16. σελ. 71. 87,7. σελ. 91. 96,13. 106, 39. σελ. 146. 151,26. σελ. 171. σελ. 195. σελ. 197. 199,14,34. σελ. 200. 202,23. σελ. 203. σελ. 204. σελ. 205. 207,4. 208,30. 221,13. 224,5. 266,41. σελ. 274. 292,35. 315,14,16. 316,12. σελ.

318. 328,20. 354,4. σελ. 355. 356,9. σελ. 358. 361,5. 364,2. 366,9,12. 368,19,21. 376,27. 379, 40. 393,17. — Ἁγία 70,23. — ἐξ ἐθνῶν 114,9. 295,11 ἑξ. 371,29. — ἐξ ἐθνῶν προφητευθεῖσα 355,20 ἑξ. — Θεοῦ 25,35. 112,38. 171,27. 172,1,4. 210,15. 217,28. 225,8. 286,28. 287,6,16. 325,20. 327,27. 336,21. 357,34. 392,6. — Θεοῦ, ἐν ᾗ ὁ μόνος ὕμνος ἀναπέμπεται Θεῷ 318,11 ἑξ. — Θεοῦ καθολικὴ 225,8. — Θεοῦ καὶ πνευματικαὶ ἐν αὐτῇ θυσίαι 217,32 ἑξ. — κατὰ πᾶσαν τὴν οἰκουμένην τῇ χάριτι Θεοῦ συλλεγεῖσα 171,17. — Κυρίου 286,30. — νύμφη 18,16. — νύμφη Χριστοῦ 196,3. — οἶκος Θεοῦ 321,18. — — οἰκουμένη ὑπὸ Πατρός, Υἱοῦ καὶ Ἁγ. Πνεύματος 49,2 ἑξ. —πόλις Θεοῦ 205,18. — πόλις περιοχῆς 288,33. — πρωτοτόκων 196,1. — τεθεμελίωται εἰς τὸν αἰῶνα 208,8-40. — ὑπερίσχυσε διωγμῶν 131,22 ἑξ. — Χριστοῦ 114,15. Αἶνος ἀναπεμπόμενος Θεῷ δι' — 326,1 ἑξ. Διωγμοὶ κατὰ τῆς — καὶ νῖκαι αὐτῆς 200, 12 ἑξ. Δύναμις ἐν τῇ — κατὰ διωγμοὺς κ.λ. 197,32 ἑξ. Ἐξομολόγησις Χριστοῦ ἐν — πολλῇ, πῶς νοητέα 145,39 ἑξ. Θεμέλια — 71,36. Θυσιαστήρια — προφητευθέντα 45,33 ἑξ. Ἰάκωβος, πρῶτος Ἱεροσολύμων — ἐπίσκοπος 380, 18. Ἵδρυσις — προλεχθεῖσα 395, 19 ἑξ. Κάλλος Κυρίου, εὐπρέπεια, ταπεινότης ἡ — 106,38 ἑξ. Κλῆροι — ἡ Παλαιὰ καὶ Καινὴ Διαθήκη 358,27 ἑξ. Μοναὶ καὶ θέσεις ἐν τῇ ἐπουρανίῳ — 196,27 ἑξ. Νίκη — Θεοῦ κατὰ τοὺς διωγμοὺς 207,4 ἑξ. Περὶ — ἐπὶ γῆς καὶ ἐν οὐρανοῖς 196,1 ἑξ. Περὶ — ἔργου καὶ πειρασμῶν αὐτῆς 171, 12-172,30. Πλῆθος καὶ χῶρος — Χριστοῦ 199,16 ἑξ. Πρόνοια Θεοῦ ὑπὲρ τῆς — καὶ τῶν τῆς — 209, 5 ἑξ. Προσευχαὶ ἑωθιναὶ — 200, 3 ἑξ. Τιμωρία πολεμησάντων — Θεοῦ 350,24 ἑξ. Χριστὸς θεμέλιος — 206,4 ἑξ.

Ἐκκλησίαι 25,10. 130,38. 357,18. σελ. 365. 366,7,21. 376,11. 394, 36. — ἐν οἰκουμένῃ ἱδρυθεῖσαι 346,39 ἑξ. — Θεοῦ 325,38. — κατὰ τόπους 206,37. — Χριστιανικαὶ προφητευθεῖσαι 105,7 ἑξ. Ἄγγελοι φύλακες τῶν κατὰ τόπους — 210,1 ἑξ. Ἄρχοντες — 341,11. Τὸ «ἐν — εὐλογεῖτε τὸν Θεὸν» κ.λ., πῶς ἑρμηνευτέον 365,8 ἑξ.

Ἐκλεκτοί. — προεγνωσμένοι Θεοῦ 263,1 ἑξ.

Ἔκστασις. Ψαλμὸς — ὁ Λ' 120,30 ἑξ.

Ἔλαιον. — πνευματικὸν 95,40 ἑξ. Συμβολισμὸς σίτου, οἴνου καὶ — 36,13 ἑξ.

Ἔλαφος. — ὀφιοκτόνος ἐστὶ 177,34. ἑξ. — τί συμβολίζει 177,33 ἑξ. Διατί ὁ συμβολισμὸς δι' — 75,7 ἑξ.

Ἔλεος. — Θεοῦ 150,37 ἑξ. 151,16 ἑξ. — Θεοῦ διηνεκὲς 182,4 ἑξ. — Θεοῦ παρατεινόμενον 152,3 ἑξ. — καὶ ἀλήθεια ἀποστελλομένη ἐκ Θεοῦ ὁ Υἱὸς Αὐτοῦ ἐστι 254,5 ἑξ. — καὶ μακροθυμία Θεοῦ 149,41 ἑξ. — καταδιῶκον ἀνθρώπους 96,6 ἑξ. — Κυρίου 119,27 ἑξ. — Κυρίου ἐπ' ἀνθρώπους 125,19 ἑξ. — Κυρίου ἐπὶ τοὺς ἐργαζομένους τὸ ἀγαθὸν ἀπαραίτητον 101,32 ἑξ. — Κυρίου κρεῖσσον ὑπὲρ ζωὰς 307,32 ἑξ. — χυθὲν πᾶσιν ἀνθρώποις 257,19 ἑξ. Θάρρος ἐν τῷ — τοῦ Θεοῦ 33,33. Πᾶσαι αἱ ὁδοὶ Κυρίου — κ.λ. 100,31 ἑξ. — Περίφραξις δι' — 295,38.

Ἔλλαμψις. — Κυρίου ἐλλάμπουσα ὀφθαλμοὺς ψυχῆς 105,33 ἑξ.

Ἐλοΐμ 204,15.

Ἐλπὶς 151,24 ἑξ. 168,24 ἑξ. — ἐπὶ Κύριον 119,1 ἑξ. — ἐπὶ Κύριον ἀγαθὴ 222,26 ἑξ. — ἐπὶ Κύριον καὶ μακαριότης 137,18 ἑξ. — ἱκεσία καὶ θεραπεία ἁμαρτιῶν 164, 37 ἑξ. — καὶ σωτηρία ἐν Ἰησοῦ 301,2 ἑξ. — μόνη ἡ ἐπὶ Κύριον 121,14.29. — μόνη ἡ ἐπὶ Κύριον ἰσχυρά ἐστι 124,5 ἑξ. — μόνη ἡ ἐπὶ τὸν Θεὸν ἰσχυρὰ 221,25 ἑξ. — ὁ Θεὸς καὶ πύργος ἰσχύος 292, 5 ἑξ. — οὐ καταισχύνουσα ἡ ἐπὶ τὸν Θεὸν — ἐστὶ 102,14. Ἀγαθὰ — 85,13 ἑξ. Οὐκ ἐπ' ἀδι-

κίᾳ — ἐστὶ 302,7 ἑξ. Πίστις — ἀγάπη 65,15. Χαρὰ τὸ τέλος τῆς εἰς Θεὸν — 122,2.
Ἐλωείμ. — ὄνομα Θεοῦ ἑβραϊστὶ σελ. 195.
Ἐνγαδδί. Σπήλαιον — 250,39. 251,7. 252,8.
Ἐντεύξεις. Ψαλμοὶ ὄντες — 103,15 ἑξ.
Ἐντολή — Κυρίου φωτισμὸς ψυχῆς 82,1.
Ἕξεις. Πῦρ καίει τὰς μοχθηρὰς — 214,10.
Ἐξομολογεῖσθαι. Ἔννοια τοῦ — 345, 16 ἑξ.
Ἐξομολόγησις 127,1 ἑξ. 165,39. 167, 8. 344,41 ἑξ. — ἁμαρτιῶν 126, 29 ἑξ. 163,29. ἁμαρτημάτων 382, 6 ἑξ. — λαῶν, πῶς νοητέα 344, 37 ἑξ. Μετάνοια καὶ — 33,41. Χαρὰ — 128,26 ἑξ. Ψαλμοὶ ὄντες — 103,6 ἑξ.
Ἔπαρσις. — ἀνθρώπου, πῶς νοητέα 107,36 ἑξ. Ἄσκοπος ἡ — ἐστὶ 221,37 ἑξ.
Ἐπιβουλὴ 299,30 ἑξ.
Ἐπιγραφαί. — Ψαλμῶν 12,3 ἑξ. Εὐσεβίου Καισαρείας εἰς τὰς — τῶν ψαλμῶν 11,3 ἑξ.
Ἐπινίκιος. — Ὕμνος ὁ ΙΖ′ Ψαλμὸς 67,25 ἑξ.
Ἐπισκοπή. — ἐθνῶν ὑπὸ Θεοῦ 334, 19 ἑξ.
Ἐπιφάνεια. — Σωτῆρος 201,4.
Ἔργα. — Κυρίου 111,31 ἑξ. — μεγάλα καὶ φοβερὰ Θεοῦ 332,13-334,18. Ἐπίγνωσις ἐξ — πραττομένων 55,17 ἑξ. Πίστις καὶ — 27,2. 130,4 ἑξ.
Ἔργον. — τοῦ Ἀγαπητοῦ 193,5 ἑξ.
Ἑρμηνεία. Εὐσεβίου — εἰς τοὺς Ψαλμοὺς 16,8 ἑξ. — Ψαλμοῦ Α′ ὑπὸ Εὐσεβίου 18,4 ἑξ. — Ψαλμοῦ Β′ ὑπὸ Εὐσεβίου 20,25 ἑξ. — Ψαλμοῦ Γ′ ὑπὸ Εὐσεβίου 27,5 ἑξ. —Ψαλμοῦ Δ′ ὑπὸ Εὐσεβίου 32,1 ἑξ. — Ψαλμοῦ Ε′ ὑπὸ Εὐσεβίου 39,9 ἑξ. — Ψαλμοῦ Ϛ′ ὑπὸ Εὐσεβίου 41,22 ἑξ. — Ψαλμοῦ Ζ′ ὑπὸ Εὐσεβίου 43,12 ἑξ. — Ψαλμοῦ Η′ ὑπὸ Εὐσεβίου 45,30 ἑξ. — Ψαλμοῦ Θ′ ὑπὸ Εὐσεβίου 48,11 ἑξ. — Ψαλμοῦ Ι′ ὑπὸ Εὐσεβίου 51,25 ἑξ. — Ψαλμοῦ ΙΑ′ ὑπὸ Εὐσεβίου 53,1 ἑξ. — Ψαλμοῦ ΙΒ′ ὑπὸ Εὐσεβίου 54,24 ἑξ.—Ψαλμοῦ ΙΓ′ ὑπὸ Εὐσεβίου 55,12 ἑξ. — Ψαλμοῦ ΙΔ′ ὑπὸ Εὐσεβίου 57,34 ἑξ. — Ψαλμοῦ ΙΕ′ ὑπὸ Εὐσεβίου 60,10 ἑξ. — Ψαλμοῦ ΙϚ′ ὑπὸ Εὐσεβίου 63,33 ἑξ. — Ψαλμοῦ ΙΖ′ ὑπὸ Εὐσεβίου 67,24 ἑξ. — Ψαλμοῦ ΙΗ′ ὑπὸ Εὐσεβίου 78,3 ἑξ. — Ψαλμοῦ ΙΘ′ ὑπὸ Εὐσεβίου 83, 1 ἑξ. — Ψαλμοῦ Κ′ ὑπὸ Εὐσεβίου 84,17 ἑξ. — Ψαλμοῦ ΚΑ′ ὑπὸ Εὐσεβίου 86,25 ἑξ. —Ψαλμοῦ ΚΒ′ ὑπὸ Εὐσεβίου 94,14 ἑξ. — Ψαλμοῦ ΚΓ′ ὑπὸ Εὐσεβίου 96,21 ἑξ. — Ψαλμοῦ ΚΔ′ ὑπὸ Εὐσεβίου 98,13 ἑξ. — Ψαλμοῦ ΚΕ′ ὑπὸ Εὐσεβίου 102,33 ἑξ. — Ψαλμοῦ ΚϚ′ ὑπὸ Εὐσεβίου 105,22 ἑξ. — Ψαλμοῦ ΚΗ′ ὑπὸ Εὐσεβίου 113,7, ἑξ.— Ψαλμοῦ Λ′ ὑπὸ Εὐσεβίου 120,30 ἑξ. — Ψαλμοῦ ΛΑ′ ὑπὸ Εὐσεβίου 126,1 ἑξ. — Ψαλμοῦ ΛΒ′ ὑπὸ Εὐσεβίου 129,5 ἑξ. — Ψαλμοῦ ΛΓ′ ὑπὸ Εὐσεβίου 133,24 ἑξ. — Ψαλμοῦ ΛΔ′ ὑπὸ Εὐσεβίου 138,11 ἑξ. — Ψαλμοῦ ΛΕ′ ὑπὸ Εὐσεβίου 149,1 ἑξ. — Ψαλμοῦ ΛϚ′ ὑπὸ Εὐσεβίου 152,23 ἑξ. — Ψαλμοῦ ΛΖ′ ὑπὸ Εὐσεβίου 160,24 ἑξ. — Ψαλμοῦ ΛΗ′ ὑπὸ Εὐσεβίου 165,6 ἑξ. — Ψαλμοῦ ΛΘ′ ὑπὸ Εὐσεβίου 168,20 ἑξ. — Ψαλμοῦ Μ′ ὑπὸ Εὐσεβίου 173,21. — Ψαλμοῦ ΜΑ′ ὑπὸ Εὐσεβίου 176,30 ἑξ. — Ψαλμοῦ ΜΒ′ ὑπὸ Εὐσεβίου 183,6 ἑξ. — Ψαλμοῦ ΜΔ′ ὑπὸ Εὐσεβίου 185,26 ἑξ. — Ψαλμοῦ ΜΔ′ ἢ ᾠδῆς ὑπὲρ Ἀγαπητοῦ, ὑπὸ Εὐσεβίου 189,31 ἑξ. — Ψαλμοῦ ΜΕ′ ὑπὸ Εὐσεβίου 197,30 ἑξ. — Ψαλμοῦ ΜϚ′ ὑπὸ Εὐσεβίου 202,4 ἑξ. — Ψαλμοῦ ΜΖ′ ὑπὸ Εὐσεβίου 204,17 ἑξ. — Ψαλμοῦ ΜΗ′ ὑπὸ Εὐσεβίου 210,12 ἑξ. — Ψαλμοῦ ΜΘ′ ὑπὸ Εὐσεβίου 213,6. — Ψαλμοῦ Ν′ ὑπὸ Εὐσεβίου 215,24 ἑξ. — Ψαλμοῦ ΝΑ′ ὑπὸ Εὐσεβίου 218,1 ἑξ. — Ψαλμοῦ ΝΒ′ ὑπὸ Εὐσεβίου 223,1 ἑξ. — Ψαλμοῦ ΝΓ′ ὑπὸ Εὐσεβίου 229, 25 ἑξ. — Ψαλμοῦ ΝΔ′ ὑπὸ Εὐσεβίου 233,21 ἑξ. — Ψαλμοῦ ΝΕ′ ὑπὸ Εὐσεβίου 244,26 ἑξ. — Ψαλ-

μοῦ ΝϚ' ὑπὸ Εὐσεβίου 250,6 ἑξ. — Ψαλμοῦ ΝΖ' ὑπὸ Εὐσεβίου 258,29 ἑξ. — Ψαλμοῦ ΝΗ' ὑπὸ Εὐσεβίου 267,7 ἑξ. — Ψαλμοῦ ΝΘ' ὑπὸ Εὐσεβίου 277,27 ἑξ. — Ψαλμοῦ Ξ' ὑπὸ Εὐσεβίου 290, 8 ἑξ. — Ψαλμοῦ ΞΑ' ὑπὸ Εὐσεβίου 296,10 ἑξ. — Ψαλμοῦ ΞΒ' ὑπὸ Εὐσεβίου 303,30 ἑξ. — Ψαλμοῦ ΞΓ' ὑπὸ Εὐσεβίου 312,28 ἑξ. — Ψαλμοῦ ΞΔ' ὑπὸ Εὐσεβίου 317,14 ἑξ. — Ψαλμοῦ ΞϚ' ὑπὸ Εὐσεβίου 343,18. — Ψαλμοῦ ΞΖ' ὑπὸ Εὐσεβίου 347,16. — Ψαλμοῦ ΞΗ' ὑπὸ Εὐσεβίου 371, 20 ἑξ.

Ἑρμονιεὶμ σελ. 181.

Ἐρυθρά. — θάλασσα 84,1. 115,18. 332,41.

Ἔρως. — θεῖος 306,20.

Ἔσδρας 17,9. 306,1.

Ἐσεβὼν 196,13.

Ἔτη. — πεντήκοντα, καλούμενα Ἰωὴλ παρ' Ἑβραίοις 11,7.

Εὔα 260,25. 315,4.

Εὐαγγέλια. Ἱερὰ — 375,8.

Εὐαγγέλιον 318,22. 321,7. 327,6. 347,38. 348,2. σελ. 357. 358, 12. 379,40. 380,8,21. 382,24, 28. 385,34. 389,37. 391,21. 393,33. 395,16. 396,8. — κατὰ Ἰωάννην 375,11,29. — κηρυχθὲν πᾶσιν ἔθνεσι 208,39. σωτήριον 241,31. Διωγμοὶ κηρύκων — 337, 1,7 ἑξ. Δύναμις κηρύκων — 356, 24 ἑξ. Σωτήριον — κηρυχθὲν ἔθνεσι 336,37 ἑξ.

Εὐλογεῖν. — τὸν Θεὸν ἐν Ἐκκλησίαις κ.λ., πῶς νοητέον 365,8 ἑξ.

Εὐσεβεῖς—εὐθέως περιπατοῦσιν, ἐν ἀντιθέσει πρὸς ἀσεβεῖς 54,21.

Εὐσέβιος. — Καισαρείας περὶ τοῦ Διαψάλματος 17,33 ἑξ. — Παμφίλου 11,27. Ἀποσπάσματα εἰς τοὺς Ψαλμούς, ἔργον — Καισαρείας 11, 1 ἑξ. Ἀποσπάσματα εἰς τοὺς Ψαλμοὺς ὑπὸ — Καισαρείας 11,1 ἑξ. Εἰς τὰς ἐπιγραφὰς τῶν Ψαλμῶν ὑπὸ — Καισαρείας 11,3 ἑξ. Ἑρμηνεία εἰς τοὺς Ψαλμοὺς ὑπὸ — 16,8 ἑξ. Ὑπόθεσις — εἰς τοὺς Ψαλμοὺς 12,9 ἑξ.

Εὐφράτης 278,31. 280,26.

Εὐφροσύνη. — διὰ τὴν Σωτῆρος ἐπιδημίαν 40,38 ἑξ. — δικαίων 350, 38 ἑξ. 351,7 ἑξ. 352,13 ἑξ. — πιστῶν ἐν τῷ μέλλοντι αἰῶνι 334, 5 ἑξ.

Εὐχαί. Δίκαιος σχολάζει — 313,1 ἑξ.

Εὐχαριστία. — διὰ λύτρωσιν 117, 15 ἑξ. 30 ἑξ. — ἐν Ἐκκλησίᾳ Θεοῦ 392,5 ἑξ. — Χριστοῦ πρὸς Πατέρα 392,1 ἑξ.

Εὐχαριστίαι. Ψαλμοὶ ὄντες — 103,13 ἑξ.

Ἔφεσος 198,8.

Ἐφοὺδ 218,19.

Ἐφραὶμ 280,36.

Ἐφραΐμ σελ. 286. 287,28. σελ. 288.

Ἐχθροί. — νοητοὶ διὰ προσευχῆς πρὸς Ἰησοῦν ἀντιμετωπίζονται 140,10 ἑξ. Νίκη κατ' ἐχθρῶν διὰ Θεοῦ 76, 15 ἑξ. Προσευχὴ διὰ τὸ ῥύεσθαι ἐκ τῶν — 268,26 ἑξ.

Ζαβουλὼν 365,41. σελ. 366.

Ζαχαρίας 389,34.

Ζείφ 229,37. 303,39.

Ζῆλος. — Χριστοῦ δι' οἶκον Θεοῦ προλεχθεὶς 381,4 ἑξ.

Ζηλοῦν. Περὶ τοῦ διατί οὐ δεῖ — τοὺς τῶν πονηρευομένων τρόπους 152,4. — 154,40.

Ζωή. — καταπατουμένη εἰς γῆν, πῶς νοητέα 44,4 ἑξ. — ὁ Χριστὸς 151, 34 ἑξ. — παροῦσα, θεραπείας ἐστὶ καιρὸς 42,24 ἑξ. Ξύλον — ὁ Υἱὸς Θεοῦ 19,10 ἑξ.

Ζωοποίησις — ἐν Χριστῷ 32,5 ἑξ.

Ἠλᾶ. Κοιλὰς — 136,30.

Ἡμέρα. — ἀνταποδόσεως, ἐλευσομένη 327,36 ἑξ.

Ἡσαΐας 28,10. 34,35. 45,35. 52, 14,22. 56,6,27. 64,35. 70,31. 80,23,24. 88,26. 150,17. 171,38. 190,27. 192,30. 201,12. 204,42. 214,21. 228,15. 257,35. 258,21. 261,21. 271,22. 293,25. 317,29. 328,10. 333,32. 335,7. 337,2. 351,25. 354,1. 360,16. 363,32. 366,3. 371,1,39. 386,18. 388,7. 389,27. 390,10. 395,2.

Ἠσαῦ σελ. 286. 288,39.

Θάνατος. — καὶ ἀνάστασις Χριστοῦ 31,17 ἑξ. — Χριστοῦ 383,29.

384,8 ἑξ. — Χριστοῦ προφητευθεὶς 29,20 ἑξ. — 69,1 ἑξ. — ψυχῆς, ἄρνησις Θεοῦ κ.λ. 133,21 ἑξ. Κατάβασις Χριστοῦ μέχρι θανάτου 364,13. Λύσις δεσμίων — διὰ Χριστοῦ 354,16 ἑξ. Προφητεία περὶ νίκης Χριστοῦ κατὰ — 60,17-61,21. Σκιὰ — πῶς νοητέα 95, 23 ἑξ. Χριστὸς καταβὰς εἰς τὰ — χωρία 374,22 ἑξ.

Θαρσεῖς σελ. 207. 208,4. Τὸ «ἐν πνεύματι βιαίῳ συντρίβεσθαι τὰς νῆας —», πῶς ἑρμηνευτέον 207, 36 ἑξ.

Θεμέλια. — οἰκουμένης, τίνα νοητέα 71,27 ἑξ.

Θεοδοτίων. — μεταφραστὴς Π. Διαθήκης 20,8. 21,38. 22,1. 32,23,31. 81,12. 101,22. 127,3. 144,6. 204, 10. 223,36. 240,35. 245,13. 271, 17. 281,5. 324,21. 365,35.

Θεοληψία. — προφήτου 290,28.

Θεολογία. — Σωτῆρος παρεδόθη ὑπὸ προφητῶν καὶ ἀποστόλων 364, 34 ἑξ.

Θεοπτία 108,26-109,11. 110,6 ἑξ. 178,27. 179,3. 180,37. 185,13. 307,23 ἑξ. — Δανιὴλ 360,10. — ὁ κλῆρος δικαίων 67,15-23.

Θεός. — ἀσήμαντος καὶ ἀόρατος 98,31. — ἀφανὴς καὶ ἀόρατος 206,33 ἑξ. — δοξαζόμενος 258,9 ἑξ. — παντὸς ἁγίου ἔπαινος 88,11 ἑξ. — ποιητής, δημιουργὸς καὶ βασιλεὺς πάντων 319,6. — ῥύεται ἐκ κακῶν καὶ ἀνομιῶν 166,34 ἑξ. Ἀνθρωποπαθεῖς ἐκφράσεις περὶ — ἐν Ἁγ. Γραφῇ 161,13 ἑξ. Βέλη — καὶ βέλη πονηροῦ 162,5-163,5. Διατί δεῖ διδόναι δόξαν — 330,3 ἑξ. 331,14 ἑξ. Διοίκησις — ἄμωμος 74,22 ἑξ. Δύναμις ὑπὸ — διδομένη 371,1 ἑξ. Ἑβραϊκὸν τετραγράμματον ὀνόματος — 360,25. Ἐλπὶς ὁ — καὶ πύργος ἰσχύος 292,5 ἑξ. Ἔργα μεγάλα καὶ φοβερὰ — 332,13—334,18. Θέα προσώπου — 110,6 ἑξ. Κάθοδοι — δύο 364,6 ἑξ. Ὅτι ὁ — πῦρ ἐστι καταναλίσκον 69,20 ἑξ. Παθῶν ἀλλότριος ὁ — 161,12 ἑξ. Περὶ μεγαλειότητος κλ. — 78,10 ἑξ. —περὶ τοῦ διδειν δόξαν τῷ — 370,26 ἑξ. — περὶ χρηστότητος — 100,6 ἑξ. τιμὴ καὶ δόξα τῷ ὀνόματι — 114, 26 ἑξ. — τὸ αἰνεῖν τὸν — τὰ πάντα, πῶς νοητέον 394,30 ἑξ. — Τὸ «ἐν ἐκκλησίαις εὐλογεῖτε τὸν — κλ., πῶς νοητέον 365,8 ἑξ. Ὕμνος πρέπων τῷ — μόνῳ, πῶς νοητέος 317,15 ἑξ.

Θεοφάνεια 213,37. — Σωτῆρος 131, 27. 201,8. 347,11.

Θεοφάνεια. — Προφητεῖαι ἐν Ψαλμοῖς περὶ τῆς σωτηρίου — 223,13-229, 23.

Θεσσαλονίκη 198,10.

Θεωρία 36,30. 307,24,27. — ἔργων Θεοῦ 331,24 ἑξ. 332,19. — φυσικῶν 99,26 ἑξ.

Θηρία. — καλάμου, οἱ δαίμονες κληθέντες 367,10 ἑξ.

Θησαυροί. — οἱ οὐράνιοι θησαυρητέοι 302,23 ἑξ.

Θλίψεις 27,15 ἑξ. 101,30 ἑξ. — ἁγίων 32,34 ἑξ. — βίου 37,3. Ἱκεσία ἐν — 188,12 —189,30. προσευχὴ Χριστοῦ κατὰ τὸν χρόνον τῶν — αὐτοῦ 384,22 ἑξ.

Θλῖψις. — καὶ ἐξομολόγησις ἁμαρτιῶν 127,1 ἑξ. — καὶ ὀργὴ 122, 21 ἑξ. — Χριστοῦ κατὰ πάθος αὐτοῦ 385, 30 ἑξ.

Θυμός. — Θεοῦ ἐπὶ ἁμαρτάνοντας 118,12. — καὶ ὀργὴ Θεοῦ, πῶς νοητέα 26,31 ἑξ.

Θυσία. — ἀναίμακτος ἐν Ἐκκλησίᾳ 392,5 ἑξ. 393,16 ἑξ. — διὰ χειλέων προσαγομένη 136,13 ἑξ. — δικαιοσύνης 35,25 ἑξ. — καινὴ καὶ ἀναίμακτος 62,25 ἑξ. Χριστὸς προσαγαγὼν ἑαυτὸν — 170,35 ἑξ.

Θυσίαι. — Ἰουδαίων, σύμβολα πνευματικῶν θυσιῶν 341,21 ἑξ. — λογικαὶ 83,25. — μόσχου παρ' Ἰσραηλίταις 392,15 ἑξ. — πνευματικαὶ 395,30. — πνευματικαὶ ἐν Ἐκκλησίᾳ Θεοῦ 217,32 ἑξ.

Θυσιαστήρια. — Ἐκκλησίας προφητευθέντα 45,33 ἑξ.

Θωμᾶς. — ἀπιστήσας 90.38

Ἰαάβ. — βασιλεὺς Σωβᾶ. 278,8.

Ἰακὼβ σελ. 57.63,22. 83,3,15.88,27. σελ. 91. 97,31. 167,27. 186,4,5. σελ. 200. σελ. 203. 223,19,31. 224,20. 227,38. 228,30,40. 229,20. 239,43. 275,29. σελ. 276. 285,6.

324,4. 355,4. — σπέρμα, πῶς νοητέον 91,8 ἑξ. —Καλλονή— κ.λ., πῶς νοητέα. 203,1,35 ἑξ.
Ἰάκωβος. — ἀδελφόθεος 380,15. — πρῶτος Ἱεροσολύμων Ἐκκλησίας ἐπίσκοπος 380,18.
Ἴασις. — ἀσθενείας ἡ Θεοῦ δύναμις 42,7 ἑξ. Λόγος — ποιητικὸς 254, 14.
Ἰατρός. — ψυχῶν μέγας ὁ Σωτὴρ 297,34.
Ἰάφεθ 16,26.
Ἰδιθοὺμ 16,24. 17,15,36. σελ. 165. σελ. 296. σελ. 297. σελ. 298. 299,1,28. Ὀνόματα υἱῶν — 298, 23 ἑξ.
Ἰδουμαία 219,26. σελ. 280. σελ. 281. σελ. 286. 287,13,29. σελ. 288.289, 15,31.290,2.
Ἰεζεκιὴλ 94,32. 116,5. 138,16. 193, 25. 335,18.
Ἰεμενεὶ 43,13.
Ἰεμνεὶ 219,38. 304,38.
Ἱερεμίας 26,17. 52,15. 115,34. 171,38. 183,27,36. 216,14. 263,6. 335,30.
Ἱεροσόλυμα 68,37. 117,1. 285,13, 26,28. 380,18. 381,10.
Ἱερουσαλὴμ 16,18. 24,9. 52,14. 58, 11,38. 59,2. 68,39. 115,39. 116, 4,10. 154,38. 183,37. 193,38. 195,40,41. 205,30,33. 213,35,36. 217,25. 222,10. 234,20,36. σελ. 268. 272,6. 281,34. 282,22. 286, 16,24. 317,16. σελ. 318.319, 10. 321,11. 358,15. σελ. 366. 396,2,4. Πολιορκία — προφητευθεῖσα 193,35 ἑξ.
Ἱερωσύνη. — Σεμνὸν ἡ Ἰσραὴλ — 383, 1.
Ἰεσσαὶ 61,30. 395,8.
Ἰησουὰχ 217,4.
Ἰησοῦς 24,33. 31,20,27. 60,32. σελ. 76. 86,34. 106,16. 138,30. 197, 26. 301,2. 323,7. 351,40. 352,9. 361,27 σελ. 375. 381,10. 386,26, 30. 393,9,11. — βλασφημηθεὶς ὑφ' Ἑβραίων κ.λ. 53,30.— δηλωτικὸν τοῦ Σωτῆρος 217,5. — Ναυῆ 17,25. 181,9. 203,31. — Χριστὸς 24,33. 27,24. 31,24. 41,13. 71,35, 39. 97,36. 106,15. 172,10. 193, 7. 206,6 208,36. 225,7. 228,18. 263,11. 295,15. 300,36,39.328, 39. 340,30. 391,24. 394,20. Ἀποτελέσματα ὑπερηφανείας Ἰουδαίων ἐκδηλωθείσης κατ' — 274,16 ἑξ. Δύναμις ὀνόματος — 197,24 ἑξ. Ὄνομα — σημαῖνον σωτηρίαν 138,29-30. Ὄνομα — φερόμενον δι' ὡρισμένων στοιχείων ἐν τῇ Ἑβραϊκῇ φωνῇ συμβολικῶς 298,1. Τὸ σωτήριον τῇ ἑβραϊκῇ γραφῇ διὰ τῶν στοιχείων τοῦ ὀνόματος — γράφεται 297,40 ἑξ. 300,33 ἑξ.
Ἱκεσία. — ἐν θλίψεσι 188,12-189,30. — μετὰ κλαυθμοῦ ἀναπεμπομένη 167,35 ἑξ. — περὶ λυτρώσεως τοῦ Ἰσραὴλ 183,17 ἑξ. 26 ἑξ. — πρὸς Θεὸν ὑπὲρ ἁμαρτανόντων 161,2 ἑξ.— ὑπὲρ λυτρώσεως ἐκ κακῶν 166,34 ἑξ. — ὑπὲρ τοῦ λαοῦ 187,24,30 ἑξ. Ἐλπὶς — καὶ θεραπεία ἁμαρτιῶν 164,37 ἑξ. Ὑποταγὴ καὶ — τῷ Κυρίῳ 154, 16 ἑξ.
Ἱκεσίαι. Ψαλμοὶ ὄντες — 103,6 ἑξ.
Ἰλλυρικὸν 358,15.
Ἰορδάνης 115,19. σελ. 181. σελ. 333. 366,4.
Ἰουδαία 201,40. 208,34. 308,40. 311,20. 369,7. σελ. 395. 396,4. Ἔρημος — 303,31,36. 304,4,20. 333,26.
Ἰουδαῖοι. — διώξαντες τὸν Χριστὸν ἐτιμωρήθησαν 14,21 ἑξ. — τιμωρηθέντες δι' ὅσα κακὰ ἔπραξαν τῷ Χριστῷ 244,8 ἑξ. Ἀπιστία — 53,9 ἑξ. Ἀπιστία — προφητευθεῖσα 55,31 ἑξ. Ἀποτελέσματα ὀργῆς Θεοῦ κατ' — 275,9 ἑξ. Ἀποτελέσματα ὑπερηφανείας — ἐκδηλωθείσης κατ' Ἰησοῦ 274,16 ἑξ. Δεινὰ — ἐξ ἀσεβείας καὶ ἀρνήσεως Χριστοῦ, προλεχθέντα 388,10 ἑξ. 391,1 ἑξ. Διασκορπισμὸς — 350,15 ἑξ. Διασπορὰ — μετὰ Χριστοῦ παρουσίαν 287,29 ἑξ. Διασπορὰ — προλεχθεῖσα 388,38 ἑξ. Διατί ἐδόθη πλήρης ὄλεθρος — δι' ὅσα κατὰ Χριστοῦ ἔπραξαν 273,12 ἑξ. Ἔθνος — διηρημένον εἰς τρεῖς τάξεις 91,8 ἑξ. Ἐσχάτη ἀποβολὴ ἔθνους — 181,40. 182,31 ἑξ. Εὐαγγελισμὸς μὴ — 285,16 ἑξ. Σκοτισμὸς — κατ' ἔλευσιν Χριστοῦ 388,1 ἑξ.
Ἰούδας 280,37. σελ. 286. 287,28. σελ. 288. 365,40. 361,13. — προδότης 63,32. 77,25. 87,21. 143,8.

175,27,34. 211,24,25. 235,2. 238, 21. 239,22. Λαὸς — 268,11. Προδοσία — προφητευθεῖσα 175,22 ἑξ. Τιμωρία — προδότου 143,6 ἑξ.
Ἰσαὰκ 239,43.
Ἰσραὴλ 26,18. 28,34. 45,35. 55,39. σελ. 57. 63,23. 65,13. 80,24. σελ. 88. 89,17,29. σελ. 91. σελ. 102. 115,20. 131,31. 176,18. 181,14. 190,29. 193,29. 200,33. 201,41. 213,16. 221,7. σελ. 223. σελ. 224. 225,3. 227,36,38. σελ. 228. 229,1, 20. 230,1. 234,20. 258,24. 268,11. 269,36. σελ. 270. 276,7. σελ. 278. 279,5,24. 280,21. σελ. 283. σελ. 287. σελ. 288. 293,38. 294,3. 324,5. 335,19. 355,4,13. σελ. 365. 366,23. σελ. 370. 371,11. 378,38. 379,4,20. 382,41. 392,30,33. 393, 1. Σεμνὰ — ἡ βασιλεία, ἱερωσύνη, ἅγια ἁγίων 383,1. Σπέρμα — πῶς νοητέον 91,8 ἑξ. Υἱοὶ — 354,40.
Ἱστορία. — Φλαυΐου Ἰωσήπου 142,28.
Ἰσχύς. Ἐλπὶς ὁ Θεὸς καὶ πύργος — 292,5 ἑξ.
Ἰωὰβ 219,23. 277,30. σελ. 278. 304, 33.
Ἰωάννης 285,18. 358,17. — Βαπτιστὴς 333,26. — Πρόδρομος 87,30. 382. 24. — Εὐαγγελιστὴς 176,4. Εὐαγγέλιον κατὰ — 173,29. 375,11,29.
Ἰὼβ 103,21. σελ. 162. 178,3. 199,8. 216,11. 310,36. 361,39. 362,13. 367,18. 373,27. 374,18. Καρτερία — 43,22.
Ἰωὴλ 317,26. — τὰ πεντήκοντα ἔτη καλούμενα ὑφ' Ἑβραίων 11,7.
Ἰωνάθαν 229,38. 230,3.
Ἰωνᾶς σελ. 374. 375,9.
Ἰώσηπος. Φλαυΐου — Ἱστορία 142,28.
Ἰωσὴφ 31,27. 61,37. 103,21. 140,31. 285,3,5. 286,15. Σωφροσύνη — 43,32.

Κάδη. Ἔρημος. — 116,18.
Καθαρμός. Ἀναγκαιότης — 104,4 ἑξ.
Καθαρότης. — καὶ ἁγνεία 306,25 ἑξ. — καὶ προσευχὴ 64,9 ἑξ. — καρδίας ἀνθρώπου 64,25 ἑξ. — καρδίας καὶ προσευχὴ 178,26-37. — σώματος καὶ πνεύματος ἁγίων 138,5 ἑξ. — ψυχῆς 178,1. Ἀνάγκη — πασῶν αἰσθήσεων 129,27 ἑξ. Σπουδὴ διὰ — 73,18 ἑξ. — ἀπάθεια καὶ γνῶσις 216,31. — διὰ βαπτίσματος 215,32 ἑξ.
Κάθοδοι. — Θεοῦ δύο 364,6 ἑξ.
Καϊάφας 238,24.
Καῖσαρ 38,29,34. 146,40.
Κακά. Δεσμὰ ἐν ἰδίοις — 22,8 ἑξ. Θεὸς ῥύεται ἐκ — 166,34 ἑξ. Οὐ δεῖ κρύπτειν ἕκαστον τὰ ἑαυτοῦ — 163,32 ἑξ.
Κακία. Ἐξαφάνισις — δι' ὑποταγῆς Χριστοῦ 32,18 ἑξ. Κωφότης ψυχῆς ἐκ — 261,1 ἑξ. Πᾶσαι αἱ πράξεις — χαλεπαὶ 65,1. Δυνάμεις — διεσκορπισμέναι ὑπὸ Χριστοῦ προσομοιαζόμεναι ὀστοῖς διεσκορπισμένοις 227,15 ἑξ.
Κακόν. — ἀντὶ — οὐκ ἀποδίδουσιν οἱ Χριστοῦ 387,10. Ἔκκλινον ἀπὸ — καὶ ποίησον ἀγαθόν, πῶς νοητέον 158,34 ἑξ.
Καππαδοκία 369,7.
Καρδία. Καθαρότης — καὶ προσευχὴ 178,26-37. Λογισμοὶ καὶ κρύφια — γινώσκονται ὑπὸ Θεοῦ 188,19 ἑξ. Τὸ «ἑτοίμη ἡ — κ.λ.π.», πῶς νοητέον 255,40 ἑξ.
Κάρμηλος 115,12.
Καρποί. — πνευματικοὶ ψυχῆς 327, 6 ἑξ. 30 ἑξ. 328,25.
Καρποφορία. — πνευματικὴ καὶ Χάρις 222,30 ἑξ.
Καρτερία 43,32.
Κατάρα. — οὐχ ἵσταται δικαίῳ 157, 21 ἑξ.
Καύχησις. — ἐν Κυρίῳ 128,41 ἑξ. — μόνη ἡ ἐν Κυρίῳ νοητέα κ.λ. 41,9 ἑξ.
Κένωσις. — Ἀγαπητοῦ τοῦ Θεοῦ 190,9. — θεότητος 69,39. — Χριστοῦ διὰ τὴν ἡμῶν σωτηρίαν 391, 19 ἑξ.
Κέρας. — νοητέον ὡς νίκη 186,20 ἑξ.
Κέρατα. — Γραφῆς, Δανιὴλ αἱ βασιλεῖαι νοητέαι 186,10 ἑξ.
Κήρυγμα. — ἀποστολικὸν 342,12. — ἀποστόλων 200,25. — ἀποστόλων τοῖς ἔθνεσι προφητευθὲν 203,4 ἑξ. — εὐαγγελικὸν 116,21. 198,1. 347,32,39. — εὐαγγελικὸν εἰς πᾶσαν τὴν οἰκουμένην 205, 40. 130,37. Δύναμις εὐαγγελιζομένων περὶ Θεοῦ — 370,11 ἑξ.

Κήρυκες. Δύναμις δοθεῖσα — εὐαγγελίου 356,24 ἑξ.
Κίνδυνοι. Σημεῖον διαφυγῆς ἐκ — 282,15 ἑξ.
Κληρονομία. — βασιλείας 294,1 ἑξ. — Κυρίου ἡ Ἐκκλησία 63,16. — οὐράνιος διὰ πιστοὺς 39,11 ἑξ. Ἀποκαθιστάνειν τὸν Θεὸν τὴν — πῶς νοητέον 63,19 ἑξ. Τίς ἡ Χριστοῦ — 112,32 ἑξ.
Κλῆσις. Ἐλπὶς ἄνω — 57,19.
Κοίμησις. — δικαίου 37,5 ἑξ.
Κολάσεις. — ἁμαρτωλῶν 52,11 ἑξ.
Κόλασις. Ἁμαρτία καὶ — 26,36.
Κολασμοί. — ἀσεβῶν 212,18 ἑξ. — συμβολιζόμενοι διὰ φύσεως δυνάμεων 71,16.
Κοπετός. — εἰς χαρὰν μεταβαλλόμενος ὑπὸ Κυρίου 120,7 ἑξ.
Κορέ. — στασιάσας ἐναντίον Μωϋσέως 177,9. Υἱοὶ — 17,14,36. 32,26. σελ. 176. 181,39. σελ. 185. 189,32. σελ. 202. 203,3. 210, 12,13. 213,13,19. 306,7. 371,25. Υἱοὶ μεταγενεστέρου — 177,15 ἑξ. Υἱοὶ προτέρου — 177,8 ἑξ. Ψαλμοὶ ἐπιγεγραμμένοι τοῖς Υἱοῖς — 12,5. Ψαλμοὶ — Κορὲ 305, 31.
Κορίνθιοι. Ἐπιστολὴ Παύλου Α' πρὸς — 32,6. Ἐπιστολὴ Παύλου πρὸς — 152,37. 246,35.
Κόρινθος 198,10.
Κρίσις. — ἀσεβῶν 50,30 ἑξ. — ἐνώπιον Χριστοῦ 44,32. — εὐθεῖα 258,25 ἑξ. — Θεοῦ ἐν καιρῷ ὀργῆς αὐτοῦ 23,35 ἑξ. — μέλλουσα 214,3 ἑξ. Δαυΐδ, πρῶτος διδάξας περὶ ἀναστάσεως καὶ — 20, 14 ἑξ. Καιρὸς — ἥξει 49,29.
Κριτής. — δίκαιος ὁ Θεὸς 44,39 ἑξ. — μέγας οὐκ ἀπατᾶται 260,10 ἑξ. — μόνος δίκαιος ὁ Θεὸς 52,4 ἑξ. — ποίῳ πένητι καταφεύγων νοητέος 49,11 ἑξ.
Κρύφιοι. Ψαλμὸς — 197,31 ἑξ.
Κύνες. — οἱ Χριστοῦ πολέμιοι 271, 21 ἑξ. — τίνες νοητέοι 90,18 ἑξ.
Κυρήνη 369,9.
Κυριακή. — τὸ Σάββατον τῶν Χριστιανῶν 53,4 ἑξ. Μετάληψις σώματος καὶ αἵματος κατὰ — 93,9 ἑξ. Συμβολισμὸς κ.λ. — 41,25 ἑξ.
Λάζαρος 375,35,38. — τετραήμερος ἐγερθεὶς 38,20.
Λάκκος. — ὁ Ἅδης νοητέος 244,5 ἑξ.
Λαοί. — γῆς πάντες κληθέντες εἰς φόβον Θεοῦ ὑπὸ λόγου Θεοῦ 132, 37 ἑξ. — ἐξομολογούμενοι, πῶς νοητέοι 344,37 ἑξ.
Λατρεία. — ἄκαπνος ἐν Ἐκκλησίᾳ 392,7. — πρὸς Θεόν, πρώτη πρᾶξις ἡμέρας 39,36.
Λευΐ 17,35. 91,11,15. Φυλὴ — 16,18.
Λευϊτικὸν 392,28.
Λίβανος σελ. 115. σελ. 116. 160,7.
Λιβύη 369,8.
Λόγια. — Κυρίου καθαρὰ ψεύδους 54,11.
Λογισμοί. — αὔλακές εἰσι ψυχῆς 327, 18 ἑξ. — ἐκτὸς μώμου 82,34. — καὶ κρύφια καρδίας γινώσκονται ὑπὸ τοῦ Θεοῦ 188,19 ἑξ. — μοχθηροὶ 33,39.
Λόγος 28,28. 191,12. σελ. 292. 317, 21. 373,19. — ἀληθὴς 226,10. — δημιουργὸς 130,25. — εὐαγγελικὸς 198,28. — θεῖος ἐπιστατῶν τὴν δημιουργίαν 96,26 ἑξ. — Θεὸς 97,23. 159,30. σελ. 194. 214, 9. σελ. 349. 351,3. — Θεὸς σαρκωθεὶς 40,40 ἑξ. Θεοῦ 15,4. 42,2. 58,30. 128,15. 132,1. 186,16. 206,1. 213,30. 249,36. 253,35. 254,7. 259,19. 284,22. 301,5. 324, 10. 342,11. 352,2. 254,21,36. 357, 3. 360,24. 363,12. 370,6. 372,35. —Θεοῦ ἐναργὴς καὶ τομώτερος ὑπὲρ πᾶσαν μάχαιραν δίστομον 66,18. — Θεοῦ ἐνεργήσας διὰ Μωϋσέως κ.λ. 354,35 ἑξ. — Θεοῦ κατελθὼν ἐξ οὐρανοῦ 363,1 ἑξ. — Θεοῦ τέλειος ὁ Κύριος 357,2. — ἰάσεως καὶ σωτηρίας ποιητικὸς 254,14. — κενώσας ἑαυτὸν 137,32. — Κυρίου καὶ δημιουργία 130,13 ἑξ. — μονογενὴς 75,35. 322,25. 360, 9. — προπαιδευτὴς 303,8. — — σωτήριος, ὁδὸς Θεοῦ 344,28. — ταπεινώσας Ἑαυτὸν καὶ ὑψωθεὶς 255,17 ἑξ. Ἀποτελέσματα ἐπιδημίας τοῦ — 354,1 ἑξ. Δόξα τοῦ θείου — οἱ υἱοὶ ἀνθρώπων 34,13 ἑξ. Θεότης — 353,15. Περὶ — Θεοῦ καὶ Υἱοῦ Αὐτοῦ 254,7 ἑξ. Συγκατάβασις — 353,6 ἑξ.

Λοιμοί. Καθέδρα — τίς νοητέα 18, 20 ἑξ.
Λουκᾶς. Εὐαγγέλιον κατὰ — 86,31. 199,5.
Λουτρόν. — παλιγγενεσίας καὶ ἄφεσις ἁμαρτιῶν 126,11,34.
Λύστρα 198,9.
Λύτρωσις. Ταπείνωσις καὶ — ἐξ ἐχθρῶν 122,4 ἑξ.
Λὼτ 286,32.

Μαελὲθ 223,1,35. 224,26.
Μαθηταί. — Χριστοῦ πρῶτοι μοναχοὶ 353,35. — Χριστοῦ υἱοὶ Θεοῦ 116,4 ἑξ.
Μακάριος. — τίς ἐστιν 169,25 ἑξ. Τίς ὄντως — 18,5 ἑξ.
Μακαριότης. Ἐλπὶς ἐπὶ Κύριον καὶ — 137,18 ἑξ.
Μακκαβαῖοι 14,13.
Μακροθυμία. — Θεοῦ καὶ ἔλεος 149, 41 ἑξ. — πατρὸς θαυμαστὴ 145, 22.
Μανασσῆς 280,36. σελ. 286. 287,28. 288,3,5.
Μαντεῖαι. — κατελύθησαν ὑπὸ Χριστοῦ 71,19.
Μαρία 379,40. — μήτηρ Ἰησοῦ 380, 30.
Μαριάμ. — μήτηρ Ἰησοῦ 380,24.
Μάρκος. Εὐαγγέλιον κατὰ — 135,35.
Μάρτυρες. — ἄδικοι 140,19 ἑξ. — ἐκ μαρτυρίων ἐξήχθησαν ὑπὸ Θεοῦ εἰς ἀναψυχὴν 339,15 ἑξ. Ἀνδρεία — 61,34. Μαρτύρια — προλεχθέντα, καθαρτικὰ ἀπέβησαν τοῖς — 337,31-339,14. Προσευχαὶ — ὡς θυμιάματά εἰσι 341,4 ἑξ.
Μαρτυρία. — ἀποστολικὴ 322,15.
Μασεδὲκ 229,36.
Μασσενὲθ 303,38.
Μάσσηφα 303,34.
Ματαιότης. — ἀνθρωπίνων 166,1 ἑξ. — καὶ ψεῦδος 121,39. — τὰ σύμπαντα κ.λ. 301,27 ἑξ.
Ματθαῖος 375,38. Εὐαγγέλιον κατὰ — 135,35.
Ματθίας 298,24.
Μαχαὰ 278,22.
Μαών. Ἔρημος — 230,9.
Μεγαλειότης. Περὶ — κ.λ. Θεοῦ 78, 10 ἑξ.
Μέθεξις. — Χριστοῦ 195,1 ἑξ.
Μέθη. — ψαλμῳδοῦ, πῶς νοητέα 151, 27 ἑξ.
Μέλος. Περὶ — ψαλμῶν 16,15 ἑξ.
Μελχὸχ 267,33,35. 304,9.
Μέριμνα 34,11 ἑξ.
Μεσαρᾶ 230,6.
Μεσοποταμία 219,22. 369,6. — Συρία 277,29. 278,4,39.
Μετάνοια 37,17 ἑξ. 76,33. 117,5 ἑξ. — ἔμπρακτος 33,19 ἑξ. — καὶ ἄφεσις 44,2. — καὶ ἐξομολόγησις 33,41. Ἀνάγκη — 118,1 ἑξ. Καιρὸς — ὁ παρὼν βίος 168,15. Παράτασις — 42,13. Ὑπογραμμὸς — 382,3 ἑξ. Χαρὰ ἐπὶ — 117, 40 ἑξ.
Μῖσος. — δι' ἀγαθὸν — διὰ Χριστόν ἐστι 30,35 ἑξ. — οὐ Θεοῦ ἐστι 30,33 ἑξ.
Μνησικακία. Οὐκ ἐπιτρεπτὴ ἡ — 43,28 ἑξ.
Μοναχοί. — πρῶτον εἰσὶ τάγμα τῶν ἐν Χριστῷ προκοπτόντων 353,26 ἑξ. — πῶς ἄλλως συμβολικῶς ὠνομάσθησαν 353,27 ἑξ.
Μονογενὴς 47,28. 277,16. 349,29. — Θεοῦ 367,4. — παρὰ Πατρὸς 58,33.
Μονοκέρωτες — τί συμβολίζουσι 115, 40 ἑξ.
Μυστήρια. — Καινῆς Διαθήκης 392, 5 ἑξ.
Μωὰβ 303,34. 304,34. σελ. 286. 287,29. — πῶς ἑρμηνεύεται 286, 9 ἑξ. Ἑρμηνεία ὀνόματος — 280, 39 ἑξ. 281,8,18. 286,35 ἑξ. 287, 3 ἑξ.
Μωϋσῆς 13,21. σελ. 17. 18,37. 21,8. 24,38. 40,6. 50,2. 53,4,30. 65, 13. 67,6. 69,30. 79,10,15. 81,16. 107,13. 108,21,31. σελ. 109. 137, 28. 148,7. 155,18. 158,17. 170, 19,33. 171,2. 177,9,10. σελ. 180. 181,8. 192,39. 199,9. 213,11. 214,18. 222,11. 252,35. 258,16. 282,27. 293,1. 294,4. 305,39. 306,7. 330,14. 335,27. 354,36. σελ. 355. 365,22. 381,21. 386, 15. 388,18. σελ. 392. 393,18. — μὴ εἰπών τι περὶ ἀναστάσεως καὶ κρίσεως 20,14 ἑξ. Νόμος — 286, 34. Πρᾶον — 43,29. Ψαλμοὶ ἐπιγεγραμμένοι τῷ — 12,6.

Νάβλα. — καλούμενον ἑβραϊστὶ τὸ ψαλτήριον 11,7.
Ναβουχοδονόσορ 193,32.
Νάθαν 37,29. 72,30. 163,16. 215,25. 304,35.
Νάματα. — λογικὰ ὁ νόμος τοῦ Θεοῦ 19,6 ἑξ. 26 ἑξ.
Ναοί. — αἱ Νυμφίου Ἐκκλησίαι καὶ αἱ τῷ Χριστῷ ἀνακείμεναι ψυχαὶ 195,19.
Ναός. — Θεοῦ ἅγιος, οἱ πιστοὶ 321, 30 ἑξ.
Νεφθαλείμ 365,41. σελ. 366.
Νήπια. Διὰ — καὶ θηλαζόντων ὁ ἄρχων τοῦ αἰῶνος τούτου καθήρηται 46,22.
Νηστεία 381,31 ἑξ. 382,20 ἑξ. Καιρὸς — 382,33 ἑξ.
Νῆψις. — καὶ ἐγρήγορσις 289,35 ἑξ.
Νῖκαι. Οὐκ ἀσφάλεια καὶ ἐν ταῖς — 121,12 ἑξ.
Νίκη.— ἁγίων 32,30 ἑξ.—ἀγωνιζομένου 32.13 ἑξ. — ἐξ ἐλπίδος εἰς Θεὸν κατὰ πειρασμοὺς 249,39 ἑξ. — Χριστιανῶν διὰ Χριστοῦ 84, 2 ἑξ.
Νικόδημος 234,39.
Νοβὰ 134,9. 135,23. 304,41.
Νοβάν. Πόλις — σελ. 218.
Νόμος. — διὰ δικαίους 109,12 ἑξ. — Κυρίου τίς νοητέος 18,31 ἑξ. — μὴ σῴζων ἀπορριπτέος 22,25 ἑξ. — πνευματικὸς Χριστοῦ 22,16. Σχολὴ τοῦ Θεοῦ — 19,5 ἑξ.
Νόσοι. — ἐλαυνόμεναι 47,27.
Νύμφη. — Χριστοῦ ἡ Ἐκκλησία 196, 3.
Νυμφίος 195,19.
Νῶε 115,18. 192,39.

Ὁδοί. — Κυρίου — προνοίας 99,16 ἑξ. Πᾶσαι αἱ — Κυρίου ἔλεος κ.λ. 100,31 ἑξ.
Ὀδολλάμ. Σπήλαιον — 250,16,38. σελ. 251. 256,6,36. 304,15.
Ὁδός. — Θεοῦ ὁ θεοσεβὴς βίος καὶ ὁ σωτήριος λόγος 344,27 ἑξ. — Κυρίου, ποῦ ὁδηγεῖ 101,4 ἑξ. — λεία ὑφ᾽ ἣν ἀπεργάζονται οἱ δίκαιοι, τίς νοητέα 351,19 ἑξ. — ὁδευθεῖσα ὑπὸ Κυρίου, διδακτική ἐστι 100,25 ἑξ.
Οἰκουμένη. Θεμέλια — 71,27 ἑξ.
Οἶνος. Συμβολισμὸς σίτου — καὶ ἐλαίου 36,13 ἑξ.
Οἰσουάθ. — τί δηλοῖ 217,6.
Ὀνειδισμοί. Προσευχὴ Χριστοῦ κατὰ τὸν χρόνον τῶν — αὐτοῦ 384,22 ἑξ.
Ὀνειδισμός. — ὃν ὁ Χριστὸς ὑπήνεγκεν 372,18 ἑξ. Περὶ — κ.λ. Χριστοῦ κατὰ πάθος αὐτοῦ 379, 7 ἑξ.
Ὄνομα. — θεῖον καλούμενον 332,15 ἑξ. Δύναμις — Ἰησοῦ 197,24 ἑξ. Δύναμις — τοῦ ὑπὲρ παντὸς — 230,39.
Ὄξος. — καὶ χολή, δοθέντα εἰς Χριστόν, προεφητεύθησαν 385,27 ἑξ.
Ὀργή. — Θεοῦ 349,5. — Θεοῦ ἐπὶ ἁμαρτάνοντας 118,12. — καὶ θυμὸς Θεοῦ, πῶς νοητέα 26,33 ἑξ. Θλῖψις καὶ — 122,21 ἑξ. Κρίσις Θεοῦ ἐν καιρῷ — αὐτοῦ 23,35 ἑξ. Ὅτι δεῖ κωλύειν ἡμᾶς τὸ — πάθος 35,7 ἑξ.
Ὅρκος. Περὶ — 59,32 ἑξ.
Ὄρος. — ἅγιον 205,11. — Θεοῦ, πῶς νοητέον 205,40 ἑξ.
Ὀστᾶ. — διεσκορπισμένα συμβολίζοντα δυνάμεις κακῶν διασκορπισθείσας διὰ Χριστοῦ 227,15 ἑξ. — ψυχῆς, αἱ διανοητικαὶ δυνάμεις νοητέαι 139,35 ἑξ.
Οὐράνια. — τέλειά εἰσι, κεκαθαρμένα κ.λ. 257,14 ἑξ.
Οὐρανός. — Θεοῦ σκήνωμα 58,24 ἑξ.
Οὐρίας σελ. 27. 33,18. 37,16. 117,5. 162,24. 215,39. σελ. 219. 220,8,9. 229,30. Γυνὴ — 298,39.

Πάθη. — Χριστοῦ, προλεχθέντα 374, 39 ἑξ. Θεὸς ἀλλότριός ἐστι — 161, 12 ἑξ.
Πάθος. — Χριστοῦ καὶ γεγονότα κατ᾽ αὐτὸ προφητευθέντα 88,32-91,3. — Χριστοῦ κατὰ παραχώρησιν Θεοῦ 389,25 ἑξ. — Χριστοῦ προφητευθὲν 144,39 ἑξ. — 106,17 ἑξ. — Χριστοῦ, πῶς ὠνομάσθη προλεχθὲν 377,19 ἑξ. — Χριστοῦ ὑπὲρ ἡμῶν ὑπενεχθὲν 379,9 ἑξ. Γεγονότα — Κυρίου προφητευθέντα 123,14 ἑξ. Γεγονότα — Χριστοῦ προφητευθέντα ἐν ΝΔ′ Ψαλμῷ 233,32-243,10. Θλῖψις Χριστοῦ κατὰ — αὐτοῦ 385,30 ἑξ. Περὶ

ὀνειδισμῶν κ.λ. Χριστοῦ κατὰ — αὐτοῦ 379,7 ἑξ. Προσευχὴ Χριστοῦ κατὰ — αὐτοῦ, προλεχθεῖσα 383,12 ἑξ. Χριστὸς βασιλεύων καὶ μετὰ τὸ — αὐτοῦ 24,3 ἑξ.
Παιδεία. — ὑπὸ Κυρίου γενομένη πρὸς ἐπιστροφὴν 167,13 ἑξ. — Θεοῦ πρὸς ἁμαρτωλοὺς 52,29 ἑξ. Ἐπίδοσις λογικῇ — ἀναγκαία 26,24 ἑξ.
Πάμφιλος 11,27.
Παμφυλία 369,8.
Παντεποπτεία. — Θεοῦ 34,7.
Παραβολαί. Χρῆσις ὑπὸ Κυρίου — προφητευθεῖσα 211,8 ἑξ.
Παράδεισος. — Θεοῦ διὰ τοὺς σεσωσμένους ἔσται 19,31 ἑξ.
Παράκλητος σελ. 256.
Παραλειπόμενα. Βίβλοι — 16,16. Βίβλος — 298,8.
Παράνομος. Περὶ — 149,15 ἑξ.
Παρθενία. — καὶ ἁγνεία, βραβευόμεναι 196,29.
Παρθένος. — Ἁγία 380,14. Γέννησις Χριστοῦ ἐκ — καὶ Πνεύματος Ἁγίου 48,13 ἑξ.
Παροικία. Περὶ τῆς — ἀνθρώπου ἐν τῇ γῇ 57,35 ἑξ.
Παροιμίαι 313,6. 378,7.
Παρουσία. — ἁγίου Πνεύματος 256, 26,34. — Σωτῆρος 273,3. — Χριστοῦ 287,29. 395,9. Ἀνθρωπότης πρὸ τῆς Χριστοῦ — 55,28-56,13. Προφητεία περὶ τῆς Χριστοῦ — 20,27 ἑξ. Σημεῖα — Θεοῦ δοθέντα 206,25 ἑξ.
Παρρησία. — πρὸς Θεὸν 76,37.
Πάσχα 282,29. 353,40. 381,9.
Πατήρ. — Θεὸς σελ. 191. 355,29. σελ. 359. σελ. 361. 372,36. 376, 20. 378,5. σελ. 380. 381,7,13. σελ. 384. 385,3. 390,2. 391,40. 392,2,4. 395,40. — καὶ προνοητὴς ὁ Θεὸς 352,15-353,4. Πᾶσα δύναμις τῷ — 130,15. Τιμὴ ὀφειλομένη πρὸς Θεὸν — 277,3 ἑξ. Υἱὸς ἐν τῷ — καὶ — ἐν τῷ Υἱῷ 359,33.
Παῦλος 24,8. 26,34. 28,4. 30,22. 32,13. 41,9,20. 48,2,7. 58,11. 68,12. 87,31. 90,30. 158,20. 171, 39. 196,15. 199,27. 213,34. 289, 41. 291,20,31. 313,21. 325,12. 340,25. 358,15. 365,29. 366,7. 371,17. 394,19. Ἐπιστολὴ — πρὸς Φιλιππησίους 36,23. Ἐπιστολὴ — Α′ πρὸς Κορινθίους 32,6.
Πειρασμοί. — βίου 37,4. — καὶ διωγμοί, ὕδατα καλούμενοι 373,18 ἑξ. — καὶ δοκιμασίαι καὶ κατίσχυσις ἐπ᾽ αὐτῶν 247,11 ἑξ. Ἀναγκαία ἡ ἀντοχὴ εἰς τοὺς — 165,17 ἑξ. Ἐλπὶς ἐπὶ Θεὸν κατὰ τοὺς — 248, 19 ἑξ. Νίκη ἐξ ἐλπίδος εἰς Θεὸν κατὰ — 249,39 ἑξ. Ποικίλοι οἱ — εἰσὶ 299,8 ἑξ. Ὑπομονὴ εἰς — 162,6 ἑξ. 163,27.
Πένης. Ποίῳ — καταφεύγων ὁ Κριτὴς νοητέος 49,11 ἑξ. τὸ «μακάριος ὁ συνιὼν ἐπὶ πτωχὸν καὶ» — πῶς ἑρμηνευτέον 173,22 ἑξ.
Πένητες. Τρώγειν καὶ ἐμπίπλασθαι τοὺς πένητας — πῶς νοητέον 91, 36 ἑξ.
Πένθος. — δι᾽ ἁμαρτίαν κ.λ. 117,10 ἑξ. Εἰς χαρὰν τὸ — μεταβάλλεται ὑπὸ Κυρίου 119,34 ἑξ.
Πεντηκοστὴ 369,4.
Πέτρος 60,21. 209,28. 238,22. 285, 18. 358,16. 380,5. 382,38. 385,30.
Πιλᾶτος 90,10. 238,25. 272,23. 274, 33. Πόντιος — 238,4.
Πιστεύειν. — τὸν Θεὸν διάφορον τοῦ γινώσκειν αὐτόν ἐστι 34,36 ἑξ.
Πίστις. — Ἀβραὰμ 43,31. — ἐλπίς, ἀγάπη 65,15 ἑξ. — καὶ ἀλήθεια 34,26 ἑξ. — καὶ ἔργα 27,2. 130, 4 ἑξ. — εἰς Σωτῆρα καὶ ἄφεσις ἁμαρτιῶν 126,30. — καὶ ταπείνωσις Χριστιανῶν 54,3 ἑξ. Ἀναγκαιότης — 99,5 ἑξ.
Πιστοί. Ἀντοχὴ καὶ νίκη — ἔναντι τῶν διώξεων τῶν διαφόρων πολεμίων 313,27-317,13. Εὐφροσύνη — ἐν τῷ μέλλοντι αἰῶνι 334,5 ἑξ.
Πιστός. — σκέπεται ὑπὸ προνοητικῶν δυνάμεων Θεοῦ 292,33 ἑξ.
Πλοῦτος. Ὅτι οὐ δεῖ ἐπιδίδεσθαι — 303,10 ἑξ. Περὶ τοῦ μὴ δεῖν ἐν — μέγα φρονεῖν 221,24 ἑξ.
Πνεῦμα.—Ἅγιον 16,31. 17,41. 18,1. 22,11. 23,6. 47,26. 72,19. 83,28. 87,2,10. 93,36. 95,6. 98,6,16. 126, 7. σελ. 130. 141,15. 144,34. 165, 11. 191,25. 192,4,9. 193,10. 194, 21. 202,17,24. 209,12. 221,36. 232,5. 233,1. 234,40. 235,40. 239,35. 245,17,22. 253,1. 255,43. 256,4,26. 257,22. 258,5. 271,22.

272,8. 279,39. 280,28. 283,26. σελ. 284. σελ. 285. 293,19,27. 295,33,38. 299,1. 310,20. 311,15. 312,5. 318,8. σελ. 319. 320,9. 322,7. 326,22. 330,9. 332,11. 335, 7,18. 337,3. 342,16. 345,30. 349, 32. 351,5. 357,7. 358,31. 359,21. 360,1. 361,13,19. 364,31. 366,3. 367,27. 368,19. 369,4,10. 386, 19. Ἅγιον παιδείας 164,11. — Ἅγιον δοθὲν ἀνθρώποις 285,10 ἑξ. — ἀληθείας σελ. 256. — Θεῖον 27,11. 43,37. 47,12. 70,30. 114, 16. 117,3. 128,10. 133,31. 235, 33. 245,41. 281,20. 283,36. 313, 41. 331,41. 359,22. — Θεοῦ 115, 14. 270,22. 321,37. — Κυρίου 228,32. 327,38. — ὀργῆς Θεοῦ 72,4. οὐράνιον ἐκχυνόμενον ἐπ' ἀνθρώπους 257,40 ἑξ. — προφητικὸν 76,24. 105,14,25. 164,8. 165,13. 176,17. 224,21. 228,24. 230,30. 236,19. 237,27. 240,25. 241,23. 256,24. 257,3. 274,21. 275,12. 277,5. 280,20. 330,38. 331,23. 347,30. 348,10. 352,11. 366,24. — προφητικὸν πᾶσι τοῖς ἔθνεσι 257,9. — προφητικὸν προφητεῦσαν 131,3 ἑξ. — στόματος Κυρίου καὶ δημιουργία 130,13 ἑξ. Ἀποκάλυψις — ἁγίου 227,39. Γέννησις Χριστοῦ ἐκ Παρθένου καὶ — Ἁγίου 48,13 ἑξ. Παρουσία ἁγίου — 256,26,34. Περὶ Ἁγ. — προλεχθέντα 359,15 ἑξ. Πρόγνωσις — 327,11. Χαρίσματα Ἁγ. — 321,24 ἑξ. Χορηγία ἐκ — 371,4.

Πνεύματα. — θεῖα 357,22.

Ποιμαντορία. — ἐν ῥάβδῳ σιδηρᾷ ἀναφερομένη τῷ Χριστῷ, πῶς νοητέα 25,5-26,20.

Πολέμιοι. Ἀντοχὴ καὶ νίκη πιστοῦ ἔναντι τῶν διαφόρων — 313,37-317,13.

Πονηρευόμενοι. Περὶ τοῦ διατί οὐ δεῖ ζηλοῦν τὸν τῶν — τρόπους 152,4-154,40.

Πόντος 369,7.

Πράξεις 285,10. — ἀποστόλων 60, 22. 70,13. 198,6. 209,26. 368,41. 369,2. 380,23.

Πραότης 43,29 ἑξ. — καὶ ταπεινοφροσύνη, ἀρεταὶ Μωϋσέως καὶ Δαυῒδ 252,35 ἑξ.

Πρόγνωσις. — Θεοῦ 261,40. 262,30.

Πρόνοια. — Θεοῦ 34,7. 47,6 ἑξ. 65,35. 74,23. 243,11 ἑξ. — Θεοῦ ἐπὶ πάντας ἀνθρώπους 335,14 ἑξ. — Θεοῦ 352,15-353,4. Βούλημα θείας — 257,28. Ὁδοὶ — Κυρίου 99,16 ἑξ. Ὀφθαλμοὶ — Θεοῦ 133,18 ἑξ.

Προσευχαί. — ἑωθιναὶ Ἐκκλησίας 200,3 ἑξ. — μαρτύρων ὡς θυμιάματά εἰσι 341,4 ἑξ. Περὶ ἀναπεμπομένων καθαρῶν καὶ νοερῶν — 83,7 ἑξ. Ψαλμοὶ ὄντες — 103,10 ἑξ.

Προσευχὴ 163,27. 308,12 ἑξ. 332, 1 ἑξ. — ἀναπεμπομένη τῷ Πατρὶ ὑπὸ ἐνανθρωπήσαντος Χριστοῦ 372, 35 ἑξ. — διὰ τὴν ἐκ Θεοῦ βοήθειαν 98,34 ἑξ. — διὰ τὸ μὴ ἐγκαταλειφθῆναι ὑπὸ τοῦ Θεοῦ 110,15 ἑξ. — διὰ τὸ ῥύεσθαι ἐξ ἐχθρῶν 268,26 ἑξ. — διὰ τὸ ῥυσθῆναι ἐξ ἐχθρῶν 66,9 ἑξ. — δι' ἄφεσιν ἁμαρτιῶν 127,26 ἑξ. — εἰσακουσθεῖσα 111,36 ἑξ. — ἐν λυπηροῖς 182,19. — ἐπακουομένη οὐ φέρει ἡμῖν ἔπαρσιν 33,28 ἑξ. — ἐπὶ σωτηρίᾳ 84,31 ἑξ. — εὐχαριστήριος 37,33 ἑξ. 343,11 ἑξ. — καθαρθείσης ψυχῆς 37,22. — καὶ καθαρότης καρδίας 178,26-37. — καὶ κατάστασις τοῦ ἀναπέμποντος τὴν — 235,22 ἑξ. — κατὰ πειρασμοὺς 249,39 ἑξ. — πάσχοντος Χριστοῦ πρὸς Πατέρα 145,19-148,9. — πρὸς Χριστὸν δι' ἀντιμετώπισιν τῶν νοητῶν ἐχθρῶν 140, 10 ἑξ. — πρὸς Θεὸν διὰ τὸ εἰσακούειν τὴν ἱκεσίαν κ.λ. 63,34 ἑξ. — συντηρήσεως ἀπὸ ὑπερηφανείας 82,7 ἑξ. — τέρψις Θεοῦ 325,41 ἑξ. — τοῦ μὴ καταισχύνεσθαι τοὺς διὰ Κύριον ὑπομένοντας 378,29 ἑξ. — τῷ Δαυῒδ ἢ Ψαλμὸς ις' 63,33 ἑξ. — ὑπὲρ ἑτέρων 102,27 ἑξ. — ὑπὲρ ἐχθρῶν καὶ βλαπτόντων ἡμᾶς 387,10 ἑξ. — ὑπὲρ τοῦ ῥυσθῆναι τοὺς ἀγαπητοὺς 283,11 ἑξ. — Χριστιανοῦ διὰ τὸ φυλάττεσθαι αὐτὸν ὑπὸ τοῦ Θεοῦ 65,21 ἑξ. — Χριστοῦ κατὰ πάθος αὐτοῦ προλεχθεῖσα 383,12 ἑξ. — Χριστοῦ κατὰ τὸν χρόνον τῶν θλίψεων αὐτοῦ 384,22 ἑξ. — Χριστοῦ τι-

μωρὸς καταστᾶσα τῶν διωκτῶν αὐτοῦ 142,1 ἑξ. — Χριστοῦ ὑπὲρ πτωχῶν, πῶς νοητέα 393,24 ἑξ. — Ψαλμοῦ ρμα' 251,2 ἑξ. Ἀπάντησις Θεοῦ εἰς προσευχὴν 88, 3 ἑξ. Γνῶσις καὶ — 331,7 ἑξ. Καθαρότης καὶ — 64,9 ἑξ. Περὶ — λαμβανούσης ἀπάντησιν 83, 20 ἑξ. Περὶ τοῦ εἰσακούεσθαι τὴν — 293 6 ἑξ.
Πρόσωπον. Ἄκρα τελειότης ἀνθρώπου καὶ — Θεοῦ 108,26 ἑξ. Θέα — Θεοῦ 110,6 ἑξ.
Προφῆται. — καὶ ἀπόστολοι παραδόντες τὴν Σωτῆρος Θεολογίαν 364,34 ἑξ.
Προφητεία. — τῆς σωτηρίου Θεοφανείας ὁ ΙΓ' Ψαλμὸς 223,26 ἑξ. — τῆς σωτηρίου ὁ ΝΒ' Ψαλμὸς 223,14 ἑξ.
Προφητεῖαι. — ἐν Ψαλμοῖς περὶ τῆς σωτηρίου Θεοφανείας 223,13-229, 23. — περὶ παθημάτων Χριστοῦ ἐν Ψαλμῷ ΝΔ' 233,32—243,10.
Πτῶσις. — πόθεν προέρχεται 118, 21 ἑξ.
Πτωχοί. Προσευχὴ Χριστοῦ ὑπὲρ — πῶς νοητέα 393,24 ἑξ.
Πτωχός. — ὁ ταπεινὸς 137,10. Τὸ «μακάριος ὁ συνιῶν ἐπὶ — καὶ πένητα κ.λ.», πῶς ἑρμηνευτέον 173,22 ἑξ.
Πῦρ. — πνευματικόν, καθαρτικὸν 341,1. Ὅτι ὁ Θεὸς — ἐστὶ καταναλίσκον 69,20 ἑξ.

Ραβεὶν 243,5.
Ῥοώβ. Συρία — 278,21,25.
Ῥωμαῖοι. Ἐπιστολὴ πρὸς — 80,20.

Σάββατα. — πνευματικὰ 395,29.
Σάββατον. Κυριακὴ τὸ τῶν Χριστιανῶν — 53,4 ἑξ. Λύσις τῆς περὶ — νομοθεσίας 41,29 ἑξ.
Σαβαὼθ 258,21,22. 328,11. 360,17.
Σαλμών. — ἑρμηνευόμενον εἰρήνη 359,37.
Σαμάρεια σελ. 285. 286,13,17. σελ. 288.
Σαμουὴλ 311,26.
Σαοὺλ 16,16. 27,28. 38,3. 43,20. 67,27. σελ. 68. 103,25. 122,18. 133,39. 135,21. 136,9. σελ. 139. σελ. 141. σελ. 144. σελ. 218. σελ. 219. 220,12,30. σελ. 229. σελ. 230. σελ. 231. σελ. 232. 233, 25,27. σελ. 234. 244,32. σελ. 245. σελ. 246. σελ. 250. σελ. 251. 252,9,17. 255,12,13. 258.39. σελ. 267. σελ. 268. σελ. 269. σελ. 270. 271,20. 273,14,20. σελ. 277. 278,1. 280,15. 292,3. 303, 39. σελ. 304. 307,7. σελ. 311. 313,16. σελ. 314.
Σαρίων. — τίνες καλοῦνται 116,2,14.
Σάρκωσις. — Λόγου καὶ εὐφροσύνη 40,38 ἑξ. — Υἱοῦ Θεοῦ 48,13 ἑξ.
Σάρξ. — ἀνθρώπου σκήνωμα Θεοῦ 58,5 ἑξ.
Σαρουΐα 278,19.
Σατανᾶς 348,38. — καθήρηται διὰ νηπίων 46,22.
Σεδείας 298,23.
Σελμὼν 359,9,12.
Σεραφεὶμ 258,21.
Σὴμ 16,26.
Σημεῖον. — διαφυγῆς ἐκ κινδύνων 282,15 ἑξ.
Σίβα 38,3.
Σίκελα 244,38.
Σίκιμα 280,33. σελ. 284. σελ. 285. 286,23. 287,27. 288,5,10.
Σιναῒ σελ. 355. 359,40. σελ. 360. 364,12.
Σῖτος. Συμβολισμὸς — οἴνου καὶ ἐλαίου 36,13 ἑξ.
Σιὼν σελ. 24. 28,41. 29,4. σελ. 57. σελίς 58. 59,1. 83,4. 154,38. 206,23. 208,29,41. 209,13. 213, 34,36. 217,25. 223,17,30. 224, 19,35. 225,2. 227,36,41. 228,5, 27. 317,15. σελ. 318. 329,14. 366,37. 376,14. σελ. 395, σελ. 396. Ὄρη — 204,20. Ὄρος — 205,30.
Σκηνή. — θαυμαστὴ Θεοῦ, τίς νοητέα 180,1-39.
Σκήνωμα. Περὶ — Θεοῦ 58,5-59,18.
Σκοτισμός. — Ἰουδαίων κατ' ἔλευσιν Χριστοῦ 388,1 ἑξ.
Σκότος. — καὶ ἁμαρτία 55,6 ἑξ.
Σόδομα 52,19. 335,28. 386,16.
Σολομῶν 17,14. 24,39. 31,1. 103,22. 174,23. 176,33. 207,41. 301,35. 306,7. 322,12. Σοφία — 19,10. Ψαλμοὶ ἐπιγεγραμμένοι τῷ — 12,5.
Σουρεὶ 298,23.

Σουσάννα 61,37. 140,32.
Σοφία 43,32. — ἄρρητος καὶ δύναμις ἀπερίληπος Θεοῦ 79,31 ἑξ. — Θεοῦ πολυποίκιλος 170,7 ἑξ. — Σολομῶντος 19,10.
Σοφός. — Σολομῶν 211,41.
Σπέρμα. — πνευματικὸν καὶ μελλοντικὸν 93,35-94,13.
Στερέωμα. — πῶς νοητέον 79,10 ἑξ.
Στηλογραφία — διατί καλεῖται οὕτω 272,9. — ἡ ΙΕ' Ψαλμὸς 60,10 ἑξ.
Σύμβολα. — δυνάμεων κολαστικῶν 71,16.
Συμεὼν 57,31. 75,31. 84,10. 228,18.
Σύμμαχος 159,2. 160,5,22. σελ. 281. — μεταφραστὴς Π. Διαθήκης 20,8. 21,38. 22,1. 32,24,28. 34.14.15. 51,27. 61,17. 64,39. 65,41. σελ. 66. 67,9,28. 68,13. 69,14. 72, 32. 73, 25,35. 77,18. 78,6. 81, 11. 84,19,38. 86,14. 90,15. 92 8,32. 93,15,26. 94,10. 96,19. 99,23. 100,25. 101,21. 106,22. 108,19. 109,3. 110,9. 111,20. 112,18,21. 115,6. 119,1. 121,17. 123,6. 124.33. 125,24. σελ. 127. 128,13,18. 130,35. 131,43. 132,6. 135,9,15. 139,8,16. 141,5. 144, 4,37. σελ. 145, 149,18. 150, 9. 151,21. σελ. 152. 153,5,41. 154,18. 156,31. 158,1. 163,14. — 165,22,27. σελ. 166. 167, 2. 170,25,28. 171,3. 173,2,15. σελ. 175. 176,8,20. 177,26. 178, 12. 179,37. 180,31. σελ. 181. 182,22,40. 184,15. 185,2. — ἑρμηνευτὴς Π. Διαθήκης 186,4.30. σελ. 187. σελ. 188. 190,25. σελ. 191. 192,18. 195,1,8. 197,9. σελ. 199. 203,37. 204,5,11. 206,32. σελ. 207. σελ. 209. 210,32. 211,1. σελ. 212. 216,21. σελ. 217. 222, 4,36. 223,36. 225,36. 227,12. 232,21. 234,9. 235,15. σελ. 236. 237,15,34. 238,11,36. 239,23. 241, 18. 242,17,28. 243,30,35. 244,11. σελ. 245. σελ. 246. 247,11,32. σελ. 248. 249,27. 252,31. 253,17. 254, 36. 261,28. 262,11. 264,9. 265, 3,22. 268,21. 271,16. 272,27,38. 273,11,35. 274,40,42. σελ. 275. 276,21,28. 277,8. 278,36. 279, 13.27. σελ. 280. 281,22,26. 282,3,16. 285,2. 286,6,11. 287, 14. 289,8,22. 291,2,28. 292, 20,29. 293,31. 295,2,23. 296,2. σελ. 298. 299,13,36. 300,27. 301, 33. 302,36. 306,23. 307,5. 308, 34. σελ. 309. 313,31. 314,23. 315, 36. 320,6,17. 323,15. 325,32,37. 326,18,40. 327,25. 329,8. 331, 21. σελ. 332. 335,3. 336,18. 337, 15. 338,15,27. 339,26. 342,41. 345,26. 346,6. 351,22,37. σελ. 352. 353,14,21. 354,9,21. 355, 11. 356,2. 357,8,30. 358,41. 359, 11. 360,13. σελ. 361. 362,23,28. σελ. 363. 365,26. 367,29. 34. σελ. 368. 369,39. 371,28,35. 373,26, 28. 374,5,32. 377,2. 378,2. 379,2, 27. 382,20. 383,18. 384,14. 385, 24,30. 387,34. 388,26. 389,1,12. 390,25. 392,13. 394,17.
Σύμπαντα. Ματαιότης τὰ — κ.λ. 301.27 ἑξ.
Σύνεσις. Ψαλμὸς — 223,1. 229,24. 233,21. Ψαλμὸς εἰς — 185,26 ἑξ. Ψαλμὸς — ὁ ΛΑ' 126,1 ἑξ.
Συρία 219,22. σελ. 278. — Δαμασκοῦ 278,12,15. — Μεσοποταμία 277, 29. 278,4,39. — Ῥοὼβ 278,21. — Σωβᾶ 219,22. — Σωβὰλ 277, 29. σελ. 278.
Συχὲμ 285,5. 288,37.
Σωβᾶ 278,8,25. Συρία — 219,22.
Σωβάλ. Συρία — 277,30. σελ. 278.
Σῶμα. — ἀνθρώπινον, ψαλτήριον ἀλληγορικῶς ὀνομάζεται 331,4 ἑξ. — καὶ αἷμα Χριστοῦ, μεταλαμβανόμενα κατὰ Κυριακὴν 93,10 ἑξ. — Κυρίου οἱ ἀπόστολοι 211,25.
Σώματα. — τεθνεώτων 212,15.
Σωτὴρ 17,26. 18,13. 19.1. 20,36. σελ. 21. 22,18. σελ. 23. 24,33,41. 25,14. 27,16. σελ. 29. σελ. 30. 31,26. 37,2. 39,17,30. 40,38. 41, 25,36. 42,35. 43,37. 46,10. 48,7. σελ. 53. 55,29. 56,3. 57,2. 60, 24,36. 61,1,7. 62,19. 64,5. 65,5, 33. 69,35. 70,17,35. 73,38,40. 76, 24. 77,26,33. 79,26. 80,20. 83,10. 86,28. σελ. 87. 88,5,36. 89,8. 91,18. σελ. 93. σελ. 94. 99.15.30. 100,13,26. 105,35. σελ. 106. 107,6,17. 108,36. 109,5. 114,5, 22. 120,17. 121,3. 122,39. 123, 1,18. 126,29. 127,34. 130,20. 131,27. 132,23. σελ. 135. 136,5.

140,5,12. σελ. 142. 143,17,28. 145,22,40. 147.41. 152,6. 153,21. 158,25. 168,32,38. 172,3. 173, 29. 174,4,38. σελ. 175. 176, 5,20. 182,32. 184,39. 185,15,21. 190,40. 198,19. 199,6,14. 200,22. 201,4. 202,22. 203,6. 208,11,36. 209,27,30. 211,15. 214.24. 223, 23. 228,6,18. 235,7,11. σελ. 236. 238,16,38. 239,42. σελ. 240. σελ. 241. 242,39. σελ. 243. 244,9.15. 252,36. σελ. 253. σελ. 255. 264, 36. 266,34. σελ. 271. σελ. 272. σελ. 273. σελ. 274. 275,1. 277,5, 25. 279,31. 281,29. 282,10. σελ. 285. 289,10. 294,5,7. 297.34. 299,22,24. 300.12. 301,31. 302, 6,40. 309,16. 310,12.36. 311,4. 315,13,16. σελ. 318. 320,21. σελ. 322. σελ. 323. σελ. 325. σελ. 326. σελ. 327. 330,25. 333.29. σελ. 334. 335,6. 337,30. 342,37. 343,27. 345,17. σελ. 346. σελ. 347. 350,35. 351,40. 353,34. 355, 38. 356,16. 357,9. 358,12. 359, 20. 361,25,26. 362,33. 364,34, 36. 365,15. σελ. 366. 368,10,11. σελ. 369. 371,33. 372,12,15. 373, 22. 374,11,27. σελ. 375. 377,20. 378,6. 382,24. 384,25. 386,8,22. 388,13,19. 389,37. 391,16. 393, 15. 395,25,36. — ἀποσταλεὶς ἐξ οὐρανοῦ 253,31 ἑξ. — δηλούμενος διὰ τῶν λέξεων Ἰησοῦς 217,5. — φύλαξ Θεὸς 268,28. — Λυτρωτὴς 242,9. — παρασχὼν ὕδωρ ζῶν 178,17 ἑξ. — ποιητὴς ὅλων 319,16. Δύναμις — 325,31 ἑξ. Περὶ Χριστοῦ — καὶ τοῦ ἔργου αὐτοῦ 21,4 ἑξ. Περὶ — Χριστοῦ ἐλεύσεως αὐτοῦ ἐν τῷ κόσμῳ κ.λ. 322,29-325,28. — πρῶτος μάρτυς 337,32 ἑξ.

Σωτηρία. — δίχα θυσιῶν ὁλοκαυτωμάτων 170,21. — μόνη δι' ὀφθαλμῶν Θεοῦ 133,6 ἑξ. Αἴτιος αἰωνίου — 57,13. Ἐλπὶς καὶ — ἐν Ἰησοῦ 301,2 ἑξ. Θεὸς πάντα ὑπὲρ — ἐμηχανεύσατο 332,29. Κένωσις Χριστοῦ διὰ τὴν ἡμῶν — 391,19 ἑξ. Ὄνομα Ἰησοῦ σημαῖνον — 138,29-30. Προσευχὴ ἐπὶ — 84,31 ἑξ.

Σωτήριον. Τὸ — τῇ ἑβραϊκῇ γραφῇ διὰ τῶν στοιχείων τοῦ ὀνόματος τοῦ Ἰησοῦ γράφεται 297,40 ἑξ. 300,33 ἑξ.

Σωφροσύνη 43,33. 309,2. — ἁγίων 61,36 ἑξ. — Ἰωσὴφ 103,21.

Τάγμα. — πρῶτον τῶν ἐν Χριστῷ προκοπτόντων οἱ μοναχοί εἰσι 353, 26 ἑξ.

Τάγματα. — διαλάμποντα ἀρεταῖς τῇ Ἐκκλησίᾳ 358,1 ἑξ. — διαπρέποντα τῇ Ἐκκλησίᾳ Θεοῦ 357, 34.

Τάξις. Περὶ — Ψαλμῶν 16,39 ἑξ.

Ταπεινός. Πτωχὸς ὁ — 137,10.

Ταπεινότης. — ἀποστόλων προφητευθεῖσα 73,34 ἑξ.

Ταπεινοφροσύνη. — καὶ πραότης, ἀρεταὶ Μωϋσέως καὶ Δαυῒδ 252,35 ἑξ.

Ταπείνωσις 124,31. — καὶ ἄφεσις ἁμαρτιῶν 102,1 ἑξ. — καὶ ἐξ ἐχθρῶν σωτηρία 122,4 ἑξ. — καὶ πίστις Χριστιανῶν 54,3 ἑξ. — Χριστοῦ καὶ ὑπερύψωσις αὐτοῦ 77,5. — 78,2. — ψυχῆς 137,10.

Τεθνεῶτες. Σκηνώματα — 212,15.

Τελειότης. — ἄκρα ἀνθρώπου καὶ πρόσωπον Θεοῦ 108,26 ἑξ. — οὐκ ἐν μιᾷ πράξει ἐστὶ 59,20 ἑξ.

Τέλος. — τρισμακάριον πιστῶν 180, 1 ἑξ.

Τέρψεις. — πνευματικαὶ 325,29 ἑξ.

Τιμωρία. — Ἰούδα προδότου 143,6 ἑξ. — πολεμησάντων τὴν Ἐκκλησίαν Θεοῦ 350,24 ἑξ.

Τιμωρίαι. — ἐπὶ ἁμαρτωλοῖς καὶ υἱοῖς αὐτῶν 67,11 ἑξ. — ἐχθρῶν καὶ βασανιστῶν ἁγίων Χριστιανῶν 85,18 ἑξ. — Θεοῦ παιδαγωγικαί εἰσι 138,16 ἑξ. — Ἰουδαίων, δι' ὅσα ἔπραξαν κατὰ Χριστοῦ κακὰ 244,8 ἑξ.

Τόκος. Περὶ — 59,39 ἑξ.

Τράπεζα. «Γενηθήτω ἡ — ἔρημος», πῶς νοητέον 387,7 ἑξ.

Τροφή. — μυστικὴ 96,1. — οὐράνιος ἡ μετάληψις 93,10 ἑξ.

Τρώγειν. — τοὺς πένητας καὶ ἐμπίπλασθαι, πῶς νοητέον 91,36 ἑξ.

Τύρος 190,16.

Ὕδατα. — ἐν Π. Διαθήκῃ 115,10 ἑξ. — καλούμενοι οἱ πειρασμοὶ καὶ διωγμοὶ 373,18 ἑξ.

Ὕδωρ. — ζῶν παρασχεθὲν ὑπὸ Σωτῆρος 178,17 ἑξ. — πνευματικὸν 95,1 ἑξ.
Υἱοί. — Θεοῦ οἱ μαθηταὶ Χριστοῦ 116,4 ἑξ. — Κορὲ 197,30. σελ. 204. 284,30,33. — ἀγαπητὸς 383, 21. — ἐν τῷ Πατρὶ καὶ Πατὴρ ἐν τῷ — 359,33. — Θεοῦ 21,25,30. 22,42. 28,33. 42,1. 69,28. 89,26. 95,29. 96,35. 106,10. 142,19. 175,36. 194,16. 235,34. 237,32. σελ. 263. 350,32. 355,28. 379,17, 23. 389,26. 390,2. 392,4.
Υἱός. — Θεοῦ Ἀγαπητός, Μονογενὴς 190,30. — Θεοῦ δοὺς ἑαυτὸν ἀντάλλαγμα ὑπὲρ ἁμαρτωλῶν 242,4. — Θεοῦ μονογενὴς 357,24. — Θεοῦ ξύλον ζωῆς ἐστι 19,10 ἑξ. — καταπεμφθεὶς ὑπερασπιστὴς 75,26 ἑξ. — μονογενὴς 194,3. 312,17.— Πατρὸς 193,1. Ἀνάβασις καταβάντος — προδηλωθεῖσα 360,34 ἑξ. Περὶ τῶν κρυφίων τοῦ — 48,12 ἑξ.
Ὑμνολογίαι — τῷ Θεῷ προσαγόμεναι ὑπὸ Ἐκκλησίας κ.λ. 325,4 ἑξ.
Ὕμνος. — ἐπινίκιος ὁ ΙΖ' Ψαλμὸς 67,25 ἑξ. — πρέπων τῷ Θεῷ μόνῳ, πῶς νοητέος 317,15 ἑξ.
Ὑπερασπιστής. Τίνων — ἐστὶν ὁ Θεὸς 74,18.
Ὑπερηφάνεια 59,28.124,35 ἑξ. Ἀποτελέσματα — Ἰουδαίων ἐκδηλωθείσης κατ' Ἰησοῦ 274,16 ἑξ. Προσευχὴ συντηρήσεως ἀπὸ — 82,7 ἑξ.
Ὑποκρισία. — ὁμοιότης τῷ ἀπατηλῷ ὄφει 260,40 ἑξ.
Ὑπομένοντες. Τέλος — 179,41 ἑξ.
Ὑπομονὴ 222,34 ἑξ. — ἀνθρώπου ὁ Κύριος ἐστὶ 166,27 ἑξ. — ἡ μέχρι τέλους ἀποτελεσματική ἐστι 252,39 ἑξ. — Ἰὼβ 103,21. Ἀναγκαιότης — 99,4 ἑξ. Ἀποτελέσματα — 163,21 ἑξ.
Ὑποταγή. — καὶ ἱκεσία τῷ Κυρίῳ 154,16 ἑξ. — ψυχῆς τῷ Θεῷ 296, 11 ἑξ. 300,11 ἑξ.
Ὕσσωπος. — σύμβολον ἀπαθείας 216,30 ἑξ.
Ὕψη. — δι' ἄνθρωπόν εἰσι 75,17 ἑξ.

Φαραὼ 53,30.
Φιλανθρωπία. — Χριστοῦ 144,1 ἑξ.
Φιλιππήσιοι Ἐπιστολὴ Παύλου πρὸς — 36,24.
Φίλιπποι 198,10.
Φίλιππος 285,12,14.
Φιλισταία 281,4.
Φόβος. — διατί οὐ Χριστιανῶν ἐστι 105,29 ἑξ.
Φρόνησις. — Σολομῶντος 103,22.
Φρυγία. 369,8.
Φυλακή.—Χριστιανοῦ ὑπὸ Θεοῦ ἀναγκαιοτάτη 65,21 ἑξ.
Φωνή. Δύναμις — Κυρίου 115,21 ἑξ.
Φῶς. — ἀληθινὸν προφητευθεὶς ὁ Χριστὸς 74,1 ἑξ. — ἀποστελλόμενον ταὐτὸν τῷ ἀποστέλλοντί ἐστι. — Θεότητος, ἐπιφαινόμενον ἀνθρώποις 124,16 ἑξ. — Θεοῦ 249,30 ἑξ. — ὁ Θεός ἐστι 349,9 ἑξ. — ὁ Χριστὸς 151,39 ἑξ. — σωτήριον ἐπιλάμψαν πᾶσιν ἔθνεσι 92,23 ἑξ. Πρόσωπον Θεοῦ — γέμει 55,4.

Χὰμ 16,26.
Χαναναία 90,25.
Χαρά. — καὶ εἰρήνη τῶν θελόντων δικαιοσύνην 148,10 ἑξ. — τὸ τέλος τῆς εἰς Θεὸν ἐλπίδος 122,2. Εἰς — ὁ κοπετὸς μεταβαλλόμενος ὑπὸ Κυρίου 120,7 ἑξ. Εἰς — τὸ πένθος μεταβάλλεται ὑπὸ Κυρίου 119,34 ἑξ.
Χάρις. — ἐκχυνομένη 192,37 ἑξ. — ἐπὶ πάντα τὰ ἔθνη 131,31. — εὐαγγελικὴ 368,24. 391,18. — εὐαγγελικὴ καθ' ἅπασαν χυθεῖσα τὴν οἰκουμένην, προφητευθεῖσα 113,22 ἑξ. — θεία 342,30. — Θεοῦ 75,21. 228,6. — Θεοῦ, ποιεῖ τὰς ψυχὰς καρποφόρους 222,30 ἑξ. — ληφθεῖσα ὑπὸ ἐθνῶν 334,28. Ἄφεσις ἁμαρτιῶν διὰ — 126,22.
Χαρίσματα. — Ἁγ. Πνεύματος 321, 24 ἑξ. 326,26.
Χολή. — καὶ ὄξος, δοθέντα εἰς Χριστόν, προεφητεύθησαν 385,27 ἑξ.
Χουσὶ 43,13. 45,16. 219,38,39. 304, 38.
Χρηστότης. Περὶ — Κυρίου 100,6 ἑξ. Πλοῦτος — Κυρίου καὶ πῶς ἐκδηλοῦται ἀνθρώποις 125,1 ἑξ.

Χριστιανισμός. Ὁδὸς ἀρετῶν — προφητευθεῖσα 76,1 ἑξ.
Χριστιανοί. Βουλαὶ ἀρχόντων κ.λ. οὐδὲν ἰσχύουσι διὰ — 131,2 ἑξ. Διατί ὁ φόβος οὐ διὰ — ἐστὶ 105, 29 ἑξ. Διαφύλαξις — ὑπὸ Θεοῦ 54,12 ἑξ. Δύναμις — συμβολισθεῖσα 116,25 ἑξ. Μερὶς — ὁ Κύριος 62,37 ἑξ. Νίκη — διὰ Χριστοῦ 84,2 ἑξ. Πίστις καὶ ταπείνωσις — 54,3 ἑξ. Προστασία — ὑπὸ Θεοῦ 107,10 ἑξ. Τέλος τρισμακάριον — 180,1 ἑξ.
Χριστιανός. — διὰ πείρας ἐλθὼν τῇ τοῦ Θεοῦ χάριτι πᾶσι κηρύττει τὰς εἰς αὐτὸν γενομένας εὐεργεσίας 169,27 ἑξ. — ἔχει ἀνάγκην φυλακῆς ὑπὸ Θεοῦ 65,21 ἑξ. Πορεία — ὁμαλὴ ὑπὸ Χριστοῦ καταρτισθεῖσα 76,22 ἑξ.
Χριστὸς σελ. 12. σελ. 13. σελ. 14. σελ. 15. 20,27,33. σελ. 21. σελ. 22. σελ. 23. σελ. 24. σελ. 25. 26,2,37. 27,1. 28,27,33. σελ. 29. 30,39. 31,26. σελ. 32. 38,25,28. 40,23. 41,4. 42,8. 44,32. 46,15,34. 48,3. 56,21. 57,18. σελ. 58. 59,4. 60, 29. 61,23. 62,6. 64,28. 67,39. 68,13,15. σελ. 74. 81,38. 83,23. 87,33. 94,33,37. 105,21. σελ. 112. 115,22. 117,13. 133,28. 140,13. 142,21. σελ. 148. 151,32,34. 169, 4. 171,39. 180,19. 191,6. σελ. 195. 196,29. 206,2. 208,31. σελ. 211. 258,23. 266,28. 270,21. 271,21. 276,4. 277,13. σελ. 282. 284,14. 291,21. 292,10. 306, 40. 315,5. 317,31. 325,14. 327, 32. 328,8,39. 336,21. 349,35,37. σελ. 350. 353,26. 376,28. 377,22. σελ. 387. 389,18. 390,7. 393,7. σελ. 394. — Βλασφημηθεὶς ὑφ' Ἑβραίων κ.λ. 53,26 ἑξ. — ἐκ Δαυῒδ κατὰ σάρκα 28,33 ἑξ. — ἐπτώχευσεν διὰ τὴν ἡμῶν σωτηρίαν 391,19 ἑξ. — Θεοῦ 228,6. 240,14. — καταβὰς εἰς τὰ θανάτου χωρία 374,22 ἑξ. — κατὰ σάρκα πτωχὸς καλούμενος ἄνθρωπος 356, 15 ἑξ. — κενώσας ἑαυτὸν ἄτρεπτος ἔμεινεν ὡς Θεὸς 190,11. — Κυρίου 250,34. — ὁδηγὸς ἀνθρώπων 100,26 ἑξ. — ὅρος Θεοῦ, πέτρα κ.λ. 206,1 ἑξ. — παρὰ τὴν κοινὴν φύσιν ἦν 89,35 ἑξ. — παρελήφθη ὑπὸ Πατρὸς 72,10 ἑξ. — προσαγαγὼν ἑαυτὸν θυσίαν 170, 35 ἑξ. — ὑπὲρ πάντων ἀνθρώπων βοᾷ 376,59 ἑξ. — ὑπογραμμὸς ἐγένετο 65,5 ἑξ. Ἀναμαρτησία — 64,25 ἑξ. 87,16 ἑξ. Ἀνάστασις — 60,30. Ἀνεξικακία καὶ φιλανθρωπία — 144,1 ἑξ. Βασιλεία — καὶ μετὰ τὸ πάθος αὐτοῦ 24,3 ἑξ. Γέννησις σαρκικὴ — 24,20 ἑξ. Διατί ἐδόθη πλήρης ὄλεθρος Ἰουδαίοις δι' ὅσα κακὰ — ἔπραξαν 273,12 ἑξ. Ἐγκατάλειψις — ὑπὸ μαθητῶν αὐτοῦ 380,2 ἑξ. Εἰς Ἅδου κάθοδος καὶ Ἀνάληψις — 46,31 ἑξ. Ἐκκλησία — καὶ Ἰακὼβ 203,38. Ἐμφάνεια — ἐπὶ γῆς προδηλωθεῖσα 360,1 ἑξ. Ἔνσαρκος ἀνθρώποις — ἐπιδημία 352,1 ἑξ. Ἐπιδημία — καὶ κλῆσις ἐθνῶν 288,16 ἑξ. Ζῆλος — δι' οἶκον Θεοῦ προλεχθεὶς 381,4 ἑξ. Ζωοποίησις ἐν — 32,5 ἑξ. Ἡ δύναμις — σωτήριός ἐστι 31,21 ἑξ. Θάνατος — 383,29. 384,8 ἑξ. Θεολογία — παρεδόθη ὑπὸ προφητῶν καὶ ἀποστόλων 364,34 ἑξ. Θεὸς ἐλάλησε διὰ — τοῖς ἔθνεσι 284, 19-288,15. Ἰησοῦς — 24,33. 27, 24. 31,24. 41,13. 71,35,39. 97, 36. 106,15. 172,10. 193,7. 206, 6. 208,36. 225,7. 228,18. 263, 11. 295,15. 300,36,39. 328,39. 340,30. 391,20,24. Κάθοδος καὶ ἄνοδος — 70,3-71,3. Κάθοδος — εἰς Ἅδου 362,1 ἑξ. Κληρονομία. — 112,32 ἑξ. Μέχρι θανάτου κατάβασις — 364,13. Μυστήριον — 215,32. Ὀνειδισμὸς ὃν ὑπήνεγκεν ὁ — 372,18 ἑξ. Ὄξος καὶ χολὴ δοθέντα εἰς — προεφητεύθησαν 385,27 ἑξ. Παθήματα ὑπὸ — ὑπενεχθέντα 374, 39 ἑξ. Πάθος — κατὰ παραχώρησιν Θεοῦ 389,25 ἑξ. Πάθος — πῶς ὠνομάσθη προλεχθὲν 377,19 ἑξ. Περὶ ὀνειδισμῶν κ.λ. — κατὰ πάθος αὐτοῦ 379,7 ἑξ. Περὶ — ἐλεύσεως αὐτοῦ ἐν τῷ κόσμῳ, δυνάμεων αὐτοῦ κ.λ. 322,29-325,28. Περὶ — Σωτῆρος καὶ τοῦ ἔργου αὐτοῦ 21,4 ἑξ. Περὶ — ὡραίου τῷ κάλλει 192,13 ἑξ. Προσευχὴ —

κατὰ πάθος αὐτοῦ προλεχθεῖσα 383,12 ἑξ. Προσευχὴ — κατὰ τὸν χρόνον τῶν θλίψεων αὐτοῦ 384, 22 ἑξ. Προσευχὴ — τιμωρὸς καταστᾶσα διωκτῶν αὐτοῦ 142,1 ἑξ. Προσευχὴ — ὑπὲρ πτωχῶν, πῶς νοητέα 393,24 ἑξ. Προφητεία περὶ ἐλεύσεως — 49,34 ἑξ. Προφητεῖαι περὶ παθημάτων — ἐν ΝΔ' Ψαλμῷ 233,32-243,10. Προφητεῖαι περὶ — 34,21 ἑξ. Ταπείνωσις καὶ ὑπερύψωσις — 77,5 ἑξ. Θλῖψις — κατὰ πάθος αὐτοῦ 385,30 ἑξ.

Ψάλλειν. — τῷ Θεῷ, τίς παρακελεύεται 351,12 ἑξ.

Ψαλμοὶ — ὄντες δεήσεις ἢ ἱκεσίαι ἢ ἐξομολογήσεις 103,6 ἑξ. — ὄντες ἐντεύξεις 103,15 ἑξ. — ὄντες εὐχαριστίαι 103,13 ἑξ. — ὄντες προσευχαὶ 103,10 ἑξ. — οὐχὶ πάντες Δαυῒδ εἰσι 11,29 ἑξ. ὑπὲρ τῶν ἀλλοιωθησομένων 371, 24 ἑξ. Ἀποσπάσματα εἰς τοὺς — ἔργον Εὐσεβίου Καισαρείας 11,1 ἑξ. Βίβλος — 103,2,5. Βίβλος — εἰς πέντε μέρη διῄρηται 305,16 ἑξ. Διαίρεσις — 11,28 ἑξ. Ἐπιγραφαὶ — 12,3 ἑξ. Εὐσεβίου εἰς τὰς ἐπιγραφὰς τῶν — 11,3 ἑξ. Εὐσεβίου ἑρμηνεία εἰς τοὺς — 16,8 ἑξ. Εὐσεβίου Καισαρείας ἀποσπάσματα εἰς τοὺς — 11,1 ἑξ. Θέματα ἑνὸς ἑκάστου τῶν — 12,10-16,7. Περὶ ἀριθμοῦ — 16,35 ἑξ. Περὶ διατάξεως καὶ σειρᾶς — 305,1-306,15. Περὶ ἐπιγραφῶν τῶν — 219,1 ἑξ. Περὶ μέλους — 16,15. Περὶ τάξεως — 16,39 ἑξ. Προφητεῖαι ἐν — περὶ τῆς σωτηρίου Θεοφανείας 223,13-229,23. Πρῶτον μέρος — ἀπὸ πρώτου ἕως τεσσαρακοστοῦ 176,25 ἑξ. Ὑπόθεσις Εὐσεβίου εἰς τοὺς — 12,9 ἑξ. Χρονολογικὴ σειρὰ — τινῶν 267, 16 ἑξ.

Ψαλμός. — δέκατος ἕβδομος 219,40. 324,6. — δέκατος πέμπτος 290,13. 294,11. — δέκατος τρίτος 224, 1. 225,13,17. 227,28,33. — δεύτερος 62,39. 272,34. 305,14. 318,20. 355,25. — δωδέκατος 224,37,38. 225,2. — ἑβδομηκοστὸς 219,7. — ἑβδομηκοστὸς πρῶτος 258,23. — ἕβδομος 30,30. 219,37. 304,38. — εἰκοστὸς 294, 28. — εἰκοστὸς ἕβδομος 117, 27. — εἰκοστὸς ἔνατος 111,10. εἰκοστὸς ὄγδοος 178,5. — εἰκοστὸς πρῶτος 142,8. 145,40. 238, 6. 311,5. 368,11. 391,37. — ἑκατοστὸς ἕβδομος 281,6. σελ. 283. 284,34. — ἑκατοστὸς ἔνατος 371,26. — ἑκατοστὸς πέμπτος 335,24. — ἑκατοστὸς τεσσαρακοστὸς πρῶτος σελ. 251. — ἕκτος σελ. 160. 219,35. 220,1. 290,17. ἔνατος 305,15. — ἐνενηκοστὸς πέμπτος 113,14,29. 114,2,27. — ἑξηκοστὸς δεύτερος 219,25. 304, 22,32. 305,20. ἑξηκοστὸς τέταρτος 347,20. εὐαγγελικὸς 330, 4. 335,37. 343,21. 347,22. — ΙΓ' προφητεία τῆς σωτηρίου θεοφανείας 223,26 ἑξ. — ΝΒ' προφητεία τῆς σωτηρίου Θεοφανείας 223,14 ἑξ. — ὀγδοηκοστὸς πρῶτος 213,24. — ὀγδοηκοστὸς τρίτος 46,1. — ὄγδοος 296,17.— πέμπτος 219,13. 294,10. — πεντηκοστὸς σελ. 219. 220,3,38. 224,34. 267,11. 304,35. σελ. 305. — πεντηκοστὸς ἕκτος 219,15. 304, 16,31. — πεντηκοστὸς ἔνατος 219. 19. 290,11. 304,33. 371,25,31. — πεντηκοστὸς ἱερός ἐστι 11,5 ἑξ. — πεντηκοστὸς ὄγδοος 219,17. 304,30. — πεντηκοστὸς πέμπτος 304,26,32. — πεντηκοστὸς τέταρτος 290,19. — πεντηκοστὸς τρίτος 219,11. 290.19. 304,24. 32. — πρῶτος 219,6. 267,12. 305,14. — τεσσαρακοστὸς ἔνατος 219,5. 341,29. — τεσσαρακοστὸς ὄγδοος 305,29. — τεσσαρακοστὸς τέταρτος 114,9. 371,26, 28. — τέταρτος 290,17. — τριακοστὸς 296,17.— τριακοστὸς ἕβδομος 219,41. — τριακοστὸς ἔνατος 174, 20. — τριακοστὸς ὄγδοος 296,21. 33. — 298,6. 301,27. — τριακοστὸς τρίτος 141,6. 218,4. 304,13,30. — ᾠδῆς καὶ ᾠδὴ — τί εἰσι 16,13 ἑξ. — ᾠδῆς τί ἐστι 16,13 ἑξ. Αἰτία συνθέσεως ΝΑ' — 218,4 ἑξ. Βίβλος — 229,29. Ἐπιγραφὴ — ΝΕ' 245,3 ἑξ. Ἑρμηνεία — Α' ὑπὸ Εὐσεβίου 18,4 ἑξ. Ἑρμηνεία — Β' ὑπὸ Εὐσεβίου 20,25 ἑξ. Ἑρ-

μηνεία — Γ' ὑπὸ Εὐσεβίου 27, 5 ἑξ. Ἑρμηνεία — Δ' ὑπὸ Εὐσεβίου 32,1 ἑξ. Ἑρμηνεία — Ε' ὑπὸ Εὐσεβίου 39,9 ἑξ. Ἑρμηνεία — Ϛ' ὑπὸ Εὐσεβίου 41, 22 ἑξ. Ἑρμηνεία — Ζ' ὑπὸ Εὐσεβίου 43,12 ἑξ. Ἑρμηνεία — Η' ὑπὸ Εὐσεβίου 45,30 ἑξ. Ἑρμηνεία — Θ' ὑπὸ Εὐσεβίου 48,11 ἑξ. Ἑρμηνεία — Ι' ὑπὸ Εὐσεβίου 51,25 ἑξ. Ἑρμηνεία — ΙΑ' ὑπὸ Εὐσεβίου 53,1 ἑξ. Ἑρμηνεία — ΙΒ' ὑπὸ Εὐσεβίου 54,24 ἑξ. Ἑρμηνεία — ΙΓ' ὑπὸ Εὐσεβίου 55, 12 ἑξ. Ἑρμηνεία — ΙΔ' ὑπὸ Εὐσεβίου 57,34 ἑξ. Ἑρμηνεία — ΙΕ' ὑπὸ Εὐσεβίου 60,10 ἑξ. Ἑρμηνεία — ΙϚ' ὑπὸ Εὐσεβίου 63, 33 ἑξ. Ἑρμηνεία — ΙΖ' ὑπὸ Εὐσεβίου 67,24 ἑξ. Ἑρμηνεία — ΙΗ' ὑπὸ Εὐσεβίου 78,3 ἑξ. Ἑρμηνεία — ΙΘ' ὑπὸ Εὐσεβίου 83, 1 ἑξ. Ἑρμηνεία — Κ' ὑπὸ Εὐσεβίου 84,17 ἑξ. Ἑρμηνεία — ΚΑ' ὑπὸ Εὐσεβίου 86,25 ἑξ. Ἑρμηνεία — ΚΒ' ὑπὸ Εὐσεβίου 94,14 ἑξ. Ἑρμηνεία — ΚΓ' ὑπὸ Εὐσεβίου 96,21 ἑξ. Ἑρμηνεία — ΚΔ' ὑπὸ Εὐσεβίου 98,13 ἑξ. Ἑρμηνεία — ΚΕ' ὑπὸ Εὐσεβίου 102,33 ἑξ. Ἑρμηνεία — ΚϚ' ὑπὸ Εὐσεβίου 105,22 ἑξ. Ἑρμηνεία — ΚΗ' ὑπὸ Εὐσεβίου 113,7 ἑξ. Ἑρμηνεία — Λ' ὑπὸ Εὐσεβίου 120,30 ἑξ. Ἑρμηνεία — ΛΑ' ὑπὸ Εὐσεβίου 126,1 ἑξ. Ἑρμηνεία — ΛΒ' ὑπὸ Εὐσεβίου 129,5 ἑξ. Ἑρμηνεία — ΛΓ' ὑπὸ Εὐσεβίου 133,24 ἑξ. Ἑρμηνεία — ΛΔ' ὑπὸ Εὐσεβίου 138,11 ἑξ. Ἑρμηνεία — ΛΕ' ὑπὸ Εὐσεβίου 149,1 ἑξ. Ἑρμηνεία — ΛϚ' ὑπὸ Εὐσεβίου 152,23 ἑξ. Ἑρμηνεία — ΛΖ' ὑπὸ Εὐσεβίου 160,24 ἑξ. Ἑρμηνεία — ΛΗ' ὑπὸ Εὐσεβίου 165,6 ἑξ. Ἑρμηνεία — ΛΘ' ὑπὸ Εὐσεβίου 168, 20 ἑξ. Ἑρμηνεία — Μ' ὑπὸ Εὐσεβίου 173,21. Ἑρμηνεία — ΜΑ' ὑπὸ Εὐσεβίου 176,30 ἑξ. Ἑρμηνεία — ΜΒ' ὑπὸ Εὐσεβίου 183,6 ἑξ. Ἑρμηνεία — ΜΓ' ὑπὸ Εὐσεβίου 185,26 ἑξ. Ἑρμηνεία — ΜΔ', ἡ ᾠδῆς ὑπὲρ Ἀγαπητοῦ, ὑπὸ Εὐσεβίου 189,31 ἑξ. Ἑρμηνεία — ΜΕ' ὑπὸ Εὐσεβίου 197, 30 ἑξ. Ἑρμηνεία — ΜϚ' ὑπὸ Εὐσεβίου 202,4 ἑξ. Ἑρμηνεία — ΜΖ' ὑπὸ Εὐσεβίου 204,17 ἑξ. Ἑρμηνεία — ΜΗ' ὑπὸ Εὐσεβίου 210,12 ἑξ. Ἑρμηνεία — ΜΘ' ὑπὸ Εὐσεβίου 213,6. Ἑρμηνεία — Ν' ὑπὸ Εὐσεβίου 215,24 ἑξ. Ἑρμηνεία ΝΑ' ὑπὸ Εὐσεβίου 218,1 ἑξ. Ἑρμηνεία — ΝΒ' ὑπὸ Εὐσεβίου 223,1 ἑξ. Ἑρμηνεία — ΝΓ' ὑπὸ Εὐσεβίου 229,25 ἑξ. Ἑρμηνεία — ΝΔ' ὑπὸ Εὐσεβίου 233,21 ἑξ. Ἑρμηνεία — ΝΕ' ὑπὸ Εὐσεβίου 244,26 ἑξ. Ἑρμηνεία — ΝϚ' ὑπὸ Εὐσεβίου 250,6 ἑξ. Ἑρμηνεία — ΝΖ' ὑπὸ Εὐσεβίου 258,29 ἑξ. Ἑρμηνεία — ΝΗ' ὑπὸ Εὐσεβίου 267,7 ἑξ. Ἑρμηνεία — ΝΘ' ὑπὸ Εὐσεβίου 277,27 ἑξ. Ἑρμηνεία — Ξ' ὑπὸ Εὐσεβίου 290,8 ἑξ. Ἑρμηνεία — ΞΑ' ὑπὸ Εὐσεβίου 296,10 ἑξ. Ἑρμηνεία — ΞΒ' ὑπὸ Εὐσεβίου 303,30 ἑξ. Ἑρμηνεία — ΞΓ' ὑπὸ Εὐσεβίου 312,28 ἑξ. Ἑρμηνεία — ΞΔ' ὑπὸ Εὐσεβίου 317,14 ἑξ. Ἑρμηνεία — ΞΕ' ὑπὸ Εὐσεβίου 330,1 ἑξ. Ἑρμηνεία — ΞϚ' ὑπὸ Εὐσεβίου 343, 18. Ἑρμηνεία — ΞΖ' ὑπὸ Εὐσεβίου 347,16. Ἑρμηνεία — ΞΗ' ὑπὸ Εὐσεβίου 371,20 ἑξ. Περὶ — 11,10 ἑξ. Περὶ — ᾠδῆς 11,19 ἑξ. 11,12 ἑξ. Προφητεῖαι περὶ Χριστοῦ παθημάτων ἐν ΝΔ' — 233, 32-243,10. Ὠδὴ — τί ἐστι 16, 14 ἑξ.

Ψαλτήριον. — καλούμενον ἑβραϊστὶ Ναῦβλα 11,7. — μουσικὸν ὄργανον 290,21. — ὄργανον μουσικὸν 16,10.

Ψεῦδος. — ζητηθὲν ἀντὶ ἀληθείας ὑπὸ Ἰουδαίων 38,18 ἑξ. — καὶ ματαιότης 121,39. Λόγια Κυρίου καθαρὰ — 54,11.

Ψυχαί. — αἱ κατὰ μέρος τῆς Ἐκκλησίας οὖσαι 195,30 ἑξ. — ναοὶ 195, 20. — τέλειαι αἱ προφητικαὶ 257, 32. — τέλειαι ὑπὸ τὰς πτέρυγας Θεοῦ εἰσι 253,13 ἑξ.

Ψυχή. — κολλωμένη ὀπίσω Θεοῦ 308,38 ἑξ. — συγκαλυπτομένη νηστείᾳ, πῶς ἑρμηνευτέον 381,31 ἑξ. Ἀβλαβὴς ἄνεσις καὶ ἀνάπαυσις —

36,29 ἑξ. Ἀτεκνία — πῶς νοητέα 141,4, 35 ἑξ. 143,35 ἑξ. Αὔλακες — οἱ λογισμοὶ 327,18 ἑξ. Βοήθεια πρὸς ἐπιστροφὴν — 81, 31 ἑξ. Δίψα — 306,40 ἑξ. Ἐγκαινισμὸς — 117,2 ἑξ. Ἐπιστροφὴ — πρὸς Θεὸν 98,21 ἑξ. Θάνατος — ἄρνησις Θεοῦ κ.λ. 133,21 ἑξ. Καρποὶ πνευματικοὶ — 327,6 ἑξ. 30 ἑξ. 328,25. Κωφότης — ἐκ κακίας 261,1 ἑξ. Νοητικὴ δύναμις — 28,13 ἑξ. Ὀστᾶ — αἱ διανοητικαὶ δυνάμεις νοητέαι 139,35 ἑξ. Πλοῦτος ἀληθινὸς — τίς ἐστι 153,35 ἑξ. Προσευχὴ καθαρθείσης — 37,22. Ὑποταγὴ — τῷ Θεῷ 296,11 ἑξ. 300,11 ἑξ. Φύσει ἡ ἀνθρώπου — τὸ οὐράνιον οἰκητήριόν ἐστι 75,22. Φωτιστικὴ — ἡ Κυρίου ἐντολὴ 82,1.

Ὠδὴ — τί ἐστι 16,12 ἑξ. — ὑπὲρ τοῦ Ἀγαπητοῦ 189,28,33. Περὶ — ὑπὲρ τοῦ Ἀγαπητοῦ 189,37 ἑξ. Περὶ Ψαλμοῦ — 11,19 ἑξ. Περὶ διαψάλματος 49,21 ἑξ. Περὶ Ψαλμοῦ 11,12 ἑξ.

Ὠκεανὸς 291,6.

Γενικὴ ἐπιστασία, σημειώσεις τῶν παραπομπῶν εἰς τὰ βιβλία τῆς Ἁγίας Γραφῆς καὶ καταρτισμὸς τοῦ πίνακος τῶν Ἁγιογραφικῶν χωρίων τοῦ Καθηγητοῦ τοῦ Πανεπιστημίου Βασ. Βέλλα.

Ὑπεύθυνος διὰ τὰς διορθώσεις τῶν δοκιμίων ὁ φιλόλογος Κ. Α. Παπαχρίστος.